This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

ɿFINED

303536990

CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

CONTINUATA.

PARS II.

PROCOPIUS.

VOLUMEN I.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXXXIII.

HAVERFIELD LIBRARY
OF ANCIENT HISTORY
OXFORD

PROCOPIUS

EX RECENSIONE

GUILIELMI DINDORFII.

VOL. I.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXXXIII.

PRAEFATIO
GUILIELMI DINDORFII.

De vita et scriptis Procopii quae dicenda habeo, quoniam cum Alemanni disputationibus sunt coniuncta, volumine tertio exponentur. Quamobrem hoc loco nonnisi siglae sunt explicandae librorum, quibus ad emendandos de bellis Iustiniani commentarios usi sumus: nam de reliquis scriptis suo loco agetur. Est igitur

A codex Parisiensis regius 1702, scriptus in membranis saeculo tertio decimo, foliis aliquot hic illic a manu recentiore suppletis, quod ex Catalogo cognovi vol. II. p. 389. Insunt historiarum libri quattuor priores. Est optimae notae codex, cui multorum locorum tum emendationem tum supplementa debemus.

B codex Parisiensis regius 1699, chartaceus saeculi quinti decimi, octo complexus historiarum libros. Huius ego accuratius collati nonnisi specimina quaedam ab Niebuhrio accepi ad p. 175 — 177 et 544 — 547 ed. Paris. apposita. Quae res hoc habuit incommodi ut reliqua lectionis varietas ex duobus aliis fontibus petenda fuerit, quos alioqui non adiissem. Nam quae ex eo libro in annotatione sua attulit Maltretus, eadem qua ille usus est sigla (Reg.) ab nobis designata, non referunt plenam lectionis diversitatem, nec satis certa apographi Leidensis (L), ab Iosepho Scaligero correcti, fides est, cuius nobis copiam fecit Iacobi Geelii amicitia. Correctiones margini huius libri commissas litteris Lm indicavimus.

V Lucae Holstenii apographum supplementorum codicis Vaticani: vide annotationem ad p. 229, 20. 243, 6. 256, 10. 275, 3. 326, 4. 334, 4. 372, 14. 497, 17. huius voluminis. Excerpta ex hoc codice, qui aetate pariter atque auctoritate praestat ceteris, lectionis varietate usus est Maltretus: ut denuo et accuratius ex-

cuteretur, ego nunc quidem non magis quam Niebuhrius efficere potui, quantumvis cuperemus. Insunt octo historiarum libri.

H Davidis Hoeschelii editio, Augustae Vindelicorum impressa a. 1607, ex codice composita Monacensi et duobus apographis codicis Parisiensis 1699, altero Leidensi, de quo supra dicebam, altero Petri Chabanaei, quod duobus constat voluminibus, quae ipsa quoque in bibliothecam regiam illata numerantur 1700. 1701.: vide Catalogi vol. II. p. 389. Ex hac editione et apographo Leidensi in annotatione critica, omissis centenis scribendi vitiis, tantum attuli quantum utile videretur. Integram enim lectionis diversitatem rationi consentaneum est non aliunde quam ex ipsis codicibus peti Monacensi et Parisiensi illo 1699. Quanquam his recentibus exemplaribus facile carebimus, si Vaticano aliisve antiquioribus, qui in Italicis latent bibliothecis, codicibus potiri licuerit. Inter quos sunt Pinelliani Mediolanenses, de quibus dictum ab A. Maio ad Dionysii Halicarnassensis fragmenta p. 171.

Hm margo editionis Hoeschelianae: de quo vide ipsius Hoeschelii praefationem infra appositam.

P editio Claudii Maltreti, quae Parisiis prodiit a. 1662, in duo divisa volumina, repetita Venetiis a. 1729.

Pm margo editionis Maltreti.

RV Raphaelis Volaterrani interpretatio Latina librorum de bellis Persico et Vandalico, multis locis compendifacta, quae primum prodiit Romae a. 1509, repetita Basileae a. 1531 et Lugduni a. 1594.

Pers. Christophori Personae interpretatio Latina librorum de bello Gotthico, edita Romae a. 1506, repetita Basileae a. 1531 et Lugduni a. 1594.

Hugonis Grotii quae passim afferuntur emendationes et coniecturas ex bibliotheca Leidensi suppeditavit Geelius.

Interpretatio Latina Claudii Maltreti est.

Temporum notae quum propter narrandi ordinem, quem sequitur Procopius, marginibus apponi commode non potuerint, chronologicis rationibus alio modo consulemus.

Scribebam Lipsiae m. Octobri a. MDCCCXXXII.

EX PRAEFATIONE
DAVIDIS HOESCHELII.

Quemadmodum editurus Bibliothecam Photii, Origenis libros VIII contra Celsum, et alia, de variis semper Codicibus laboravi, quo plenius singula et correctius prelo adornarentur: ita in Procopio Graece publicando idem mihi studium, labor idem fuit. Quocirca nobiliss. dn. Ioan. Georg. Hervuartus, sereniss. Bavar. Ducum intimus consiliarius, hoc cognito, primus e Ducali Bibliotheca m. s. misit Codicem: alterum illustris Iosephus Scaliger, a sese emendatum; tertium clariss. Isaacus Casaubonus manu exaratum perelegante Petri Chabanaei. Illum Boicum, quod ceteris esset emendatior et integrior, sum secutus potissimum: his, ex uno eodemque descriptis exemplari Regio, si qua fuit lectionis varietas (ut fuit maxima lib. 4. de bello Gotth.) in margine locum dedi; sin quid ex altero utro allatum, atque redintegratum, id, excepto lib. I. uncis est inclusum. Idem Casaubonus, quae ad librum de Aedificiis Iustiniani supplendum eruditissimus Carolus Labbaeus IC. e veteri Codice transscripsit, mecum etiam liberaliter communicavit: ut altero fere tanto hic auctior, quam antea, in lucem nunc prodeat. Caeterum de Procopio Graece imprimendo viri docti tam cupide institerunt ideo, quia male ab interprete acceptum norant; qui et τὰ καιριώτατα omiserit, et quae retinuit, pessima fide converterit. nam et finem belli Gotthici iusto pene volumine fraudavit *). Quorum deside-

[*) Notat Christophorum Personam: vide Maltreti praefationem p. xiii.]

rium ut explerem, sumptus ad maturandam editionem ornatissimi cives Augustani, Io. Georgius Oesterricher, p. m. Ioannes Huep-her, et Vuolfgangus Emekofer, suppeditarunt. quos honoris causa nomino: ut eorum exemplis alii ad similiter Reip. literariae opem ferendam allectentur et invitentur. De aliis sic habeto; Procopium Agathias ῥήτορα, Suidas σοφιστὴν etiam appellat: quae sic distinguuntur, ut ille sit orator, qui causas in concione, in foro, in senatu agit; hic Latinis Rhetor, qui in scholis docet artem oratoriam. — — Quod si tirones quoque Graecae linguae autori huic legendo, propter et facilitatem et perspicuitatem, quid temporis volent tribuere; praeter rerum noticias, modos loquendi elegantiores, et synonymiae exempla in ipse non pauca reperient. Cuiusmodi sunt ἁλιεὺς, ἀσπαλιεὺς, γριπεὺς, σαγηνευτὴς, *piscator:* ἄῤῥιχος, κόφινος, ταρπὴ, *sporta:* εἱρκτὴ, δεσμωτήριον, δωμάτιον, φρούριον, φυλακὴ, *carcer:* ὁ τῆς εἱρκτῆς ἄρχων, ὁ τοῦ φρουρίου ἄρχων, *carceris princeps;* qui Genes. 39. ἀρχιδεσμοφύλαξ dicitur, et cap. 40. ἀρχιδεσμώτης, Luciano ὁ ἐπὶ δεσμῶν. De quo alibi erit commodior dicendi locus, quare nunc desino.

EDITIONIS PARISINAE DEDICATIO.

AMPLISSIMO
ILLUSTRISSIMOQUE VIRO
D. D.
PETRO SEGUIERIO,
FRANCIAE
CANCELLARIO.

Non adeo sum hospes in patria, Illustrissime Cancellarie; ut nesciam, quantum iuves favore tuo mirabilem Galliae foecunditatem: qua et novi ingeniorum excellentium foetus eduntur quotidie; et veteres, atque alibi nati, felicius apud nos renascuntur. Multi certe, quos hodie redivivos amplectimur, in abditis bibliothecarum pluteis adhuc iacerent; nisi eiusmodi tumulos benignitas tua aperuisset, ac sepultis vitalem quandam afflasset auram. In primis pars optima Historiae Byzantinae Tibi animam debet, ingenti receptam corpore; et quidem ita, ut ab interitu iam plane secura sit. Hoc autem quis pro merito aestimet beneficium, quo spirat ac loquitur insignis illa *Temporum testis*; viget *Vita memoriae*; docet *Magistra vitae*; animos tenet *Nuntia vetustatis?* Munus adeo memorabile lectores, si grati haberi volunt, eo magis praedicent, quo minus authores possunt. Qui si nunc viverent, et luce suis monumentis reddita fruerentur, omnes uno ore iustissimas Tibi gratias agerent. Tali Procopius Caesariensis officio non contentus, probaret meum; visaque hac suorum Operum nuncupatione, mihi consilium optimum, sibi famam, immortalitate Nominis tua mansuram gratularetur. Stylum etiam, credo,

Tibi suum dicaret, illectus copia ac splendore materiae, quam suppeditas. Collecta in unum decora intuens, quae in clarissimis aevi sui magistratibus laudavit, eum esse Te fateretur, qui nec Symmacho Christiana beneficentia, nec Boëtio erudita pietate inferior, Proclum integritate, prudentia Phocam, lenitate animi Basilidem superes. Erunt forte qui Tribonianum Oraculum fori nominent: si tamen hos libros legerent, nihil in eo fuisse dicent, quod suspicere debeas, aut invidere possis. immo vero requirent multa, quae egregio virtutis ac doctrinae cum natura consensu in Te posita sunt; et senectutem tuam incredibili vigore corporis animique, singulari apud Principes gratia, et amplissima in subditos authoritate beatissimam faciunt. Ille satis habuit Ius scribere: Tu et scientia comprehensum tenes, et moribus exprimis, facienda factis commonstrans. De tribunali pronuntias, quemadmodum aiebat Philosophus, *cum vultu et animo Legis, quae sine ullo impotenti motu aequum bonum constituit.* Ut vero Lex a Tullio dicitur *Mutus Magistratus;* sic Tu, Illustrissime Cancellarie, non immerito appellari potes *Lex loquens.* Quid mirum, si vocem tuam Maiestas Regia suffecit suae? cum probe sciret se nullo ore vicario melius fari quam tua posse. Non est cur Ludovicus Adeodatus Te illo excitet monito Theodati Italiae Regis: *Considera in verbis tuis laudem positam Principalem. Fama nostra est quod loqueris: conscientia sine dubitatione quod sentis.* Adeo non quidquam profers, cuius ipsum vel pudere possit, vel poenitere; ut per Te obtento bonorum assensu, quo nihil est gloriosius, fidele mentis optimae testimonium, quo nihil dulcius, confirmetur. In sacrarium admissus augusti pectoris, quanta cum dignitate id reseras, et splendorem exhibes Numinis, quo plenum est! Hinc illa erga Regem maximum venerationis ad amorem accessio, et incrementum obsequii: cuius causa in extremum venisti discrimen; cum sacrilegus perduellium furor in rhedam, qua vehebaris, facto impetu, tecum Fidem, Constantiam, Aequitatem perdere tentavit. Nec dubito quin coelestis manus aliqua hebetaverit crudele ferrum, lethiferumque ignem extinxerit, ne Religio praesidium amitteret; et Pax civilis, cuius exilio sacra omnia turbari solent, reditum desperaret, sequestro orbata sapientissimo.

Te sospite rediit, viam nacta consiliis tuis expeditam: revexit opes: male dissipatas vires coëgit, Gallisque universis optabilem Victoriam revocavit. Mox ambae Regnum bearunt; dum altera vigeret domi, Te administrante Rempublicam altera foris domaret hostes, ac supplices Regum praestantissimo sisteret. Nisi Pacem domesticam fovisses, haud coacti fuissent exteri communem ab eo petere. Hanc, ipsorum iniuriis pridem pulsam, Iusti Filius reverti iussit; reducemque *osculata est Iustitia;* ideo nunquam a nostris digressa partibus, quia Te vindicem et assertorem habuit sub amantissimo Principe. Cui sane Procopius meus in ordine infimo servire mallet, quam inter primarias dignitates Iustiniano. Urbis quidem Praefecturam gessit; sed eo tempore, quo Byzantium adeoque Imperium profligari Imperator siverat, nimium tribuens improbis magistratibus: quorum culpa fiebat, ut pacis artes belli fraudibus peiores essent. Inde, ut caetera taceam, nata est Historia arcana: qualem hic author nequiret apud Te meditari; ubi nihil odiosum, sed omnia plausu et amore digna publico videret. Res demum tuas scripturus, quid optaret aliud, nisi parem argumento facultatem dicendi? quid timeret, nisi modestiae offensionem tuae? Iam, si illius promissi memor, quo se obstrinxit in libris de Bello Gotthico, Religionis controversias mandaret literis, et opus ad hoc usque tempus perduceret; ibi Tu emineres sub utroque Ludovico. Neuter profecto sui in errorum monstra odii Ministro usus est ullo, qui longius quam Tu a prece pretioque refugerit. Quoties Calvini haeresis, cuius extremos anhelitus huc e propinquo missos facile audio, in Te circa regios cancellos fremuit? cum frustra satageret ad sigillum irrepere; ut eo munita grassaretur liberius, numerumque perditorum augeret. Tunc videlicet cavisti diligentissime, ne sacra Lilia maculam contraherent, et verendos Principum vultus pollueret cera, quam indulgentia nimia mollivisset. Nihilo plus profecit larva recentior Augustinum mentiens, turpisque Novitas Antiquitatem simulans venerabilem. Longius prorupissent damnata in coelo ac terris capita; nisi Tu Dei Regisque causam toto pectore amplexus, dedisses operam, ut suis deiecta praesidiis, latebras procul quaerere cogerentur. Utinam illuc intraret salutaris pudor, neque au-

derent novum petere Concilium, qui toties Tridentinum risere. Quod si hodie coetus eiusmodi indiceretur; Sorbona, Academiarum Regina, secum reputans, quanta cum laude ipsius comitia temperaveris, procul dubio suaderet, ut amplissimi consessus cognitor optareris, reluctantibus licet defensoribus Gratiae, fato quodam ineluctabilis. Vinceret assensus ECCLESIAE, quae in tuo erga se studio plurimum ponit: neque ignorat sua interesse, ut memoriam virtutis inclytae emori minime sinat. Quare sibi charissimum SEGUIERII nomen suis consecrabit annalibus, et egregiae in Sedem Apostolicam observantiae exemplum posteritati proponet. Nos vero minimi tantae parentis filii, quibus hoc impensius faves, quo iniquius ab illius adversariis petimur, quid non efficeremus; si et promeritis in nos tuis, et nostrae erga Te voluntati par facultas suppeteret? Equidem scio, eorum, quibuscum vivo, neminem opera egere mea, ut quo sit animo patefaciat. Quoniam tamen interpretis munus, haud adeo ab hac mea mediocritate ingenii alienum, suscepi; hic mihi liceat maxime communia inter nos sensa paucis exponere. Certius enimvero meam ac Sociorum mentem, quam Procopii, hominis externi, totque abhinc saeculis mortui, explicabo. Quaecunque in Toga supremus apex tribunalium postulat, ea nos summa in Te miramur omnia, ILLUSTRISSIME CANCELLARIE. Ex iudicio tuo existimationem pendere nostram putamus. In benevolentia, qua tueri nos et cohonestare non desinis, conquiescimus. Nusquam pigebit honori tuo servire. A Te collata in universos benignitas ita singulos afficit, ut eam pro se quisque cum palam apud homines praedicet, tum privatim commemoret Superis, ac perdiuturnam precetur Tibi incolumitatem. Haec vere profitetur

ILLUSTRISS. AMPLITUDINI TUAE,

Tolosae VI. Kal. Octob.
An. M. DC. LXI.

Deditissimus et obsequentissimus
CLAUDIUS MALTRETUS
e Societate JESU.

CL. MALTRETI PRAEFATIO.

LECTORI.

Si consilium est, ERUDITE LECTOR, hos Libros non prius legere, quam Auctorem pernoveris qualis fuerit; hinc oculos et manum converte ad consequentem Tomum. Ibi Nicolaus Alemannus, vir doctrina praestans, suis in Historiam Arcanam Praefationibus te voti compotem faciet: simul etiam docebit, quot et quam graves temporis hominumque iniurias PROCOPII Caesariensis pertulerint. Quod autem vir idem clar. faciendum reliquit aliis de veteri illorum interpretatione iudicium; id sibi sumpserat Iosephus Scaliger, suorum sydus, cum haec ad Davidum Hoëschelium scriberet: *Recte iudicas dignum esse Procopium, qui edatur, et quia dignus, et quia male ab Interprete acceptus est. Qui et τὰ καιριώτατα omiserit, et quae retinuit, pessima fide converterit. Nam et finem Belli Gotthici iusto pene volumine fraudavit.* Hoc ultimum censurae caput proprie convenit in Christophorum Personam Romanum: qui Tetradem secundam librorum de Bellis ita truncavit, ut triadem fecerit. Caeterae reprehensionis partes ei communes sunt cum Raphaele Volaterrano, Tetradis prioris Interprete. Quando Scaliger ea, quae modo retuli, ad amicum scribebat, Graeca Procopii monimenta nondum praelo in publicum emissa fuerant; praeterquam libri περὶ κτισμάτων: qui quam essent mutili, in loco dicam. Hos multo auctiores Hoëschelius cum

Historia Bellorum Graece edidit Augustae Vindelicorum, anno Christi 1607. Exinde in scriptoris huius Interpretes virorum eruditorum querela increbuit. Nam versione cum Graeco textu collata, incredibilem perversitatem videbant, dolebantque quod Historia nobilissima tam male in Italia fuisset habita, ubi olim ipsius pater nihil damni a Gotthis, quanvis hostibus, accepisset. Optabant vero ut ingenii praestantissimi soboles conditione quam fieri posset optima Latio donaretur. Instante Iosepho Scaligero, id tentavit Bonaventura Vulcanius: deinde incoepto destitit, senio confectus. Negotium in se ultro receperat Daniel Heinsius, tum iuvenis, in quo diligentia, Scaligero teste, cum eruditione certabat. At illum alia studia sic averterunt, ut promissi munus haud comparuerit. Nec postea extitere libri quatuor de Bello Gotthico, ab Hugone Grotio, ut fama erat, in Latinum conversi: quos nunquam profecto vidi. Cum igitur provincia ab omnibus relicta vacua videretur, eam ego suscepi, iis auctoribus, quibus nihil negare poteram. Excepi tamen Anecdota: propterea quod illam partem Nicol. Alemannus iam feliciter occupaverat. Nunc tuum est, Lector, explorare, si vacat ac lubet, qua rem gesserim fide. In primis vide num actum egerim. Quod ut minori cum taedio faceres, consilium secutus sum eruditissimi P. Philippi Labbe, viri de me optime meriti. Nimirum libros partitus in capita, suum cuique argumentum paucis comprehensum praefixi; ut ibi, lectione fessus, tanquam ad viales lapides sedeas ac respires. Lacunas in hoc Tomo invenies omnino duas aut tres, easque tam breves, ut facillime et minimo quasi saltu transmitti queant. Tot vero tantasque habet editio Augustana, ut in unum collectae, dimidiam fere partem exaequent unius libri. Si placet iter hic complanatum, Lucae Holstenii τοῦ μακαρίτου memoriam grato animo cole. Quae enim deerant, ea ille ex MS. Codice Vaticano supplevit pro suo in literas, quarum decus erat, amore maximo. Non pauca in Graeco textu correxi, partim propria coniectura, partim ope R. P. Petri Possini: cui debeo, quidquid discipulus Magistro optimo doctissimoque debere potest. Is Romae cum MS. Vaticano exemplar Augustanum, quo tanquam fundo novae editionis utebar, contulit, et quas notavit discrepantes lectiones,

humanissime communicavit. Ac ne iudicio tuo quidquam subtraherem, omnia fidelissime exposui in Tomo altero: quo Lectiones varias et utriusque textus emendationes reieci. Porro si me audies, priusquam caput aliquod legas, illic inspicies quae ad ipsum pertinent. Quo fiet ut te nec menda Typographica morentur, nec facile in errorem inducant nonnulla παροράματα mea, a me tum solum animadversa, cum iam typis cusa relegerem. Relegi autem omnia quam accuratissime potui, et quidem animo Censorio: ita ut ubicunque peccasse me vidi, culpam, ut par est, mihi ipse nominatim assignem in emendationibus meis. Multo autem saepius peccassem, nisi domi consuluissem virum disciplinis excultissimum, P. Ioannem Fayonum. Si quid praeterea corrigendum videbitur, libenter a monitore quovis accipiam, et beneficium profitebor in Notis: quae, si Deus siverit, primam partem efficient tomi tertii *). Altera pars constabit ex Opusculis Poeticis, quorum hic seriem proponam. Elegantem habeo templi S. Sophiae et ambonis ἔκφρασιν, quam Paulus Silentiarius, aequalis Procopio, versibus scripsit hexametris, numero supra 1200. Haec ad Procopii libros de Aedificiis apta erit appendix cum Collectione epigrammatum veterum Christianorum, quae olim Constantinopoli, et in aliis Graeciae civitatibus, sacris aedibus inscripta legebantur. Id totum, ex MSS. Palatinis Bibliothecae Vaticanae depromptum, ad me misit Ill. Lucas Holstenius. Historiam Procopianam contingunt Corippi libri quatuor de laudibus Iustini minoris. Hos multo castigatiores possum edere, adiunctis Ruizii Assagrii et Dempsteri Annotationibus. Neque enim animus est quenquam fraudare honesti laboris fructu. Latino huic Poëtae, iam bis quidem edito, sed plane a Bibliopolis distracto, addere vellem Graecum, qui Corippum videre potuit; Georgium dico Pisidam, magnae Ecclesiae Constantinop. Diaconum. Eius libri, Holstenii beneficio, penes me sunt, adhuc inediti, de Laudibus Heraclii Imperatoris, duo: de Bello Persico eiusdem Heraclii, tres: de Bello Avarico ad muros urbis Constantinop. unus. Nec male Georgio Pisidae conveniet

[*) Qui non prodiit.]

cum Theodosio itidem Diacono; cuius ἀκροάσεις quinque de capta a Romano Aug. Creta mihi describendas curavit Ill. Leo Allatius, Custos Bibliothecae Vaticanae, et in arce illa Reip. literariae meritissimo collocatus. Tu vero, Lector, interea Procopio fruere; ac si minus opera in eum collata, certe animus placeat, quo et rem facere tibi gratam, et publicae utilitati servire volui.

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ

Ι Σ Τ Ο Ρ Ι Α Ι.

ARGUMENTUM P 1 V 223

LIBRORUM OCTO PROCOPII,

EX AGATHIAE SCHOLASTICI LIB. I. P. 7—10. ED. PARIS.

Τὰ πλεῖστα τῶν κατὰ τοὺς Ἰουστινιανοῦ χρόνους γεγενημένων ἐπειδὴ Προκοπίῳ τῷ ῥήτορι τῷ Καισαρείαθεν ἐς τὸ ἀκριβὲς ἀναγέγραπται, παριτέον ἐκεῖνα ἔμοιγε, ἅτε δὴ ἀποχρώντως εἰρημένα· τὰ δὲ μετ᾽ ἐκεῖνον ὡς οἷόν τε διεξιτέον. προοίμια μὲν γὰρ αὐτῷ τῆς ἱστορίας Ἀρκάδιος ἀποβιοὺς ἐποιήθη, καὶ τῷ ἐκείνου παιδὶ Θεοδοσίῳ Ἰσδιγέρδης ὁ Περσῶν βασιλεὺς κηδεμὼν B γεγενημένος, τά τε Οὐαραράνῃ καὶ Περόζῃ ξυνενεχθέντα· καὶ ὅπως Καβάδης βασιλεὺς καταστὰς ἀφῄρηται τὴν ἀρχὴν καὶ εἶτα θᾶττον αὐτὴν ἀνεκομίσατο, ὅπως τε Ἄμιδα ἥλω πρὸς αὐτοῦ, Ἀναστασίου Ῥωμαίων βασιλεύοντος, καὶ ὅσους αὖθις μετ᾽ ἐκεῖνον Ἰουστῖνος ὁ πρεσβύτης ἐν τῷδε τῷ ἔργῳ διεδέξατο πόνους. ἑξῆς C δὲ τοὺς Περσικοὺς πολέμους ὁπόσοι δὴ πρός τε Καβάδην καὶ Χοσρόην ἀμφὶ Συρίαν καὶ Ἀρμενίαν, καὶ μὲν δὴ καὶ τὰ Λαζῶν ὅρια

2. Alterum τῷ additum ex R (i. e. codice Rohdigerano Vratislaviensi). 6. ἰσδιγέρδης R. Ισδηγέρδης P. 7. Οὐαραράνῃ Niebuhrius. οὐαραβάνῃ R. Οὐαράνῃ P.

Quoniam Procopius Rhetor Caesariensis partem maximam rerum aetate Iustiniani gestarum accurate conscripsit, eas quidem praetermitti a me oportet, quippe satis iam explicatas: quae vero postea sunt consecutae, illas pro mea facultate tractare debeo. Historiam suam exorsus est ab Arcadii obitu, et commissa Theodosii eius filii tutela Isdegerdi Persarum Regi. Tum narrat quae Vararani ac Perozi contigere, et quo pacto Rex factus Cabades abrogatum sibi imperium brevi recuperaverit: praeterea uti Amida ab Anastasio Romanorum Imperatore fuerit capta: et quantum postea Iustinus senior elaboraverit in coeptis. Succedunt his bella Persica, quae cum Cabade et Chosroe in Syria, Armenia et Lazicae finibus

Ἰουστινιανῷ τῷ Ῥωμαίων αὐτοκράτορι διαπεπολέμηνται, τούτους
δὲ ἅπαντας ἐκ τῶν Προκοπίου λόγων ἄριστα ἂν διαγνοίης, Γελί-
D μερά τε τὸν Βανδίλον, καὶ Καρχηδόνα τὴν πόλιν, καὶ τὴν ξύμ-
πασαν χώραν τῶν Ἄφρων ἀπὸ Βονιφατίου τε καὶ Γιζερίχου καὶ
τῆς ἐν τῷ τότε ἀποστάσεως πολλοῖς ὕστερον χρόνοις Ἰουστινια-
νῷ δουλωθεῖσαν, καὶ πάλιν τῆς Ῥωμαίων ἐπικρατείας μέρος γε-
γενημένην. μετὰ δὲ τὴν τῶν Βανδίλων κατάλυσιν, καὶ ὅσα οἱ
P 2 Μαυρούσιοι τὸ ἔθνος ἔδρασάν τε καὶ πεπόνθασι πολλαχοῦ τῆς
Λιβύης κατὰ Ῥωμαίων παραταττόμενοι· ὅτι τε Στότζας καὶ
Γόνθαρις Ῥωμαίων μὲν ἤστην, τυράννω δὲ καταστάντε μεγί-
στων συμφορῶν τε καὶ στάσεων αἰτιωτάτω τῇ Λιβύῃ γεγόνατον,
καὶ ὡς οὐ πρότερον ἐλώφησε τὰ δεινὰ, πρὶν ἐκείνω τὼ ἄνδρε δια-
φθαρῆναι. ἀλλὰ καὶ τάδε ἀμέλει ἅπαντα εὕροις γε ἂν ἐν ἐκεί-
B νοις, ὅπως τε ἡ στάσις ἡ ἐμφύλιος ἐν Βυζαντίῳ κατὰ τοῦ βασι-
λέως ἀρθεῖσα καὶ ἐπὶ μέγα κακοῦ ἀφιγμένη τὰ κοινὰ ἐδηλήσατο,
τάς τε τῶν Οὔννων ἐπιδρομὰς, ὡς δὴ ἐν τῷ τότε τὸν Ἴστρον πο-
ταμὸν περαιωθέντες μέγιστα οἷα τὴν Ῥωμαίων ἀρχὴν ἐλυμήναν-
το, Ἰλλυριούς τε καὶ Θετταλοὺς καὶ τὰ πλεῖστα τῆς Εὐρώπης
ληϊσάμενοι, μέρος δέ τι καὶ τῆς Ἀσίας, τὸν Ἑλλήσποντον διαβάν-
τες. Σουρὼν δὲ ἡ πόλις ἡ ἐν Συρίᾳ καὶ Βέρροιᾶ καὶ Ἀντιόχεια ἡ
C πρὸς Ὀρόντῃ ποταμῷ ὅπως οἰκτρότατα ὑπὸ Χοσρόου πεπόρθην-
ται, τήν τε Ἐδέσσης πολιορκίαν, καὶ ὅπως ἐνθένδε ἀποκρουσθεὶς

2. *Γελίμερα* Niebuhrius. *Γελίμερ* P. 8. *τῆς*] *τε* R. 9. *λι-βύης* R. *λιβύας* P. 14. *τῇ λιβύῃ*] *τῆς λιβύης* R. 16. *ὡς* R corr. pro *ὅς*. *οἷ* P. 18. *Ἰλλυριούς*] *ἰλλυρίους* P. 19. *τὸν*] *τὴν* R. 20. *σουρὼν* R. *σουρῶν* P.

Iustinianus Augustus gessit. Haec omnia e Procopii libris plane cognosces: item Gelimerem Vandalum, et urbem Carthaginem, adeoque Africam universam longo intervallo post Bonifacii ac Gezerici tempora ortamque tum defectionem in potestatem venisse Iustiniani, atque ita redditam Imperio Romano suam hanc partem. Post Vandalorum excidium, habes quaecumque Mauri, multis in locis Africae cum Romanis congressi, et fecere et passi sunt: deinde Stotzae et Gontharidis, qui partes Romanorum sequebantur, tyrannidem, et hinc natas calamitates ac seditiones maximas Africae, nec nisi utriusque viri caede ac sanguine extinctas. Haec ibidem reperies: quemadmodum seditio civilis contra Caesarem excitata Byzantii, evaserit in magnam perniciem, remque publicam labefactarit. Adde incursiones Hunnorum: qui Istro tunc transito, Illyricum, Thessaliam, et plerasque Europae provincias; traiecto demum Hellesponto, partem aliquam Asiae populati, Imperium Romanum damnis gravissimis affecerunt. Illud etiam, ut in Syria a Chosroe urbs Sura, Berrhoea, et sita ad Orontem fluvium Antiochia miserrime direptae fuerint: ut idem cincta obsidione

ἔπειτα ἀπιὼν ᾤχετο. πάρεστι καὶ ταῦτα ἐν τοῖσδε θεάσασθαι,
τάς τε τῶν Αἰθιόπων καὶ Ὁμηριτῶν παρατάξεις καὶ ὅτου δὴ
χάριν ἄμφω ἐκείνω τὼ φύλω ἐς τίδε δυσμενείας ἠλθέτην. εἴρη-
ται δὲ αὐτῷ πολλὰ καὶ τοῦ μεγίστου λοιμοῦ πέρι, ὅπως τε τὴν
ἀρχὴν κατ' ἐκεῖνο τοῦ καιροῦ ἐς τὸ ἀνθρώπειον γένος εἰσήρρησε, D
καὶ ὁποῖα ἄττα παράλογα ἐν αὐτῷ ξυνηνέχθη. ἀλλὰ γὰρ καὶ
ὁπόσα ὕστερον τῷ Ῥωμαίων στρατῷ ἀνὰ τὰ Λαζῶν πολίσματα
καὶ Πέτρας τὸ φρούριον, πρός τε Χοριάνην καὶ Μερμερόην καὶ
τὰ Περσικὰ ἐξείργασται πλήθη, καὶ ταῦτα ἐκεῖθεν ἀναλεκτέον.
μεταβάντι δὲ οἱ ἐπὶ τῆς ἑσπέρας, ὅπως τε Θευδέριχος ὁ τῶν Γότ-
θων βασιλεὺς ἀπεβίω καὶ Ἀμαλασοῦνθα ἡ τοῦδε παῖς ὑπὸ Θευ-
δάτου ἀνῄρηται, καὶ ἅπαντα ὧν δὴ ἕνεκα ὁ Γοτθικὸς πόλεμος P 3
ἀνεῤῥάγη, οὐδὲ ταῦτα ἐκείνῳ παρεῖται· οὐμενοῦν ἀλλ' οὐδὲ ὅπως
Οὐίττιγις ὁ μετὰ Θεύδατον τοῦ Γοτθικοῦ γένους κρατήσας ὑπὸ V 224
Βελισαρίου τοῦ στρατηγοῦ μετά γε πλείστους ὅσους ἀγῶνας δο-
ρυάλωτος εἰς τὸ Βυζάντιον ἧκται· οὐδέ γε ὅπως Σικελία τε καὶ
Ῥώμη καὶ Ἰταλία τοὺς ἐπήλυδας ἀποβαλοῦσα βαρβάρους πάλιν B
ἤθεσι πατρίοις μετεκοσμεῖτο. λάβοι δὲ ἄν τις ἐνθένδε καὶ ὅτι
Ναρσῆς ὁ τομίας ἐς Ἰταλίαν ἐστάλη, στρατηγὸς αὐτοκράτωρ
πρὸς τοῦ βασιλέως γεγενημένος, τούς τε κλεινοὺς ἐκείνους πολέ-

3. φύλω R. φίλω P. 6. ἄττα R. ἅσσα P. ibid. γὰρ καὶ] καὶ om. R. 11. Θευδάτου R. Θεοδάτου P. 13. ἀλλ' οὐδὲ R. οὐδ' P, omisso ἀλλ'. 14. Οὐΐττιγις Niebuhrius. Οὐΐτιγις P. ibid. Θεύδατον R. Θεόδατον P. 15. γε R. τε P. ibid. ὅσους om. R. 16. ἧκται R. ἴκται vulgo apud Agathiam: nam in P verba εἰς τὸ Βυζάντιον ἴκται exciderunt. 19. τομίας] ταμίας R. 20. τούς τε R. τοὺς δὲ P.

Edessa pulsus abierit. Insuper videre est Aethiopum et Homeritarum inter se pugnas, et causam cur hostili odio mutaverint amicitiam. De pestilentia teterrima Author ille non pauca dixit: in primis quomodo tunc temporis humanum ea genus invaserit, quamque inauditos habuerit et a communi intelligentia remotos casus. Legenda quoque apud eundem quaecunque exercitus Romanus ad oppida Lazicae et Petrae castellum adversus Chorianem et Mermeroem copiasque Persarum patravit. In Occidentem transgressus, mortem Theoderici Gotthorum Regis, filiaeque eius Amalasunthae necem a Theodato illatam, et omnia, ex quibus bellum erupit Gotthicum, non indiligenter exponit. His adiicit, quo pacto Vitigis, qui Theodato mortuo Gotthis imperavit, post multa certamina a Belisario Duce captus fuerit et Byzantium deportatus: tum qua ratione Sicilia, Roma, a ..eque Italia, exactis Barbaris advenis, ad mores et instituta patria se receperint. Inde quoque discere licet Narsetis spadonis profectionem, ei que datum a Caesare imperium in Italiam, et praelia illa inclyta, quae cum To-

μους, οἳ δὴ αὐτῷ πρὸς Τωτίλαν ἄριστα διαπεπόνηνται· ὅτι τε
C αὖθις μετ' ἐκεῖνον Τείας ὁ Φρεδιγέρνου τὴν Γοτθικὴν ἡγεμονίαν διαδεξάμενος οὐκ ἐς μακρὰν καὶ αὐτὸς ἀνῃρέθη. ταῦτα δὲ πάντα ἐς ἕκτον τε καὶ εἰκοστὸν ἔτος τῆς Ἰουστινιανοῦ βασιλείας γεγένηται, καὶ Προκοπίῳ μὲν τῷ ῥήτορι ἐν τοῖσδε, οἶμαι, αὐτῷ τὰ τῆς ξυγγραφῆς διήνυσται καὶ ξυνετελέσθη· ἐγὼ δὲ .... καὶ τὰ ἑξῆς.

1. Τωτίλαν] τώτιλλαν R.

tila fortissime conseruit: denique quonam modo Fredigerni filius Teias, qui proxime successit in regnum Gotthicum, et ipse brevi interierit. Haec omnia ad annum usque vigesimum sextum principatus Iustiniani sunt gesta: ibique, opinor, Procopius Rhetor Historiae suae finem imposuit. Ego vero ...... etc.

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ H 1 P 5 V 225

ΙΣΤΟΡΙΩΝ ΤΗΣ Α' ΤΕΤΡΑΔΟΣ Η Α'.

ΙΣΤΟΡΙΩΝ — Η Α'.] *ΤΗΣ ΠΡΩΤΗΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Α'* P. Mutatum ex A.

PROCOPII CAESARIENSIS

HISTORIARUM TETRADIS I.

LIBER I.

ARGUMENTUM.

EX EDITIONE MALTRETI.

Aperit auctor propositum suum. Utilitatem, fidem ac dignitatem ostendit huius historiae. Contra antiquitatis laudatores praeposteros, aetatis suae sagittarios egregie defendit. (Cap. 1.) *Moriens Arcadius Aug. tutelam Theodosii filii sui mandat Isdigerdi, Persarum regi. Huius fides optima. Theodosii legatus Anatolius et Vararanes Persarum rex illustre inter se edunt urbanitatis exemplum. Pax componitur.* (2.) *Peroses rex Persarum bello petit Ephthalitas, sive Hunnos albos. Barbarorum istorum mores, inprimis mira lex amicitiae. Tenetur Peroses insidiis. Periculi ignarus monetur parabola. Ut evadat, perpetuam Ephthalitis pacem spondet, iuratque per salem patrio ipsorum more. Eorum regem adorare iussus facti ignominiam astu elevat.* (3.) *Altera Perozis expeditio in Ephthalitas. Horum apparatus et stratagema. Salem, per quem Peroses iuraverat, e cuspide vexilli regii suspensum praeferunt. Persarum insignis clades. Per digressionem narratur piscatio unionis pretiosissimi, quem Peroses gestabat. Ex ea clade lex nata militaris. Extincto cum triginta filiis Perozi succedit Cabades natu minimus.* (4.) *Cabadis lex de promiscuo foeminarum usu irritat subditos. Blasi Perozis fratri regnum defertur, quippe haereditarium. In comitiis abhorrent omnes a crudeli Gusanastadis sententia in Cabadem, quem malunt includere in castellum Oblivionis. Huius origo nominis ex lege, contra quam venit nemo unquam nisi Pacurius. Hinc auctor digreditur ad memorabilem historiam et tragicum exitum Arsacis regis Armeniae.* (5.) *Cabades elabitur uxoris ope et Sco-*

sis. Regnum recipit. Magistratus apud Persas haereditarii. More facinorosorum excaecatur Blases. Interfecto Gusanastadi sufficit Cabades Adergudunbadem, et Chanarangem creat. Seosem nova dignitate Adrastadaransalanis ornat. (6.) *Roganti mutuum argentum Cabadi negat Anastasius Aug. Hinc bellum. Obsidetur a Persis Amida. S. Iacobi Eremitae miraculum. Felix omen capiunt Magi ex impudentia meretricum Amidenarum. Credita turris custodia Monachis. Eorum somnolentia urbem perdidit. Appositum sacerdotis responsum exarmat Cabadem. Captivi cives postea dimissi. In eos benignitas Anastasii.* (7.) *Romani exercitus duces. Appion Praefectus castrensis aerarii. Dissidium ducum. Occurrit Cabades. Fuga Areobindi magistri militum per Orientem. Patricius atque Hypatius cladem accipiunt. Celer excurrit in Arzanenen.* (8.) *Romani Amidam obsident. Glones Persarum dux in insidias a rustico deductus interit. Persae parcunt aedificiis. Eorum in ferenda fame constantia. Amida pretio recipitur. Induciae annorum* 7. (9.) *Portarum Caspiarum descriptio. Ibi conditum ab Alexandro Magno castellum recusat emere Anastasius ab Ambazuce: quo mortuo, illud Cabades occuparit. Anastasius ex vico Dara Anastasiopolin facit, ac moenibus cingit Theodosiopolin.* (10.) *Anastasio succedit Iustinus. Cabades Persarum rex de successore cogitat. Caoses, Zames, Chosroes tres eius filii. Lex Persica mutilos a regni successione excludit. Cabades Chosroem adoptandum Iustino offert. Procli Quaestoris gravis oratio. Decernitur Chosrois adoptio per arma. Legati conveniunt. Solvitur eorum coetus infecta re. Origo odii Chosrois in Romanos. Seosis exitus funestissimus. Lex Persarum de non humandis mortuis. Rufinus Hypatio periculum creat.* (11.) *Situs Iberiae. Eius incolae Christiani optimi, iussi a Cabade non sepelire mortuos, ad Iustinum deficiunt, cum rege suo Gurgene. Probus Bosporum mittitur ad contrahenda auxilia. Varizes dignitatis nomen apud Persas. Res Lazicae et Persarmeniae. Belisarius et Sittas adolescentes Iustiniani satellites. Belisarius a Iustino numeris Darenis praepositus consiliarium habet Procopium.* (12.) *Iustinianus Iustini successor Belisario mandat ut castellum extruat Mindone. Opponunt se Persae et Romanos clade afficiunt. Belisarius magister militum per Orientem cum Hermogene magistro officiorum Romanos ad insigne praelium praeparat. Campi et aciei Rom. dispositio. Mirrhanes nomen Persicae dignitatis, qua insignis Perozes dux summus Persarum. Velitatio. Singularia certamina sane egregia.* (13.) *Belisarii et Mirrhanis mutuae literae. Utriusque conciones. Aciei Persicae dispositio. Cur meridie pugnam Persae inierint. Praelium memorabile. Ingens Persarum clades.* (14.) *Exercitus in Armeniam a Cabade missus. Sittas magister militum per Armeniam: Dorotheus Armeniae dux. Victi bis Persae. Tzanorum sedes patriae et mores. Christianam religionem amplectuntur. Pharangium et Bolum Romani Persis eripiunt. Narses et Aratius ad Romanos transfugiunt.* (15.) *Rufini de pace legati ad Cabadem oratio. Respondet Cabades. Rufinus Byzantium redit. Iustinianus absolvit annum imperii quartum sub initium veris.* (16.) *Irruptio Persarum in Euphratesiam, olim dictam Commagenem. Origo nominis utriusque. Euphratis ac Tigridis fontes et cursus. Fanum Dianae Tauricae. Ex eo Iphigeniae fuga cum Oreste: huius morbus. Duplex ab ipso condita Comana. Unde sic dicta utraque. Dianae et Iphigeniae templa Christiani habent. Euphratis ab Acilisene in Assyriam cursus. Osroene. Mirrhanes a Cabade qua ignominia notatus. Oratio Alamundari ad Cabadem. Qualis vir Alamundarus. Qui duces: qui phylarchi.* (17.) *Exercitus Persici dux Azarethas; viae, Alamundarus. In Euphratesiam properat cum copiis Belisarius. Abeunte hoste sapienter cunctatur. Paschale festum quam sanctum. Belisarius a temerario praelio suos dehortatur. Eorum contumaciae cedit Azarethae concio. Praelium.*

Romanorum clades. Belisarii virtus. Persarum mos in recognoscendo exercitu coram rege. Azarethas a Cabade male acceptus. (18.) *Statuit Iustinianus inire societatem cum Aethiopibus et Homeritis. Descriptio sinus Arabici. Urbs Aila. Insula Iotabe Palmetum. Maaddeni. Homeritae. Aethiopes Auxomitae. Bulicas. Urbs Adulis. Aethiopum naves cuiusmodi. Quantum viae ab Auxomide ad imperii Romani limitem in Aegypto. Elephantine. Blemyes et Nobatae. Diocletiani circa illos consilium. Philae. Barbara Blemyum sacra. Philarum templa diruta Iustiniani iussu.* (19.) *Hellistheaeus Aethiopiae rex Christianus. Iudaeos Homeritas vincit, illisque regem imponit Esimiphaeum Christianum: cui postea expulso sufficitur Abramus e servo rex. Inanes contra hunc Hellistheaei conatus. Iulianus Iustiniani legatus ad Aethiopes et Homeritas. Commercium Serici, ex quo fit vestis, Medica olim, nunc Serica dicta. Nullus legationis fructus.* (20.) *Ex Oriente revocatur Belisarius ad expeditionem Vandalicam. Sittas illi succedit. Persae Martyropolin obsident. Exploratore Persa corrupto utitur Iustinianus. Cabadis Persarum regis testamentum et obitus. Praeterito Caose natu maximo, Chosroes rex declaratur, opera Mebodis. Obsidione Martyropolis liberatur.* (21.) *Legati Romani ad Chosroem. Pacis conditiones. Quid centenarium. Turbatur pacificatio. Rufini apud Chosroem gratia. Pax demum componitur.* (22.) *Ingenium Chosrois. Facta in eum coniuratio funesta suis auctoribus. Mira Cabadis pueri fortuna. Adergudunbadis infelix benignitas. Mebodis indigna mors. Quanta calamitas sedentium iussu regis in tripode ferreo.* (23.) *Seditio Byzantina. Insania factionum Circi. Seditionis initium. Triste incendium. Seditiosorum tessera νίκα, quae vox in nomen transiit seditionis illius. Ioannes Cappadox Praefectus Praet. et Tribunianus Quaestor, qui viri. Iis suffecti Phocas et Basilides. Hypatius per vim a populo fit imperator. Origenis senatoris oratio. Ducitur in Circum Hypatius. Fugam dissuadet Theodora Aug. generosissima oratione. Belisarius et Mundus ad Circum armati vadunt. Caeduntur civium* XXX. M. *Hypatius et Pompeius confossi proiiciuntur in mare.* (24.) *Quaesturam recipit Tribunianus; Praefecturam Ioannes Cappadox, qui decimo magistratus anno poenas improbitatis dedit. Ad annum illum auctor transilit, et insidias narrat ab Antonina Ioanni structas post reditum Belisarii e bello Gotthico. Exutus Ioannes Praefectura fit sacerdos invite et Petri nomen induit. Ascribitur illi caedes Eusebii Episcopi. Summa eius calamitas.* (25.) *Redit Procopius ad tempus compressae seditionis. Belisarius iterum magister militum per Orientem, missus in Africam debellat Vandalos. Legatio Persarum in speciem gratulatoria. Darae Ioannes tyrannus e medio tollitur.* (26.)

α'. Προκόπιος Καισαρεὺς τοὺς πολέμους ξυνέγραψεν, οὓς
Ἰουστινιανὸς ὁ Ῥωμαίων βασιλεὺς πρὸς βαρβάρους διήνεγκε τούς
τε ἑῴους καὶ ἑσπερίους, ὥς πη αὐτῶν ἑκάστῳ ξυνηνέχθη γενέ-
P 6 σθαι, ὡς μὴ ἔργα ὑπερμεγέθη ὁ μέγας αἰὼν λόγου ἔρημα χειρω-
σάμενος τῇ τε λήθῃ αὐτὰ καταπρόηται καὶ παντάπασιν ἐξίτηλα
θῆται, ὧνπερ τὴν μνήμην αὐτὸς ᾤετο μέγα τι ἔσεσθαι καὶ ξυνοῖ-
σον ἐς τὰ μάλιστα τοῖς τε νῦν οὖσι καὶ τοῖς ἐς τὸ ἔπειτα γενησο-
μένοις, εἴ ποτε καὶ αὖθις ὁ χρόνος ἐς ὁμοίαν τινὰ τοὺς ἀνθρώ-
πους ἀνάγκην διωθοῖτο. τοῖς τε γὰρ πολεμησείουσι καὶ ἄλλως
ἀγωνιουμένοις ὄνησίν τινα ἐκπορίζεσθαι οἵα τέ ἐστιν ἡ τῆς ἐμφε-
ροῦς ἱστορίας ἐπίδειξις, ἀποκαλύπτουσα μὲν ὅπη ποτὲ τοῖς προ-
γεγενημένοις τὰ τῆς ὁμοίας ἀγωνίας ἐχώρησεν, αἰνισσομένη δὲ
ὁποίαν τινὰ τελευτὴν τοῖς γε ὡς ἄριστα βουλευομένοις τὰ παρόν-
B τα, ὡς τὸ εἰκὸς, ἕξει. καί οἱ αὐτῷ ξυνηπίστατο πάντων μάλι-
V 226 στα δυνατὸς ὢν τάδε ξυγγράψαι κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ αὐ-
τῷ ξυμβούλῳ ᾑρημένῳ Βελισαρίῳ τῷ στρατηγῷ σχεδόν τι ἅπα-
σι παραγενέσθαι τοῖς πεπραγμένοις ξυνέπεσε. πρέπειν τε ἡγεῖτο
ῥητορικῇ μὲν δεινότητα, ποιητικῇ δὲ μυθοποιίαν, ξυγγραφῇ δὲ
ἀλήθειαν. ταῦτά τοι οὐδέ του τῶν οἱ ἐς ἄγαν ἐπιτηδείων τὰ
μοχθηρὰ ἀπεκρύψατο, ἀλλὰ τὰ πᾶσι ξυνενεχθέντα ἕκαστα

3. ἑκάστῳ] ἑκάστοις A. 4. ὁ addidi ex A. 6. τὴν μνήμην] τῇ μνήμῃ P. τὴν φήμην (γρ. μνήμην) A. 7. ἐς τὸ A. εἰς τὸ P. 9. διωθοῖτο L. διωθεῖτο Lm. διάθοιτο P. 11. ὅπη] ὅποι A. 13. βουλευομένοις] βουλομένοις A. 15. ξυγγράψαι] ξυνῆ γράψαι A. 18. Alterum δὲ add. A. 19. του τῶν] τούτων H. που τῶν A. τῶν P.

1. Procopius Caesariensis bella, quae cum Orientalibus et ad Occasum positis Barbaris gesta sunt a Iustiniano Romanorum Imperatore, singulatim, ut se res habuerunt, conscripsit: ne postquam facta ingentia longinquum aevum occupaverit nuda praesidio literarum, ea tradat oblivioni, ac plane deleat. Quorum ille memoriam magni fore momenti duxit, et summe tum aetati huic profuturam, tum posteritati; si quid unquam agendum erit iam actis simile. Nam et ii, quos capit libido belli, et in primis qui praelia meditantur, historia eius generis ante oculos posita iuvari possunt; quae dum exitus demonstrat, qui superioribus contigerunt in pari discrimine, simul rerum instantium probabiles eventus indicat optime considerantibus. Illud vero sciebat Author, condendae huic Historiae idoneum se esse maxime omnium; ob aliud certe nihil, nisi quia, cum a consiliis fuerit Belisario Duci, quidquid fere gestum est vidit. Hoc etiam persuasum habuit, arti Oratoriae convenire eloquentiam; Poeticae fabularum figmenta; Historiae veritatem. Quare ne amicissimorum quidem peccata

ἀκριβολογησάμενος ἀνεγράψατο, εἴτε εὖ εἴτε πη ἄλλῃ αὐτοῖς εἰργάσθαι ξυνέβη.

Κρεῖσσον δὲ οὐδὲν ἢ ἰσχυρότερον τῶν ἐν τοῖσδε τοῖς πολέμοις τετυχηκότων τῷ γε ὡς ἀληθῶς τεκμηριοῦσθαι βουλομένῳ φανήσεται. πέπρακται γὰρ ἐν τούτοις μάλιστα πάντων ὧν ἀκοῇ ἴσμεν θαυμαστὰ οἷα, ἢν μή τις τῶν τάδε ἀναλεγομένων τῷ παλαιῷ C *χρόνῳ τὰ πρεσβεῖα διδοίη καὶ τὰ καθ' αὑτὸν οὐκ ἀξιοίη θαυμαστὰ οἴεσθαι, ὥσπερ οὖν ἀμέλει τοὺς μὲν νῦν στρατευομένους ἔνιοι καλοῦσι τοξότας, ἀγχεμάχους δὲ καὶ ἀσπιδιώτας καὶ τοιαῦτα ἄττα ὀνόματα τοῖς παλαιοτάτοις ἐθέλουσι νέμειν, ταύτην τε τὴν ἀρετὴν ἐς τοῦτον ἐληλυθέναι τὸν χρόνον ἥκιστα οἴονται, ἀταλαίπωρόν γε καὶ τῆς πείρας ἀπωτάτω τὴν περὶ αὐτῶν ποιούμενοι δόξαν. οὐ γάρ τις πώποτε αὐτοῖς ἔννοια γέγονεν ὅτι δὴ τοῖς μὲν παρ' Ὁμήρῳ τοξεύουσιν, οἷσπερ καὶ ὑβρίζεσθαι ἀπὸ τῆς τέχνης ὀνομαζομένοις ξυνέβαινεν, οὐχ ἵππος ὑπῆν, οὐ δόρυ, οὐκ ἀσπὶς ἤμυνεν, οὐκ ἄλλο οὐδὲν τοῦ σώματος φυλακτήριον ἦν,* D *ἀλλὰ πεζοὶ μὲν ἐς μάχην ᾔεσαν, ἀποκεκρύφθαι δὲ αὐτοῖς ἦν ἀναγκαῖον, ἑταίρου του ἐκλεγομένοις ἀσπίδα, ἢ στήλῃ ἐπὶ τύμβῳ τινὶ κεκλιμένοις, ἔνθα οὔτε τρεπόμενοι διασώζεσθαι οὔτε φεύ-*

1. *ἀκριβολογησάμενος* A. *ἀκριβολογούμενος* P. *ibid.* „*ἀνεγράψατο* Reg." MALT. *ξυνεγράψατο* P. *ibid.* *εἰργάσθαι*] *εἰργάσασθαι* A. 5. *φανήσεται*] *φανήσεσθαι* A, *φανήσεται* a m. rec. 7. *καθ' αὑτὸν* A. *κατ' αὐτὸν* P. 15. *ὀνομαζομένοις*] *ὀνομαζομένης* A, *οις* a corr. 17. *ἀλλὰ* —] Cum his et sequentibus Maltretus comparat Iliad. ε, 192. θ, 267. λ, 871. δ, 123. λ, 390. 18. „*ἑταίρου* Reg." MALT. *ἑτέρου* P. *ibid.* *στήλῃ*] *στήλην* A. 19. *οὔτε — οὔτε*] *οὐδὲ — οὐδὲ* P.

texit; sed cuiusque actus, pravos iuxta atque honestos, quam potuit accuratissime literis prodidit.

Quod attinet ad facinora armis edita in hisce bellis, quicunque illa velet exigere ad veritatem, nihil usquam praestantius, nihil fortius reperiet. Ea sane patrata sunt, quibus omnia, quae fama accepimus, admirabilitate concedant. Nisi forte eorum, qui haec legunt, malit quis honorarium deferre antiquitati, nec res aetate sua gestas dignetur ulla admiratione. Enimvero non desunt, qui huius aevi bellatores per contemptum *Sagittarios* vocitent: priscis autem grandia quaedam attribuant *Pugnantum cominus*, *Scutatorum*, aliaque id genus nomina; sic, ut bellicam illam intercidisse vim, neque ad nos pervenisse censeant, rudes omnino et inexperti eiuscemodi rerum aestimatores. Profecto nunquam adverterunt sagittariis Homericis, quibus artis suae nomen opprobrio vertebatur, non equum, non hastam, non scutum, nullum denique corporis munimentum fuisse; at in certamen venisse pedibus, et necesse habuisse delitescere optando sibi praesidium post clypeum commilitonis, vel ad cippum adnitendo supra sepulchrum: ubi nec fuga evadere, nec

γουσι τοῖς πολεμίοις ἐπιτίθεσθαι οἷοί τε ἦσαν, οὐ μὴν οὐδὲ ἀπὸ
τοῦ ἐμφανοῦς διαμάχεσθαι, ἀλλά τι κλέπτειν ἐδόκουν ἀεὶ τῶν ἐν
τῇ ξυμβολῇ γινομένων. ἄνευ δὲ τούτων οὕτως ἀταλαιπώρως
H 2 ἐχρῶντο τῇ τέχνῃ, ὥστε πελάσαντες τῷ σφετέρῳ μαζῷ τὴν νευ-
ρὰν εἶτα τὸ βέλος ἠφίεσαν κωφόν τε καὶ οὐτιδανὸν εἰκότως τοῖς
δεχομένοις ἐσόμενον. τοιαύτη μέν τις οὖσα ἡ τοξεία φαίνεται
πρότερον.

P 7 Οἱ δέ γε τανῦν τοξόται ἴασι μὲν ἐς μάχην τεθωρακισμένοι
τε καὶ κνημῖδας ἐναρμοσάμενοι μέχρι ἐς γόνυ. ἤρτηται δὲ αὐτοῖς
ἀπὸ μὲν τῆς δεξιᾶς πλευρᾶς τὰ βέλη, ἀπὸ δὲ τῆς ἑτέρας τὸ ξί-
φος. εἰσὶ δὲ οἷς καὶ δόρυ προσαποκρέμαται καὶ βραχεῖά τις ἐπὶ
τῶν ὤμων ἀσπὶς ὀχάνου χωρὶς, οἷα τά τε ἀμφὶ τὸ πρόσωπον
καὶ τὸν αὐχένα ἐπικαλύπτειν. ἱππεύονται δὲ ὡς ἄριστα καὶ θέον-
τος αὐτοῖς ὡς τάχιστα τοῦ ἵππου τὰ τόξα τε οὐ χαλεπῶς ἐντεί-
νειν οἷοί τέ εἰσιν ἐφ᾽ ἑκάτερα καὶ διώκοντάς τε βάλλειν τοὺς πο-
λεμίους καὶ φεύγοντας. ἕλκεται δὲ αὐτοῖς κατὰ τὸ μέτωπον ἡ
B νευρὰ, παρ᾽ αὐτὸ μάλιστα τῶν ὤτων τὸ δεξιὸν, τοσαύτης ἀλκῆς
ἐμπιπλῶσα τὸ βέλος, ὥστε τὸν ἀεὶ παραπίπτοντα κτείνειν, οὔτε
ἀσπίδος ἴσως οὔτε θώρακος ἀποκρούεσθαί τι δυναμένου τῆς ῥύ-
μης. εἰσὶ δὲ οἳ τούτων ἥκιστα ἐνθυμούμενοι σέβονται μὲν καὶ
τεθήπασι τὸν παλαιὸν χρόνον, οὐδὲν δὲ ταῖς ἐπιτεχνήσεσι δι-

2. ἀλλά τι] ἀλλὰ τὸ A. 5. ἠφίεσαν] ἀφίεσαν A. 8. ἴασι] ἴασιν A. 9. μέχρι A. μέχρις P. 12. οἷα] οἷα P. 13. τὸν om. A. 18. ἐμπιπλῶσα A. ἐμπιπλᾶσα P. ibid. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

vertentibus terga hostibus instare poterant. Non illi ex aperto pugnare; sed eorum, quae in praelio fierent, aliquid furtim sublegere semper videbantur. Praeterea in usu artis suae adeo inertes erant, ut admoto ad mammam nervo sagittam impellerent languidam, et merito ab iis ipsis, quos attingebat, deridendam ut futilem. Ita quidem veteres artem sagittariam exercebant.

Hodie vero qui arcu militant, ad pugnam procedunt loricati, et ocreis ad genu usque pertinentibus muniti. Aptas e latere dextro sagittas habent, e sinistro gladium: hastile etiam appensum nonnulli gestant, et scutulum nulla instructum ansa, ad humeros habile, quo vultum et collum tegant. Commode equitant, et quam celerrime currente equo sagittas expedite missitant utroque versum, hostemque insequentem aeque feriunt ac fugientem. Caeterum elato ad frontem arcu, nervum retorquent ad aurem pene usque dexteram: isque vim tantam incutit sagittae, ut haec obvio cuique certum exitium afferat; nihil utique ad repellendum impetum conferentibus nec clypeo nec lorica. Sunt tamen qui his minime perpensis antiquitatem unam venerentur ac stupeant, neque in

δόασι πλέον. ἀλλὰ τούτων οὐδὲν κωλύσει μὴ οὐχὶ μέγιστά τε καὶ ἀξιολογώτατα ἐν τοῖσδε τοῖς πολέμοις ξυμβῆναι. λελέξεται δὲ πρῶτον ἀρξαμένοις μικρὸν ἄνωθεν ὅσα Ῥωμαίοις ξυνηνέχθη καὶ Μήδοις πολεμοῦσι παθεῖν τε καὶ δρᾶσαι.

β'. Ἡνίκα τὸν βίον Ἀρκάδιος ὁ Ῥωμαίων βασιλεὺς ἐν Βυ- C
ζαντίῳ τελευτᾶν ἤμελλεν (ἦν γάρ οἱ παῖς Θεοδόσιος οὔπω τοῦ
τιτθοῦ ἀπαλλαγεὶς), διηπορεῖτο ἀμφί τε τῷ παιδὶ καὶ τῇ βασι- V 227
λείᾳ, εὖ θεσθαι ἄμφω ὡς ἥκιστα ἔχων. ἐγίνετο γάρ τις αὐτῷ
ἔννοια, ὡς, ἢν μὲν κοινωνόν τινα Θεοδοσίῳ τῆς ἡγεμονίας πορί-
ζηται, αὐτὸς ἂν τὸν παῖδα τὸν αὐτοῦ διαχρησάμενος τῷ ἔργῳ
εἴη, πολέμιον αὐτῷ δύναμιν τὴν βασίλειον περιβεβλημένον ἐπα-
γαγών, ἢν δὲ μόνον αὐτὸν ἐπὶ τῆς ἀρχῆς καταστήσηται, πολλοὶ D
μὲν ἐπὶ τῆς βασιλείας ἐπιβατεύσουσι, τῆς τοῦ παιδὸς ἐρημίας,
ὡς τὸ εἰκὸς, ἀπολαύοντες, ἐπαναστάντες δὲ πόνῳ οὐδενὶ τυραν-
νήσουσι, τὸν Θεοδόσιον διαφθείραντες, ἐπεὶ οὐδένα ἐν Βυζαν-
τίῳ ξυγγενῆ εἶχεν, ὅς γ' ἂν αὐτῷ ἐπίτροπος εἴη. Ὀνώριον γάρ
οἱ τὸν θεῖον ἐπαρκέσειν οὐδαμῇ ἤλπισε, πονηρῶν ἤδη τῶν Ἰτα-
λίας πραγμάτων ὄντων. οὐδὲν δὲ ἧσσον καὶ τὰ ἐκ Μήδων αὐτὸν
ξυνετάρασσε, δεδιότα μὴ οἱ βάρβαροι οὗτοι τῆς τοῦ αὐτοκράτο- P 8
ρος καταθέοντες ἡλικίας ἀνήκεστα ἔργα Ῥωμαίους δράσωσιν. ἐς
ταύτην Ἀρκάδιος τὴν ἀμηχανίαν ἐμπεπτωκώς, καίπερ οὐ γεγονὼς

10. αὐτοῦ] αὐτοῦ P. 18. μήδων A. μήδου P. 20. ῥωμαίους A. ῥωμαίοις P.

pretio maiori habeant novas accessiones industriae. Nihilominus hoc manebit, res in his bellis amplissimas et cum primis memorabiles effectas fuisse. Nunc priorem locum dabimus bello, quod Romanos inter ac Medos fuit, variamque eius fortunam, offensiones et victorias prosequemur, ubi rem paulo altius repetierimus.

2. Byzantii cum Arcadius Augustus in extremis ageret, Theodosii filii sui nondum amoti ab ubere et Imperii vicem sollicitus, quid testamento decerneret, quo bene cautum utrique esset, nesciebat. Etenim veniebat in mentem vereri, ne si Theodosio principatus consortem daret, filio ipse suo conflaret exitium, hostem illi inducendo suprema potestate septum: sin eum solum scriberet Imperatorem, multi (quod proclive videbatur) capta opportunitate solitudinis pueri affectarent regnum, et oppresso rebellione Theodosio tyrannidem nullo negotio occuparent; maxime cum Byzantii nemo adesset propinquorum, in cuius tutelam tradi posset. Neque enim spes erat laturum ipsi opem Honorium patruum, difficillimis Italiae rebus impeditum. Nec minus illum conturbabat impendens a Medis timor; cum metueret ne suis hi Barbari incursionibus, dum per teneram Imperatoris aetatem liceret impune, Romanos attererent. Has in angustias adductus Arcadius, vir caetera haud adeo sa-

ἐς τἆλλα ἀγχίνους, βουλεύεται βουλὴν, ἥτις οἱ τόν τε παῖδα καὶ τὴν ἀρχὴν διασώσασθαι εὐπετῶς ἴσχυσεν, εἴτε κοινολογησάμενος τῶν λογίων τισὶν, οἷοι πολλοὶ βασιλείοις παρεδρεύειν εἰώθασιν, ἢ θείας τινὸς ἐπιπνοίας αὐτῷ γενομένης. διαθήκης γὰρ διαθεὶς γράμματα, διάδοχον μὲν τῆς ἡγεμονίας ἀνεῖπε τὸν παῖδα, ἐπίτροπον δὲ αὐτῷ κατεστήσατο Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα, ᾧ δὴ πολλὰ ἐν ταῖς διαθήκαις ἐπέσκηψε, Θεοδοσίῳ τὴν B βασιλείαν σθένει τε καὶ προνοίᾳ πάσῃ συνδιασώσασθαι. Ἀρκάδιος μὲν ὧδε τήν τε ἀρχὴν καὶ τὰ οἰκεῖα διοικησάμενος ἐτελεύτησεν· Ἰσδιγέρδης δὲ ὁ Περσῶν βασιλεὺς, ἐπεὶ τὸ γράμμα τοῦτο ἀπενεχθὲν εἶδεν, ὢν καὶ πρότερον ἐπὶ τρόπου μεγαλοφροσύνῃ διαβόητος ἐς τὰ μάλιστα, ἀρετὴν ἐπεδείξατο θαύματός τε πολλοῦ καὶ λόγου ἀξίαν. τὰς γὰρ Ἀρκαδίου ἐντολὰς ἐν ἀλογίᾳ οὐδεμιᾷ ποιησάμενος εἰρήνῃ τε ἀφθόνῳ χρώμενος διαγέγονεν ἐς Ῥωμαίους τὸν πάντα χρόνον καὶ Θεοδοσίῳ τὴν ἀρχὴν διεσώσατο. αὐτίκα γοῦν πρὸς Ῥωμαίων τὴν βουλὴν γράμματα ἔγραψεν, ἐπίτροπός τε οὐκ ἀπαρνούμενος Θεοδοσίου βασιλέως εἶναι καὶ πόλε- C μον ἐπανατεινάμενος, ἤν τις αὐτῷ ἐς ἐπιβουλὴν ἐγχειροίη καθίστασθαι.

Ἐπεὶ δὲ Θεοδόσιος μὲν ἀνήρ τε ἐγεγόνει καὶ ἡλικίας πόρρω ἀφῖκτο, Ἰσδιγέρδης δὲ νοσήσας ἐξ ἀνθρώπων ἠφάνιστο, ἐπῆλθεν μὲν ἐς Ῥωμαίων τὴν γῆν Οὐαραράνης ὁ Περσῶν βασιλεὺς

1. βουλὴν L. βουλῇ P. 3. βασιλείοις A. βασιλεῖ P. 6. τὸν] τῶν P. 18. ἐπανατεινάμενος] ἐπανατεινόμενος A correctus. 21. ἐπῆλθεν — ἄχαρι] ὁ Περσῶν βασιλεὺς εἰσῆλθεν εἰς τὴν Ῥωμαίων γῆν, οὐδὲν δὲ ἔδρασεν ἄχαρι, Suidas s. v. ἄχαρι.

gaci ingenio, viam iniit filio atque Imperio saluberrimam, sive tum egerit cum prudentibus viris (quales multi assidere et a consiliis esse Imperatori solent) sive divino quodam actus instinctu fuerit. Conscripto enim testamento, haeredem Imperii filium, huius tutorem instituit Isdigerdem Regem Persarum. Supremis tabulis obsecrationem inseruit, cum enixe rogans, ut ad Imperium Theodosio asserendum potentiam suam omnem providentiamque conferret. Hunc in modum Arcadius et publicis et domesticis rebus compositis, e vita migravit. Rex autem Persarum Isdigerdes magnitudine animi iam ante clarissimus, cum oblatas sibi tabulas legisset, virtutis exemplum edidit mirum valde ac memorandum. Mandata enim Arcadii minime aspernatus, Romanos, quandiu vixit, pace beavit altissima, et imperium Theodosio conservavit, siquidem per literas ad Senatum Romanum extemplo datas, Theodosii Augusti tutelam agnovit, bellumque iam tum intentavit, si quid novi in ipsum quispiam attentaret.

Maior evaserat, et adulta aetate erat Theodosius, Isdigerdes autem morbo obierat, quando Vararanes Persarum Rex cum ingenti exercitu in

στρατῷ μεγάλῳ, ἔδρασε δὲ οὐδὲν ἄχαρι, ἀλλ' ἄπρακτος ἐπανῆλθεν εἰς τὰ οἰκεῖα τρόπῳ τοιῷδε. Ἀνατόλιον τὸν τῆς ἕω στρατηγὸν Θεοδόσιος ὁ βασιλεὺς πρεσβευτὴν ἐς Πέρσας μόνον αὐτὸν ἐτύγχανε πέμψας· ὃς ἐπεὶ ἄγχιστα ἐγεγόνει τοῦ Μήδων στρατοῦ, H 3 ἀποθρώσκει μὲν τοῦ ἵππου μόνος, πεζῇ δὲ βαδίζων ἐπὶ Οὐαραράνην ᾔει. καὶ αὐτὸν Οὐαραράνης ἰδὼν τῶν παρόντων ἀνεπυν- D θάνετο ὅστις ποτὲ ὁ προσιὼν εἴη. οἱ δὲ τῶν Ῥωμαίων εἶναι στρατηγὸν ἔφασαν. καταπλαγεὶς οὖν τῷ ὑπερβάλλοντι τῆς τιμῆς ὁ βασιλεὺς οὕτω στρέψας τὸν ἵππον ὀπίσω ἀπήλαυνε, καί οἱ ἅπας ὁ τῶν Περσῶν λεὼς εἵπετο. γενόμενος δὲ ἐν τῇ οἰκείᾳ γῇ τόν τε πρεσβευτὴν ξὺν φιλοφροσύνῃ πολλῇ εἶδε καὶ τὴν εἰρήνην ξυνεχώρησεν οὕτως, ὥσπερ Ἀνατόλιος πρὸς αὐτοῦ ἔχρῃζεν, ἐφ' ᾧ μέντοι μηδέτεροι ἐν χωρίῳ οἰκείῳ ἐν γειτόνων τοῖς τῶν ἑτέρων ὁρίοις ὄντι ὀχύρωμα νεώτερόν τι ἐργάζονται. οὗ δὴ αὐτοῖς ἐξειργασμένου ἑκάτεροι τὰ οἰκεῖα ὅπῃ ἐβούλοντο ἔπρασσον.

γ'. Χρόνῳ δὲ ὕστερον Περόζης ὁ Περσῶν βασιλεὺς πρὸς P 9 V 228 τὸ Οὔννων τῶν Ἐφθαλιτῶν ἔθνος, οὕσπερ λευκοὺς ὀνομάζουσι, πόλεμον περὶ γῆς ὁρίων διέφερε, λόγου δὲ ἄξιον στρατὸν ἀγείρας ἐπ' αὐτοὺς ᾔει. Ἐφθαλῖται δὲ Οὐννικὸν μὲν ἔθνος εἰσί τε καὶ ὀνομάζονται, οὐ μέντοι ἀναμίγνυνται ἢ ἐπιχωριάζουσιν Οὔννων

17. „Ἐφθαλιτῶν] In fragmento Procopiano Andreae Schotti legitur *Νεφθαλιτῶν*. Utra lectio praeferenda sit, ex iis, quae dicam alibi, intelligetur." MALT. Utriusque scripturae testes indicavit Kanngiesserus. Vide Photii Excerpta infra p. 81 b. c. 19. Ἐφθαλῖται] *Εφθαλῖται* P hic et infra.

fines Romanorum irrupit. Verum innoxius reque infecta sese domum recepit: quod ita accidit. Anatolius militum per Orientem magister, quem unum Theodosius Aug. legatum ad Persas proficisci iusserat, cum proxime eorum exercitum venisset, ex equo desiluit, et pedibus ire solus perrexit ad Vararanem. Hic hominem conspicatus, ex astantibus scitari, quis ille qui sic accederet? Tum ii, Magistrum esse illum militiae Romanae dixerunt. Percussit Regem eximia observantia, impulitque ut flexum illico equum retro concitaret, Persis sequentibus universis. Ubi pedem in solo posuit suae ditionis, tum demum perhumaniter ad conspectum suum admisit oratorem, et pacem ea conditione, qua Anatolius petebat, concessit, ut neutra gens in suo solo prope fines alterius novam ullam munitionem extrueret. Quo rite praestito, liberum in utroque Imperio cursum res habuere.

3. Post haec Rex Persarum Perozes cum Ephthalitis Hunnis, quos Albos vocant, de regni finibus aggressus bello contendere, exercitum contra illos florentem duxit. Porro Ephthalitae et genus et nomen Hunnorum participant; licet cum Hunnis, quos novimus, nullum ipsis com-

τισὶν ὧν ἡμεῖς ἴσμεν, ἐπεὶ οὔτε χώραν αὐτοῖς ὅμορον ἔχουσιν οὔτε πη αὐτῶν ἄγχιστα ᾤκηνται, ἀλλὰ προσοικοῦσι μὲν Πέρσαις πρὸς βορρᾶν ἄνεμον, οὗ δὴ πόλις Γοργὼ ὄνομα πρὸς αὐταῖς που
B ταῖς Περσῶν ἐσχατιαῖς ἐστιν, ἐνταῦθά δὲ περὶ γῆς ὁρίων διαμάχεσθαι πρὸς ἀλλήλους εἰώθασιν. οὐ γὰρ νομάδες εἰσὶν ὥσπερ τὰ ἄλλα Οὐννικὰ ἔθνη, ἀλλ᾽ ἐπὶ χώρας ἀγαθῆς τινος ἐκ παλαιοῦ ἵδρυνται. ταῦτά τοι οὐδέ τινα ἐσβολὴν πεποίηνται πώποτε ἐς Ῥωμαίων τὴν γῆν, ὅτι μὴ ξὺν τῷ Μήδων στρατῷ. μόνοι δὲ Οὔννων οὗτοι λευκοί τε τὰ σώματα καὶ οὐκ ἄμορφοι τὰς ὄψεις εἰσίν. οὐ μὴν οὔτε τὴν δίαιταν ὁμοιότροπον αὐτοῖς ἔχουσιν οὔτε
C θηρίων βίον τινὰ ἧπερ ἐκεῖνοι ζῶσιν, ἀλλὰ καὶ πρὸς βασιλέως ἑνὸς ἄρχονται καὶ πολιτείαν ἔννομον ἔχοντες πρὸς ἀλλήλους τε καὶ τοὺς πέλας ὀρθῶς καὶ δικαίως ξυμβάλλουσι, Ῥωμαίων τε καὶ πάντων οὐδέν τι ἧσσον. οἱ μέντοι εὐδαίμονες αὐτοῖς φίλους ἑταιρίζονται ἄχρι ἐς εἴκοσιν, ἂν οὕτω τύχῃ, ἢ τούτων πλείους, οἵπερ αὐτοῖς ξυμπόται μὲν ἐς ἀεὶ γίνονται, τῶν δὲ χρημάτων μετέχουσι πάντων, κοινῆς τινος ἐξουσίας αὐτοῖς ἐς ταῦτα οὔσης. ἐπειδὰν δὲ τῷ αὐτοὺς ἑταιρισαμένῳ τελευτῆσαι ξυμβαίη, τούτους δὴ τοὺς
D ἄνδρας ζῶντας ξὺν αὐτῷ ἐς τὸν τάφον ἐσκομίζεσθαι νόμος.

Ἐπὶ τούτους τοὺς Ἐφθαλίτας τῷ Περόζῃ πορευομένῳ ξυμπαρῆν πρεσβευτής, ὃς δὴ ἔτυχε πρὸς βασιλέως Ζήνωνος παρ᾽ αὐ-

1. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. ibid. αὐτοῖς A. αὐτῶν P. 10. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 11. θηρίων] θηρίον A. 12. τοὺς πέλας] τοῖς πέλας ἀεὶ A correctus. 15. τύχῃ A correctus. τύχοι P.

mercium intercedat. Haud enim eorum confines sunt neque accolae; sed Persarum, a Septentrione: ubi est Gorgo, urbs ad oram sita extremam Persidis. Hic de limitibus certare inter se solent. Nec vero vagantur Ephthalitae palanturve caeterorum more Hunnorum; sed fixas iam inde antiquitus in regione benigna sedes retinent, ita quidem ut nunquam nisi una cum Medis in Romanam ditionem irruperint. Ex Hunnis hi soli corpora cute candida et vultus habent minime deformes. Longe etiam diversis moribus vivunt. Non enim vitam, ut illi, ferinam agunt; sed Regi uni parent, ac sub politicis legibus, inter se et cum vicinis ex aequo et bono contrahunt, nec minori sane cum laude quam Romani et quaevis aliae nationes. Opulentissimi quique amicos adiungunt sibi vicenos, aut, si fors tulerit, etiam plures, quos semper habent convivas, omniumque facultatum suarum participes, dato singulis communi quodam in eas iure. At ubi fato concessit qui illos sibi sodales asciverat, obtinuit consuetudo, ut ipsi adhuc vitae pleni in tumulum cum mortuo inferantur.

Petentem Ephthalitas Perozem secutus est Eusebius Zenonis Augusti apud eum Legatus. At illi simulata fuga, quasi hostium adventu ter-

τὸν ἐσταλμένος, Εὐσέβιος ὄνομα. Ἐφθαλῖται δὲ δόκησιν παρεχόμενοι τοῖς πολεμίοις, ὅτι δὴ αὐτῶν κατωρρωδηκότες τὴν ἔφοδον ἐς φυγὴν ὥρμηνται, ᾔεσαν δρόμῳ ἐς χῶρόν τινα, ὅνπερ ὄρη ἀπότομα πανταχόθεν ἐκύκλουν, συχνοῖς τε καὶ ἀμφιλαφέσιν ἐς ἄγαν καλυπτόμενα δένδροις. ἐντὸς δὲ τῶν ὀρῶν προϊόντι ὡς πορρωτάτω ὁδός μέν τις ἐφαίνετο ἐν μέσῳ εὐρεῖα ἐπὶ πλεῖστον διήκου- P 10
σα, ἔξοδον δὲ τελευτῶσα οὐδαμῆ εἶχεν, ἀλλ' ἐς αὐτὸν μάλιστα τὸν κύκλον τῶν ὀρῶν ἔληγε. Περόζης μὲν οὖν, δόλου παντὸς ἀφροντιστήσας οὐκ ἐννοῶν τε ὡς ἐν γῇ ἀλλοτρίᾳ πορεύοιτο, ἀνεπισκέπτως ἐδίωκε. τῶν δὲ Οὔννων ὀλίγοι μέν τινες ἔμπροσθεν ἔφευγον, οἱ δὲ πλεῖστοι ἐν ταῖς δυσχωρίαις διαλαθόντες κατὰ νώτου ἐγένοντο τοῦ τῶν πολεμίων στρατοῦ, οὔπω τε αὐτοῖς ἐβούλοντο ἔνδηλοι εἶναι, ὅπως δὴ τῆς ἐνέδρας πόρρω χωρήσαντες ἐντός τε τῶν ὀρῶν ἐπὶ πλεῖστον γεγενημένοι μηκέτι ὀπίσω ἀναστρέφειν οἷοί τε ὦσιν. ὧνπερ οἱ Μῆδοι αἰσθόμενοι (ἤδη γάρ καί τι τοῦ κινδύνου ὑπέφηνεν) αὐτοὶ μὲν δέει τῷ ἐκ Περόζου τὰ πα- B
ρόντα σφίσιν ἐν σιωπῇ εἶχον, Εὐσέβιον δὲ πολλὰ ἐλιπάρουν παραίνεσιν ἐς τὸν βασιλέα ποιήσασθαι μακρὰν ἀπολελειμμένον τῶν οἰκείων κακῶν, βουλεύεσθαι μᾶλλον ἢ θρασύνεσθαι οὐκ ἐν δέοντι, καὶ διασκοπεῖσθαι, ἤν τίς ποτε μηχανὴ ἐς σωτηρίαν φέρουσα εἴη. ὁ δὲ Περόζῃ ἐς ὄψιν ἐλθὼν τύχην μὲν τὴν παροῦσαν ὡς ἥκιστα ἀπεκάλυψεν, ἀρξάμενος δὲ μυθοποιίας, λέοντά ποτε τράγῳ ἔφασκεν ἐντυχεῖν δεδεμένῳ τε καὶ μηκωμένῳ ἐπὶ χώρου τινὸς οὐ λίαν ὑψηλοῦ, ἐπὶ θοίνην δὲ αὐτοῦ τὸν λέοντα ἐφιέμενον ὁρμῆσαι V 229

16. ὑπέφηνεν] ὑπέφαινεν A corr. 20. ἐς σωτηρίαν A. εἰς σωτηρίαν P.

riti, cursu quemdam in locum contenderunt, quem undique praerupti montes ac densis opacisque nemoribus vestiti cingebant. Quo quidem penetrantibus via late patebat in medio, quae longissime ducere videbatur: nullum tamen habebat exitum, et ad montium ambitum desinebat. Hic Perozes doli plane omnis securus, nec se in hostili solo iter facere reputans, inexplorato persequebatur Hunnorum manum ante oculos fugientium; interea dum pars multo maxima in aspretis oblitescens imminebat a tergo, nec patere prius volebat, quam illi in insidias tam alte se induissent et in montium impediissent anfractus, ut non possent referre pedem. His Medi cognitis, (iam enim periculi indicium aliquod subortum erat) quo res loco essent, coram Peroze dissimulabant, veriti ne quid gravius decerneret. Enixe autem instabant Eusebio, ut Regem sui ignarum infortunii commoneret, hortareturque ne audaciam adhiberet intempestivam, sed consilium, et expediendae salutis rationem exploraret. Ille Perozem cum adiisset, haud nude rem statim exposuit. Verum orsus a fabula, in hircum aliquando non admodum edito in loco vinctum atque

μὲν ὡς ἁρπάσοντα, ἐμπεσεῖν δὲ ἐς κατώρυχα βαθεῖαν μάλιστα,
C ὁδὸν κυκλοτερῆ ἔχουσαν στενήν τε καὶ οὐ πεπερασμένην, (διέξο-
δον γὰρ οὐδαμῆ εἶχεν) ἣν δὴ οἱ τοῦ τράγου κύριοι ἐξεπίτηδες τε-
H 4 χνησάμενοι ὕπερθεν τῆς κατώρυχος τὸν τράγον τεθείκασι τῷ
λέοντι ποδοστράβην ἐσόμενον. ταῦτα Περόζης ἀκούσας ἐς δέος
ἦλθε μή ποτε Μῆδοι ἐπὶ πονηρῷ τῷ σφετέρῳ τὴν δίωξιν ἐπὶ τοὺς
πολεμίους πεποίηνται. καὶ πρόσω μὲν οὐκέτι ἐχώρει, μένων δὲ
αὐτοῦ τὰ παρόντα ἐν βουλῇ ἐποιεῖτο. Οὖννοι δὲ ἤδη ἑπόμενοι ἐκ
τοῦ ἐμφανοῦς τοῦ χώρου τὴν εἴσοδον ἐν φυλακῇ εἶχον, ὅπως μη-
κέτι οἱ πολέμιοι ὀπίσω ἀπελαύνειν οἷοί τε ὦσι. καὶ οἱ Πέρσαι
D τότε δὴ λαμπρῶς αἰσθόμενοι οὗ ἦσαν κακοῦ ἐν συμφορᾷ ἐποιοῦν-
το τὰ παρόντα σφίσι, διαφεύξεσθαι τὸν κίνδυνον ἐν ἐλπίδι οὐ-
δεμιᾷ τὸ λοιπὸν ἔχοντες. ὁ δὲ τῶν Ἐφθαλιτῶν βασιλεὺς πέμψας
παρὰ Περόζην τῶν οἱ ἑπομένων τινὰς, πολλὰ μὲν αὐτῷ θράσους
πέρι ἀλογίστου ὠνείδισεν, ἀφ᾽ οὗ δὴ αὐτόν τε καὶ τὸ Περσῶν
γένος κόσμῳ οὐδενὶ διαφθείρειεν, ἐνδώσειν δὲ καὶ ὣς τὴν σωτη-
ρίαν Οὔννους αὐτοῖς ἐπηγγέλλετο, ἤν γε αὐτόν τε Περόζης προσ-
κυνεῖν βούλοιτο ἅτε δεσπότην γεγενημένον καὶ ὅρκους τοὺς σφίσι
πατρίους ὀμνὺς τὰ πιστὰ δοίη, μή ποτε Πέρσας ἐπὶ τὸ Ἐφθαλι-
τῶν ἔθνος στρατεύσεσθαι. ταῦτα ἐπεὶ Περόζης ἤκουσε, μάγων
τοῖς παροῦσι κοινολογησάμενος ἀνεπυνθάνετο εἰ τὰ ἐπαγγελλό-
μενα πρὸς τῶν ἐναντίων ποιητέα εἴη. οἱ δὲ μάγοι ἀπεκρίναντο

12. διαφεύξεσθαι A. διαφεύξασθαι P. 14. θράσους πέρι A corr. περὶ θράσους P. 15. τὸ περσῶν A. τῶν Περσῶν P.

balantem incurrisse leonem dixit, obiectaeque dapis cupidine actum ita quidem insiluisse ut rapturus videretur; in fossam vero decidisse altissimam; quae tramitem certe circumflexum habebat, sed angustum valde nec foras pervium, ut qui ab omni parte careret exitu. Sic nempe ductus consulto fuerat ab hirci dominis, et hic supra scrobem ita locatus, ut leo caperetur. Haec ubi Perozes audiit, vereri coepit ne in perniciem Medi suam ruissent, hostem insequendo. Nec porro perrexit; sed eodem loci temporisque vestigio instituit cum re praesenti deliberare. Ecce autem a tergo Hunni se prodere et ex aperto montis fauces custodire, quo receptum hosti praecluderent. Tum demum Persae in quae mala devenissent perspicere, deplorare praesentem vicem, ac periculi fugam desperare. At Rex Ephthalitarum missis ad Perozem aliquot e suis asseclis, vehementer illi exprobravit inconsideratam audaciam, qua se gentemque suam foede perditum ivisset. Hunnos tamen parsuros promisit, si modo ipse a Peroze tanquam dominus adoraretur, fidemque patrio illorum sacramento authoratam acciperet, nunquam Persas bellum Ephthalitis illaturos. Quibus Perozes auditis, Magos, qui aderant, consulens, num data conditione utendum esset rogavit. Responsum a

τὰ μὲν ἀμφὶ τῷ ὅρκῳ ὅπῃ οἱ βουλομένῳ ἐστὶν αὐτὸν διοικήσασθαι, P 11 ἐς μέντοι τὸ ἕτερον σοφίᾳ περιελθεῖν τὸν πολέμιον. εἶναι γὰρ αὐτοῖς νόμον τὰς τοῦ ἡλίου ἀνατολὰς προσκυνεῖν ἡμέρᾳ ἑκάστῃ. δεήσειν οὖν αὐτὸν τηρήσαντα ἐς τὸ ἀκριβὲς τὸν καιρὸν ξυγγενέσθαι μὲν ἅμα ἡμέρᾳ τῷ τῶν Ἐφθαλιτῶν ἄρχοντι, τετραμμένον δέ που πρὸς ἀνίσχοντα ἥλιον προσκυνεῖν· ταύτῃ γὰρ ἂν ἐς τὸ ἔπειτα τῆς πράξεως τὴν ἀτιμίαν φυγεῖν δύναιτο. Περόζης μὲν οὖν ἀμφί τε τῇ εἰρήνῃ τὰ πιστὰ ἔδωκε καὶ τὸν πολέμιον προσεκύνησε, καθάπερ τῶν μάγων ἡ ὑποθήκη παρήγγελλεν, ἀκραιφνεῖ δὲ τῷ Μήδων στρατῷ παντὶ ἐπ' οἴκου ἀσμένως ἀνεχώρησε.

δ'. Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον ἀλογήσας τὰ ὀμωμοσμένα τίσασθαι Οὔννους τῆς ἐς αὐτὸν ὕβρεως ἤθελε. πάντας οὖν αὐτίκα ἐκ πάσης γῆς Πέρσας τε καὶ ξυμμάχους ἀγείρας ἐπὶ τοὺς Ἐφθαλίτας ἦγε, τῶν παίδων ἕνα Καβάδην ὀνομαζόμενον μόνον ἀπολιπὼν (τηνικαῦτα γὰρ ἡβηκὼς ἔτυχε), τοὺς δὲ λοιποὺς ἅπαντας ἐπαγόμενος τριάκοντα μάλιστα. Ἐφθαλῖται δὲ αὐτοῦ τὴν ἔφοδον γνόντες, ἀχθόμενοί τε οἷς δὴ πρὸς τῶν πολεμίων ἠπάτηντο, τὸν βασιλέα ἐκάκιζον, ἅτε προέμενον Μήδοις τὰ πράγματα. καὶ B ὃς αὐτῶν ξὺν γέλωτι ἐπυνθάνετο τί ποτε ἄρα σφῶν προέμενος εἴη, πότερον τὴν γῆν ἢ τὰ ὅπλα ἢ ἄλλο τι τῶν πάντων χρημάτων. οἱ δὲ ὑπολαβόντες οὐκ ἄλλο οὐδὲν πλήν γε δὴ ὅτι τὸν καιρὸν ἔφασαν, οὗ τἄλλα πάντα ἠρτῆσθαι ξυμβαίνει. οἱ μὲν οὖν τοῖς

4. δεήσειν] δεήσει P. 12. ἀλογήσας A. ἀλογίσας P.

Magis, quod attineret ad iusiurandum, componeret ipse arbitratu suo; quod ad alterum, solerter hostem circumveniret. Mox suggesserunt in patriis esse moribus adorare quotidie solem orientem: itaque oportere, ut tempore diligenter observato, Regem Ephthalitarum prima luce adiret, et ad solem surgentem conversus, hunc adoraret: quo astu ignominiam facti elevare deinde posset atque effugere. Igitur Perozes cum pacis fidem dedit, tum hostem ex Magorum praescripto veneratus est: sic demum laetus exercitum reduxit salvum atque incolumem.

4. Aliquanto post Perozes spreto, quo se obstrinxerat, iuramento, impositam sibi ab Hunnis contumeliam ultum ire decrevit. Quapropter ubi copias undique et Persarum et sociorum collegisset, eas ipse in Ephthalitas duxit cum triginta filiorum suorum grege, uno Cabade, qui nondum ex ephebis excesserat, domi relicto. De illius profectione factis certioribus Ephthalitis, accidit ex eo dolor, quod ab hoste circumscripti fuissent; mox et in Regis vituperationem erupit, cum dicerent eum Medis res patriae prodidisse. Is ad haec ridens ex ipsis quaerere, ecquid tandem cessisset? Utrumne arva, an arma, aut e facultatibus caeteris aliud forte quippiam? At illi occasionem, unde omnia pende-

V 230 ἐπιοῦσιν ὑπαντιάζειν πάσῃ προθυμίᾳ ἠξίουν, ὁ δὲ αὐτοὺς μὲν ἔν
γε τῷ παρόντι ἐκώλυεν. οὔπω γὰρ σαφές τι ἀμφὶ τῇ ἐφόδῳ ἰσχυ-
C ρίζετο γεγονέναι σφίσιν, ἐπεὶ οἱ Πέρσαι ἔτι ἐν γῇ τῇ οἰκείᾳ τυγ-
χάνουσιν ὄντες· μένων δὲ αὐτοῦ ἐποίει τάδε. ἐν τῷ πεδίῳ, ᾗ
ἤμελλον Πέρσαι ἐς τὰ Ἐφθαλιτῶν ἤθη ἐσβάλλειν, χώραν πολλήν
τινα ἐπὶ πλεῖστον ἀποτεμὼν τάφρον εἰργάσατο βαθεῖάν τε καὶ
εὖρους ἱκανῶς ἔχουσαν, ὀλίγον τινὰ ἐν μέσῳ ἀκραιφνῆ χῶρον
ἀπολιπὼν ὅσον ἵππων ὁδῷ ἐπαρκεῖν δέκα. καλάμους τε τῇ τά-
P 12 φρῳ ὕπερθεν ἐπιθεὶς καὶ γῆν ἐπὶ τοὺς καλάμους συναμησάμενος,
ταύτῃ ἐπιπολῆς ἔκρυψεν, Οὔννων τε τῷ ὁμίλῳ ἐπέστελλεν, ἐπει-
δὰν ἐνθένδε ὀπίσω ἀπελαύνειν μέλλωσι, διὰ χώρου τοῦ χέρσου ἐς
ὀλίγους σφᾶς συναγαγόντας σχολαιτέρους ἰέναι, φυλασσομένους
ὅπως μὴ ἐς τὰ ἐσκαμμένα ἐμπίπτοιεν· τοὺς δὲ ἅλας ἄκρου ση-
μείου τοῦ βασιλείου ἀπεκρέμασεν, ἐς οὓς τὸν ὅρκον Περόζης
ὤμοσε πρότερον, ὧν δὴ ἀλογήσας ἐπὶ Οὔννους ἐστράτευσεν. ἕως
μὲν οὖν ἐν τῇ γῇ τῇ σφετέρᾳ τοὺς πολεμίους ἤκουεν εἶναι, ἡσυχῇ
ἔμενεν, ἐπεὶ δὲ αὐτοὺς ἐς Γοργὼ πόλιν ἔμαθεν ἀφικέσθαι πρὸς
τῶν κατασκόπων, ἥπερ ἐν τοῖς ἐσχάτοις Περσῶν ὁρίοις τυγχάνει
B οὖσα, ἐνθένδε τε ἀπαλλαγέντας ὁδοῦ ἐπὶ σφᾶς ἤδη ἰέναι, αὐτὸς
μὲν τῷ πλείονι στρατῷ τῆς τάφρου ἐντὸς ἔμεινεν, ὀλίγους δὲ πέμ-
ψας, ὀφθῆναι μὲν τοῖς ἐναντίοις ἐν τῷ πεδίῳ ἐκέλευε μακρὰν
ἄποθεν, ὀφθέντας δὲ μόνον εἶτα ἀνὰ κράτος φεύγειν ὀπίσω, ἐν

22. ἄποθεν] ἄπωθεν L hic et p. 22, 8.

rent, dimissam fuisse conquesti, nihilominus parabant promptissimis animis hosti occurrere. Sed vetuit in praesentia Rex, affirmans se de irruptione Persarum nihil dum habere explorati, cum adhuc suos se intra limites tenerent. Itaque haud ultra movens, haec praemolitus est. In campo, qua Persae patrias Ephthalitarum sedes ingressuri erant, spatium magnum intercidens, fossam duxit altitudinis latitudinisque ingentis, relicta in medio exigua intercapedine terrae non subactae, quanta sufficeret equis decem, qui frontibus aequatis irent. Impositis deinde calamis, et his supergesta humo foveam obcaecavit, Hunnorum turmae, quae ex ulteriori tractu conversura cursum erat, praecipiens, ut in eo interstitio, quod solidum relinquebatur, densarent ordines lentiusque incederent, ne in fossam prolaberentur. Ipsum etiam e vexilli regii cuspide salem suspendit, per quem Perozes ante iuraverat, et quem modo contemnens, bello Hunnos appetebat. Ergo tandiu Rex Ephthalitarum sese continuit, dum fama fuit hostem agere in suo regno. Simul autem ab exploratoribus didicit, Persas attigisse Gorgo, urbem in extrema Perside positam, iamque illinc profectos petere Ephthalitas; ipse quidem cum parte copiarum maxima cis fossam substitit; paucos vero emittens, iussit in conspectum dare se hostibus procul in campo, mox in fugam

μνήμῃ τὰς αὐτοῦ ἐντολὰς ἀμφὶ τῇ κατώρυχι ἔχοντας, ἡνίκα δὴ αὐτῆς ἄγχιστα ἵκοιντο. οἱ δὲ κατὰ ταῦτα ἐποίουν, καὶ ἐπεὶ τῆς διώρυχος ἀγχοτάτω ἐγένοντο, ἐς ὀλίγους σφᾶς ξυναγαγόντες διέ- H 5 βησαν ἅπαντες καὶ τῷ ἄλλῳ στρατῷ ἀνεμίγνυντο. οἱ δὲ Πέρσαι ξυνιέναι τῆς ἐπιβουλῆς οὐδαμῇ ἔχοντες κατὰ κράτος ἐν πεδίῳ λίαν ὑπτίῳ ἐδίωκον, θυμῷ πολλῷ ἐς τοὺς πολεμίους ἐχόμενοι. ἔς τε γοῦν τὴν τάφρον ἐμπεπτώκασιν ἅπαντες, οὐχ οἱ πρῶτοι μό- C νον, ἀλλὰ καὶ ὅσοι ὄπισθεν εἵποντο. ἅτε γὰρ τὴν δίωξιν ξὺν θυμῷ μεγάλῳ, καθάπερ ἐρρήθη, ποιούμενοι, ὡς ἥκιστα ᾔσθοντο τοῦ κακοῦ, ὡς δὴ ξυντετύχηκε τοῖς ἔμπροσθεν ἰοῦσιν, ἀλλ' ὑπὲρ αὐτοὺς ξὺν τοῖς ἵπποις τε καὶ δόρασιν ἐμπεπτωκότες, ἐκείνους τε, ὡς τὸ εἰκός, ἔκτειναν καὶ αὐτοὶ οὐδέν τι ἧσσον ξυνδιεφθάρησαν. ἐν οἷς καὶ Περόζης ἦν ξὺν παισὶ τοῖς αὐτοῦ ἅπασι. καὶ αὐτὸν μέλλοντα ἐς τὸ βάραθρον τοῦτο ἐμπεσεῖσθαι φασὶ τοῦ τε δεινοῦ ᾐσθῆσθαι καὶ τὸ μάργαρον, ὃ οἱ λευκότατόν τε καὶ μεγέθους ὑπερβολῇ ἔντιμον ἐξ ὠτὸς δεξιοῦ ἀπεκρέματο, ἀφελόντα ῥῖψαι, ὅπως δὴ μή τις αὐτὸ ὀπίσω φοροίη, ἐπεὶ ἀξιοθέατον ὑπερφυῶς ἦν, οἷον οὔπω πρότερον ἑτέρῳ τῳ βασιλεῖ γέγονεν· D ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες. οὐ γὰρ ἂν ἐνταῦθα γενόμενος τοῦ κακοῦ ἄλλου ὁτουοῦν ἐς φροντίδα ἦλθεν, ἀλλ' οἶμαι τό τε οὖς αὐτῷ ἐν τούτῳ ξυγκεκόφθαι τῷ πάθει καὶ τὸ μάργαρον ὅπῃ ποτὲ ἀφανισθῆναι. ὅπερ ὁ Ῥωμαίων βασιλεὺς τότε πρίασθαι πρὸς τῶν Ἐφθαλιτῶν ἐν σπουδῇ ποιησάμενος ἥκιστα ἴσχυσεν. οὐ γὰρ

6. ἐχόμενοι] ἐρχόμενοι A corr. 15. τὸ μάργαρον] ὁ μάργαρος ex Procopio scholion apud Photium Bibl. p. 22. ed. Bekk.

se effuse convertere, memores in primis quae circa foveam mandata haberent, ubi propius accessissent. Neque ea emissarii fefellere. Ut enim fossae appropinquarunt, collecto in arctum agmine transierunt omnes, seque suis admiscuerunt. Interea Persae praecipiti in hostem furore fervidi, per aperta et plana spatia, ubi nullas suspicari insidias poterant, ferebantur. Sed in foveam demum lapsi sunt, non primi modo, sed quicunque etiam sequebantur. Quippe caeco impetu abropti, ut dictum est, praeeuntium casum non ante deprehenderunt, quam super illos cum equis et hastis voluti, certum exitium attulere miseris, neque ipsi effugerunt. In his fuit cum filiis omnibus Perozes, quem ferunt, cum proximus esset barathro, mali aliquid praesagisse, et rarum candore ac magnitudine unionem, quem ex aure dextera suspensum gestabat, proiecisse, ne quis illum deinceps ferret. Erat enim spectatu dignissimus, nec talem quisquam Regum hactenus tulerat. Quae narratio nullam apud me fidem habet. Neque enim Regem tali rerum articulo cogitationem alius mali cuiuspiam suscepisse crediderim; sed aurem ei hac in strage conscissam, et amissum alicubi unionem: quem tum emere ab Ephthalitis frustra sategit Imperator Romanorum. Non enim Barbari

αὐτὸ εὑρέσθαι οἱ βάρβαροι εἶχον, καίπερ πόνῳ πολλῷ τὴν ζήτησιν ποιησάμενοι. φασὶ μέντοι Ἐφθαλίτας εὑραμένους αὐτὸ ὕστερον τῷ Καβάδῃ ἀποδόσθαι. ὅσα δὲ ἀμφὶ τῷ μαργάρῳ τούτῳ Πέρσαι λέγουσιν, εἰπεῖν ἄξιον· ἴσως γὰρ ἄν τῳ καὶ οὐ παντάπασιν ἄπιστος ὁ λόγος δόξειεν εἶναι.

P 13 Λέγουσιν οὖν Πέρσαι εἶναι μὲν ἐν τῷ κτενὶ μάργαρον τοῦτο ἐν θαλάσσῃ, ἣ ἐν Πέρσαις ἐστί, νήχεσθαι δὲ τὸν κτένα τῆς ταύτῃ ἠόνος οὐ πολλῷ ἄποθεν· ἀνεῳγέναι τε αὐτῷ ἄμφω τὰ ὄστρακα, ὧν δὴ κατὰ μέσον τὸ μάργαρον εἱστήκει θέαμα λόγου πολλοῦ ἄξιον. ἄλλο γὰρ αὐτῷ εἰκασθῆναι οἰδαμῇ ἔσχεν οὔτε τῷ μεγέθει οὔτε τῷ κάλλει ἐκ τοῦ παντὸς χρόνου. κύνα δὲ θαλάσσιον ὑπερφυᾶ τε καὶ δεινῶς ἄγριον ἐραστὴν τοῦ θεάματος τούτου γενόμενον ἕπεσθαι κατ' ἴχνος αὐτῷ, οὔτε νύκτα ἀνιέντα οὔτε ἡμέραν, ἀλλὰ καὶ ἡνίκα τροφῆς ἐπιμελεῖσθαι ἀναγκασθείη, ἐνταῦθα μέν
B τι περισκοπεῖσθαι τῶν ἐδωδίμων, εὑρόντα δέ τι καὶ ἀνελόμενον ἐσθίειν μὲν ὅτι τάχιστα, καταλαβόντα δὲ αὐτίκα δὴ μάλα τὸν κτένα θεάματος αὖθις τοῦ ἐρωμένου ἐμπίπλασθαι. καί ποτε τῶν
V 231 τινα γριπέων φασὶ τὰ μὲν ποιούμενα ἐπιδεῖν, ἀποδειλιάσαντα δὲ τὸ θηρίον ἀποκνῆσαι τὸν κίνδυνον, ἔς τε τὸν βασιλέα Περόζην ἅπαντα τὸν λόγον ἀνενεγκεῖν. ἃ δὴ τῷ Περόζῃ ἀκούσαντι πόθον φασὶ τοῦ μαργάρου γενέσθαι μέγαν, πολλαῖς τε ἀπ' αὐτοῦ θωπείαις τὸν ἁσπαλιέα τοῦτον καὶ ἀγαθῶν ἐλπίσιν ἐπᾶραι. ὅν

2. ὕστερον Niebuhrius. Legebatur ἕτερον. 8. ἠόνος] ηϊόνος P. Quum libri modo hoc modo illud praeberent, ego ubique ἠών scripsi. 10. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 15. μέν τι A. μέν τοι P.

quamvis perquisitum reperire potuerunt. Quanquam sunt qui inventum quidem ab Ephthalitis, sed Cabadi alium pro ipso venditum tradant. Locus vero postulat, ut quae Persae de illo produnt, hic inseramus: nam ea sunt, quae nec absurda cuiquam, nec plane incredibilia videantur.

Igitur perhibent pectinem eo foetum unione in sinu fuisse Persico: cum autem littori adnataret, diductis testulis, apparuisse in medio unionem unice spectandum admirandumque; ut qui omnibus, quotquot ex omni memoria extitissent, magnitudine ac nitore praestaret. At immanis supra modum canis marinus adeo videndi eius cupidus erat; ut pectinem diu noctuque assectaretur. Quod si fame compelleretur escam parare, indidem circunspectabat, num edule quicquam offerret sese: simul deprehenderat, raptum ibat glutiebatque: mox reversus ad pectinem, deliciarum suarum conspectu se satiabat. Quae cum aliquando piscator considerasset, metus eum belluae tenuit quo minus adiret periculum, satisque habuit Regi Perozae rem enarrare. Hic statim cupiditate incensus, piscatoris operam eblandiri, animumque luculentae mercedis spe excitare

δὴ ἀντιτείνειν αἰτουμένῳ δεσπότῃ οὐκ ἔχοντα λέγουσι τάδε τῷ Περόζῃ εἰπεῖν „ὦ δέσποτα, ποθεινὰ μὲν ἀνθρώπῳ χρήματα, ποθεινοτέρα δὲ ἡ ψυχή, πάντων μέντοι ἀξιώτατα τέκνα. ὧν δὴ C τῇ στοργῇ ἀναγκασθεὶς φύσει ἴσως ἄν τις καὶ πάντα τολμήσειεν. ἐγὼ τοίνυν τοῦ τε θηρίου ἀποπειράσεσθαι καὶ τοῦ μαργάρου σε θήσεσθαι κύριον ἐλπίδα ἔχω. καὶ ἢν μὲν κρατήσω τοῦ ἀγῶνος τούτου, εὔδηλον ὡς ἐν τοῖς καλουμένοις ὀλβίοις τοὐνθένδε τετάξομαι. σέ τε γὰρ πᾶσιν ἀγαθοῖς με δωρήσασθαι, ἅτε βασιλέων βασιλέα, οὐδὲν ἀπεικός, καὶ ἐμοὶ ἀποχρήσει, καίπερ οὐδὲν, ἂν οὕτω τύχοι, κεκομισμένῳ, τὸ δεσπότου εὐεργέτην τοῦ ἐμοῦ γεγενῆσθαι. εἰ δὲ ἐμὲ δεῖ τῷ θηρίῳ τούτῳ ἁλῶναι, σὸν δὴ ἔργον ἔσται, ὦ βασιλεῦ, τοὺς ἐμοὺς παῖδας θανάτου τοῦ πατρῴου ἀμείψασθαι. οὕτω γὰρ ἐγὼ μὲν καὶ τετελευτηκὼς ἐν τοῖς ἀναγκαιο- D τάτοις ἔμμισθος ἔσομαι, σὺ δὲ ἀρετῆς δόξαν ἀποίσει μείζω. τὰ παιδία γὰρ ὠφελῶν εὖ ποιήσεις ἐμέ, ὅσπερ σοι τῆς εὐεργεσίας τὴν χάριν οὐδαμῇ εἴσομαι. αὕτη γὰρ ἂν εὐγνωμοσύνη ἀκίβδηλος γένοιτο μόνη ἡ ἐς τοὺς ἀποθανόντας ἐπιδειχθεῖσα.“ τοσαῦτα εἰπὼν ἀπηλλάττετο. καὶ ἐπεὶ ἐς τὸν χῶρον ἀφίκετο, ἵνα δὴ ὅ τε κτεὶς νήχεσθαι καὶ ὁ κύων αὐτῷ εἴθιστο ἕπεσθαι, ἐνταῦθα ἐπὶ πέτρας ἐκάθητό τινος, καιροφυλακῶν εἴ πως ἔρημόν ποτε τὸ μάργαρον τοῦ ἐραστοῦ λάβοι. ἐπειδὴ δὲ τῷ κυνὶ τάχι- H 6 στα τῶν τινι ἐς τὴν θοίνην οἱ ἐπιτηδείως ἐχόντων ἐντετυχηκέναι

1. δεσπότῃ] δεσπότην A. 7. τοὐνθένδε L. τὸ ἐνθένδε P. 10. κεκομισμένῳ L. κεκοσμημένῳ P.

coepit. Ille Domini sui postulato refragari non sustinens, orationem fertur hanc habuisse. *Optabiles quidem mortali sunt opes, Domine; sed multo est optabilior vita; nihil autem aeque charum ac liberi: quorum utique naturalis amor ad quidvis audendum impellit. Ego sane ferum aggrediar, teque, ut equidem spero, compotem faciam margariti. Quo ex certamine si redibo sospes ac victor, iam inde me in numero divitum fore planum est, non enim dubium esse potest, quin bona omnifariam a te, ut Regum Rege, in me sint profectura. Quibus quamvis frustratus fuero; mihi tamen abunde erit de Domino meo bene meritum esse. Si vero mihi fatum est, belluae in praedam cedere; munificentiae tuae putabis esse, o Rex, liberis meis paternam mortem pensare. Quo fiet, ut ipse quidem in iis, qui arctissima omnium mihi sunt necessitate coniuncti, mercedem feram vel mortuus; tu vero maiorem virtutis laudem. Etenim cum liberis meis benigne facies, mihi facies, quamvis nullas acturo gratias. Ea demum sincera est grati animi virtus, cuius erga mortuos testimonia exhibentur.* In hunc fere modum locutus, abiit: ac postquam eum in locum, ubi cum cane assecla natare pecten solebat, pervenit, in scopulo quodam resedit, tempus aucupans, quo unionem amasii sui praesidio destitutum deprehenderet. Ubi primum canis vescum aliquid nactus est, at-

ξυνέπεσε καὶ περὶ τοῦτο διατριβὴν ἔχειν, ἀπολιπὼν ἐπὶ τῆς ἀκτῆς ὁ ἁλιεὺς τούς οἱ ἐπὶ ταύτῃ δὴ ἑπομένους τῇ ὑπουργίᾳ εὐθὺ τοῦ κτενὸς πολὺ ᾔει, καὶ αὐτοῦ ἤδη λαβόμενος ἔξω γενέσθαι κατὰ τάχος ἠπείγετο. οὗ δὴ ὁ κύων αἰσθόμενος ἐβοήθει ἐνταῦθα. ἰδὼν δὲ ὁ σαγηνευτὴς ὡς καταλαμβάνεσθαι τῆς ᾐόνος οὐ μακρὰν P 14 *ἔμελλε τὸ μὲν θήραμα ἠκόντισεν ἐς τὴν γῆν δυνάμει τῇ πάσῃ, αὐτὸς δὲ ἁλοὺς διεφθάρη οὐ πολλῷ ὕστερον. ἀνελόμενοι δὲ τὸ μάργαρον οἱ ἐπὶ τῆς ἀκτῆς λελειμμένοι τῷ τε βασιλεῖ ἀπεκόμισαν καὶ τὰ ξυνενεχθέντα πάντα ἐσήγγειλαν. τὰ μὲν οὖν ἀμφὶ τῷ μαργάρῳ τούτῳ τῇδε, ᾗπερ ἐρρήθη, Πέρσαι ξυνενεχθῆναί φασιν. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.*

Οὕτω μὲν Περόζης τε διεφθάρη καὶ ξύμπασα ἡ Περσῶν στρατιά. εἰ γάρ τις οὐκ ἐμπεπτωκὼς ἐς τὴν διώρυχα ἔτυχεν, ὅδε ὑπὸ τῶν πολεμίων ταῖς χερσὶ γέγονε. καὶ ἀπ' αὐτοῦ νόμος τέθειται Πέρσαις μή ποτε σφᾶς ἐν γῇ πολεμίᾳ ἐλαύνοντας δίω- B *ξιν ποιεῖσθαί τινα, ἢν καὶ κατὰ κράτος τοὺς ἐναντίους σφίσι τραπῆναι ξυμβαίη. ὅσοι μέντοι Περόζῃ οὐ ξυστρατεύσαντες ἐν χώρᾳ τῇ αὐτῶν ἔμειναν, οὗτοι δὴ βασιλέα σφίσι Καβάδην εἵλοντο τὸν νεώτατον Περόζου υἱόν, ὅσπερ τηνικαῦτα περιῆν μόνος. τότε δὴ Ἐφθαλίταις κατήκοοι ἐς φόρου ἀπαγωγὴν ἐγένοντο Πέρσαι, ἕως Καβάδης τὴν ἀρχὴν ἰσχυρότατα κρατυνάμενος φόρον αὐτοῖς ἀποφέρειν τὸν ἐπέτειον οὐκέτι ἠξίου. ἦρξαν δὲ Περσῶν οἱ βάρβαροι οὗτοι ἐνιαυτοὺς δύο.*

2. *δὴ ἑπομένους* L. *διεπομένους* P. 5. *ᾐόνος*] *ἠϊόνος* P. 18. *αὐτῶν*] *αὑτῶν* P. 21. *ἦρξαν* A. *ἦρξαντο* P.

que in eo absumendo occupatus; ad pectinem recta piscator contendit, relictis in littore sociis subsidiariis. Iamque apprehenso illo festinabat enare, cum ecce fraude percepta suppetias canis properat. Iam iam teneri se videns piscator, in littus, unde non procul aberat, quam maxima potuit vi praedam eiaculatus est; mox captus ipse interiit. Qui in littore opperiebantur, extractum unionem Regi tulerunt, ac rem ordine totam narrarunt. Haec Persae de unione illo: nunc eo unde sum digressus, revertor.

Ita Perozes, ut dicebam, cum universo Persarum exercitu periit: Nam si non in foveam forte aliquis, in manus certe incidit hostium. Clades haec Persis legem suasit, qua cavetur ne in hostili solo equis insequantur hostem, quamvis illum in fugam disiecerint. Ii demum, quos e patria non eduxit secum Perozes in expeditionem, Regem sibi crearunt Cabadem, filiorum eius natu minimum, iamque adeo unum superstitem. Tunc Ephthalitarum stipendiarii Persae fuerunt; donec Cabades optime stabilito imperio tributum annuum excussit. Porro in sua ditione hi Barbari Persas biennium habuerunt.

ε'. Μετὰ δὲ Καβάδης ἐπὶ τὸ βιαιότερον τῇ ἀρχῇ χρώμενος V 232
ἄλλα τε νεώτερα ἐς τὴν πολιτείαν εἰσῆγε καὶ νόμον ἔγραψεν ἐπὶ κοινὰ C
ταῖς γυναιξὶ μίγνυσθαι Πέρσας· ὅπερ τὸ πλῆθος οὐδαμῇ ἤρεσκε.
διὸ δὴ αὐτῷ ἐπαναστάντες παρέλυσάν τε τῆς ἀρχῆς καὶ δήσαντες
ἐν φυλακῇ εἶχον. καὶ βασιλέα μὲν σφίσι Βλάσην τὸν Περόζου
ἀδελφὸν εἵλοντο, ἐπειδὴ γόνος μὲν οὐδεὶς ἔτι ἄρρην Περόζῃ, ὥσπερ
ἐρρήθη, ἐλέλειπτο, Πέρσαις δὲ οὐ θέμις ἄνδρα ἐς τὴν βασιλείαν
καθίστασθαι ἰδιώτην γένος, ὅτι μὴ ἐξιτήλου παντάπασι γένους D
τοῦ βασιλείου ὄντος· Βλάσης δὲ τὴν βασιλείαν παραλαβὼν Περ-
σῶν τε τοὺς ἀρίστους ξυνέλεξε καὶ τὰ ἀμφὶ τῷ Καβάδῃ ἐν βου-
λῇ ἐποιεῖτο· τὸν γὰρ ἄνθρωπον ἀποκτιννύναι οὐκ ἦν βουλομένοις
τοῖς πλείοσιν· ἔνθα δὴ πολλαὶ μὲν ἐλέχθησαν γνῶμαι ἐφ' ἑκά- P 15
τερα φέρουσαι, παρελθὼν δὲ τῶν τις ἐν Πέρσαις λογίμων, ὄνομα
μὲν Γουσαναστάδης, Χαναράγγης δὲ τὸ ἀξίωμα (εἴη δ' ἂν ἐν
Πέρσαις στρατηγὸς τοῦτό γε), πρὸς αὐταῖς που ταῖς ἐσχατιαῖς
τῆς Περσῶν γῆς τὴν ἀρχὴν ἔχων ἐν χώρᾳ ἣ τοῖς Ἐφθαλίταις ὁμό-
ρός ἐστι, καὶ τὴν μάχαιραν ἐπιδείξας ᾗ τῶν ὀνύχων τὰ προὔχοντα
Πέρσαι εἰώθασιν ἀποτέμνεσθαι, μῆκος μὲν ὡς δακτύλου ἀνδρός,
πάχος δὲ οὐδὲ τριτημόριον δακτύλου ἔχουσαν „ταύτην ὁρᾶτε“
εἶπε „τὴν μάχαιραν, βραχεῖαν οὖσαν παντάπασιν· αὕτη μέντοι
ἔργον ἐν τῷ παρόντι ἐπιτελεῖν οἷά τέ ἐστιν ὅπερ εὖ ἴστε, ὀλίγῳ δὲ
ὕστερον, ὦ φίλτατοι Πέρσαι, μυριάδες δύο τεθωρακισμένων ἀν- B

5. Βλάσην] Vid. Niebuhr. ad Agathiam p. 267. 6. ἐπειδὴ] ἐπεὶ P. ἐπεὶ δὲ AH. ibid. γόνος Maltretus. γένος AH. γενόμενος P.

5. Elatus deinde Cabades impotenti dominatu, cum alia multa in civilibus institutis novavit, tum lege scripta foeminarum usum iussit promiscuum esse. Quae adeo non probata fuit in vulgus, ut rebellantes in authorem Persae, ipsum imperio spoliatum, vinclis induerint, habuerintque in custodia, Blase Perozis fratre in eius locum sublecto, quod praeter Cabadem, ut dictum ante, marem nullum Perozes reliquisset, nec, nisi cum stirps regia excidisset prorsus, fas esset Persis domo privata oriundum quempiam ad regnum evehere. Susceptis Blases rerum habenis, optimates Persarum convocavit, deque Cabade consuli in medium voluit. Eo plerique inclinabant ne vita homini eriperetur. Cumque adhuc sententiis variaretur, progressus est Gusanastades primae inter Persas nobilitatis vir, idem et Chanaranges (vox ea Praetorem sonat) extremae Persidis, ad Ephthalitarum confinia, praefecturam gerens. Tum producto, quo Persae ungues excrescentes resecare solent, cultello, longitudinis digitalis, crassitudinis digitali minoris triplo, immo nec tantae; *Exiguum*, inquit, *videtis cultrum hunc. At quantulus is cunque est, expedire nunc potest, quod scitis. Si rem tantulum trahitis*, *Persae cha-*

δρῶν ἐξεργάζεσθαι οὐκ ἂν δύναιντο." ὁ μὲν ταῦτα εἶπε, παραδηλῶν ὡς, εἰ μὴ Καβάδην ἀνέλωσιν, αὐτίκα πράγματα Πέρσαις περιὼν παρέξει. οἱ δὲ κτεῖναι ἄνδρα βασιλείου αἵματος οὐδ' ὅλως ἔγνωσαν, ἀλλ' ἐν φρουρίῳ καθεῖρξαι ὅπερ τῆς λήθης καλεῖν νενομίκασιν. ἢν γάρ τις ἐνταῦθα ἐμβληθεὶς τύχῃ, οὐκ ἔτι νόμος σφίσι μνήμην αὐτοῦ εἶναι, ἀλλὰ θάνατος τῷ ὠνομακότι ἡ ζημία ἐστί· διὸ δὴ καὶ τὴν ἐπωνυμίαν ταύτην πρὸς Περσῶν ἔλαχεν. ἅπαξ δὲ ἡ τῶν Ἀρμενίων ἱστορία φησὶ νόμον τοῦ ἀμφὶ τῷ λήθης φρουρίῳ παραλελύσθαι τὴν δύναμιν Πέρσαις τρόπῳ τοιῷδε.

C Πόλεμός ποτε Πέρσαις τε καὶ Ἀρμενίοις ἀκήρυκτος γέγονεν εἰς δύο καὶ τριάκοντα ἔτη ἐπὶ Πακουρίου μὲν Περσῶν βασιλεύοντος, Ἀρμενίων δὲ Ἀρσάκου Ἀρσακίδου ἀνδρός. τούτῳ τε τῷ πολέμῳ μηκυνομένῳ κεκακῶσθαι μὲν ἐς ἄγαν ἀμφοτέρους ξυνέβη καὶ διαφερόντως τοὺς Ἀρμενίους. ἀπιστίᾳ δὲ πολλῇ ἐς ἀλλήλους ἐχόμενοι ἐπικηρυκεύεσθαι παρὰ τοὺς ἐναντίους οὐδέτεροι εἶχον. ἐν τούτῳ δὲ Πέρσας τετύχηκε πόλεμον πρὸς ἄλλους βαρβάρους τινὰς οὐ πόρρω Ἀρμενίων διῳκημένους διενεγκεῖν. οἵ τε Ἀρμένιοι, ἐν σπουδῇ ἔχοντες ἐπίδειξιν ἐς Πέρσας τῆς ἐς αὐτοὺς εὐνοίας
D τε καὶ εἰρήνης ποιήσασθαι, ἐσβαλεῖν ἐς τούτων δὴ τῶν βαρβάρων τὴν γῆν ἔγνωσαν, δηλώσαντες τοῦτο πρότερον Πέρσαις. ἀπροσδόκητοί τε αὐτοὶ ἐπιπεσόντες σχεδόν τι ἅπαντας ἡβηδὸν ἔκτειναν.

16. παρὰ] περὶ HL. 17. τούτῳ δὲ A. τῷδε P.

rissimi, cataphractorum militum xx. *millia non sufficient.* Haec ille, quibus innuebat Cabadem, nisi tolleretur e medio, negotium Persis brevi exhibiturum. Abhorruere tamen eorum animi ab effundendo regio sanguine, satisque habuerunt asservare Cabadem in castello Oblivionis, ita dicto ex lege, quae de eo, qui fuerit illuc coniectus, mentionem unquam fieri vetat, poena etiam capitali iis proposita, qui ipsius nomen protulerint. Quae causa fuit appellationis eiusmodi. Semel autem legi, quae est de Castello Oblivionis, abrogatam vim datumque laxamentum fuisse, Armeniorum monumenta fidem faciunt. Res ita contigit.

Persis aliquando bellum fuit cum Armenis inexpiabile per annos xxxii. imperante illis Pacurio, his Arsace ex genere Arsacidarum. Et graviter quidem utrosque, sed Armenos in primis afflixerat bellum impendio diuturnius. Eo processerat mutua diffidentia, ut neutri integrum sibi esse putarent caduceatores mittere. Interim forte accidit ut cum aliis Barbaris Armeniae accolis bellum Persae susceperint. Hic Armeni quo suam in Persas benevolentiam, et pacis cum ipsis colendae studium declararent, in Barbarorum illorum fines prorumpere statuerunt. Cum autem de suo consilio certiores Persas fecissent, improviso impetu Barbaros sine ullo aetatis discrimine ad internecionem prope ceciderunt.

ὅ τε Πακούριος τοῖς πεπραγμένοις ὑπερησθεὶς, πέμψας παρὰ τὸν Ἀρσάκην τῶν οἱ ἐπιτηδείων τινὰς, τά τε πιστά οἱ παρασχόμενος, τὸν ἄνθρωπον μετεπέμψατο. καὶ ἐπεὶ παρ' αὐτὸν Ἀρσάκης ἀφίκετο, τῆς τε ἄλλης αὐτὸν φιλοφροσύνης ἠξίωσε καὶ ἅτε ἀδελφὸν ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ ἔσχε. καὶ τότε μὲν ὅρκοις δεινοτάτοις τόν τε Ἀρσάκην καταλαβὼν καὶ αὐτὸς οὐδὲν ἧσσον ὀμωμοκὼς ἦ V 233 μὴν εὔνους τε καὶ ξυμμάχους Πέρσας τε τὸ λοιπὸν καὶ Ἀρμενίους ἀλλήλοις εἶναι, αὐτίκα δὴ αὐτὸν ἐς τὰ πάτρια ἤθη ἀφῆκεν ἰέναι.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον διέβαλον τὸν Ἀρσάκην τινὲς P 16 ὡς δὴ πράγμασιν νεωτέροις ἐγχειρεῖν βούλοιτο. οἷσπερ ἀναπεισθεὶς ὁ Πακούριος αὖθις αὐτὸν μετεπέμπετο ὑπειπὼν ὅτι δὴ αὐτῷ τὸ κοινολογεῖσθαι ὑπὲρ τῶν ὅλων ἐπιμελὲς εἴη. καὶ ὃς οὐδέν τι μελλήσας ἐς αὐτὸν ἦλθεν, ἄλλους τε τῶν ἐν Ἀρμενίοις μαχιμωτάτων ἐπαγόμενος καὶ Βασίκιον, ὅσπερ αὐτῷ στρατηγός τε καὶ ξύμβουλος ἦν· ἀνδρείας τε γὰρ καὶ ξυνέσεως ἐπὶ πλεῖστον ἀφῖκτο. εὐθὺς οὖν ὁ Πακούριος ἄμφω, τόν τε Ἀρσάκην καὶ Βασίκιον, πολλὰ ὀνειδίζων ἐκάκιζεν, εἰ τὰ ὀμωμοσμένα ἠλογηκότε οὕτω δὴ τάχιστα ἐς ἀπόστασιν ἴδοιεν. οἱ δὲ ἀπηρνοῦντό τε καὶ ἀπώμνυον ἐνδελεχέστατα, μηδὲν σφίσιν αὐτοῖς βεβουλεῦσθαι B τοιοῦτον. τὰ μὲν οὖν πρῶτα ὁ Πακούριος αὐτοὺς ἐν ἀτιμίᾳ ἐφύλασσεν, ἔπειτα δὲ τῶν μάγων ἀνεπυνθάνετο ὅ τι οἱ ποιητέα ἐς αὐτοὺς εἴη. οἱ δὲ μάγοι τῶν μὲν ἀρνουμένων καὶ οὐ διαρρήδην ἐληλεγμένων καταγινώσκειν οὐδαμῇ ἐδικαίουν, ὑποθήκην δὲ

12. ἐπιμελὲς εἴη] Legebatur ἐπιμελεῖν. 15. ἀνδρείας] ἀνδρίας P.

Quo facto summe laetans Pacurius, Arsacem per quosdam ex intimis data fide ad congressum invitavit, eumque, postquam advenit, prolixa humanitate dignatus, non aliter habuit quam si cum fratre parique egisset. Tum demum iusiurandum exegit sanctissimum, ipseque vicissim reddidit, Persas deinceps atque Armenos mutuam sibi benevolentiam, et in bellis auxilium praestituros. Mox in patriam dimisit.

Haud multo post quidam ad Pacurium detulerunt rebus novis Arsacem studere. Id Pacurius sibi passus persuaderi, ipsum iterum ad conferenda de summa rerum, ut aiebat, consilia advocavit. Nulla is interposita mora adfuit, cum alios Armenos bello egregios in comitatu habens, tum Basicium, quem ob fortitudinem ac prudentiam singularem, et rei bellicae, et consilio regio praefecerat. Ambos amarulentis verbis excepit Pacurius, spretum exprobrans iusiurandum, quo vix dato, incubuissent continuo ad defectionem. Inficiari illi constantissimeque tale consilium abiurare. Nihilo tamen minus Pacurius eos in custodia primum habuit, et parum illa quidem liberali atque honesta: postea quid in ipsos esset statuendum requisivit ex Magis. Hi cum iniquum esse pronuntiassent reos diffitentes nec aperte coniunctos damnare, aggressi sunt ratio-

αὐτῷ τινα ἔφραζον, ὅπως ἂν Ἀρσάκης αὐτὸς ἄντικρυς αὐτοῦ κατηγορεῖν ἀναγκάζοιτο. τὸ γὰρ τῆς βασιλικῆς σκηνῆς ἔδαφος κόπρῳ καλύπτειν ἐκέλευον, ἥμισυ μὲν ἐκ τῆς Περσῶν χώρας, θάτερον δὲ ἥμισυ ἐκ τῆς Ἀρμενίας. καὶ ὁ βασιλεὺς κατὰ ταῦτα ἐποίει. τότε δὴ οἱ μάγοι τὴν σκηνὴν ὅλην μαγείαις τισὶ καταλαβόντες ἐκέλευον τὸν βασιλέα σὺν τῷ Ἀρσάκῃ τοὺς περιπάτους
C ἐνταῦθα ποιεῖσθαι, ἐπικαλοῦντα τοῖς τε ξυγκειμένοις καὶ ὀμωμοσμένοις λυμήνασθαι. δεῖν δὲ αὐτοὺς τῷ διαλόγῳ παραγενέσθαι. οὕτω γὰρ ἂν τῶν λόγων μάρτυρες ἁπάντων εἶεν. αὐτίκα γοῦν ὁ Πακούριος τὸν Ἀρσάκην μεταπεμψάμενος διαύλους ἐν τῇ σκηνῇ ξὺν αὐτῷ ἐποιεῖτο, παρόντων σφίσιν ἐνταῦθα τῶν μάγων, καὶ ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὅτου δὴ ἕνεκα τὰ ὀμωμοσμένα ἠλογηκὼς εἶτα Πέρσας τε καὶ Ἀρμενίους αὖθις τρίβειν ἀνηκέστοις κακοῖς ἐγχειροίη· ὁ δὲ Ἀρσάκης, ἕως μὲν ἐν τῷ χώρῳ οἱ λόγοι ἐγίνοντο οὗ δὴ χοῦς ἐκ τῆς Περσίδος ἐπέκειτο, ἀπηρνεῖτό τε καὶ ὅρκοις τοῖς δεινοτάτοις πιστούμενος ἀνδράποδον ἰσχυρί-
D ζετο εἶναι Πακουρίου πιστόν· ἐπειδὴ δὲ μεταξὺ λέγων ἐς τῆς σκηνῆς τὸ μέσον ἀφῖκτο, ἵνα δὴ κόπρου τῆς Ἀρμενίας ἐπέβησαν, ἐνταῦθα οὐκ οἶδα ὅτῳ ἀναγκασθεὶς λόγους μὲν τούτους ἐπὶ τὸ θρασύτερον ἐξαπιναίως μεταβιβάζει, ἀπειλῶν δὲ τῷ τε Πακουρίῳ καὶ Πέρσαις οὐκ ἔτι ἀνίει, ἀλλὰ τίσασθαι αὐτοὺς ἐπηγγέλλετο ὕβρεως τῆσδε, ἐπειδὰν αὐτὸς αὐτοῦ τάχιστα κύριος γένοιτο. καὶ ταῦτα λέγων τε καὶ νεανιευόμενος ἐποιεῖτο τὸν περίπατον ὅλον, ἕως ἀναστρέψας ἐς κόπρον αὖθις τὴν ἐκ γῆς τῆς Περσίδος.

8. παραγενέσθαι] περιγενέσθαι H.

nem tradere, qua Arsaces accusare se ipse coram adigeretur. Ergo iubent regii tabernaculi solum obduci luto, sumpta ex agro Persico dimidia parte, ex Armenio altera. Praescriptum Rex accuravit. Tum Magi tabernaculo incantato, Regi denuntiant, inambulandum illic esse cum Arsace, deque facta conventis ac iuramento fraude expostulandum: oportere autem ipsos colloquio interesse; atque ita testes extituros eorum omnium quae essent ultro citroque dicta. Accito confestim Arsace, obambulare cum eo coepit Pacurius in tabernaculo, coram Magis interrogans, cur contra fidem iuramento sancitam tentasset denuo maximis calamitatibus Persas pariter Armenosque conterere? Ac pernegavit quidem Arsaces, fidum se esse mancipium Pacurii deierans, quandiu ubi terra Persica suberat, sunt collocuti. Ut vero medio in sermone medium in tabernaculum ventum est, et terra Armenia calcari coepta, illa e vestigio vi nescio qua adactus effervescere, ingentique spiritu vocem mittere, Pacurio Persisque minitari, memorem se atque adeo ultorem acceptae contumeliae polliceri, statim ut iuris esse sui coepisset. Ita confecit spatium, haec denuntians iuveniliterque halociens, donec regressus, in

ἀφίκετο. ἐνταῦθα γὰρ πάλιν ὥσπερ τινὰ παλινῳδίαν ᾄδων ἱκέτης τε ἦν καὶ οἰκτροὺς τινας τῷ Πακουρίῳ προὔφερε λόγους. ἐπεὶ δὲ ἐς χοῦν αὖθις τὸν Ἀρμενίων ἦλθεν, ἐς τὰς ἀπειλὰς ἀπεχώρησε. καὶ πολλάκις οὕτω μεταβληθεὶς ἐφ' ἑκάτερα ἔκρυψε P 17 τῶν οἱ ἀπορρήτων οὐδέν. τότε δὴ οἱ μὲν μάγοι κατέγνωσαν αὐτοῦ ἔς τε τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἠδικηκέναι. Πακούριος δὲ Βασικίου μὲν τὸ δέρμα ἐκδείρας, ἀσκόν τε αὐτὸ πεποιημένος καὶ ἀχύρων ἐμπλησάμενος, ὅλον ἀπεκρέμασεν ἐπὶ δένδρου τινὸς ὑψηλοῦ λίαν. τὸν μέντοι Ἀρσάκην (ἀποκτεῖναι γὰρ ἄνδρα τοῦ βασιλείου αἵματος ὄντα οὐδαμῇ εἶχεν) ἐν τῷ τῆς λήθης φρουρίῳ H 8 καθεῖρξε.

Χρόνῳ δὲ ὕστερον τῶν τις Ἀρμενίων τῷ τε Ἀρσάκῃ ἐν τοῖς μάλιστα ἐπιτηδείοις καί οἱ ἐπισπόμενος ἐς τὰ Περσῶν ἤθη ἰόντι Πέρσαις ἐπί τι ἔθνος ἰοῦσι βαρβαρικὸν ξυνεστράτευσεν· ὃς δὴ ἀνήρ τε ἀγαθὸς ἐν τῷ πόνῳ τούτῳ, ὁρῶντος Πακουρίου τὰ ποι- B ούμενα, γέγονε καὶ τῆς νίκης αἰτιώτατος Πέρσαις. διὸ δὴ αὐτὸν ὁ Πακούριος ὅ τι ἂν βούλοιτο αἰτεῖσθαι ἠξίου, ἰσχυρισάμενος ὅτι δὴ οὐδενὸς πρὸς αὐτοῦ ἀτυχήσει. ὁ δὲ ἄλλο οἱ οὐδὲν γενέσθαι ἠξίου ἢ ὥστε τὸν Ἀρσάκην ἐν ἡμέρᾳ μιᾷ θεραπεῦσαι ᾗ βούλοιτο. τοῦτο τὸν βασιλέα ἠνίασε μὲν ὡς τὰ μάλιστα, εἰ λύειν νόμον οὕτω δὴ παλαιὸν ἀναγκάζεται, ὅπως μέντοι παντάπασιν ἀληθίζηται, ξυνεχώρει τὴν δέησιν ἐπιτελῆ γενέσθαι. ἐπεὶ V 234

1. ἱκέτης Hm. οἰκέτης P. 3. τὸν Ἀρμενίων] Legebatur τῶν Ἀρμενίων.

terra Persica pedem posuit. Hic enim palinodiam canens, famulum rursus egit supplicem ac miserabili voce in humilitatem sese submisit. Post, simul ad Armeniam terram, simul ad minas rediit: atque ita utroque versum saepe circumductus, quidquid habuit arcani effudit. Eum tandem Magi foedifragum ac periurum iudicarunt: et Basicio quidem deripi cutem iussit Pacurius, deinde utrem ex ea fieri, tum inferciri paleis, ex arbore demum procerissima suspendi; Arsacem vero in Castellum Oblivionis detrudi. Neque enim sibi committendum putavit, ut virum regio cretum sanguine morte afficeret.

Secundum ea, quidam Armenus ex intimis Arsacis, et eorum numero, qui ipsum in Persidem comitati fuerant, militarem navavit operam Persis adversum Barbaros, et sub oculis ipsius Pacurii tam strenue se gessit in eo bello, ut Persae illius maxime opera victoriam reportarint. Quamobrem contendit ab ipso Pacurius ut peteret quidquid collibitum esset, affirmate recipiens ei nihil se negaturum. Unum hoc ille rogavit, sibi ut potestas fieret ministrandi Arsaci per diem unum, idque prout libido foret. Mirum quam grave Regi fuerit in necessitatem adduci infringendae adeo antiquae legis: fidem tamen ne falleret, annuit postula-

δέ γε βασιλέως ἐπαγγείλαντος γέγονεν ἐν τῷ λήθης φρουρίῳ, ἠσπάσατο μὲν τὸν Ἀρσάκην, ἄμφω δὲ ἀλλήλοιν περιβαλόντε C ἐθρηνησάτην τε ἡδύν τινα θρῆνον καὶ ἀπολοφυραμένω τὴν παροῦσαν τύχην μόλις ἀπ' ἀλλήλοιν διαλύειν τὰς αὐτοῦ χεῖρας ἑκάτερος ἔσχεν. ἐπεὶ δὲ τῶν ὀδυρμῶν ἐς κόρον ἐλθόντες ἐπαύσαντο, ἔλουσε μὲν ὁ Ἀρμένιος τὸν Ἀρσάκην καὶ τἄλλα οὐ κατημελημένως ἐκόσμησε, σχῆμα δὲ αὐτῷ περιθέμενος τὸ βασίλειον ἐπὶ στιβάδος ἀνέκλινεν. ἐνταῦθά τε τοὺς παρόντας Ἀρσάκης βασιλικῶς εἱστία ᾗπερ εἰώθει τὰ πρότερα. ἐν ταύτῃ τῇ θοίνῃ πολλοὶ μὲν ἐπὶ κύλικι λόγοι ἐλέχθησαν, οἵπερ τὸν Ἀρσάκην ἱκανῶς ἤρεσκον, πολλὰ δὲ ἄλλα ἐς μέσον ἦλθεν, ἅπερ αὐτῷ ἐν ἡδονῇ ἦν· μηκυνομένου τε τοῦ πότου ἄχρι ἐς νύκτα τῇ πρὸς ἀλλήλους D ὁμιλίᾳ ὑπερφυῶς ἥσθησαν, μόλις δὲ ἀλλήλων ἀπαλλαγέντες διελύθησαν, καταβεβρεγμένοι τῇ εὐπαθείᾳ. τότε δὴ λέγουσι τὸν Ἀρσάκην εἰπεῖν ὡς ἡμέραν τὴν ἡδίστην διατελέσας, ἐν ταύτῃ τε ξυγγενόμενος τῷ ποθεινοτάτῳ ἀνθρώπων ἁπάντων, οὐκ ἂν ἔτι ἑκών γε εἶναι ὑποσταίη τὰ φλαῦρα τοῦ βίου. καὶ ταῦτα εἰπόντα μαχαίρᾳ ἑαυτὸν διαχρήσασθαι, ἥνπερ ἐν τῇ θοίνῃ ἐξεπίτηδες κεκλοφὼς ἔτυχεν, οὕτω τε αὐτὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι. τὰ μὲν οὖν κατὰ τοῦτον δὴ τὸν Ἀρσάκην ἡ τῶν Ἀρμενίων συγγραφὴ λέγει ταύτῃ, ᾗπερ ἐρρήθη, κεχωρηκέναι, καὶ τὸν νόμον τότε ἀμφὶ τῷ τῆς λήθης φρουρίῳ λελύσθαι. ἐμοὶ δὲ ὅθενπερ ἐξέβην ἰτέον.

17. φλαῦρα A. φαῦλα P. 18. διαχρήσασθαι] διαχειρίσασθαι A corr.

tui. Mandato itaque regio admissus ille in Castellum Oblivionis, Arsacem salutavit. Hic inter se complexi, et in suavissimum lamentum effusi, vicem suam complorarunt, vix ut alter ab altero divellere manus quiverint. Tandem lugendi satietate fessi cum paululum respirassent, Arsacem lavit Armenius, et totum accurate composuit; habitu etiam regali ornatum reclinavit in toro. Tum Arsaces regifice pro more pristino apparatis epulis eos accepit qui adfuerunt. Convivalibus iocis, non sine magno eius oblectamento, bellissime lusum est, aliaque in medium venere plurima, quae ipsum multa hilaritate consperserunt. Summa certe fuit confabulandi suavitas, quae ad noctem usque compotationem duxit. Vix tandem discesserunt, lauti epuli voluptate perfusi. Subinde Arsacem dixisse memorant, haud aequo deinceps animo laturum se aerumnas vitae, postquam cum mortalium sibi optatissimo omnium laetissimum diem egisset: his dictis, cultro, quem de mensa consulto sublegerat, se confodisse, itaque occubuisse. Eum exitum habuisse Arsacem, ac tunc temporis contra legem itum fuisse, quae est de Castello Oblivionis, prodit historia Armenorum. Nunc mihi unde diverteram redeundum.

ϛʹ. Καθειρχθέντα δὴ τὸν Καβάδην ἐθεράπευεν ἡ γυνὴ, P 18 ἐσιοῦσά τε παρ᾽ αὐτὸν καὶ τὰ ἐπιτήδεια ἐσκομίζουσα, ἣν δὴ ὁ τῆς εἱρκτῆς ἄρχων πειρᾶν ἤρξατο· ἦν γὰρ τὴν ὄψιν ἐς τὰ μάλιστα εὐπρεπής. ὅπερ ἐπεὶ ὁ Καβάδης παρὰ τῆς γυναικὸς ἔμαθεν, ἐκέλευεν ἐνδιδόναι αὐτὴν τῷ ἀνθρώπῳ ὅ τι βούλοιτο χρῆσθαι. οὕτω δὴ τῇ γυναικὶ εἰς εὐνὴν ξυνελθὼν ὁ τοῦ φρουρίου ἄρχων ἠράσθη τε αὐτῆς ἔρωτα ἐξαίσιον οἷον, καὶ ἀπ᾽ αὐτοῦ ξυνεχώρει πρὸς τὸν ἄνδρα τὰς εἰσόδους ποιεῖσθαι, ὅπῃ ἂν αὐτῇ βουλομένῃ εἴη καὶ αὖθις ἐνθένδε ἀπαλλάσσεσθαι, οὐδενὸς ἐμποδὼν ἱσταμένου. B ἦν δέ τις τῶν ἐν Πέρσαις λογίμων Σεόσης ὄνομα, Καβάδῃ ἐς τὸ μάλιστα φίλος, ὃς ἀμφὶ τὸ φρούριον τοῦτο διατριβὴν εἶχε, καιροφυλακῶν εἴ πως αὐτὸν ἔνδοθεν ἐξελέσθαι δυνήσεται. διὰ δὲ τῆς γυναικὸς τῷ Καβάδῃ ἐσήμανεν ὡς ἵπποι τέ οἱ καὶ ἄνδρες ἐν παρασκευῇ τυγχάνουσιν ὄντες τοῦ φρουρίου οὐ μακρὰν ἄποθεν, δηλώσας τι χωρίον αὐτῷ. καί ποτε νυκτὸς ἐπιλαβούσης ἀνέπεισε τὴν γυναῖκα Καβάδης ἐσθῆτα μὲν αὐτῷ τὴν οἰκείαν δοῦναι, αὐτὴν δὲ τὰ αὐτοῦ ἀμπεχομένην ἱμάτια ἐπὶ τῆς εἱρκτῆς ἀντ᾽ αὐτοῦ καθῆσθαι, οὗπερ οὗτος ἐκάθητο. οὕτω μὲν οὖν Καβάδης ἀπηλλάττετο τοῦ δεσμωτηρίου. κατιδόντες δὲ αὐτὸν οἷς ἡ φυ- C λακὴ αὕτη ἐπέκειτο τὴν γυναῖκα ὑπετόπαζον εἶναι· ταῦτά τοι οὔτε κωλύειν οὔτε ἄλλως αὐτῷ ἐνοχλεῖν ἔγνωσαν. ἅμα δὲ ἡμέρᾳ τὴν γυναῖκα ἐς τὸ δωμάτιον ἐν τοῖς τοῦ ἀνδρὸς ἱματίοις ἰδόντες καὶ μακρὰν ἀπολελειμμένοι τοῦ ἀληθοῦς ᾤοντο Καβάδην ἐνταῦθα

4. „ἐκέλευεν Reg.“ Malt. ἐκέλευσεν P. 7. πρὸς Hm. περὶ P. Fortasse παρά. 10. δέ A. δή P. 17. αὐτοῦ] αὑτοῦ P. ibid. ἀντ᾽ αὐτοῦ] „ἐνταῦτα Reg.“ Malt. ἐνταῦτα etiam ex L annotatum. 21. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

6. Tradito in custodiam Cabadi deserviebat uxor, intro ad ipsum itans ac necessaria deferens. Eius pudicitiam attentare coepit Praefectus carceris, oris specie, qua erat praedita, singulari illectus. Qua de re certior factus ab ipsa Cabades, imperavit ut se illi permitteret. Is a foemina tori consortio donatus, hanc perdite adamabat, sinebatque intro ac foras pro arbitrio et libere commeare. Interea nobilis Persa, cui nomen Seosi, in paucis Cabadi amicus, circum Castellum agitabat, opportunitati imminens eum inde, si quo modo posset, educendi. Ipsi quidem per uxorem significaverat viros cum equis adornatis praesto adesse haud procul Castello, ac locum dixerat. Aliquando tandem Cabadi cum uxore convenit, nocte appetente, ut vestes inter se commutarent, et illa in eo conclavi, ubi ipse agere consueverat, remaneret. Hac arte Cabades excessit e carcere. Nam illum conspicati custodes et foeminam esse rati, nec tenere ausi sunt, nec moleste interpellare. Orta die, ubi mulierem in cubiculo prospexerunt virili veste indutam, procul a vero aberrantes, Cabadem illic esse existimarunt. Quae quidem opinio per

εἶναι. ἥ τε δόκησις αὕτη ἐν ἡμέραις συχναῖς ἤκμαζεν, ἕως Καβάδης πόῤῥω που γῆς ἐγεγόνει. τὰ μὲν οὖν ἀμφὶ τῇ γυναικὶ ξυνενεχθέντα, ἐπεὶ ἐς φῶς ἡ ἐπιβουλὴ ἦλθε, καὶ ὅντινα αὐτὴν
D τρόπον ἐκόλασαν, ἐς τὸ ἀκριβὲς οὐκ ἔχω εἰπεῖν. οὐ γὰρ ὁμολο-
H 9 γοῦσι Πέρσαι ἀλλήλοις, διὸ δὴ αὐτὰ λέγειν ἀφίημι.

Καβάδης δὲ λαθὼν ἅπαντας ξὺν τῷ Σεόσῃ ἐς Οὔννους τοὺς Ἐφθαλίτας ἀφίκετο, καὶ αὐτῷ τὴν παῖδα γυναῖκα ὁ βασιλεὺς γαμετὴν δίδωσιν, οὕτω τε στράτευμα λόγου πολλοῦ ἄξιον ἅτε κηδεστῇ ἐπὶ Πέρσας ξυνέπεμψε. τούτῳ τῷ στρατῷ Πέρσαι ὑπαντιάζειν οὐδαμῇ ἤθελον, ἀλλ' ἄλλος ἄλλῃ ἐς φυγὴν ὥρμην-
V 235 το. ἐπεὶ δὲ ὁ Καβάδης ἐν τῇ χώρᾳ ἐγένετο, ἔνθα ὁ Γουσαναστάδης τὴν ἀρχὴν εἶχεν, εἶπε τῶν ἐπιτηδείων τισὶν ὡς Χαναράγγην καταστήσεται ἐκεῖνον, ὃς ἂν αὐτῷ Περσῶν πρῶτος ἐκείνῃ τῇ ἡμέρᾳ ἐς ὄψιν ἥκων ὑπουργεῖν βούλοιτο. εἰπόντι τέ οἱ μετέμελεν
P 19 ἤδη τοῦ λόγου, ἐπεὶ νόμος αὐτὸν εἰσῄει, ὃς δὴ οὐκ ἐᾷ Πέρσας ἐς τοὺς ἀλλοτρίους τὰς ἀρχὰς φέρεσθαι, ἀλλ' οἷς ἡ τιμὴ ἑκάστη κατὰ γένος προσήκει. ἔδεισε γὰρ μή τις ἵκοιτο ἐς αὐτὸν πρῶτος τῷ Χαναράγγῃ οὐ ξυγγενὴς ὤν, τόν τε νόμον ἀναγκάζηται λύειν, ὅπως αὐτὸς ἀληθίζηται. ταῦτα δέ οἱ ἐν νῷ ἔχοντι ξυνέβη τις τύχη ὥστε μὴ τὸν νόμον ἀτιμάζοντι ἀληθῆ εἶναι. ἔτυχε γὰρ πρῶ-

1. ἤκμαζεν] ἤκμαζον A. *ibid.* Καβάδης] καβάδην A. 6. ἐς Οὔννους — στρατῷ Πέρσαι addidi ex A. Ex codice Ambrosiano supplevit Maius ad Dionys. Halic. p. 171. Vertit Raphael Volaterranus, *Cabades interim clam omnibus cum Seose ad Hunnos Euthalitas pervenit, ubi regis filia in matrimonium ducta exercitum eorum in Persas ingentem duxit. Cui hostes quum resistere sese impares esse animadverterent, protinus in fugam se verterunt.* 8. τε] τὸ codex Ambros. 14. μετέμελεν] μετέμελλεν A.

dies multos invaluit, donec iam longe Cabades profugisset. Porro quid foeminae factum sit, posteaquam patuit dolus, quasve dederit poenas, dicere certo nequeo, cum ipsi Persae multa varient hac in parte: quare his supersedeo.

Nusquam agnitus Cabades cum Seose ad Hunnos Ephthalitas pervenit: ubi ducta Regis filia in matrimonium, copias comparavit adeo validas, ut cum iis venienti in Persidem non ausi perduelles obsistere, alius alio dissipati sint. Ingresso autem Cabadi in Provinciam, cui Gusanastades praeerat, et quosdam e familiaribus alloquenti ista vox excidit; Chanarangem creatum iri illum, qui eo die Persarum primus veniret, ac deferret coram obsequium. Vix haec protulerat, cum temere effutiisse poenituit, animum subeunte memoria legis Persicae, de non transferendo e domo quapiam Magistratu ullo ad alienos, sed ad quos iure gentilitio pertinuerit. Verebatur enim ne is, qui ad se primus adiret, Chanarangem haud attingeret cognatione, et rumpenda lex foret ad exsolvendam fidem. Haec secum cogitanti oblata facultas est liberandae

τος Ἀδεργουδουνβάδης ἐς αὐτὸν ἧκων, νεανίας ἀνὴρ, ξυγγενής τε ὢν τῷ Γουσαναστάδῃ καὶ διαφερόντως ἀγαθὸς τὰ πολέμια. ὃς δὴ δεσπότην τε προσεῖπε Καβάδην καὶ βασιλέα προσεκύνησε πρῶτος, ἐδεῖτό τέ οἱ ἅτε δούλῳ ὅ τι βούλοιτο χρῆσθαι. Καβάδης B οὖν ἐν τοῖς βασιλείοις οὐδενὶ πόνῳ γενόμενος, ἔρημόν τε Βλάσην τῶν ἀμυνομένων λαβὼν ἐξετύφλωσε, τρόπῳ δὴ ὅτῳ τυφλοὺς οἱ Πέρσαι ποιεῖν τοὺς κακούργους εἰώθασιν, ἔλαιον ἑψῶντες καὶ αὐτὸ ὡς μάλιστα ζέον ἐς τοὺς ὀφθαλμοὺς οὔτι μύοντας ἐπιχέοντες, ἢ περόνην τινὰ σιδηρᾶν πυρακτοῦντες καὶ ταύτῃ τῶν ὀφθαλμῶν τὰ ἐντὸς χρίοντες, καὶ τὸ λοιπὸν ἐν φυλακῇ εἶχεν, ἄρξαντα Περσῶν ἐνιαυτοὺς δύο. καὶ τὸν μὲν Γουσαναστάδην κτείνας, τὸν Ἀδεργουδουνβάδην ἀντ' αὐτοῦ κατεστήσατο ἐπὶ τῆς τοῦ Χαναράγγου ἀρχῆς, C τὸν δὲ Σεόσην Ἀδρασταδαρανσαλάνην εὐθὺς ἀνεῖπε. δύναται δὲ τοῦτο τὸν ἐπὶ ἀρχαῖς τε ὁμοῦ καὶ στρατιώταις ἅπασιν ἐφεστῶτα. ταύτην ὁ Σεόσης τὴν ἀρχὴν πρῶτος καὶ μόνος ἐν Πέρσαις ἔσχεν· οὔτε γὰρ πρότερον οὔτε ὕστερόν τινι γέγονε· τήν τε βασιλείαν ὁ Καβάδης ἐκρατύνατο καὶ ξὺν τῷ ἀσφαλεῖ διεφύλαξεν. ἦν γὰρ ἀγχίνους τε καὶ δραστήριος οὐδενὸς ἧσσον.

ζ. Ὀλίγῳ δὲ ὕστερον χρήματα Καβάδης τῷ τῶν Ἐφθαλιτῶν D βασιλεῖ ὤφειλεν, ἅπερ ἐπεὶ ἀποτιννύναι οἱ οὐχ οἷός τε ἦν, Ἀναστάσιον τὸν Ῥωμαίων αὐτοκράτορα ᾔτει ταῦτά οἱ δανεῖσαι τὰ

3. τε add. L. 7. ἔλαιον A. ἔλεον P. ibid. ἑψῶντες] ἕψοντες scribitur p. 249 b. 505 b. 13. ἀδρασταδαρανσαλάνην A. Ἀδραστάδαραν Σαλάνην P. 21. ὤφειλεν] ὤφελεν P. 22. τὸν Ῥωμαίων] τῶν Ρωμαίων P. τὸν ῥωμαῖον L.

fidei citra legis iniuriam. Nam omnes praegressus adiit ipsum Adergudunbades Gusanastadis consanguineus, adolescens bellica laude excellens. Hic primus Dominum salutavit Cabadem, et adoratione Regem agnovit, supplicans ut se tanquam servo ad omnia paratissimo uteretur. Nullo deinde negotio Cabades regia potitus, nudum ab defensoribus Blasem cepit excaecavitque eo quo solent modo Persae caecitatem inferre facinorosis, decocto nimirum oleo, et in oculos inconniventes, cum maxime fervet, infuso; aut immissa penitus acu ferrea eaque candenti. Atque illum quidem in custodia deinceps habuit, regno Persico potitum biennio; Gusanastadem vero morte mulctavit, Chanarange in eius locum suffecto Adergudunbade; Seosem autem Adrastadaransalanem (id valet summum magistratuum omnium militumque Praefectum) renunciavit. Id ille munus et primus et solus obtinuit; ut quod nemini ante ipsum nec post unquam delatum fuerit. At Cabades regnum bene complexus, firmissime tenuit: quippe vir tam solers et gnavus erat quam qui maxime.

7. Haud multo post, cum non haberet Cabades unde solveret, quam Regi Ephthalitarum summam debebat, Anastasium Augustum rogavit, uti

χρήματα· ὁ δὲ κοινολογησάμενος τῶν ἐπιτηδείων τισὶν ἐπυνθάνετο εἴ γέ οἱ ταῦτα ποιητέα εἴη. οἵπερ αὐτὸν τὸ συμβόλαιον ποιήσασθαι οὐκ εἴων. ἀξύμφορον γὰρ ἀπέφαινον εἶναι βεβαιό- P 20 τερον τοῖς πολεμίοις χρήμασιν οἰκείοις ἐς τοὺς Ἐφθαλίτας τὴν φιλίαν ποιήσασθαι, οὓς δὴ ἐς ἀλλήλους ξυγκρούειν ὅτι μάλιστα σφίσιν ἄμεινον εἶναι. διὸ δὴ Καβάδης ἐξ οὐδεμιᾶς ἄλλης αἰτίας ἔγνω ἐπὶ Ῥωμαίους στρατεύεσθαι. καὶ πρῶτον μὲν αὐτάγγελος Ἀρμενίων τῇ χώρᾳ ἐπῆλθε, καὶ αὐτοῦ τὰ πολλὰ ἐξ ἐπιδρομῆς ληισάμενος ἐς Ἄμιδαν πόλιν ἐν Μεσοποταμίᾳ κειμένην ἐκ τοῦ αἰφνιδίου ἀφίκετο, ἣς δὴ χειμῶνος ὥρᾳ ἐς πολιορκίαν καθίστατο. Ἀμιδηνοὶ δὲ στρατιωτῶν μέν, ἅτε ἐν εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν, οὐ παρόντων σφίσι, καὶ ἄλλως δὲ ἀπαράσκευοι παντάπασιν ὄντες ὅμως τοῖς πολεμίοις ὡς ἥκιστα προσχωρεῖν ἤθελον, ἀλλὰ τοῖς τε κινδύνοις καὶ τῇ ταλαιπωρίᾳ παρὰ δόξαν ἀντεῖχον.

B- Ἦν δέ τις ἐν Σύροις ἀνὴρ δίκαιος, Ἰάκωβος ὄνομα, ᾧ τὰ ἐς τὸ θεῖον ἐς τὸ ἀκριβὲς ἤσκητο. οὗτος ἐν χωρίῳ Ἐνδιήλων, διέχοντι Ἀμίδης ἡμέρας ὁδόν, πολλοῖς ἔμπροσθεν χρόνοις αὑτὸν V 236 καθεῖρξεν, ὅπως δὴ ἀδεέστερον τὰ ἐς τὴν εὐσέβειαν μελετᾶν δύνηται. καὶ αὐτοῦ οἱ ταύτῃ ἄνθρωποι ὑπουργοῦντες τῇ γνώμῃ δρυφάκτοις τισὶ περιέβαλον, οὐ ξυνημμένοις μέντοι, ἀλλὰ χωρὶς πεπηγόσιν ἀλλήλων, ὥστε ὁρᾶν τοὺς προσιόντας καὶ ξυγγίνεσθαι οἷόν τε εἶναι. καὶ τέγος τι αὐτῷ ἐτεκτήναντο βραχὺ ὕπερθεν, ὅσον ὄμβρους τε καὶ νιφετοὺς ἀποκρούεσθαι. ἐνταῦθα οὖ-

6. ἄλλης αἰτίας om. A. nulla alia de causa RV.

pecuniam apud se foenore occuparet. Is ad amicorum consilium re delata, quid opus facto esset quaesivit? Eum illi ab huiusmodi pactione averterunt, demonstrando ipsum sibi fraudem creaturum, si amicitiam pecunia sua sanciret hostes inter et Ephthalitas, quos mutua dissensione collidere praestaret. Repulsa haec una Cabadem ad inferendum Romanis bellum impulit. In Armeniam primum irrupit, famam ipsam celeritate praevertens, et cum magnam regionis partem praedabundus percurrisset, Amidam urbem Mesopotamiae improvisus advenit, hyemeque obsedit. Amideni, quamquam tunc, ut in pace atque optimo Reip. tempore, a militibus erant et rebūs omnibus imparati, nolebant tamen se hosti dedere, et in periculis aerumnisque praeter opinionem durabant.

Tunc agebat in Syria Iacobus, eximia vir sanctimonia ac divinis in rebus exercitatissimus. Quarum commentationi ut securius vacaret, in agro Endiclorum, unde Amida diei unius iter abest, multis ante annis se compegerat in angustum septum. Id indigenae viri sancti proposito inservientes non contiguis, at raris vallis condiderant, quo inclusum aspicere adeuntes, et colloqui cum eo possent. Quoddam etiam tectum superposuerant, quantulum satis esset ad imbrium niviumque arcendam vim.

τος ὁ ἀνὴρ ἐκ παλαιοῦ καθῆστο, πνίγει μὲν ἢ ψύχει ὡς ἥκιστα
εἴκων, σπέρμασι δέ τισιν ἀποζῶν, οἷσπερ οὐ καθ' ἡμέραν, ἀλλὰ
χρόνου πολλοῦ σιτίζεσθαι εἰώθει. τοῦτον οὖν τὸν Ἰάκωβον τῶν C
τινες Ἐφθαλιτῶν καταθέοντες τὰ ἐκείνῃ χωρία εἶδον, καὶ τόξα H 10
σπουδῇ πολλῇ ἐντεινάμενοι βάλλειν ἤθελον. πᾶσι δὲ ἀκίνητοι
αἱ χεῖρες γεγονυῖαι τὰ τόξα ἐνεργεῖν οὐδαμῇ εἶχον. ὅπερ ἐπεὶ ἐν
τῷ στρατοπέδῳ περιφερόμενον ἐς Καβάδην ἦλθεν, αὐτόπτης γε-
νέσθαι ὁ Καβάδης τοῦ ἔργου ἐβούλετο, ἰδών τε ἐν θάμβει μεγά-
λῳ ξὺν Περσῶν τοῖς παροῦσιν ἐγένετο, καὶ τὸν Ἰάκωβον ἐλι-
πάρει ἀφεῖναι τοῖς βαρβάροις τὸ ἔγκλημα. ὁ δὲ ἀφῆκέ τε λόγῳ
ἑνὶ καὶ τὰ δεινὰ τοῖς ἀνθρώποις ἐλέλυντο. Καβάδης μὲν οὖν αἰ-
τεῖν τὸν ἄνδρα ἐκέλευσεν ὅ τι ἂν αὐτῷ βουλομένῳ εἴη, χρήματα
οἰόμενος αὐτὸν μεγάλα αἰτήσειν, καί τι καὶ νεανιευσάμενος, ὡς D
οὐδενὸς πρὸς αὐτοῦ ἀτυχήσει. ὁ δέ οἱ τοὺς ἀνθρώπους ἐδεῖτο
χαρίζεσθαι ὅσοι ἐν τῷ πολέμῳ τούτῳ καταφεύγοντες παρ' αὐτὸν
ἵκωνται. ταύτην Καβάδης τὴν δέησιν ἐπιτελῆ ἐποίει καὶ γράμ-
ματα ἐδίδου τῆς ἀσφαλείας ἐνέχυρα. πολλοὶ γοῦν πανταχόθεν
ξυρρέοντες ἐνταῦθα ἐσώζοντο· περιβόητος γὰρ ἡ πρᾶξις ἐγένετο.
ταῦτα μὲν ὧδέ πη ἔσχε.

Καβάδης δὲ Ἄμιδαν πολιορκῶν κριὸν τὴν μηχανὴν πανταχόσε τοῦ περιβόλου προσέβαλε. καὶ Ἀμιδηνοὶ μὲν τὴν ἐμβολὴν ἀεὶ δοκοῖς τισιν ἐγκαρσίαις ἀνέστελλον, ὁ δὲ οὐκ ἀνῆκεν, ἕως ταύτῃ ἀνάλωτον εἶναι τὸ τεῖχος ἔγνω. πολλάκις γὰρ ξυμβαλὼν

18. περιβόητος] „περιβόητον Reg.“ Malt.

Hanc ille sedem diutissime tenuerat, ab aestu invictus et frigore, leguminibus vitam tolerans; ac ne his quidem quotidie, sed longa per intervalla consueverat vesci. Eum forte Ephthalitae nonnulli illac pervagantes viderunt. Mox animos barbaros libido incessit sagittas in virum experiendi. Iamque collimabant, cum omnium repente manus ita diriguere, ut ad arcum inertes haeserint. Discurrens rei fama per castra, ubi pervenit ad Cabadem, eum ut oculis miraculum acciperet perpulit. Simul vidit, obstupuit, et cum eo Persae qui aderant: tum barbaris delicti gratiam precatus est a Iacobo; qui continuo exoratus, poena solutos dimisit. At Cabades optionem quidvis petendi fecit, ratus grandem pecuniam rogaturum, ideoque iactanter pollicitans ipsius vota cumulate impletum iri. Hoc ille unum poposcit, ut quicunque per id bellum ad se perfugerent, sibi omnes condonarentur. Postulatum Cabades ratum habens, fidei publicae literas dedit. Ita multis data salus, qui eo undique confluxerunt, fama rei gestae exciti. Haec ibi.

Cum autem Cabades Amidam oppugnans ab omni parte muros ariete verberaret, non cessabant oppidani, missis desuper trabibus transversis machinae caput decutere. Neque abstitit, donec ea via expugnari moenia non posse animadvertit. Iteratis enim saepe impressionibus nequive-

P 21 *καθελεῖν τι τοῦ περιβόλου ἢ κατασεῖσαι ἥκιστα ἴσχυσεν, οὕτως ἀσφαλῶς ἡ οἰκοδομία τοῖς δειμαμένοις τῶν παλαιῶν εἴργαστο. τούτου δὲ Καβάδης ἀποτυχὼν λόφον τινὰ χειροποίητον ἐπιτείχισμα τῇ πόλει ἐποίει, μέτρῳ πολλῷ ὑπεραίροντα τοῦ τείχους τὸ μῆκος, οἵ τε πολιορκούμενοι ἐντὸς τοῦ περιβόλου ἀρξάμενοι κατώρυχα μέχρις ἐς τὸν λόφον ἐποίουν, καὶ λάθρα ἐνθένδε τὸν χοῦν ἐκφοροῦντες κενὰ ἐπὶ πλεῖστον τὰ ἐντὸς τοῦ λόφου εἰργάσαντο. τὰ μέντοι ἐκτὸς ἐφ' οὗπερ ἐγεγόνει σχήματος ἔμεινεν, οὐδενὶ αἴσθησιν παρεχόμενα τοῦ πρασσομένου. πολλοὶ μὲν Πέρσαι ὥσπερ ἐπ' ἀσφαλοῦς ἀναβαίνοντες ἔν τε τῇ ἄκρᾳ ἐγένοντο καὶ*
B *βάλλειν ἐνθένδε κατὰ κορυφὴν τοὺς ἐν τῷ περιβόλῳ διενοοῦντο. τοῦ δὲ ὁμίλου δρόμῳ ἐπιρρέοντος ἐκπεσὼν ὁ λόφος ἐκ τοῦ αἰφνιδίου σχεδόν τι ἅπαντας ἔκτεινε. Καβάδης δὲ τοῖς παροῦσιν ἀπορούμενος τὴν προσεδρείαν διαλύειν ἔγνω, καὶ τῷ στρατοπέδῳ ἀναχωρεῖν ἐς τὴν ὑστεραίαν ἐπήγγελε. τότε δὴ οἱ πολιορκούμενοι, ἅτε τοῦ κινδύνου ἀφροντιστήσαντες, πολλὰ τοὺς βαρβάρους ξὺν γέλωτι ἀπὸ τοῦ περιβόλου ἐτώθαζον. καί τινες ἑταῖραι ἀνελκύσασαι κόσμῳ οὐδενὶ τὴν ἐσθῆτα Καβάδῃ ἄγχιστά που ἑστηκότι ἐδείκνυον ὅσα τῶν γυναικῶν γυμνὰ φανῆναι ἀνδράσιν οὐ θέμις. ὅπερ κατιδόντες οἱ μάγοι τῷ τε βασιλεῖ ἐς ὄψιν ἦλθον καὶ τὴν*
C *ἀναχώρησιν διεκώλυον, ξυμβάλλειν ἰσχυριζόμενοι τῷ γεγονότι ὡς ἅπαντα Καβάδῃ Ἀμιδηνοὶ τά τε ἀπόρρητα καὶ κρυπτόμενα οὐκ ἐς μακρὰν δείξουσιν. οὕτω μὲν τὸ τῶν Περσῶν στρατόπεδον αὐτοῦ ἔμεινεν.*

15. ἐπήγγελε] ἐπήγγελλε L.

rat tantulum labefacere: adeo firmum opus fecerant antiqui structores. Ea spe delectus Cabades, aggerem, unde urbem appeteret, molitus est, tam altum, ut muros longe superaret. Contra obsessi, intra muros coeptum cuniculum perduxerunt usque ad aggerem: unde terra furtim egesta, molem late inanierunt intus, manente, ut erat, extrinsecus facie, sic ut nemini indicium ullum subiectae fraudis praeberet. Quare ad fastigium magno Persae numero intrepide ascendebant, ut in murorum propugnatores tela desuper mitterent. Sed eo confertiori multitudine affluente, subsidens repente tumulus ruinam dedit, qua fere omnes absorpti sunt. His in angustiis decrevit Cabades obsidionem solvere, suisque profectionem in diem proximum edixit. Tum obsessi metu vacui, e moenibus crebra in Barbaros dicteria ac sannas torquere. Quin eo prorupit impudentia meretricularum, ut reducta veste astanti prope Cabadi eam corporis partem ostentarint, quam foeminae nudam viris monstrare honeste nequeunt. Rem conspicati Magi ad Regem adeunt, et profectionem dissuadent, affirmantes inde certo se augurari brevi fore, ut quidquid arcani penitusque reconditi haberent Amideni, ab ipsis patefieret. Itaque ille castra non movit.

Ἡμέραις δὲ τῶν τις Περσῶν οὐ πολλαῖς ὕστερον ἄγχιστα
τῶν πύργων τινὸς ἐκβολὴν ὑπονόμου παλαιοῦ εἶδεν οὐ ξὺν τῷ
ἀσφαλεῖ κεκαλυμμένην, ἀλλὰ χάλιξι σμικραῖς τε καὶ οὐ λίαν συ-
χναῖς. νύκτωρ τε μόνος ἐνταῦθα ἥκων καὶ τῆς εἰσόδου ἀποπει-
ρασάμενος ἐντὸς τοῦ περιβόλου ἐγένετο. ἅμα δὲ ἡμέρᾳ τὸν πάν-
τα λόγον Καβάδῃ ἀπήγγελε. καὶ ὃς τῇ ἐπιγινομένῃ νυκτὶ κλίμα-
κας ἐν παρασκευῇ ποιησάμενος ξὺν ὀλίγοις τισὶν ἐνταῦθα ἦλθε. D
καί τις αὐτῷ δεξιὰ ξυνηνέχθη τύχη τρόπῳ τοιῷδε. τὸν πύργον,
ὃς δὴ τοῦ ὑπονόμου ἄγχιστα ἐτύγχανεν ὤν, φυλάσσειν τῶν Χρι-
στιανῶν οἱ σωφρονέστατοι ἔλαχον, οὕσπερ καλεῖν μοναχοὺς νε-
νομίκασι. τούτοις ἑορτήν τινα ἄγειν ἐνιαύσιον ἐκείνῃ τῇ ἡμέρᾳ
τετύχηκεν. ἐπεί τε ἡ νὺξ ἐπεγένετο, ἅπαντες, ἅτε κόπῳ μὲν
πολλῷ διὰ τὴν πανήγυριν ἀμελήσαντες, μᾶλλον δὲ τοῦ εἰθισμέ- V 237
νου σιτίων τε καὶ ποτοῦ ἐς κόρον ἐλθόντες ὕπνον τινὰ ἡδύν τε
καὶ πρᾶον ἐκάθευδον καὶ ἀπ' αὐτοῦ ὡς ἥκιστα τῶν ποιουμένων
ᾐσθάνοντο. Πέρσαι γοῦν διὰ τοῦ ὑπονόμου ἐντὸς τοῦ περιβό-
λου κατ' ὀλίγους γενόμενοι ἐς τὸν πύργον ἀνέβαινον, καὶ τοὺς μο-
ναχοὺς καθεύδοντας ἔτι εὑρόντες ἀπέκτειναν ἅπαντας. ὅπερ ἐπεὶ H 11
Καβάδης ἔγνω, τὰς κλίμακας τῷ τούτου τείχει δὴ ἄγχιστα τοῦ
πύργου προσῆγεν. ἡμέρα δὲ ἦν ἤδη. καὶ τῶν Ἀμιδηνῶν οἱ ἐν
τῷ πύργῳ τῷ ἐχομένῳ ἐφύλασσον αἰσθόμενοι τοῦ κακοῦ κατὰ τά- P 22
χος ἐβοήθουν. ἐνταῦθα ὠθισμῷ τε πολλῷ ἐπὶ πλεῖστον ἀμφότεροι
ἐς ἀλλήλους ἐχρῶντο καὶ τὸ πλέον ἤδη Ἀμιδηνοὶ ἔχοντες τῶν τε

13. ἀμελήσαντες Hm. ὁμιλήσαντες P. 14. ὕπνον — ἀπ' αὐτοῦ addidi ex A. *alto dulcique somno dormierunt, ex quo* — RV. 22. ὠθισμῷ] ὠθησμῷ A.

Paucis interiectis diebus Persa quidam oculos forte coniecit in fauces cuniculi veteris, qui propter turrim ductus fuerat. Eas autem temere et minutis duntaxat neque admodum multis obstructas silicibus deprehendit. Quo noctu solus cum accessisset, tentavit aditum et in urbem penetravit. Ut illuxit, rem plane indicavit Cabadi: qui nocte proxime consecuta, paratis scalis cum modica suorum manu illo se contulit, et quidem peropportune. Turris cuniculo proximae custodia Christianorum moderatissimis, quos Monachos appellant, obtigerat. Festum isti solenne egerant eo ipso die. Oborta nocte, fracti omnes gravi labore panegyris, et cibo ac potu supra consuetudinem expleti, quid hostis infra strueret minime sentiebant. At Persae paulatim in urbem per cuniculum illapsi, suggressique ad turrim, obrutos somno Monachos cum offendissent, ad unum omnes mactarunt. Tali suorum successu cognito Cabades scalas muro proxime turrim applicat. Vicinae turris custodibus lux fraudem aperuit. Nec mora: accurrere illi, subireque auxilio. Pertinacissime pugnatum est, cum utrique sese invicem truderent. Iam quidem prae-

ἀναβεβηκότων πολλοὺς ἔκτεινον καὶ τοὺς ἀπὸ τῶν κλιμάκων ἀνέστελλον, καὶ τοῦ ἀπεῶσθαι τὸν κίνδυνον οὐ μακράν που ἐγένοντο. ἀλλὰ Καβάδης αὐτὸς τὸν ἀκινάκην σπασάμενος καὶ αὐτῷ ἀεὶ δεδισσόμενος ἐς τὰς κλίμακας ὁρμῶν οὐκ ἀνίει τοὺς Πέρσας, θάνατός τε ἦν ἡ ζημία τοῖς ἐνθένδε ἀναστρέφειν τολμῶσι. διὸ δὴ B πλήθει πολλῷ οἱ Πέρσαι καθυπέρτεροι τῶν ἐναντίων γενόμενοι ἐνίκησάν τε αὐτοὺς τῇ μάχῃ καὶ κατὰ κράτος ἡ πόλις ἥλω ὀγδοηκοστῇ ἀπὸ τῆς πολιορκίας ἡμέρᾳ. φόνος τε Ἀμιδηνῶν πολὺς ἐγεγόνει, ἕως ἐσελαύνοντι ἐς τὴν πόλιν Καβάδῃ τῶν τις Ἀμιδηνῶν γέρων τε καὶ ἱερεὺς προσελθὼν εἶπεν ὡς οὐ βασιλικὸν τὸ φονεύειν τοὺς ἡλωκότας εἴη. Καβάδης μὲν οὖν θυμῷ ἔτι ἐχόμενος ἀπεκρίνατο, διὰ τί γάρ με πολεμεῖν ἔγνωτε; ὁ δὲ ὑπολαβὼν αὐ- C τίκα ἔφη ὅτι δὴ θεὸς οὐχ ἡμετέρᾳ γνώμῃ, ἀλλὰ σῇ ἀρετῇ παραδιδόναι σοι Ἄμιδαν ἤθελε. τούτῳ τῷ λόγῳ Καβάδης ἡσθεὶς κτείνειν οὐδένα τὸ λοιπὸν εἴασεν, ἀλλὰ τά τε χρήματα ληΐζεσθαι Πέρσας ἐκέλευε καὶ τοὺς περιόντας ἐν ἀνδραπόδων ποιεῖσθαι λόγῳ, καὶ αὐτῷ ἐξελέσθαι ἅπαντας αὐτῶν τοὺς δοκίμους ἐπέστελλεν.

Ὀλίγῳ τε ὕστερον χιλίους ἐπὶ τῇ φυλακῇ ἐνταῦθα λιπὼν, ἄρχοντά τε αὐτοῖς ἐπιστήσας Γλώνην ἄνδρα Πέρσην καὶ τῶν Ἀμιδηνῶν ἀνθρώπους τινὰς ὀλίγους οἰκτρούς, οἳ δὴ ἐς τὴν δίαιταν D ὑπηρετήσειν Πέρσαις ἔμελλον, αὐτὸς παντὶ τῷ ἄλλῳ στρατῷ καὶ τοὺς ἑαλωκότας ἔχων ἐπ' οἴκου ἀπήλαυνεν. ἐς τούτους δὲ τοὺς

16. ἐκέλευε A. ἐκέλευσε P.

valentes Amideni, eorum, qui ascenderant, occiderant multos, alios deturbabant e scalis, ita ut summum discrimen amoliti tantum non fuerint. Sed strictum Cabades acinacem Persis intentans, ad scalas compellere nunquam intermittebat: unde si qui pedem referrent, praesenti nece poenas luebant. Obrutis tandem maiori Persarum numero hostibus, vi capta urbs est octogesimo obsidionis die, atque ingens oppidanorum strages edita; donec sacerdos quidam senex ad Cabadem, cum in urbem ingrederetur, progressus, admonuit regium non esse facinus bello captos interficere. Cui Cabades iracundia adhuc ardens, *Nam quid vos*, ait, *impulit ut mihi hostiliter obsisteretis?* Mox ille: *Quoniam tua tibi virtute, non voluntate nostra Deus Amidam tradere voluit.* Adeo gratum Cabadi responsum hoc accidit, ut illico iusserit caedibus temperari, satis habens direptioni urbem relinquere ac residuos cives Persis addicere in servitutem, selectis sibi nonnullis, qui inter eos eminebant.

Paulo post Cabades imposito urbi praesidio virorum mille, cum Glonem Persam praefecisset, ac iussisset manere misellos aliquot Amidenos, qui ministeria circa victum obirent, domum repetiit cum exercitu reliquo et captivis, quibus regiam sane exhibuit humanitatem. Nam brevi

αἰχμαλώτους Καβάδης φιλανθρωπίᾳ ἐχρήσατο βασιλεῖ πρεπούσῃ· χρόνου γὰρ ὀλίγου ἐς τὰ οἰκεῖα ξύμπαντας ἀφῆκεν ἰέναι. τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτὸν, ὅτε Ῥωμαίων βασιλεὺς Ἀναστάσιος ἔργα ἐς αὐτοὺς ἐπεδείξατο ἀρετῆς ἄξια· φόρους τε γὰρ τοὺς ἐπετείους ἐς ἔτη ἑπτὰ ξύμπαντας ἀφῆκε τῇ πόλει καὶ αὐτοὺς κοινῇ τε καὶ ἰδίᾳ ἕκαστον πολλοῖς τισιν ἀγαθοῖς ἐδωρήσατο, ὥστε αὐτοῖς λήθην τῶν ξυμβεβηκότων πολλὴν γενέσθαι. ἀλλὰ ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.

η'. Τότε δὲ βασιλεὺς Ἀναστάσιος πολιορκεῖσθαι μαθὼν P 23 Ἄμιδαν, στράτευμα κατὰ τάχος διαρκὲς ἔπεμψεν. ἄρχοντες δὲ ἦσαν μὲν κατὰ συμμορίαν ἑκάστων, στρατηγοὶ δὲ ἅπασιν ἐφεστήκεσαν τέσσαρες, Ἀρεόβινδός τε Ὀλυβρίου κηδεστὴς, τοῦ τῆς ἐν ἑσπερίᾳ βεβασιλευκότος ὀλίγῳ πρότερον, τῆς ἑῴας δὲ τότε στρατηγὸς ἐτύγχανεν ὤν· καὶ τῶν ἐν παλατίῳ ταγμάτων ἀρχηγὸς Κέλερ (μάγιστρον Ῥωμαῖοι τὴν ἀρχὴν καλεῖν νενομίκασιν)· ἔτι μὴν καὶ οἱ τῶν ἐν Βυζαντίῳ στρατιωτῶν ἄρχοντες Πατρίκιός τε ὁ Φρὺξ καὶ Ὑπάτιος ὁ βασιλέως ἀδελφιδοῦς· οὗτοι μὲν τέσσαρες στρα- B τηγοὶ ἦσαν. ξυνῆν δὲ αὐτοῖς καὶ Ἰουστῖνος, ὃς δὴ ὕστερον Ἀναστασίου τελευτήσαντος ἐβασίλευσε, καὶ Πατρικιόλος ξὺν Βι- V 238 ταλιανῷ τῷ παιδὶ, ὃς δὴ ὅπλα ἀντάρας Ἀναστασίῳ τῷ βασιλεῖ οὐ πολλῷ ὕστερον ἐτυράννησε, καὶ Φαρεσμάνης Κόλχος μὲν γένος, διαφερόντως δὲ ἀγαθὸς τὰ πολέμια, καὶ Γοδίδισκλός τε καὶ Σβέσας, Γότθοι ἄνδρες, Γότθων τῶν οὐκ ἐπισπομένων Θευδε-

4. τε add. A. 19. Βιταλιανῷ] βιταλλιανῷ L. 22. γοδίδισκλος A. Γοδίδικλος P. 23. Σβέσας] Βέσσας Maltretus.

postea ad suos cuique lares remigrandi copiam fecit. Nec reditum hi punctum temporis distulere; quando Anastasius Imperator dignam et ipse excellenti animo munificentiam iis praestitit. Siquidem civitati ad septennium solidum vectigalia remisit, ac multa cum publice tum privatim dilargitus, magna congiariorum vi altam praeteritae calamitatis oblivionem induxit. Verum haec ad posterius tempus pertinent.

8. Statim autem ut Amidam circumsessam audiit Anastasius, exercitum eo misit, iustum illum quidem, sed Ducibus tot divisum, ut singulos singuli pene manipuli haberent. Quatuor erant belli Imperatores; Areobindus, Olybrii, qui imperium Occidentis paucis ante annis tenuerat, gener ac tum temporis Magister militum per Orientem: Celer Ordinum Palatinorum dux (Magistrum Romani dicunt) ac magistri militum in praesenti, nimirum Patricius Phryx atque Hypatius Augusti ex sorore nepos. His quatuor credita belli summa: quibus se Iustinus adiunxerat, is qui postea defuncto Anastasio ad Imperii clavum successit: Patriciolus item cum Vitaliano filio, qui brevi post intervallo rebellans, in Anastasium tyrannidem affectavit: et Pharesmanas natione Colchus, strenuus bello vir in paucis: et Godidiclus et Sbesas genere Gotthi; ex eorum

ῥίχῳ ἐς Ἰταλίαν ἐκ Θρᾴκης ἰόντι, γενναίω τε ὑπερφυῶς ἄμφω καὶ C τῶν κατὰ τὸν πόλεμον πραγμάτων ἐμπείρω, ἄλλοι τε πολλοὶ καὶ ἄριστοι εἵποντο. στράτευμα γὰρ τοιοῦτό φασιν οὔτε πρότερον οὔτε ὕστερον ἐπὶ Πέρσας Ῥωμαίους ξυστῆναι. οὗτοι μέντοι ἅπαντες οὐκ ἐς ταὐτὸ ἀγηγερμένοι οὐδὲ στράτευμα ἓν ποιησάμενοι ᾔεσαν, ἀλλ' αὐτὸς ἕκαστος τοῖς κατ' αὐτὸν στρατιώταις ἐξηγεῖτο ἐπὶ τοὺς πολεμίους. χορηγὸς δὲ τῆς τοῦ στρατοπέδου δαπάνης Ἀππίων Αἰγύπτιος ἐστάλη, ἀνὴρ ἐν πατρικίοις ἐπιφανής τε καὶ H 12 δραστήριος ἐς τὰ μάλιστα, καὶ αὐτὸν βασιλεὺς κοινωνὸν βασιλείας ἐν γράμμασιν ἀνεῖπεν, ὅπως οἱ ἐξουσία εἴη τὰ ἐς τὴν δαπάνην ᾗ βούλοιτο διοικήσασθαι.

D Ὁ μὲν οὖν στρατὸς οὗτος χρόνῳ τε ξυνελέγετο καὶ σχολαίτεροι ἐπορεύοντο. διὸ δὴ τοὺς βαρβάρους ἐν γῇ τῇ Ῥωμαίων οὐχ εὗρον, ἐπεὶ ἐξ ἐπιδρομῆς οἱ Πέρσαι τὴν ἔφοδον ποιησάμενοι αὐτίκα δὴ ἐς τὰ πάτρια ἤδη ἀνεχώρησαν ξὺν πάσῃ τῇ λείᾳ. τῶν δὲ στρατηγῶν οὐδεὶς ἐς πολιορκίαν τῶν ἐν Ἀμίδῃ ἀπολελειμμένων ἐν τῷ παρόντι καθίστασθαι ἤθελε· πολλὰ γὰρ ἐσκομίσασθαι σφᾶς τὰ ἐπιτήδεια ἔμαθον, ἀλλ' ἐς τῶν πολεμίων τὴν χώραν P 24 ἐσβολὴν ποιήσασθαι ἐν σπουδῇ εἶχον. οὐ μὴν ἐπὶ τοὺς βαρβάρους κοινῇ ᾔεσαν, ἀλλὰ χωρὶς ἀλλήλων στρατοπεδευόμενοι ἐπορεύοντο. ταῦτα Καβάδης μαθὼν (ἄγχιστα γάρ που ἐτύγχανεν ὤν) ἐς τὰ Ῥωμαίων ὅρια κατὰ τάχος ἐλθὼν ὑπηντίαζεν. οὔπω μέντοι Ῥωμαῖοι τῷ παντὶ στρατῷ Καβάδην ἰέναι ἐπ' αὐτοὺς

3. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

numero qui Theodoricum in Italiam e Thracia profectum secuti non erant, generosissimi ambo ac bello experti; aliique fortissimi viri complures. Is enim fuit exercitus, quo nec superiori memoria, nec post unquam florentiorem in Persas a Romanis conflatum ullum fuisse fama est. Sed disperse iter hi faciebant, neque in unum erant corpus coacti; cum suos quisque seorsum milites ductaret. Aerario castrensi praeerat Appion Aegyptius, Patricii ordinis lumen, animo vir maxime impigro, quem etiam Anastasius publicis literis consortem Imperii renuntiaverat, quo staret ipsi authoritas sumptus pro arbitrio dispensandi.

Hae porro copiae cum et otiosius fuissent collectae, et lentius procederent, haud offenderunt Barbaros in solo ditionis Romanae. Facta enim irruptione celerrimo impetu, continuo cum omni praeda sese receperant. Nec Ducum Romanorum quisquam adduci tum potuit, ut praesidium Amidae relictum, quod instructissimum esse acceperant, obsideret, versis omnium studiis ad agros hostium incursandos. Non petebant coniuncte Barbaros, at separate et castra et iter habebant. Quod ubi Cabades didicit (neque enim longe aberat) Romanos denuo fines mira pernicitate ingressus, occurrit de improviso. Neque dum Cabadem ipsum cum universo exercitu obvium se inferre nostri audierant; sed copiolam

ἔμαθον, ἀλλὰ Περσῶν ᾤοντο στράτευμα βραχύ τι ἐνταῦθα εἶναι. οἱ μὲν οὖν ἀμφὶ Ἀρεόβινδον ἐστρατοπεδεύσαντο ἐν χωρίῳ Ἀρζαμένων, ἀπέχοντι Κωνσταντίνης πόλεως δυοῖν ἡμέραιν ὁδόν· οἱ δὲ ἀμφὶ Πατρίκιον καὶ Ὑπάτιον ἐν χωρίῳ Σίφριος, ὅπερ Ἀμίδης πόλεως οὐχ ἧσσον ἢ πεντήκοντα καὶ τριακοσίους σταδίους ἀπέχει. Κέλερ γὰρ οὔπω ἐνταῦθα ἀφῖκτο.

Ἀρεόβινδος δὲ ἐπειδὴ Καβάδην παντὶ τῷ στρατῷ ἐπιέναι B σφίσιν ἐπύθετο, ἀπολιπὼν τὸ στρατόπεδον ξὺν τοῖς ἑπομένοις ἅπασιν ἐς φυγὴν ὥρμητο καὶ ἐς Κωνσταντίναν δρόμῳ ἐχώρει. ἐπελθόντες δὲ ὀλίγῳ ὕστερον οἱ πολέμιοι ἔρημον ἀνδρῶν αὐτοῖς χρήμασι τὸ στρατόπεδον εἷλον. ἐνθένδε κατὰ τάχος ἐπὶ Ῥωμαίων τὸ ἄλλο στράτευμα ᾔεσαν. οἱ δὲ ἀμφὶ Πατρίκιον καὶ Ὑπάτιον Ἐφθαλίταις ἐντυχόντες ὀκτακοσίοις, οἳ τοῦ Περσῶν στρατοῦ ἔμπροσθεν ᾔεσαν, σχεδόν τι ἅπαντας ἔκτειναν. οὐδὲν δὲ ἀμφὶ τῷ Καβάδῃ καὶ τῇ Περσῶν στρατιᾷ πεπυσμένοι, ἅτε νενικηκότες, ἀδεέστερον τῇ διαίτῃ ἐχρῶντο. τὰ γοῦν ὅπλα καταθέμενοι ἄριστον σφίσιν ἡτοίμαζον. ἤδη γὰρ τῆς ἡμέρας ὁ καιρὸς ἐνταῦθα C ἦγε. ῥύαξ δέ τις ἔρρει ἐν τούτῳ τῷ χώρῳ, ἵνα Ῥωμαῖοι τὰ κρέα καθαίρειν ἤρξαντο, οἷς δὴ σιτίζεσθαι ἤμελλον. τινὲς δὲ ἀχθόμενοι τῷ πνίγει καὶ λούεσθαι ἠξίουν. ταύτῃ ταραχθὲν τὸ τοῦ ῥύακος ὕδωρ πρόσω ἐχώρει. Καβάδης τε τὰ ἐς τοὺς Ἐφθαλίτας ξυμπεσόντα μαθὼν ἐπὶ τοὺς πολεμίους κατὰ τάχος ᾔει. κατιδών τε συγκεχυμένον τὸ τοῦ ῥύακος ὕδωρ καὶ ξυμβαλὼν τὸ ποιούμενον, ἔγνω ἀπαρασκεύους τοὺς ἐναντίους εἶναι, καὶ κατὰ

Persarum aliquam venire arbitrabantur. Metatus erat Areobindus in agro Arzamenorum, unde Constantinam usque iter est bidui; Patricius atque Hypatius ad castellum Siphrin Amida procul stadiis non minus CCCL. Celer nondum advenerat.

Ubi vero peti se a Cabade Areobindus, iamque cum omnibus copiis imminere audivit; desertis castris, Constantinam fuga praecipiti cum suis se recipit. Adfuere subinde hostes, et cum vacua militibus castra diripuissent, e vestigio iter ad alteram exercitus Romani partem intenderunt. Antecedebant Persas Ephthalitae DCCC. in quos forte cum Patricius atque Hypatius incidissent, eos ad unum fere conciderunt: nihil dum tamen de Cabade, nihil de exercitu Persico cognoverant. Quocirca solutis animis, ut iam victores, curabant corpora, armisque positis, sibi prandium parabant, appetente iam eius hora. Perfluebat illac rivus: in eo carnes, quas pransuri erant, purgabant: quidam etiam nudi aestum levabant lavando: quo fieri necesse erat ut turbida inde aqua decurreret. Cabades autem perlato cladis Ephthalitarum nuntio commotus, gradum addit: rivi demum inquinatam aquam conspicatus, et coniiciens id quod

κράτος ἤδη ἐπ' αὐτοὺς ἐλαύνειν ἐκέλευεν, αὐτίκα τε αὐτοῖς ἑστιω-
μένοις τε καὶ ἀνόπλοις οὖσιν ἐπέστησαν. Ῥωμαῖοι δὲ οὐχ ὑπε-
D νεγκόντες τὴν ἔφοδον ἐς ἀλκὴν μὲν τὸ παράπαν οὐκ ἔβλεπον,
ἔφευγον δὲ ὡς ἕκαστός ποι ἐδύνατο, καὶ αὐτῶν οἱ μὲν καταλαμ-
βανόμενοι ἔθνησκον, οἱ δὲ ἀνιόντες ἐς τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει,
ἔρριπτον αὐτοὺς κατὰ τὸ κρημνῶδες ξὺν φόβῳ καὶ θορύβῳ πολ-
λῷ. ὅθεν δὴ οὐδένα σεσῶσθαί φασι, Πατρίκιος δὲ καὶ Ὑπά-
V 239 τιος κατ' ἀρχὰς τῆς ἐφόδου διαφυγεῖν ἴσχυσαν. ἔπειτα δὲ Κα-
βάδης, Οὔννων πολεμίων ἐς γῆν τὴν αὐτοῦ ἐσβεβληκότων, παντὶ
τῷ στρατῷ ἐπ' οἴκου ἀνεχώρησε, πόλεμόν τε μακρὸν πρὸς τὸ
ἔθνος τοῦτο ἐς τῆς χώρας τὰ πρὸς ἄρκτον διέφερεν. ἐν τούτῳ
δὲ καὶ τὸ ἄλλο στράτευμα Ῥωμαίων ἦλθε, λόγου μέντοι ἄξιον
P 25 οὐδὲν ἔδρασαν, ὅτι δὴ αὐτοκράτωρ τοῦ πολέμου κατέστη οὐδείς,
ἀλλ' ἴσοι πρὸς ἀλλήλους οἱ στρατηγοὶ ὄντες ἀντεστάτουν τε ἀλ-
λήλων ταῖς γνώμαις καὶ γίνεσθαι ἐν τῷ αὐτῷ οὐδαμῇ ἤθελον.
Κέλερ δὲ ξὺν τοῖς ἑπομένοις Νυμφίον ποταμὸν διαβὰς ἐσβολήν
τινα ἐς τὴν Ἀρζανηνὴν ἐποιήσατο. ἔστι δὲ ὁ ποταμὸς οὗτος Μαρ-
τυροπόλεως μὲν ἀγχοτάτω, Ἀμίδης δὲ ὅσον ἀπὸ σταδίων τρια-
κοσίων. οἳ δὴ ληισάμενοι τὰ ἐκείνῃ χωρία ἐπανῆλθον οὐ πολλῷ
ὕστερον, δι' ὀλίγου τε ἡ ἐπιδρομὴ αὕτη ἐγένετο.

B θ'. Μετὰ δὲ Ἀρεόβινδος μὲν ἐς Βυζάντιον ὡς βασιλέα
μετάπεμπτος ἦει, οἱ δὲ λοιποὶ ἐς Ἄμιδαν ἀφικόμενοι χειμῶνος

5. ὃ] ὢ A. 11. τῆς χώρας τὰ A. τὰς χώρας τὰς P. 12. μέν-τοι L. μέν τι P. 16. Νυμφίον] Νύμφιον P. Illud de Aedif. p. 54 c. *Nymphaeus* apud Ammian. Marcell. XVIII, 9. ubi vide Vales. Νύμφιον castellum de Aedif. p. 75 d. 17. „Ἀρζανηνὴν Reg." Malt. Ἀρσανηνὴν P.

erat, imparatos nempe Romanos esse, in eos omni impetu citatis equis incurri iubet, supervenit epulantibus, et inermes invadit. Impressionem haud ferentes Romani, non pugnam, sed fugam quisque pro virili capessere; capi caedique alii; alii vicinum in montem evadere tentando, cum ingenti tumultu ac trepidatione per abrupta rupium ruere; ita ut elapsus nemo sit, Patricio Hypatioque exceptis, quibus licuit primo statim adventu hostium se proripere. Deinde Cabades, ubi Hunnos hostes suos audiit irrupisse in Persidem, exercitum universum reduxit, et cum ea gente bellum diutinum gessit ad Septentrionem. Advenere interea reliquae Rom. copiae: nihil tamen, quod operae pretium fuerit, patratum est; propterea quod bello non unus erat Imperator praepositus, at Duces inter se aequales, et ea re non in varia modo consilia, verum etiam castra distracti. Celer Nymphium amnem, qui proxime Martyropolin fluit, distatque Amida trecentis stadiis, transmisit cum suis, et in Arzanenen ingressus, brevi excursu regione vastata, confestim rediit.

9. Accitu postea Augusti Byzantium revocato Areobindo, caeteri Duces translatis Amidam castris, eam hyeme circumsederunt, ac saepe

ὥρᾳ ἐς πολιορκίαν καθίσταντο. καὶ βίᾳ μὲν ἑλεῖν τὸ χωρίον, καίπερ πολλὰ ἐγκεχειρηκότες, οὐκ ἴσχυσαν, λιμῷ δὲ τοῦτο ποιεῖν ἔμελλον· πάντα γὰρ τοὺς πολιορκουμένους τὰ ἐπιτήδεια ἐπιλελοίπει. ἀλλ᾽ οἱ στρατηγοὶ οὐδὲν πεπυσμένοι ἀμφὶ τῶν πολεμίων τῇ ἀπορίᾳ, ἐπειδὴ τοὺς στρατιώτας τῇ τε προσεδρείᾳ καὶ τῷ χειμῶνι H 13 ἀχθομένους ἑώρων, ἅμα δὲ καὶ Περσῶν στράτευμα ἐπὶ σφᾶς ἥξειν οὐκ ἐς μακρὰν ὑπετόπαζον, τρόπῳ ὅτῳ δὴ ἐνθένδε ἀπαλλάσσεσθαι ἐν σπουδῇ εἶχον. οἵ τε Πέρσαι, οὐκ ἔχοντες τίνες C ἂν ἐν τοῖσδε τοῖς δεινοῖς γένοιντο, τὴν μὲν ἀπορίαν τῶν ἀναγκαίων ἐς τὸ ἀκριβὲς ἔκρυπτον, δόκησιν παρέχοντες ὡς πάντων σφίσι τῶν ἐπιτηδείων ἀφθονία εἴη, ἐς δὲ τὰ οἰκεῖα ξὺν τῷ εὐπρεπεῖ λόγῳ ἀναχωρεῖν ἤθελον. γίνονται οὖν ἐν ἀμφοτέροις λόγοι, ἐφ᾽ ᾧ δὴ Πέρσαι λίτρας χρυσίου χιλίας λαβόντες ἀποδώσουσι Ῥωμαίοις τὴν πόλιν· ἑκάτεροί τε ἄσμενοι τὰ ξυγκείμενα ἐπιτελῆ ἐποίουν, τά τε χρήματα λαβὼν ὁ τοῦ Γλώνου υἱὸς Ἄμιδαν Ῥωμαίοις παρέδωκε. Γλώνης γὰρ ἤδη ἐτετελευτήκει τρόπῳ τοιῷδε.

Οὕτω μὲν ἐνστρατοπεδευσαμένων ἐνταῦθα Ῥωμαίων, Ἀμίδης D δὲ πόλεως ὄντων οὐ μακρὰν ἄποθεν, τῶν τις ἀγροίκων, ὥσπερ εἰώθει, ἐς τὴν πόλιν εἰσιὼν λάθρα ὄρνις τε καὶ ἄρτους καὶ τῶν ὡραίων πολλὰ τῷ Γλώνῃ τούτῳ ἀποδίδοσθαι χρημάτων μεγάλων, Πατρικίῳ τε τῷ στρατηγῷ ἐς ὄψιν ἐλθών, Γλώνην οἱ ἐς χεῖρας παραδώσειν ξὺν Πέρσαις διακοσίοις ὑπέσχετο, ἤν τινος ἀμοιβῆς

4. πεπυσμένοι Hm. πεπεισμένοι P. 6. ἑώρων] ἑώρουν P. 7. ὅτῳ A. οὕτω P. 11. ἐς δὲ A. εἰς δὲ P. 14. ἑκάτεροί τε A. ἑκάτεροι δὲ P.

quidem tentarunt vi expugnare; sed frustra. Propius factum nihil est quam ut fame rem ex sententia perficerent: iam enim cibaria obsessos defecerant. At Duces quo inopiae redactus hostis esset ignari, quoniam milites suos obsidionis hyemisque incommoda iniquissimis ferre animis videbant, sibique etiam persuadebant propediem affore Persarum exercitum; ideo sese illinc expedire quoquo modo quaerebant. Vicissim Persae omni auxilii spe abscissa, annonae quidem penuriam obscure ferebant, speciem atque opinionem praebentes abundantium rebus omnibus; eo vero spectabant ut reditum in patriam cum honesta aliqua conditione obtinerent. Convenit tandem ut Persae auri pondo mille acceptis urbem Romanis traderent: quod utrinque praestitum est lubenter. Pernumerata pecunia Romani Amidam receperunt a Glonis filio: nam Glones iam fato cesserat; quod ita accidit.

Cum haud procul Amida Romani stativa haberent, quidam rusticus, qui illis inscientibus in urbem itabat, optime Gloni vendere solitus aves, panes, variaque pomorum genera, Patricium Ducem convenit, recepitque se ipsi in manus Glonem cum Persis ducentis traditurum, si qua modo

ἐλπίδα λαβὼν παρ' αὐτοῦ εἴη. ὁ δὲ αὐτῷ ἅπαντα ὅσα ἦν βουλομένῳ ὑποσχόμενος ἔσεσθαι τὸν ἄνθρωπον ἀπεπέμψατο. καὶ ὃς τά τε ἱμάτια δεινῶς διαρρήξας καὶ δεδακρυμένῳ ἐοικὼς ἐς τὴν πόλιν ἐσῆλθε. παρά τε τὸν Γλώνην ἥκων τάς τε τρίχας τίλλων,
P 26 „Ἐτύγχανον μέν, ὦ δέσποτα," εἶπεν „ἅπαντά σοι ἐκ τοῦ χωρίου τἀγαθὰ φέρων, ἐντυχόντες δὲ στρατιῶται Ῥωμαῖοι (καὶ γάρ που ἐς τὰ ταύτῃ χωρία κατ' ὀλίγους περιιόντες τοὺς οἰκτροὺς ἀγροίκους βιάζονται) πληγάς τέ μοι οὐ φορητὰς προσετρίψαντο καὶ πάντα ἀφελόμενοι οἱ λῃσταὶ ᾤχοντο, οἷς δὴ ἐκ παλαιοῦ τοὺς Πέρσας τε δεδιέναι καὶ τοὺς γεωργοὺς βιάζεσθαι νόμος. ἀλλ' ὅπως, ὦ δέσποτα, σαυτῷ τε καὶ ἡμῖν καὶ Πέρσαις ἀμύνῃς. ἢν γὰρ ἐς τῆς πόλεως τὰ προάστεια κυνηγετήσων ἴῃς, θήραμά σοι οὐ φαῦλον ἔσται. κατὰ πέντε γὰρ ἢ τέτταρας οἱ κατάρατοι περιιόντες λωποδυτοῦσιν." ὁ μὲν ταῦτα εἶπεν. ἀναπεισθεὶς δὲ ὁ
B Γλώνης τοῦ ἀνθρώπου ἀνεπυνθάνετο πόσους ποτὲ Πέρσας οἴε-
V 240 ταί οἱ ἐς τὴν πρᾶξιν ἱκανοὺς ἔσεσθαι. ὁ δὲ πεντήκοντα μὲν ἀπο-

4. ἐσῆλθε A. εἰσῆλθε P. 6. Libri, ἐντυχόντες δὲ τοὺς οἰκτροὺς ἀγροίκους βιάζονται, πληγάς τέ μοι οὐ φορητὰς προσετρίψαντο καὶ πάντα ἀφελόμενοι οἱ λῃσταὶ ᾤχοντο, οἷς δὴ ἐκ παλαιοῦ στρατιῶται ῥωμαῖοι. καὶ γάρ που ἐς ταύτῃ χωρία κατ' ὀλίγους περιιόντας τοὺς πέρσας τε δεδιέναι καὶ τοὺς γεωργοὺς βιάζεσθαι νόμος. Quae Maltretus ex coniectura mutavit, ἐντυχόντες δὲ πληγάς τέ μοι οὐ φορητὰς προσετρίψαντο καὶ πάντα ἀφελόμενοι οἱ λῃσταὶ ᾤχοντο, ὡς δὴ („ἴσ. ὡς δὴ" Hm.) ἐκ παλαιοῦ στρατιῶται Ῥωμαῖοι τοὺς οἰκτροὺς ἀγροίκους βιάζονται. καὶ γάρ που ἐς ταύτῃ χωρία κατ' ὀλίγους περιιόντας τοὺς Πέρσας τε δεδιέναι καὶ τοὺς γεωργοὺς βιάζεσθαι νόμος. RV haec sic est interpretatus, *Plurima tibi bona, inquit, mi domine, ex agro adferebam, in vicinos milites incidens (nam palantes per agros excurrunt) plagis intolerandis sum ab eis petitus. Insuper his quae ferebam omnibus spoliatus, uti praedones solent, quos ex antiqua lege et Persae timent et rustici vim ex eis patiuntur.* Cuius vestigia secutus locum correxi.

fieret sibi mercedis spes.' Ille nihil non prolixe pollicitus, hominem remisit: qui sibi ipse laceratis indignum in modum vestibus ac ploranti similis urbem ingressus, ad Glonem adiit; tum coram capillos vellicans, *E vico*, inquit, *afferebam huc, Domine, quidquid rei cibariae habebam: incidi in latrones, milites dico Romanos: hanc enim artem iamdiu factitant, in miseros rusticos involando. Mihi vero plagas imposuere intolerabiles, et omnibus, quae portabam, ereptis aufugerunt. Sic nempe manipulatim divisi, circumiectos urbi agros obire, et vim, quam in Persas non audent suscipere, in agrestes convertere solent. Tibi autem facile et promptum est, Domine, non modo nos, sed te etiam ac Persas ulcisci. Tantummodo in suburbanum agrum exi ad venationem: ea tibi non male cedet. Siquidem scelesti illi non plures quam quaterni simul vel quini per campos volitant et latrocinia exercent.* Haec ille: quibus fidem adhibens Glones, rogat, quot tandem Persis ad rem exequendam sit

χρήσειν οἱ μάλιστα ἔφη· οὐ γὰρ ἂν αὐτῷ πλείοσί ποτε ἢ κατὰ πέντε ὁδῷ ἰοῦσιν ἐντύχοιεν, τοῦ δὲ μηδὲν ἀπροσδόκητον σφίσι ξυμβῆναι οὐδέν τι χεῖρον καὶ ἑκατὸν ἐς τὸ ἔργον ἀπαγαγέσθαι· ἢν δὲ καὶ τούτων διπλασίους, τῷ παντὶ ἄμεινον. βλάβος γὰρ ἀνθρώπῳ ἐκ τοῦ περιόντος οὐκ ἂν γένοιτο. Γλώνης μὲν οὖν ἱππέας διακοσίους ἀπολεξάμενος τὸν ἄνθρωπον σφίσιν ἐξηγεῖσθαι ἐκέλευεν. ὁ δὲ ἄμεινον ἰσχυρίζετο εἶναι αὐτὸν ἐπὶ κατασκοπῇ στέλλεσθαι πρότερον, καὶ ἢν ἔτι ἐν χωρίοις τοῖς αὐτοῖς περιιόντας Ῥωμαίους ἰδὼν ἀπαγγείλῃ, οὕτω δὴ ἐν δέοντι ποιεῖσθαι τὴν C *ἔξοδον Πέρσας. εὖ τε οὖν εἰπεῖν ἔδοξε τῷ Γλώνῃ καὶ αὐτοῦ ἀφιέντος ἐστέλλετο. παρά τε τὸν στρατηγὸν Πατρίκιον ἥκων ἅπαντα ἔφραζε· καὶ ὃς τῶν δορυφόρων αὐτοῦ δύο καὶ στρατιώτας χιλίους ἀπολεξάμενος ξὺν αὐτῷ ἔπεμψεν. οὓς δὴ ἀμφὶ κώμην Θιαλαασαμὼν σταδίους τεσσαράκοντα Ἀμίδης διέχουσαν ἐν νάπαις τε καὶ χωρίοις ὑλώδεσιν ἔκρυψε, καὶ αὐτοῦ μένειν ἐν ταύταις δὴ ταῖς ἐνέδραις ἐπέστελλεν, ἔς τε τὴν πόλιν δρόμῳ ἐχώρει. καὶ τῷ Γλώνῃ ἕτοιμον εἰπὼν τὸ θήραμα εἶναι, αὐτῷ τε καὶ τοῖς διακοσίοις ἐξηγήσατο ἐπὶ τὴν τῶν πολεμίων ἐνέδραν. ἐπειδή τε διέβησαν τὸν χῶρον, οὗπερ ἐλλοχίζοντες Ῥωμαῖοι ἐκά-* D *θηντο, καὶ αὐτῶν πρόσω ἐγένοντο, Γλώνην τε καὶ Πέρσας λαθὼν ἅπαντας, ἔκ τε τῆς ἐνέδρας τοὺς Ῥωμαίους ἀνέστησε καὶ αὐτοῖς τοὺς πολεμίους ἀνέδειξεν. οὕσπερ ἐπειδὴ ἐπὶ σφᾶς ἰόντας κατεῖδον Πέρσαι, κατεπλάγησάν τε τῷ ἀπροσδοκήτῳ καὶ ἀμη-*

9. οὕτω] οὕτως L. 14. Θιαλαασαμὼν] Θίαλα ἀσαμὼν Hm. *Thalisamum* RV. *ibid.* τεσσαράκοντα L. μ´ P.

opus? Is quinquaginta omnino sufficere, cum grassantes coniuncte ad summum quinos offendisset: ne quid tamen praeter opinionem incideret, haud abs re futurum ait, si centum educerentur: quin si turma altero tanto maior foret, providentius factum iri, nec fraudi noxaeve esse posse cumulati subsidii vim. Igitur cc. legit equites Glones et rusticum praeire iubet. Hic ille satius esse affirmat se prius exploratum ire, ac si quos iisdem, quibus ante, in locis vagari Romanos deprehenderit, venire protinus renuntiatum: ita demum Persas opportunissime erupturos. Data ab assentiente his Glone exeundi venia, se recta contulit ad Patricium, remque illi totam edidit. Milites Patricius mille deligit, iis praeficit corporis sui custodes duos et cum rustico proficisci iubet. Eos proditor circa vicum Thialaasamum, XL. dissitum ab urbe Amida stadiis, in saltibus occuluit, monuitque ut ibi cate se continerent. Tum urbem cursu contento repetit; Gloni paratam iam praedam nuntiat; eundem cum praesidiariis cc. ad locum deducit, quem Romani insederant. Eo transito, nihil Glone, nihil Persis persentiscentibus, Romanos excitat ex insidiis, atque ipsis hostem commonstrat. Mox illi infesti ruere. Adeo improviso casu attoniti Persae, quo se verterent nesciebant. Nam ne-

χανίᾳ πολλῇ εἴχοντο. οὔτε γὰρ ὀπίσω ἀπελαύνειν οἷοί τε ἦσαν, κατὰ νώτων ὄντων σφίσι τῶν ἐναντίων, οὔτε πῃ ἑτέρωσε φεύγειν ἐν γῇ πολεμίᾳ ἐδύναντο. ἐκ δὲ τῶν παρόντων ὡς ἐς μάχην ταξάμενοι τοὺς ἐπιόντας ἠμύνοντο, τῷ τε πλήθει παρὰ πολὺ ἐλασσούμενοι ἡττήθησάν τε καὶ ξὺν τῷ Γλώνῃ ἅπαντες διεφθάρησαν. ὅπερ ἐπειδὴ ὁ τοῦ Γλώνου υἱὸς ἔμαθε, περιαλγήσας τε καὶ τῷ θυμῷ ζέων, ὅτι δὴ τῷ πατρὶ ἀμύνειν οὐκ εἶχε, τὸν Συμεῶνος
P 27 νεὼν ἔκαυσεν ἁγίου ἀνδρός, ἵνα δὴ Γλώνης κατέλυε. καίτοι ἄλ-
H 14 λην τινὰ οἰκοδομίαν οὔτε Γλώνης οὔτε Καβάδης, οὐ μὴν οὐδὲ Περσῶν τις ἄλλος, οὔτε καθελεῖν ἔγνω οὔτε τῳ ἄλλῳ ἀφανίζειν τρόπῳ ἔν γε Ἀμίδῃ ἢ ταύτης ἐκτός. ἐγὼ δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.

Οὕτω μὲν Ἄμιδαν Ῥωμαῖοι τὰ χρήματα δόντες ἀπέλαβον δύο ἐνιαυτοῖς ὕστερον ἢ πρὸς τῶν πολεμίων ἑάλω. καὶ ἐπεὶ ἐν ταύτῃ ἐγένοντο, ἥ τε αὐτῶν ὀλιγωρία καὶ Περσῶν τὸ καρτερὸν
B τῆς διαίτης ἐγνώσθη. σιτίων τε γὰρ τῶν ἐνταῦθα λελειμμένων τὸ μέτρον καὶ βαρβάρων τῶν ἐξεληλυθότων τὸν ὅμιλον λογισάμενοι ἑπτὰ μάλιστα ἡμερῶν εὕρισκον δαπάνην ἐν τῇ πόλει ἀπολελεῖφθαι, καίπερ Γλώνου τε καὶ τοῦ ἐκείνου παιδὸς ἐνδεεστέρως ἢ κατὰ τὴν χρείαν πολλοῦ χρόνου ἐνδιδόντος τὰ σιτία Πέρσαις. Ῥωμαίοις γὰρ τοῖς ἐν τῇ πόλει, ὥσπερ μοι προδεδήλωται, ξὺν αὐτοῖς μείνασιν οὐδὲν τὸ παράπαν χορηγεῖν ἔγνωσαν, ἐξ ὅτου οἱ πολέμιοι ἐς τὴν πολιορκίαν κατέστησαν, οἳ δὴ ἐς βρώσεις ἀήθεις

7. Συμεῶνος Hm. Συμεώνου P. Symeonis RV.

que a tergo, cum inde Romanus instaret, neque alia ex parte, cum in solo hostico essent intercepti, patebat effugium. Instructa denique ut e re nata licuit acie, impetum sustinuere, donec numero obruti, internecione occiderunt, cum ipso Glone. Cuius filius haec postquam resciit, dolore atque ira incensus, quod inultus pater occubuisset, D. Symeonis aedem, ubi Glones oppetierat, incendit, novo scelere: nam nec Glones, nec Cabades, nec Persarum omnium quisquam unus aedificium ullum qua intra qua extra muros evertere, quove modo corrumpere ad eam diem aggressus erat. Ego vero ad institutam ante narrationem me refero.

Pacto, ut dicebam, ac persoluto auro, Romani Amidam receperunt, altero post anno quam capta ab hoste fuerat. Urbem ingressi, suam socordiam, ac Persarum in difficillimo victu tolerando constantiam agnoverunt. Quippe inita relictorum cibariorum mensura, unaque numero Barbarorum, qui urbe excesserant, compertum est alimenta in dies admodum septem fuisse reliqua; cum tamen Glones eiusque filius ea parcius, quam pro necessitate, diu Persis dispensassent. Nam quod ad Romanos attinet, qui in urbe, ut ante memoravi, cum ipsis remanserant, nihil iis annonae, ex quo obsidio coepta fuerat, impertire voluerant. Hinc miseri ad insuetas primum escas compulsi, nulla non re quamvis

τὰ πρῶτα ἐλθόντες, τῶν τε οὐ θεμιτῶν ἁψάμενοι πάντων, εἶτα C τελευτῶντες καὶ ἀλλήλων ἐγεύσαντο. διὸ δὴ ἐξηπατημένοι τε πρὸς τῶν βαρβάρων οἱ στρατηγοὶ ᾔσθοντο καὶ τοῖς στρατιώταις τὴν ἀκρασίαν ὠνείδιζον, ὅτι δὴ ἀπειθεστέρους αὐτοὺς παρεχόμενοι σφίσι, παρὸν δορυαλώτους Πέρσας τε τοσούτους τὸ πλῆθος καὶ Γλώνου τὸν υἱὸν ξὺν τῇ πόλει ἑλεῖν, οἱ δὲ τὰ Ῥωμαίων χρήματα ἐς τοὺς πολεμίους μετενεγκόντες αἶσχός τε ἀνεδήσαντο μέγα καὶ Ἄμιδαν ἀργυρώνητον πρὸς Περσῶν ἔλαβον. ὕστερον δὲ Πέρσαι τοῦ πρὸς Οὔννους πολέμου σφίσι μηκυνομένου ἐς D σπονδὰς Ῥωμαίοις ξυνίασιν, αἵπερ αὐτοῖς ἐς ἑπτὰ ἔτη ἐγένοντο, Κέλερός τε τοῦ Ῥωμαίου καὶ Ἀσπεβέδου τοῦ Πέρσου αὐτὰς ποιησαμένων, ἐπ᾽ οἶκόν τε ἀναχωρήσαντες ἀμφότεροι ἡσυχῇ ἔμενον. οὕτω μέν, ὥσπερ ἐρρήθη, ἀρξάμενος ὁ Ῥωμαίων τε καὶ Περσῶν πόλεμος ἐς τόδε ἐτελεύτα. τὰ δὲ ἀμφὶ πύλας τὰς Κασπίας ξυνενεχθέντα ἐρῶν ἔρχομαι.

ι΄. Τὸ Κιλίκων ὄρος ὁ Ταῦρος ἀμείβει μὲν τὰ πρῶτα P 28 V 241 Καππαδόκας τε καὶ Ἀρμενίους καὶ τῶν Περσαρμενίων τὴν γῆν, ἔτι μέντοι Ἀλβανούς τε καὶ Ἴβηρας, καὶ ὅσα ἄλλα ἔθνη αὐτόνομά τε καὶ Πέρσαις κατήκοα ᾤκηνται ταύτῃ. ἐξικνεῖται γὰρ ἐς χώραν πολλήν, προϊόντι δὲ ἀεὶ τὸ ὄρος τοῦτο ἐς μέγα τι χρῆμα εὔρους τε καὶ ὕψους διήκει. ὑπερβάντι δὲ τοὺς Ἰβήρων ὅρους ἀτραπός τίς ἐστιν ἐν στενοχωρίᾳ πολλῇ, ἐπὶ σταδίους πεντήκον-

4. αὐτοὺς] αὑτοὺς P. 6. ἑλεῖν, οἱ] ἑλεῖν. οἱ P. 17. Περσαρμενίων] „Reg. addit καλουμένων.“ Malt. περσῶν καλουμένων Hm.

illicita manus atque ora temeraverant, coacti etiam ad extremum humana carne vesci, seque invicem vorare. Tunc tandem Duces fraude Barbarorum detecta, ingesserunt probra militibus, et effraenem animi impotentiam notarunt, quod cum sibi in manu esset ut Glonis filio totque Persis ad captivorum conditionem subactis pariter cum urbe potirentur, tum se contumaciores praebuissent. Ipsi vero data hosti Romana pecunia, ac pretio recepta Amida maculam sibi maximam inusserunt. Postea Persae, quoniam longius bellum Hunnicum ducebatur, cum Romanis pepigere inducias annorum septem, Celere Romano et Aspebede Persa sequestris: ac demum copiis utrique revocatis pacem agitarunt. Ita inchoatum, ut dixi, Romanos inter et Persas bellum resedit. Nunc ad ea venio, quae ad Portas Caspias contigerunt.

10. Taurus Ciliciae mons in Cappadociam primum excurrit: inde in Armeniam, Persarmeniam, Albaniam, Iberiam, et circumpositas qua sui qua Persici iuris ac ditionis gentes. Etenim evadit in immensum, et processu immane quantum cum in latitudinem crescit, tum in altitudinem. Ultra Iberiae fines inter summas angustias trames quidam stadiis

B τα ἐξικνουμένη. αὕτη τε ἡ ἀτραπὸς ἐς ἀπότομόν τινα καὶ ὅλως ἄβατον τελευτᾷ χῶρον. δίοδος γὰρ οὐδεμία τὸ λοιπὸν φαίνεται, πλήν γε δὴ ὅτι ὥσπερ τινὰ χειροποίητον πυλίδα ἐνταῦθα ἡ φύσις ἐξεῦρεν, ἣ Κασπία ἐκ παλαιοῦ ἐκλήθη. τὸ δὲ ἐνθένδε πεδία τέ ἐστιν ἱππήλατα καὶ ὑδάτων πολλῶν ἀτεχνῶς ἔμπλεα, καὶ χώρα πολλὴ ἱππόβοτός τε καὶ ἄλλως ὑπτία. οὗ δὴ τὰ Οὔννων ἔθνη σχεδόν τι ἅπαντα ἵδρυται ἄχρι ἐς τὴν Μαιῶτιν διήκοντα λίμνην. οὗτοι ἢν μὲν διὰ τῆς πυλίδος, ἧς ἄρτι ἐμνήσθην, ἴωσιν ἐς τὰ Περσῶν καὶ Ῥωμαίων ἤθη, ἀκραιφνέσι τοῖς ἵπποις ἴασι, καὶ περιόδῳ τινὶ οὐδαμῇ χρώμενοι οὐδὲ κρημνώδεσιν ἐντυχόντες χω-
C ρίοις, ὅτι μὴ τοῖς πεντήκοντα σταδίοις ἐκείνοις, οἵπερ ἐς τοὺς Ἰβηρίους ὅρους, ὥσπερ ἐρρήθη, διήκουσιν. ἐπ' ἄλλας δέ τινας ἐξόδους ἰόντες πόνῳ τε πολλῷ παραγίνονται καὶ ἵπποις οὐκ ἔτι χρῆσθαι τοῖς αὐτοῖς ἔχοντες. περιόδους τε γὰρ αὐτοὺς περιιέναι πολλὰς ἐπάναγκες καὶ ταύτας κρημνώδεις. ὅπερ ἐπειδὴ ὁ Φιλίππου Ἀλέξανδρος κατενόησε, πύλας τε ἐν χώρῳ ἐτεκτήνατο τῷ εἰρημένῳ καὶ φυλακτήριον κατεστήσατο. ὃ δὴ ἄλλοι τε πολλοὶ προϊόντος χρόνου ἔσχον καὶ Ἀμβαζούκης, Οὖννος μὲν γένος, Ῥωμαίοις δὲ καὶ Ἀναστασίῳ βασιλεῖ φίλος. οὗτος Ἀμβαζούκης ἐπειδὴ ἔς τε γῆρας ἀφῖκτο βαθὺ καὶ τελευτᾶν ἔμελλε,
D πέμψας παρὰ τὸν Ἀναστάσιον, χρήματά οἱ δοθῆναι ᾔτει, ἐφ'

6. οὗ δὴ τὰ om. A. 18. προϊόντος libri: περιιόντος P, typothetae, opinor, errore. *ibid.* Ἀμβαζούκης] *Aribazutes* RV hic et infra. 21. παρὰ] περὶ A.

L. in longitudinem patet, et praerupto atque insuperabili monte sic terminatur, ut exitus prorsum nullus appareat. Ibi Portam dumtaxat, quam diceres arte et manu factam, molita est natura: eam vetusto nomine Caspiam appellamus. Hinc late se campus aperit equitabilis, et ubertim riguus. Regionis pars maxima alendis equis accommoda est, spatiisque porrecta planissimis. Ibi omnes fere populi, quos Hunnorum nomen complectitur, habitant, eorumque sedes ad paludem usque Maeotin pertinent: qui si ea, cuius mentio modo incidit, porta in Persas ac Romanos erumpant, recentibus in equis expediti nec circuitum ullum conficiunt, nec praeterquam illo in tramite stadiorum L. ad Iberiae fines, ut diximus, pertingenti, derupta offendunt. Alia si exire veliat, haud sine labore improbo, nec nisi dimissis equis eo perrumpere valent. Tunc enim per longissimos montium flexus praeruptosque anfractus perreptare necesse habent. Quae cum olim Alexander Philippi filius intellexisset, aditum illum munivit foribus, et castellum imposuit, quod per manus multorum postremo in potestatem venit Ambazucis natione Hunni, et Romanis atque Anastasio Aug. impense amici. Hic paulo antequam senectam diem obiret iam aetate decrepita, per internuntium pecuniam pe-

ᾧ τό τε φυλακτήριον καὶ πύλας τὰς Κασπίας ἐνδώσει Ῥωμαίοις.
βασιλεὺς δὲ Ἀναστάσιος (δρᾶν γὰρ ἀνεπισκέπτως οὐδὲν οὔτε ἠπί-
στατο οὔτε εἰώθει) λογισάμενος ὅτι οἱ στρατιώτας ἐνταῦθα ἐκτρέ-
φειν ἀδύνατον ἦν ἐν χωρίῳ ἐρήμῳ τε ἀγαθῶν ἁπάντων καὶ οὐδα-
μῆ ἐν γειτόνων ἔχοντι ἔθνος Ῥωμαίοις κατήκοον, χάριν μὲν τῷ P 29
ἀνθρώπῳ τῆς ἐς αὐτὸν εὐνοίας πολλὴν ὡμολόγει, τὸ δὲ ἔργον
τοῦτο οὐδενὶ λόγῳ προσίετο. Ἀμβαζούκης μὲν οὖν οὐ πολλῷ
ὕστερον ἐτελεύτα νόσῳ, Καβάδης δὲ βιασάμενος τοὺς αὐτοῦ παῖ-
δας τὰς πύλας ἔσχεν.

Ἀναστάσιός τε βασιλεὺς, ἐπειδὴ ἐγένοντο αἱ πρὸς Καβάδην H 15
σπονδαὶ, πόλιν ἐδείματο ἐν χωρίῳ Δάρας ἰσχυρὰν τε ὑπερφυῶς
καὶ λόγου ἀξίαν, αὐτοῦ βασιλέως ἐπώνυμον. ἀπέχει δὲ αὕτη
πόλεως μὲν Νισίβιδος σταδίους ἑκατὸν δυοῖν δέοντας, καὶ ὅρων, B
οἳ τὰ Ῥωμαίων τε καὶ Περσῶν διορίζουσιν, ὀκτὼ καὶ εἴκοσι μά-
λιστα. Πέρσαι δὲ κωλύειν τὴν οἰκοδομίαν σπουδὴν ἔχοντες οὐ-
δαμῆ ἴσχυον ἀσχολίᾳ τῇ ἐς πόλεμον τὸν Οὐννικὸν πιεζόμενοι.
ἐπειδὴ δὲ αὐτὸν τάχιστα Καβάδης κατέλυσε, πέμψας παρὰ Ῥω-
μαίους ᾐτιᾶτο πόλιν αὐτοὺς οἰκοδομήσασθαι ἄγχιστά που τῶν
ὁρίων τῶν σφετέρων, ἀπειρημένον τοῦτο ἐν τοῖς Μήδοις τε καὶ
Ῥωμαίοις ξυγκειμένοις τὰ πρότερα. ὁ μὲν οὖν Ἀναστάσιος τὰ
μὲν ἀπειλῶν, τὰ δὲ φιλίαν τε τὴν ἐς αὐτὸν προτεινόμενος καὶ C

1. „ἐνδώσει Reg." Malt. ἐνδώσειν P. 4. ἀδύνατον] ἀδύνατος A. 5. ἐν γειτόνων] ἐγγείτονον A. ἐγγειτόνων praebet codex p. 337 b. 13. δυοῖν] δυεῖν A. ibid. „καὶ ὅρων οἳ cod. Vatic." Malt. χωρῶν, αἳ P. χώρας αἳ L. Malim ὅρων δὲ, οἳ. 20. ὁ μὲν] ὅτε μὲν P.

tiit ab Anastasio, promittens se Romanis arcem Portasque Caspias traditurum. At rem expendens Anastasius, eo vir ingenio ut nihil agere inconsiderate soleret, ubi vidit non posse militi commeatum suppetere in loco a rebus plane omnibus nudo, nec vicino genti ulli, quae Romanis pareret; gratiam quidem Ambazuci ob eius benevolentiam habere se magnam dixit; rem vero ipsam habuit in postremis. Morbo obiit paulo post Ambazuces, eiusque filiis per vim Cabades castello exactis, Portas occupavit.

Post pactas cum Cabade inducias, Anastasius Imp. ex pago Dara urbem fecit, munitissimam sane ac nobilissimam, quam et suo nomine insignivit. Distat Nisibi stadiis c. minus duobus; a limite autem utriusque imperii, circiter xxviii. Persas bellum Hunnicum tenuit, quominus ex animi sententia opus impedirent. Simul autem ut Cabades bellum confecit, ad Romanos misit qui suo nomine cum ipsis expostularent, quod contra pacta Medos inter et Romanos olim sancita urbem condidissent ad suos limites. Querelam hanc Anastasius qua minis, qua significatione

χρήμασιν οὐ φαύλοις δωρούμενος παρακρούεσθαί τε καὶ τὴν αἰτίαν ἐκλύειν ἤθελε. καὶ πόλιν δὲ ἄλλην ταύτῃ ὁμοίαν ἐν Ἀρμενίοις ὁ βασιλεὺς οὗτος ἀγχοτάτω ἐδείματο τῶν Περσαρμενίας
V 242 *ὁρίων, ἣ κώμη μὲν ἐκ παλαιοῦ ἐτύγχανεν οὖσα, πόλεως δὲ ἀξίωμα μέχρι ἐς τὸ ὄνομα πρὸς Θεοδοσίου βασιλέως λαβοῦσα ἐπώνυμος αὐτῷ ἐγεγόνει. ἀλλ' Ἀναστάσιος τείχει αὐτὴν ὀχυρωτάτῳ περιβαλὼν πράγματα Πέρσαις οὐδέν τι ἧσσον ἢ διὰ τὴν ἑτέραν παρέσχετο· ἐπιτειχίσματα γὰρ αὐτῶν τῇ χώρᾳ γέγονεν ἄμφω.*

D *ια'. Ἀναστασίου δὲ ὀλίγῳ ὕστερον τελευτήσαντος Ἰουστῖνος τὴν βασιλείαν παρέλαβεν, ἀπεληλαμένων αὐτῆς τῶν Ἀναστασίου ξυγγενῶν ἁπάντων, καίπερ πολλῶν τε καὶ λίαν ἐπιφανῶν ὄντων. τότε δὴ μέριμνά τις Καβάδῃ ἐγένετο μή τι Πέρσαι νεωτερίσωσιν ἐς τὸν αὐτοῦ οἶκον, ἐπειδὰν τάχιστα αὐτὸς τελευτήσῃ τὸν βίον, ἐπεὶ οὐδὲ ἀντιλογίας χωρὶς ἐς τῶν παίδων τινὰ παρα-*
P 80 *πέμψαι τὴν ἀρχὴν ἔμελλε. τῶν γὰρ οἱ παίδων τὸν πρεσβύτατον Καόσην τῆς μὲν ἡλικίας ἕνεκα ἐς τὴν βασιλείαν ὁ νόμος ἐκάλει, ἀλλὰ Καβάδην οὐδαμῇ ἤρεσκεν. ἐβιάζετο δὲ τήν τε φύσιν καὶ τὰ νόμιμα ἡ τοῦ πατρὸς γνώμη. Ζάμην δὲ, ὃς τὰ δευτερεῖα ἐφέρετο, τοῖν ὀφθαλμοῖν τὸν ἕτερον ἐκκεκομμένον ἐκώλυεν ὁ νόμος. ἑτερόφθαλμον γὰρ ἢ ἄλλῃ τινὶ λώβῃ ἐχόμενον οὐ θέμις Πέρσαις βασιλέα καθίστασθαι. Χοσρόην δὲ, ὃς αὐτῷ ἐκ τῆς*

5. πρὸς add. L. 6. „ὀχυρωτάτῳ Reg." Malt. ἐχυρωτάτῳ P. 7. „τὴν ἑτέραν Reg." Malt. τῆς ἑτέρας P. 21. Πέρσαις] περσας A.

amicitiae, submissa praesertim magna pecuniae vi depulit oppressitque. In Armenia quoque ad Persarmeniae fines parem huic urbem fecit ex vico veteri, qui cum urbis dignitatem verbo tenus accepisset a Theodosio Aug. de eius nomine Theodosiopolis dicebatur. Eam Anastasius moenibus validissimis cinxit, atque hoc opere non minus negotii molestiaeque Persis facessit quam illo altero. Siquidem ea deinceps duo fuere propugnacula ad illos infestandos commodissima.

11. Non ita multo post mortuo Anastasio, Iustinus Imperium suscepit, Anastasii propinquis omnibus, quamvis et magnus eorum esset numerus et summus splendor, a successione summotis. Quo tempore Cabadem invasit ac sollicitavit metus, ne quid novi in domum suam, statim ut abiisset e vita, Persae molirentur. Neque enim filiorum suorum quemquam regni scribere haeredem poterat, quin ipsi offerret se adversum aliquid. Ac lex quidem Caosem ob aetatis praerogativam ad regnum vocabat: sed ab eo voluntas Cabadis abhorrebat, et cum patriae, tum naturae leges ac iura perfringebat. Zamen, qui ortu succedebat proxime Caosi, quod altero oculo orbatus esset, lex a principatu arcebat. Nam hoc aliove quopiam vitio notatum nefas est Persis Regem creare. Tertius ex Aspebedis sorore susceptus Chosroes, unice diligebatur a patre:

Ἀσπεβέδου ἀδελφῆς ἐγεγόνει, ὑπερηγάπα μὲν ὁ πατήρ, ὁρῶν δὲ Πέρσας σχεδόν τι εἰπεῖν ἅπαντας τεθηπότας τὴν Ζάμου ἀνδρείαν (ἦν γὰρ ἀγαθὸς τὰ πολέμια) καὶ τὴν ἄλλην ἀρετὴν σέβοντας ἔδεισε μὴ Χοσρόῃ ἐπαναστάντες ἔργα ἀνήκεστα ἐς τὸ γένος καὶ B τὴν βασιλείαν ἐργάσωνται. ἔδοξεν οὖν αὐτῷ ἄριστον εἶναι τόν τε πόλεμον καὶ τὰς τοῦ πολέμου αἰτίας διαλῦσαι Ῥωμαίοις, ἐφ' ᾧ Χοσρόης παῖς εἰσποιητὸς Ἰουστίνῳ βασιλεῖ γένοιτο· οὕτω γὰρ οἱ μόνως τὸ ἐχυρὸν ἐπὶ τῇ ἀρχῇ διασώσασθαι. διὸ δὴ πρέσβεις τε ὑπὲρ τούτων καὶ γράμματα ἐς Βυζάντιον Ἰουστίνῳ βασιλεῖ ἵει. ἐδήλου δὲ τὰ γράμματα τάδε· „Οὐ δίκαια μὲν πεπονθέναι πρὸς Ῥωμαίων ἡμᾶς καὶ αὐτὸς οἶσθα, ἐγὼ δ' ὑμῖν τὰ ἐγκλήματα ἀφεῖναι πάντα παντελῶς ἔγνωκα, ἐκεῖνο εἰδώς, ὡς οὗτοι ἂν μάλιστα τῶν ἀνθρώπων νικῷεν, οἵ γε προσόντος αὐτοῖς τοῦ δικαίου εἶτα ἐλασσούμενοι ἑκόντες εἵνεκα τῶν φίλων ἡσσῶνται. χάριν μέντοι αἰτοῦμέν σε ὑπὲρ τούτων τινά, ἣ ἂν οὐχ ἡμᾶς αὐτοὺς C μόνον, ἀλλὰ καὶ τὸ ἑκατέρου ὑπήκοον ἅπαν ἔς τε τὸ ξυγγενὲς ξυνδέουσα καὶ τὴν ἀπ' αὐτοῦ ὡς τὸ εἰκὸς εὔνοιαν ἐς πόρον δή που τῶν τῆς εἰρήνης ἀγαθῶν καταστήσεσθαι ἱκανὴ εἴη. λέγω δὲ ὅπως ἂν Χοσρόην τὸν ἐμόν, ὅς μοι τῆς βασιλείας διάδοχος ἔσται, εἰσποιητὸν παῖδα ποιήσαιο.“

Ταῦτα ἐπεὶ ἀπενεχθέντα Ἰουστῖνος βασιλεὺς εἶδεν, αὐτός τε περιχαρὴς γέγονε καὶ Ἰουστινιανὸς ὁ βασιλέως ἀδελφιδοῦς, ὃς

1. ἀσπεβέδου HL. Ἀσπευέδου Photius infra p. 82 d. Ἀσπεσβέδου P. Abeuedo RV. Ἀπεβέδης p. 66 d. Ἀσπέβετος apud Cyrillum in Analectis Benedictinorum p. 19—28. 2. ἀνδρεῖαν] ἀνδρίαν P. 3. σέβοντας A. σέβων P, quod legit RV. 11. Addidi δ'. 17. ὡς] ἐς A. ibid. πόρον L. κόρον P.

qui tamen cum Persas fere omnes videret Zamis fortitudinem demirari (et vero bellica virtute caeterisque praestabat) verebatur ne conflata in Chosroem rebellione, domum regiam regnumque convellerent. Igitur facta optimum duxit bellum omnesque belli causas Romanis ea lege remittere, ut Iustinus Chosroem adoptaret. Nam in hoc uno firmum praesidium ad servandum ipsi regnum esse situm putabat. His de causis legatos ad Iustinum misit cum literis in hanc sententiam. *Multa quidem in nos Romani contra ius fasque, ut tute scis, admiserunt. Nihilo tamen minus iniurias omnino omnes vobis remittere est animus mihi, id probe scienti, neminem gloriosius vincere, quam qui ius a se stare cum videat, sponte amicorum gratia cedit. Sed gratiam pro his a te reposcimus, et eam quidem quae nos ditionisque nostrae populos coniungat vinculo propinquitatis, et nascituram hinc firmiorem amicitiam uberrimae pacis fructibus cumulet. Nimirum ut Chosroem meum, quem mihi haeredem designo, tibi filium adoptes peto.*

Magnum cepere gaudium ex his literis Iustinus eiusque ex sorore nepos Iustinianus, quem ipsi successurum non obscura erat opinio. Ac

δὴ αὐτῷ καὶ τὴν βασιλείαν ἐκδέχεσθαι ἐπίδοξος ἦν. καὶ κατὰ
τάχος ἐς τὴν πρᾶξιν ἠπειγέσθην τὴν εἰσποίησιν ἐν γράμμασι θέ-
D σθαι, ᾗ νόμος Ῥωμαίοις, εἰ μὴ Πρόκλος ἐκώλυσεν, ὃς βασιλεῖ
τότε παρήδρευε τὴν τοῦ καλουμένου κοιαίστωρος ἀρχὴν ἔχων,
ἀνὴρ δίκαιός τε καὶ χρημάτων διαφανῶς ἀδωρότατος. διὸ δὴ
οὔτε νόμον τινὰ εὐπετῶς ἔγραφεν οὔτε τι τῶν καθεστώτων κινεῖν
ἤθελεν, ὃς καὶ τότε ἀνταίρων ἔλεξε τοιάδε· „Νεωτέροις μὲν ἐγ-
χειρεῖν πράγμασιν οὔτε εἴωθα καὶ ἄλλως δέδοικα πάντων μάλιστα,
εὖ εἰδὼς ὅτι ἐν τῷ νεωτεροποιῷ τό γε ἀσφαλὲς οὐδαμῶς σώζεται.
δοκῶ δέ μοι, εἰ καὶ λίαν τις ἦν περὶ ταῦτα θρασύς, ἀποκνῆσαι
H 16 ἂν ἐς τήνδε τὴν πρᾶξιν καὶ κατορρωδῆσαι τὸν ἐξ αὐτῆς σάλον·
V 243 οὐ γὰρ ἄλλο οἶμαι οὐδὲν ἔν γε τῷ παρόντι ἡμῖν ἐν βουλῇ εἶναι ἢ
P 31 ὅπως ἂν τὰ Ῥωμαίων πράγματα Πέρσαις εὐπρεπεῖ παραδοίημεν
λόγῳ, οἵ γε οὐκ ἐγκρυφιάζοντες οὐδὲ παραπετάσμασί τισι χρώ-
μενοι, ἀλλὰ διαρρήδην ὁμολογοῦντες τὸ βούλευμα, οὕτως ἀναί-
δην ἀφαιρεῖσθαι τὴν βασιλείαν ἡμᾶς ἀξιοῦσι, τῷ μὲν τῆς ἀπά-
της φανερῷ τὴν ἀφέλειαν προϊσχόμενοι, λόγῳ δὲ ἀναιδεῖ τὴν
ἀπραγμοσύνην προβεβλημένοι. καίτοι ἐχρῆν ἑκάτερον ὑμῶν
ταύτην τῶν βαρβάρων τὴν πεῖραν παντὶ ἀποκρούεσθαι σθένει·
σὲ μέν, ὦ βασιλεῦ, ὅπως δὴ μὴ Ῥωμαίων εἴης βασιλεὺς ὕστα-
τος, σὲ δέ, ὦ στρατηγέ, ὅπως ἂν μὴ σαυτῷ ἐς τὴν βασιλείαν
ἐμποδὼν γένοιο. τὰ μὲν γὰρ ἄλλα σοφίσματα λόγου ὡς ἐπὶ πλεῖ-

6. ἔγραφεν] ἐγράφεν Suidas s. v. Πρόκλος. ibid. οὔτε] οὐδὲ P et Suidas. 8. οὔτε] οὐδὲ P. 13. τὰ A. τῶν P.

rem illi transegissent: iam enim adoptionem peragere confectis more Romano tabulis festinabant, nisi Proclus interpellasset. Is tunc Imperatori a consiliis erat, Quaesturam, ut vocant, gerens, spectatissimae vir integritatis et abstinentiae, qui nec novas leges facile condebat, nec se ut ex antiquo moveret aliquid sinebat induci. In hunc modum ille contra disseruit. *Res ego novas ut omnium maxime semper timui, ita minime experiri soleo, haud ignarus quam incerta alea plenae sint. Et quamvis ea in parte essem natura confidentior; tamen ab ista re, de qua nunc agitur, suscipienda refugerem, ac nisi fallor, procellam inde orituram reformidarem. Id unum iam nobis propositum videtur esse, ut honesto nomine rem Romanam Persis tradamus. Neque illi consilium suum occultant, aut quibusdam quasi velis obducunt: sed dum nude exponunt, perfricta fronte id agunt, ut nos imperio spolient, apertae fraudi simplicitatem, impudentique postulatui nihil machinantium speciem obtendentes. Hanc vero Barbarorum molitionem repellere totis viribus vos ambo potissimum, quorum maxime interest, debetis: tu quidem, Auguste, ne Romanorum ultimus Imperator sis; tu vero, Magister militum, ne aditum ad Imperium tibi ipse intercludas. Aliae ut plurimum fallaciae gravi quadam*

στον σεμνότητι καλυπτόμενα ἴσως ἄν που καὶ ἑρμηνέως τοῖς πολλοῖς B δέοιτο, αὕτη δὲ ἄντικρυς ἐκ προοιμίων εὐθὺς ἡ πρεσβεία τῷ Ῥωμαίων βασιλεῖ Χοσρόην τοῦτον, ὅστις ποτέ ἐστι, κληρονόμον εἰσποιεῖν βούλεται. οὑτωσὶ γάρ μοι περὶ τούτων διαλογίζεσθε. φύσει τοῖς παισὶ τὰ τῶν πατέρων ὀφείλεται, οἵ τε νόμοι τῷ διαλλάσσοντι ἀλλήλοις ἀεὶ ἐν πᾶσιν ἀνθρώποις μαχόμενοι ἐνταῦθα ἔν τε Ῥωμαίοις καὶ πᾶσι βαρβάροις ξυνίασί τε καὶ ξυνομολογοῦντες ἀλλήλοις κυρίους ἀποφαίνουσι τοὺς παῖδας εἶναι τοῦ τοῦ πατρὸς κλήρου. ὥστε τὰ πρῶτα ἑλομένοις ὑμῖν πάντα λελείψεται τὰ λοιπὰ ξυγχωρεῖν."

Πρόκλος μὲν τοσαῦτα εἶπε. βασιλεὺς δὲ καὶ ὁ βασιλέως ἀδελφιδοῦς τούς τε λόγους ἐνεδέχοντο καὶ τὸ πρακτέον ἐν βουλῇ C ἐποιοῦντο. ἐν τούτῳ δὲ καὶ ἄλλα Καβάδης γράμματα πρὸς Ἰουστῖνον βασιλέα πέμψας, ἄνδρας τε αὐτὸν στεῖλαι δοκίμους ἠξίου, ἐφ᾽ ᾧ τὴν εἰρήνην πρὸς αὐτὸν θήσονται, καὶ γράμμασι τὸν τρόπον σημῆναι καθ᾽ ὃν ἂν αὐτῷ τὴν τοῦ παιδὸς εἰσποίησιν θέσθαι βουλομένῳ εἴη. καὶ τότε δὴ Πρόκλος ἔτι μᾶλλον ἢ πρότερον τὴν Περσῶν πεῖραν διέβαλλε, καὶ μᾶλλον αὐτοῖς ἰσχυρίζετο, ὅπως δὴ τὸ Ῥωμαίων κράτος σφίσιν αὐτοῖς ὡς ἀσφαλέστατα προσποιήσωνται. καὶ γνώμην ἀπέφαινε τὴν μὲν εἰρήνην αὐτοῖς αὐτίκα δὴ μάλα περαίνεσθαι, ἄνδρας τε τοὺς πρώτους ἐκ βασιλέως ἐπ᾽ αὐτῇ στέλλεσθαι, οὓς δὴ δεήσει πυνθανομένῳ τῷ Καβάδῃ,

8. τοῦ τοῦ L. τούτου τοῦ H. τοῦ P. 13. ἄλλα] ἄλλῳ A.
16. εἰσποίησιν] ἐσποίησιν A. ibid. θέσθαι] θήσθαι (sic) A.

honestate orationis involutae, solertem interpretem requirunt: istaec autem legatio eo recta et palam vel ab ipso ortu intendit, ut Chosroem illum, quicunque est, Imperatori Romano haeredem adoptione obtrudat. Sic enim mecum ratiocinemini velim. Naturae iure bona patrum debentur filiis: et quamvis gentium omnium leges atque instituta caeteris in rebus discrepent; in hoc tamen cum inter Romanos, tum apud Barbaros etiam omnes conveniunt concinuntque, ut filios paternae dominos haereditatis declarent. Quare si primum amplectemini, consequens erit ut caetera concedatis.

Proclo haec locuto dedere manus Iustinus ac Iustinianus ipsius nepos: tum quid opus facto esset maturius consultarunt. Literas ad Iustinum ingeminabat Cabades, instat ut principes viros ad pacem coagmentandam allcget, significetque per literas quam in adoptando filio rationem teneri velit. Contra acrius adniti Proclus, in invidiam trahere Persarum instantiam, idque pugnare, Romanum eos Imperium firmissimo vinculo occupare ac facere suum velle. Porro author fuit ut pax cum illis pangeretur quamprimum, et ad hoc Imperator viros primarios destinaret, quos oporteret quaerenti Cabadi quae forma adoptionis esset

καθ' ὅ τι δεῖ τὴν εἰσποίησιν Χοσρόῃ γενέσθαι, διαῤῥήδην ἀπο-
D κρίνασθαι ὅτι δὴ, ὡς βαρβάρῳ προσήκει δηλονότι, οὐ γράμμασιν οἱ βάρβαροι τοὺς παῖδας ποιοῦνται, ἀλλ' ὅπλων σκευῇ. οὕτω τοίνυν τοὺς πρέσβεις Ἰουστῖνος βασιλεὺς ἀπεπέμψατο, ἄνδρας τοὺς Ῥωμαίων ἀρίστους ἕψεσθαι σφίσιν οὐκ εἰς μακρὰν ὑποσχόμενος, οἳ τά τε ἀμφὶ τῇ εἰρήνῃ καὶ τῷ Χοσρόῃ ὡς ἄριστα διοικήσονται. γράμμασί τε Καβάδην κατὰ ταὐτὰ ἠμείψατο. στέλλονται τοίνυν ἐκ μὲν Ῥωμαίων Ὑπάτιος, Ἀναστασίου τοῦ πρώην βεβασιλευκότος ἀδελφιδοῦς, καὶ Πατρίκιος, ἀρχὴν τῆς ἕω τὴν στρατηγίδα ἔχων, καὶ Ῥουφῖνος ὁ Σιλβανοῦ παῖς, ἔν τε πατρικίοις ἀνὴρ δόκιμος καὶ Καβάδῃ ἐκ πατέρων αὐτοῦ γνώριμος· ἐκ Περσῶν δὲ ἀνὴρ δυνατώτατός τε καὶ ἐξουσίᾳ πολλῇ χρώμενος, ὄνομα μὲν Σεόσης, Ἀδρασταδαρανσαλάνης δὲ τὸ ἀξίωμα, καὶ
P 82 Μεβόδης, τὴν μαγίστρου ἔχων ἀρχήν. οἳ δὴ ἐς χῶρόν τινα ξυνιόντες, ὃς γῆν τὴν Ῥωμαίων τε καὶ Περσῶν διορίζει, ἀλλήλοις τε ξυγγενόμενοι ἔπρασσον ὅπως τά τε διάφορα διαλύσωσι καὶ τὰ ἀμφὶ τῇ εἰρήνῃ εὖ διαθήσονται. ἧκε δὲ καὶ Χοσρόης ἐς ποταμὸν Τίγριν, ὃς δὴ πόλεως Νισίβιδος διέχει δυοῖν ἡμέραιν ὁδῷ μάλιστα, ὅπως, ἐπειδὰν τὰ ἐς τὴν εἰρήνην ἑκατέροις δοκῇ ὡς ἄριστα ἔχειν, αὐτὸς ἐς Βυζάντιον στέλλοιτο. πολλοὶ μὲν οὖν καὶ ἄλλοι λόγοι πρὸς ἀμφοτέρων ὑπὲρ τῶν ἐν σφίσι διαφόρων ἐλέ-

7. γράμμασί τε A. γράμμασι δὲ P. ibid. ταὐτὰ] ταῦτα P. 9. ἀδελφιδοῦς, καὶ Πατρίκιος] ἀδελφιδοῦς πατρίκιος, καὶ P. et Patritius RV. 13. δὲ] τε P. 16. ξυγγενόμενοι] ξυγγινόμενοι Suidas s. v. ἔπρασσον. ibid. διαλύσωσι] λύσωσι Suidas. 17. τῇ εἰρήνῃ] τὴν εἰρήνην Suidas. ibid. διαθήσονται] διαθήσωνται L. θήσονται Suidas.

Chosroi decreta, sine ulla ambage dare istud responsum, utique Barbaro conveniens, *Non per tabulas, sed per arma ac belli instrumenta Barbari adoptantur.* His ita constitutis, Legatos Persas Iustinus remisit, pollicitus suos e Romana delectos nobilitate subsecuturos, et quae ad pacem Chosroemque spectarent compositturos optime: simul Cabadi in eandem sententiam rescripsit. Igitur e Romanis Hypatius Anastasii nuperi Imperatoris ex sorore nepos, Patricius idem et militum per Orientem Magister, cum Rufino Sylvani filio, Patricio itidem, ipsique Cabadi ab avita stirpe cognito; e Persis Seoses summa vir potestate et Adrastadaransalanis dignitate inclytus cum Mebode Magistro missi, quemdam in locum convenere, qui regnum Persicum a Romano disterminat. Ibi in commune consultum est, quaesitaeque ad omnem discernendam litem et pacem sanctissime statuendam viae. Quin et Chosroes ad Tigrin usque bidui ab urbe Nisibi dissitum sese contulit, ut cum pax utrinque optime stabilita videretur, Byzantium peteret. Et ab Oratoribus quidem cum alia multa de rebus inter ipsos controversis dicta sunt; tum illud subie-

γοντο, καὶ γῆν δὲ τὴν Κολχίδα, ἣ νῦν Λαζικὴ ἐπικαλεῖται, Σεόσης ἔλεγε Περσῶν κατήκοον τὸ ἀνέκαθεν οὖσαν βιαζομένους λόγῳ οὐδενὶ Ῥωμαίους ἔχειν. ταῦτα Ῥωμαῖοι ἀκούσαντες δεινὰ B ἐποιοῦντο, εἰ καὶ Λαζικὴ πρὸς Περσῶν ἀντιλέγοιτο. ἐπεὶ δὲ καὶ τὴν εἰσποίησιν ἔφασκον δὴ γενέσθαι Χοσρόῃ οὕτως ὥσπερ βαρβάρῳ προσήκει, οὐκ ἀνεκτὰ Πέρσαις ἔδοξεν εἶναι. ἑκάτεροι οὖν διαλυθέντες ἐπ᾽ οἴκου ἀνεχώρησαν, καὶ Χοσρόης ἄπρακτος πρὸς τὸν πατέρα ἀπιὼν ᾤχετο, περιώδυνός τε ὢν τοῖς ξυμπεσοῦσι καὶ Ῥωμαίοις εὐχόμενος τῆς αὐτῶν ὕβρεως τίσασθαι.

Μετὰ δὲ Μεβόδης μὲν τὸν Σεόσην διέβαλλε Καβάδῃ, ὡς H 17 δὴ ἐξεπίτηδες οὐ οἱ ἐπιτεταγμένον πρὸς τοῦ δεσπότου τὸν Λαζι- C κῆς λόγον προθείη, τὴν εἰρήνην ἐκκρούων, Ὑπατίῳ τε κοινολο- V 244 γησάμενος πρότερον, ὃς δὴ βασιλεῖ τῷ οἰκείῳ εὐνοϊκῶς ὡς ἥκιστα ἔχων τήν τε εἰρήνην καὶ τὴν Χοσρόου εἰσποίησιν ἔργῳ ἐπιτελῆ οὐκ ἐᾷ γενέσθαι, πολλὰ δὲ κατηγοροῦντες καὶ ἄλλα οἱ ἐχθροὶ τὸν Σεόσην ἐς δίκην ἐκάλουν. Περσῶν μὲν οὖν ἡ βουλὴ ξύμπασα φθόνῳ μᾶλλον ἢ νόμῳ ξυνειλεγμένοι ἐδίκαζον. τῇ τε γὰρ ἀρχῇ οὐ ξυνειθισμένοι ἐν σφίσιν αὐτοῖς ἐπιεικῶς ἤχθοντο καὶ τῷ τρόπῳ τοῦ ἀνδρὸς χαλεπῶς εἶχον. ἦν γὰρ ὁ Σεόσης χρημάτων μὲν ἀδωρότατος καὶ τοῦ δικαίου ἐπιμελητὴς ἀκριβέστατος, ἀλαζονείας δὲ νόσῳ ἐχόμενος οὐδὲν ὁμοίως τοῖς ἄλλοις ἀνθρώποις. D ξυμφυὲς μὲν γὰρ δοκεῖ εἶναι τοῖς Περσῶν ἄρχουσι τοῦτό γε· ἐν

15. κατηγοροῦντες Hm. κακηγοροῦντες P. 17. ξυνειλεγμένοι A. ξυνειλεγμένη P. 18. ξυνειθισμένοι A. ξυνειθισμένη P.

cit Seoses, Colchidem, vulgo hodie Lazicam, a Romanis teneri, iniqua vi Persis ereptam, legitimis iam olim dominis. Excanduere his auditis Romani, indignum rati de Lazica etiam a Persis moveri litem. Vicissim ipsi ubi dixerunt Chosroem non aliter ac Barbarum adoptari, id vero Persis intolerabile visum est. Mox soluto coetu, utrique domum rediere. Chosroes perdita male opera ad patrem reversus est, exulcerato ac percito animo Romanis denuntians contumeliae ultionem.

Ad Cabadem postea Mebodes Seosem detulit, quod inducta ex composito, praeter domini sui mandatum, mentione de Lazica pacem disturbasset, prius collocutus cum Hypatio, qui male erga Principem suum animatus, paci et ipse Chosroisque adoptioni se interposuisset, neque ad exitum rem sivisset perduci. De his Seose aliisque bene multis postulato et in ius accersito ab inimicis, causam disceptavit Senatus Persidis universus, non tam lege vel usu, quam suadente invidia convocatus. Etenim nemo erat quin cum insolitam viri potentiam indigne secum ferret, tum eius etiam moribus offenderetur. Abstinentia quidem in eo summa et indeflexus amor iustitiae elucebant; at tam insigniter arrogans idem erat, ut quamvis optimatibus Persis vitium hoc familiare sit atque

δὲ τῷ Σεόσῃ καὶ αὐτοὶ ᾤοντο ὑπερφυῶς ἐς τὰ μάλιστα τὸ πάθος ἀκμάσαι. ἔλεγον δὲ οἱ κατήγοροι ταῦτα ἅπερ μοι προδεδήλωται καὶ ὡς ἥκιστα τῷ ἀνθρώπῳ βουλομένῳ εἴη ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν, εἰ περιστέλλει τὰ Περσῶν νόμιμα. κενά τε γὰρ αὐτὸν δαιμόνια σέβειν καὶ τελευτήσασαν ἔναγχος τὴν γυναῖκα θάψαι, ἀπειρημένον τοῖς Περσῶν νόμοις γῇ κρύπτειν ποτὲ τὰ τῶν νεκρῶν σώματα. οἱ μὲν οὖν δικασταὶ θάνατον τοῦ ἀνθρώπου κατέγνωσαν, Καβάδης δὲ ὥσπερ ξυναλγοῦντι ἅτε φίλῳ τῷ Σεόσῃ ἐῴκει, ἐξελέσθαι δὲ αὐτὸν οὐδαμῇ ἤθελεν. οὐ μὴν οὐδὲ ὅτι αὐτὸν δι᾽ ὀργῆς ἔχει ἐξήνεγκεν, ἀλλὰ τῷ λόγῳ παραλύειν τοὺς Περ-
P 33 σῶν νόμους οὐκ ἐβούλετο, καίπερ ζωάγρια τῷ ἀνθρώπῳ ὀφείλων, ἐπεὶ Σεόσης οἱ αἰτιώτατος γέγονε βιῶναί τε καὶ βασιλεῖ εἶναι. οὕτω μὲν ὁ Σεόσης καταγνωσθεὶς ἐξ ἀνθρώπων ἠφάνιστο. ἡ δὲ ἀρχὴ ἐξ αὐτοῦ ἀρξαμένη ἐς αὐτὸν ἐτελεύτησεν. ἕτερος γὰρ Ἀδρασταδαρανσαλάνης οὐδεὶς γέγονεν. καὶ Ῥουφῖνος δὲ Ὑπάτιον ἐς βασιλέα διέβαλλε. διὸ δὴ αὐτὸν παρέλυε τῆς ἀρχῆς βασιλεύς, καὶ τῶν οἱ ἐπιτηδείων τινὰς πικρότατα αἰκισάμενος οὐδὲν ὑγιὲς ἐν ταύτῃ τῇ διαβολῇ τὸ παράπαν εὗρε, κακὸν μέντοι οὐδὲν Ὑπάτιον ἄλλο εἰργάσατο.

B ιβ΄. Εὐθὺς δὲ Καβάδης, καίπερ ἐν σπουδῇ ἔχων ἐσβολήν τινα ἐς τῶν Ῥωμαίων ποιεῖσθαι τὴν γῆν, οὐδαμῇ ἴσχυεν, ἐπεὶ αὐτῷ ἐναντίωμα τοιοῦτον ξυνηνέχθη γενέσθαι. Ἴβηρες, οἳ ἐν

3. ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν] Ex Thucyd. I, 130. ubi libri meliores καθεστηκότι. 4. κενά] καινά? 12. οἱ om. A. 16. „διέβαλλε Reg.“ Malt. διέβαλε P.

adeo congenitum videatur, in Seose tamen summe id vigere ipsimet existimarent. Iis autem, quae supra retuli, haec addebant accusatores, illum rationem vitae a patriis Persarum institutis alienam sequi, vana numina colere, et cum lex esset de non humandis cadaveribus, fato recens functam uxorem humo mandasse. His arcessitum criminibus Iudices capite damnarunt. Ipsius quidem vicem, ut amici, dolere se Cabades prae se tulit; eum tamen noluit liberare, offensionem animi ita dissimulans, ut reverentiam legum Persicarum obtenderet. Atqui regnum debebat adeoque animam Seosi, qui ita damnatus interiit: unaque in eo desiit, in quo coeperat, summus ille magistratus. Neque enim Adrastadaransalanes alius deinceps quisquam fuit. Hypatium similiter Rufinus insimulavit apud Augustum, qui ipsum ea de causa exauthoravit, tortisque dirum in modum quibusdam ex illius familiaribus cum nihil certi elicuisset, poenam ei nullam praeterea irrogavit.

12. Continuo post, cum maxime vellet Cabades in fines Rom. irrumpere, minime potuit, suborto hoc impedimento. Iberum Asianorum

τῇ Ἀσίᾳ οἰκοῦσιν, πρὸς αὐταῖς που ταῖς Κασπίαις ἵδρυνται πύλαις, αἵπερ αὐτοῖς εἰσι πρὸς βορρᾶν ἄνεμον. καὶ αὐτῶν ἐν ἀριστερᾷ μὲν ἐχομένη πρὸς τὰς τοῦ ἡλίου δυσμὰς Λαζική ἐστιν, ἐν δεξιᾷ δὲ πρὸς ἀνίσχοντα ἥλιον τὰ Περσῶν ἔθνη. οὗτος ὁ λεὼς Χριστιανοί τέ εἰσι καὶ τὰ νόμιμα τῆς δόξης φυλάσσουσι ταύτης C μάλιστα πάντων ἀνθρώπων ὧν ἴσμεν, κατήκοοι μέντοι ἐκ παλαιοῦ τοῦ Περσῶν βασιλέως τυγχάνουσιν ὄντες. τότε δὴ αὐτοὺς ἤθελε Καβάδης ἐς τὰ νόμιμα τῆς αὐτοῦ δόξης βιάζεσθαι. καὶ αὐτῶν τῷ βασιλεῖ Γουργένῃ ἐπέστελλε τά τε ἄλλα ποιεῖν ᾗ Πέρσαι νομίζουσι καὶ τοὺς νεκροὺς τῇ γῇ ὡς ἥκιστα κρύπτειν, ἀλλ' ὄρνισί τε ῥίπτειν καὶ κυσὶν ἅπαντας. διὸ δὴ Γουργένης προσχωρεῖν Ἰουστίνῳ βασιλεῖ ἤθελε τά τε πιστὰ ἠξίου λαβεῖν, ὡς οὔποτε Ἴβηρας καταπροήσονται Πέρσαις Ῥωμαῖοι. ὁ δὲ ταῦτά τε αὐτῷ ξὺν προθυμίᾳ πολλῇ ἐδίδου καὶ Πρόβον τὸν Ἀναστασίου D τοῦ βεβασιλευκότος ἀδελφιδοῦν ἄνδρα πατρίκιον ξὺν χρήμασι πολλοῖς ἐς Βόσπορον ἔπεμψεν, ἐφ' ᾧ στράτευμα Οὔννων χρήμασιν ἀναπείσας Ἴβηρσι πέμπει ἐς ξυμμαχίαν. ἔστι δὲ πόλις ἐπιθαλασσία ἡ Βόσπορος, ἐν ἀριστερᾷ μὲν εἰσπλέοντι τὸν Εὔξει- V 245 νον καλούμενον πόντον, Χερσῶνος δὲ πόλεως, ἣ γῆς τῆς Ῥωμαίων ἐσχάτη ἐστὶν, ὁδῷ διέχουσα ἡμερῶν εἴκοσιν. ὧν δὴ τὰ ἐν μέσῳ ἅπαντα Οὖννοι ἔχουσιν. οἱ δὲ Βοσπορῖται αὐτόνομοι μὲν τὸ παλαιὸν ᾤκουν, Ἰουστίνῳ δὲ βασιλεῖ ἔναγχος προσχωρεῖν

2. βορρᾶν] βορὰν A. 5. ταύτης A. ταύτῃ P. 8. αὐτοῦ] αὑτοῦ P. 19. Χερσῶνος] Χερσώνης Hm. Sed Χερσῶνος p. 576 d. de Aedif. p. 63 a.

sedes Portas Caspias contingunt a Septentrione, sinistra Lazicam ab occasu, dextra ab ortu populos qui Persis parent. Christiani sunt, inter omnes, quos eo nomine censeri scimus, sacrarum legum ac caeremoniarum tenacissimi, quamvis Regi Persarum iam inde antiquitus subditi fuerint. Eos Cabades cum ad Religionis suae instituta vellet adigere, Gurgeni ipsorum Regi mandavit ut cum caeteros Persarum ritus amplecteretur, tum in primis ne mortuos tumularet, sed in praedam avibus canibusque proiiceret. Movit ea res Gurgenem ut in fidem Iustini concederet. Eam igitur imploravit, petiitque ut sibi promitteretur, nunquam Iberes a Romanis Persarum potestati permissum iri. Fidem ille perlubens dedit: mox Probum Imperatoris Anastasii a sorore nepotem, virum patricium, misit Bosporum cum ingenti pecunia, qua Hunnorum auxilia Iberibus adiungeret. Urbs est maritima Bosporus et ad laevam eorum sita qui in Pontum Euxinum invehuntur: dierum iter xx. distat Chersone, quae in illis partibus extrema urbs est Romani Imperii: obtinent autem Hunni quidquid inter illas interiacet. Id tenuerant Bosporitae, qui sui quidem iuris fuerant iam inde olim; non ita vero pridem se Iustino de-

P 34 ἔγνωσαν. ἐπεὶ δὲ Πρόβος ἐνθένδε ἄπρακτος ἀνεχώρησε, Πέτρον στρατηγὸν ξὺν Οὔννοις τισὶν ἐς Λαζικὴν βασιλεὺς ἔπεμψε Γουργένῃ ὅσῃ δύναμις ξυμμαχήσοντα. ἐν τούτῳ δὲ Καβάδης στράτευμα λόγου ἄξιον πολλοῦ ἐπί τε Γουργένην καὶ Ἴβηρας ἔπεμψε καὶ στρατηγὸν ἄνδρα Πέρσην, Οὐαρίζην μὲν τὸ ἀξίωμα, Βόην δὲ ὄνομα. ὅ τε Γουργένης ἐλάσσων ὀφθεὶς ἢ φέρειν τὴν Περσῶν ἔφοδον, ἐπεὶ τὰ ἐκ Ῥωμαίων οὐχ ἱκανὰ ἦν, ξὺν Ἰβήρων τοῖς λογίμοις ἅπασιν ἐς Λαζικὴν ἔφυγε, τήν τε γυναῖκα καὶ τοὺς παῖδας ξὺν τοῖς ἀδελφοῖς ἐπαγόμενος, ὧν δὴ Περάνιος ὁ πρεσβύτερος ἦν. ἐν δὲ τοῖς Λαζικῆς ὁρίοις γενόμενοι ἔμενον, ταῖς τε δυσχωρίαις
H 18 B φραξάμενοι τοὺς πολεμίους ὑφίσταντο. Πέρσαι δὲ αὐτοῖς ἐπισπόμενοι οὐδὲν ὅ τι καὶ λόγου ἄξιον ἔπρασσον, τοῦ πράγματος σφίσι διὰ τὰς δυσχωρίας ἀντιστατοῦντος.

Ἔπειτα δὲ οἵ τε Ἴβηρες ἐς Βυζάντιον παρεγένοντο καὶ Πέτρος ἐς βασιλέα μετάπεμπτος ἦλθε, καὶ τὸ λοιπὸν βασιλεὺς Λαζοῖς οὐ βουλομένοις ξυμφυλάσσειν τὴν χώραν ἠξίου στράτευμά τε καὶ Εἰρηναῖον ἄρχοντα πέμψαι. ἔστι δὲ φρούρια ἐν Λαζοῖς δύο εὐθὺς εἰσιόντι ἐκ τῶν Ἰβηρίας ὁρίων, ὧν ἡ φυλακὴ τοῖς ἐπιχωρίοις ἐκ παλαιοῦ ἐπιμελὴς ἦν, καίπερ ταλαιπωρίᾳ ἐχομένοις πολλῇ, ἐπεὶ οὔτε σῖτος ἐνταῦθα οὔτε οἶνος οὔτε τι ἄλλο ἀγαθὸν γίνεται. οὐ μὴν οὐδέ τι ἑτέρωθεν ἐσκομίζεσθαι διὰ τὴν στενοχω-
C ρίαν οἷόν τέ ἐστιν, ὅτι μὴ φερόντων ἀνθρώπων. ἐλύμοις μέντοι τισὶν ἐνταῦθα γινομένοις εἰθισμένον σφίσιν οἱ Λαζοὶ ἀποζῆν

diderant. Illinc Probus re infecta cum rediisset, misit Imperator in Lazicam Petrum ducem cum Hunnis aliquot; ut sociis armis pro virili iuvaret Gurgenem. Adversus quem et Iberes exercitum Cabades interea destinavit sane florentem, duce Boe homine Persa et ad Varizis dignitatem evecto. Gurgenes vero animadvertens sibi vires tenuiores esse, quam ut posset Persarum impetum sustinere; neque enim sufficiebat Romanum subsidium; cum Ibera omni nobilitate, germanis, uxore ac liberis, quorum erat maior natu Peranius, fugit in Lazicam. Ubi ventum ad eius fines consistunt, ibique hostem opperiuntur, muniti difficillimo locorum situ; qui Persas insequentes ita prohibuit, nihil ut memoratu dignum patrarint.

Deinde Byzantium concesserunt Iberes: Petrum revocavit Imperator et Lazis limites suos tueri praesidio recusantibus, Irenaeum ducem cum copiis misit. Primum in Lazicam ex Iberia aditum insident castella duo, quorum custodiae intenderant ab aevo indigenae, quamvis summa inopia conflictarentur. Nam nec frumentum ibi, nec vinum, neque aliud quicquam ad victum mitiorem accommodum provenit, immo vero neque aliunde nisi per baiulos importari viarum angustiae patiuntur. Panico, quod illic progignitur, assueti Lazi, eo victum tolerare poterant. Amotis inde

ἔσχυον. τούτους ἐξαναστήσας ἐνθένδε βασιλεὺς τοὺς φρουροὺς στρατιώτας Ῥωμαίους ἐκέλευεν ἐπὶ τῇ φυλακῇ τῶν φρουρίων καθίστασθαι. οἷς δὴ κατ' ἀρχὰς μὲν ἐπιτήδεια μόλις Λαζοὶ ἔφερον, ὕστερον δὲ αὐτοί τε πρὸς τὴν ὑπουργίαν ἀπεῖπον καὶ Ῥωμαῖοι τὰ φρούρια ταῦτα ἐξέλιπον, οἵ τε Πέρσαι αὐτὰ πόνῳ οὐδενὶ ἔσχον. ταῦτα μὲν ἐν Λαζοῖς γέγονε.

Ῥωμαῖοι δέ, Σίττα τε καὶ Βελισαρίου ἡγουμένων σφίσιν, ἐς Περσαρμενίαν τὴν Περσῶν κατήκοον ἐσβαλόντες χώραν τε πολλὴν ἐληίσαντο καὶ Ἀρμενίων πάμπολυ πλῆθος ἀνδραποδίσαντες ἀπεχώρησαν. τούτω δὲ τὼ ἄνδρε νεανία μὲν καὶ πρώτω D ὑπηνήτα ἤστην, Ἰουστινιανοῦ δὲ στρατηγοῦ δορυφόρω, ὃς δὴ χρόνῳ ὕστερον ξὺν Ἰουστίνῳ τῷ θείῳ τὴν βασιλείαν ἔσχεν· ἑτέρας δὲ ἐσβολῆς Ῥωμαίοις ἐς Ἀρμενίαν γεγενημένης Ναρσῆς τε καὶ Ἀράτιος παρὰ δόξαν ὑπαντιάσαντες ἐς χεῖρας ἦλθον. οἳ οὐ πολλῷ ὕστερον ἐς Ῥωμαίους τε αὐτόμολοι ἵκοντο καὶ ξὺν Βελισαρίῳ ἐς Ἰταλίαν ἐστράτευσαν, τότε μέντοι τοῖς ἀμφὶ Σίτταν τε καὶ Βελισάριον ξυμβαλόντες τὸ πλέον ἔσχον. εἰσέβαλλε δὲ καὶ ἀμφὶ πόλιν Νίσιβιν ἄλλη Ῥωμαίων στρατιά, ἧς Λικελάριος ἐκ Θρᾴκης ἦρχεν. οἱ δὲ φεύγοντες εὐθυωρὸν τὴν ἀναχώρησιν ἐποιήσαντο, P 35 καίπερ οὐδενὸς σφίσιν ἐπεξιόντος. διὸ δὴ Λικελάριον παρέλυσε μὲν τῆς ἀρχῆς βασιλεύς, Βελισάριον δὲ ἄρχοντα καταλόγων τῶν

8. ἐσβαλόντες] ἐσβαλλόντες (sic) A. 10. πρώτω ὑπηνήτα] Homerus Iliad. ω, 348. Odyss. κ, 279. πρῶτον ὑπηνήτῃ. 18. Λικελάριος] Λιβελάριος Hm. 19. εὐθυωρὸν] Etymolog. M. p. 391, 41. Εὐθύωρον: „Εὐθύωρον τὴν ἀναχώρησιν ἐποιήσαντο," εὐθυτάτην, σύντομον, παρὰ τὸ εὐθὺ καὶ τὸ ὥρα, οἷον αὐτῇ τῇ ὥρᾳ. Vide ad p. 144 c.

his stationariis, iussit Augustus castella a Rom. militibus custodiri: quibus initio quidem annonam Lazi, aegre licet, portabant; sed postea detrectarunt eiusmodi ministerium. Quamobrem castella deseruerunt Romani; Persae nullo negotio occuparunt. Et haec quidem acta in Lazica.

In Persarmeniam autem, provinciam ditionis Persicae, ingressi Romani Sitta ac Belisario ducibus, eam late vastarunt, et cum Armenorum, quos ceperant, turba maxima redierunt. Ambo tum adolescentes ac prima lanugine signati, satellites erant Iustiniani Magistri militum, quem postea ad Imperii consortium assumpsit Iustinus avunculus. Iterum Romani in Armeniam cum irrupissent, et Narses atque Aratius illis occurrissent ex inopinato, ad manus ventum est. Paulo post quidem ad Romanos ambo transfugerunt ac tandem in expeditionem Italicam Belisarium secuti sunt; tunc vero cum eodem et Sitta congressi, evaserunt superiores. In agrum Nisibenum alter exercitus, cui praeerat Licelarius Thrax, sese intulit; at statim qua venerat recessit, nemine persequente fugiens. Hac de causa Licelarium Augustus militiae gradu movit, et numeris, qui Darae erant,

ἐν Δάρας κατεστήσατο. τότε δὴ αὐτοῦ ξύμβουλος ᾑρέθη Προκόπιος, ὃς τάδε ξυνέγραψε.

V 246 B ιγ'. Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον Ἰουστῖνος βασιλέα τὸν
ἀδελφιδοῦν αὐτοῦ Ἰουστινιανὸν ξὺν αὐτῷ ἀνειπὼν ἐτελεύτησε,
καὶ ἀπ' αὐτοῦ ἐς μόνον Ἰουστινιανὸν ἡ βασιλεία ἦλθεν. οὗτος
Ἰουστινιανὸς ἐκέλευε Βελισάριον δείμασθαι φρούριον ἐν χωρίῳ
Μίνδουος, ὃ πρὸς αὐτοῖς ἐστι τοῖς Περσῶν ὁρίοις, ἐν ἀριστερᾷ
ἐς Νίσιβιν ἰόντι. ὁ μὲν οὖν σπουδῇ πολλῇ τὰ βασιλεῖ δόξαντα
ἐποίει ἐπιτελῆ, τό τε ὀχύρωμα ἐς ὕψος ἤδη πολυανθρωπίᾳ τεχνι-
C τῶν ᾔρετο. Πέρσαι δὲ ἀπεῖπον μὴ οἰκοδομήσασθαι περαιτέρω
μηδέν, οὐ λόγῳ μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις διακωλυταὶ ἀπει-
λοῦντες οὐκ ἐς μακρὰν ἔσεσθαι. ταῦτα ἐπεὶ βασιλεὺς ἤκουσεν
(οὐ γὰρ οἷός τε ἦν Βελισάριος Πέρσας ἐνθένδε τῷ παρόντι στρα-
τῷ ἀποκρούεσθαι), ἄλλην τε στρατιὰν ἐπήγγειλεν αὐτόσε ἰέναι
καὶ Κούτζην τε καὶ Βούζην, οἳ τῶν ἐν Λιβάνῳ στρατιωτῶν ἦρ-
χον τότε. τούτω δὲ ἀδελφὼ μὲν ἐκ Θρᾴκης ἤστην, νέω δὲ ἄμφω
καὶ οὐ ξὺν τῷ ἀσφαλεῖ τοῖς πολεμίοις ἐς χεῖρας ἰόντε. ἑκάτεροι
μὲν οὖν ξυλλεγέντες ἐπὶ τὴν οἰκοδομίαν ἀθρόοι ἦσαν, Πέρσαι
D μὲν αὐτὴν παντὶ σθένει διακωλύσοντες, Ῥωμαῖοι δὲ τοῖς τεκται-
νομένοις ἐπαμυνοῦντες. μάχης δὲ καρτερᾶς γενομένης ἡσσῶνται
Ῥωμαῖοι, φόνος τε αὐτῶν πολὺς γέγονε, τινὰς δὲ καὶ ἐζώγρησαν οἱ
πολέμιοι. ἐν τούτοις ἦν καὶ Κούτζης. οὓς δὴ οἱ Πέρσαι ἅπαν-

3. δὲ] Legebatur τε. 9. τεχνιτῶν L. τεχνητῶν P. Conf. ad p. 593 c. 14. ἄλλην τε L. τε om. P.

praefecit Belisarium: cui tunc delectus consiliarius est Procopius, author huius Historiae.

13. Aliquanto post fato functus Iustinus, sororis suae filium Iustinianum, quem collegam imperii declaraverat, solum Imperatorem reliquit. Hic autem Belisario mandavit, ut castellum conderet Mindone, qui locus proxime Persarum fines ad laevam est euntibus Nisibin. Mox ille se totum adhibuit ad perficienda quae Princeps animo proposuerat. Iamque surgebat munitio, urgente opus magna fabrorum vi, cum Persae ne id promoveretur interdixerunt, denuntiantes se brevi adfore, ut inceptum non lingua, sed manu prohiberent. Haec ubi Imperator audivit, quoniam Belisario non sufficiebant ad repellendum hostem copiae, quas habebat, alias subsidio misit, eoque iussit contendere Cutzem ac Buzem duces praesidiorum Libani. Fratres erant, ortu Thraces, et illos adolescentiae fervor ad pugnam temere rapiebat. Ergo coacta utrinque agmina ad aedificium confertim se admovent, eo quidem Persae consilio, ut omni ope impediant; Romani vero, ut fabros intentos operi tueantur. Confligitur acerrime: vincuntur demum Romani. Ingenti facta eorum caede, in potestatem hostium venere nonnulli, atque in his Cutzes. Persae, postquam ob-

τας εἰς τὰ οἰκεῖα ἤθη ἀπαγαγόντες, δήσαντές τε τὸν ἅπαντα χρόνον ἐν σπηλαίῳ καθεῖρξαν, καὶ τοῦ φρουρίου τὴν οἰκοδομίαν οὐδενὸς ἔτι ἀμυνομένου εἰς ἔδαφος καθεῖλον.

Ὕστερον δὲ βασιλεὺς Ἰουστινιανὸς στρατηγὸν τῆς ἕω Βελισάριον καταστησάμενος, στρατεύειν ἐπὶ Πέρσας ἐκέλευεν. ὁ δὲ στρατιὰν λόγου πολλοῦ ἀξίαν ἀγείρας ἐς Δάρας ἦλθε. καί οἱ Ἑρμογένης ξυνδιακοσμήσων τὸν στρατὸν ἐκ βασιλέως ἀφίκετο, τὸ τοῦ μαγίστρου ἀξίωμα ἔχων, ὃς Βιταλιανῷ παρήδρευε πρότερον, P 86 ἡνίκα βασιλεῖ Ἀναστασίῳ πολέμιος ἦν. καὶ Ῥουφῖνον δὲ βασιλεὺς πρεσβευτὴν ἔπεμψεν, ὃν δὴ ἐν Ἱεραπόλει τῇ πρὸς τῷ Εὐφράτῃ ποταμῷ μένειν, ἕως αὐτὸς σημήνῃ, ἐκέλευε. λόγοι γὰρ ἤδη πολλοὶ ἐπ' ἀμφότερα ἀμφὶ τῇ εἰρήνῃ ἐγίνοντο. ἄφνω δέ τις H 19 Βελισαρίῳ τε καὶ Ἑρμογένει ἀπήγγειλεν ὡς Πέρσαι ἐσβάλλειν ἐπίδοξοί εἰσιν ἐς γῆν τὴν Ῥωμαίων, πόλιν Δάρας αἱρήσειν ἐν σπουδῇ ἔχοντες. οἱ δὲ ταῦτα ἀκούσαντες τὰ ἐς τὴν παράταξιν ἐξηρτύοντο ὧδε. τῆς πύλης, ἣ πόλεως Νισίβιδος καταντικρυ κεῖται, οὐ μακρὰν ἄποθεν, ἀλλ' ὅσον λίθου βολὴν, τάφρον βαθεῖαν B τινα ὤρυξαν, διεξόδους πολλὰς ἔχουσαν. οὐκ ἐπ' εὐθείας μέντοι ἡ τάφρος ἥδε ὀρώρυκτο, ἀλλὰ τρόπῳ τοιῷδε. κατὰ μὲν τὸ μέσον βραχεῖά τις ἐγεγόνει εὐθεῖα, ἐφ' ἑκάτερα δὲ αὐτῆς ὀρθαὶ κεραῖαι πεποίηντο δύο, ἔς τε τὰ πέρατα ταῖν ὀρθαῖν κεραίαιν

12. ἐπ' ἀμφότερα Maltretus. ἄμφότερα HL. ἀμφοτέρωθεν HmLmP. 13. ἀπήγγειλεν] Legebatur ἀπήγγελλεν. Suidas s. v. ἐπίδοξος, Ὁ δὲ ἀπήγγειλεν ὡς Πέρσαι ἐπίδοξοί εἰσιν ἐς τὴν Ῥωμαίων γῆν εἰσβάλλειν. 21. πεποίηντο] Legebatur πεποίηνται.

sistente nemine munitionem aequarunt solo, captivos omnes abduxerunt in patriam, perpetuaque custodia damnarunt.

Post haec Magistrum militum per Orientem creavit Belisarium Iustinianus, eique bellum Persicum dedit. Ille vero, ubi exercitum collegit praeclarissimum, Daram petiit: quo etiam misit Augustus moderaturum cum ipso copias Magistrum Officiorum Hermogenem, qui Vitaliano a consiliis fuerat, quando hostem eum patiebatur Anastasius Augustus. Praeterea Rufinum Imperator legavit iussitque Hierapoli, quae ad Euphratem est posita, usque manere, dum ipse aliud mandatum daret. Iam enim multi de pace sermones ultro citroque serebantur; cum ecce Belisario atque Hermogeni nuntius venit referens opinionem esse, Persas eruptionem in Romanos moliri atque urbem Daram occupare velle. His illi auditis, quae opus erant ad decertandum acie praepararunt hoc modo. Ad iactum lapidis pro porta, quae Nisibin spectat, fossam percusserunt, quae iustam habuit altitudinem et certa per intervalla vias ac transitus. Nec linea ubique recta processit opus; verum ita, ut describam. In medio quidem recta linea praeduxerunt minorem fossam: ubi autem haec desinebat, duo utrinque cornua ad normam directa prorsum excurrebant:

αὖθις τὰς τάφρους ἐπὶ πλεῖστον εὐθείας ἐξῆγον. οἱ μὲν οὖν
Πέρσαι οὐκ ἐς μακρὰν στρατῷ πολλῷ ἦλθον, ἔν τε Ἀμμώδιος
χωρίῳ, πόλεως Δάρας μέτρῳ εἴκοσι σταδίων ἀπέχοντι, ἐστρα-
τοπεδεύσαντο ἅπαντες. ἄρχοντες δὲ ἄλλοι τε ἦσαν καὶ Πιτυάζης
C καὶ Βαρεσμανᾶς ἑτερόφθαλμος. στρατηγὸς δὲ εἷς ἅπασιν ἐφει-
στήκει, Πέρσης ἀνήρ, Μιρράνης μὲν τὸ ἀξίωμα (οὕτω γὰρ τὴν
ἀρχὴν καλοῦσι Πέρσαι), Περόζης δὲ ὄνομα. ὃς δὴ αὐτίκα παρὰ
V 247 Βελισάριον πέμψας τὸ βαλανεῖον ἐν παρασκευῇ ἐκέλευε ποιεῖσθαι.
λοῦσθαι γάρ οἱ ἐνταῦθα τῇ ὑστεραίᾳ βουλομένῳ εἶναι. διὸ δὴ
Ῥωμαῖοι τὰ ἐς τὴν ξυμβολὴν καρτερώτατα ἐξηρτύοντο, ὡς ἡμέρᾳ
τῇ ἐπιγενησομένῃ μαχούμενοι.

Ἅμα δὲ ἡλίῳ ἀνίσχοντι τοὺς πολεμίους ἐπὶ σφᾶς προϊόντας
ὁρῶντες ἐτάττοντο ὧδε. τῆς εὐθείας μὲν τὰ ἔσχατα τῆς ἀρι-
στερᾶς, ᾗ ἔνερθεν ἦν τῆς ὀρθῆς κεραίας μέχρι ἐς τὸν λόφον, ὃς
D ταύτῃ ἀνέχει, Βούζης εἶχε ξὺν ἱππεῦσι πολλοῖς καὶ Φάρας Ἔρου-
λος ξὺν ὁμογενέσι τριακοσίοις· ἐν ἀριστερᾷ δὲ αὐτῶν τῆς τάφρου
ἐκτὸς κατὰ τὴν γωνίαν, ἣν ἡ ὀρθὴ κεραία καὶ ἡ ἐνθένδε εὐθεῖα
ἐποίει, Σουνίκας τε ἦν καὶ Αἰγὰν, Μασσαγέται γένος, ξὺν ἱπ-

3. σταδίων] τὸ στάδιον πόδας ἔχει ρνδʹ, ἐπεὶ καὶ τὸ μίλιον ἑπτὰ περιέχει σταδίους, ὅπερ μίλιον χιλίους ὀκτακοσίους ἔχει πόδας, οὐχὶ ὅ τι οἱ πολλοὶ λέγουσι χιλίους μόνους, ἐπεὶ μίλια τὰ χίλια παρὰ Ῥωμαίοις. Schol. A. 4. Πιτυάζης] Πιτιάζης p. 41. Pityazes RV utrobique. 5. Βαρεσμανᾶς] Βαρεσμανὰς L. Βαρεσμανὰς P. Βαρεσμανᾶς p. 41. 42. Baresmanas RV. ibid. ἐφειστήκει] „ἐφεστήκει Reg.“ Malt. 8. ποιεῖσθαι] γενέσθαι Suidas s. v. λοῦτρον. Conf. p. 39 d. 9. λοῦσθαι] λοῦσαι L. λούσασθαι Suidas. 12. δὲ] Legebatur τε. 16. ἀριστερᾷ P ex Maltreti coniectura. Libri omnes δεξιᾷ. 18. Αἰγὰν L. Αὐγὰν P. Aigas RV, qui infra p. 41 c. 42 a. Aiga.

quibus in extremis rursus recta linea fossae abibant longissime. Subinde adfuit Persarum magnus exercitus, et in agro Ammodii, qui locus Dara stadiis xx. distat, metatus est. In eo cum alii duces erant, tum Pityazes et Baresmanas luscus, sub Peroze natione Persa, qui unus omnibus imperabat, factus ante Mirrhanes: sic Persae quandam dignitatem vocant. Hic simul ut advenit, ad Belisarium misit, qui suo nomine iuberent parare balneum in urbe, ubi postridie lavare vellet. Quocirca Romani quaecunque habebant validissima expedierunt ad praelium, rati id die proximo commissum iri.

Primo Sole appropinquantem conspicati hostem, sic aciem ordinarunt. Buzes cum magno equitum numero, et Pharas Erulus cum ccc. popularibus suis spatium obtinebant inter fossae sinistrae, quae cornui subiecta erat, extremitatem, ac vicinum tumulum iacens. Ad eorum laevam, extra fossam, in angulo, quem cornu et fossa sinistrorsum procurrens efficiebant, Sunicas et Augam Massagetae cum dc. equitibus locati

πεῦσιν ἑξακοσίοις, ὅπως, ἢν οἵ τε ἀμφὶ Βούζην καὶ Φάραν τραπεῖεν, αὐτοὶ πλάγιοι κατὰ τάχος ἰόντες κατὰ νώτου τε τῶν πολεμίων γενόμενοι τοῖς ἐκείνῃ Ῥωμαίοις ἀμύνειν εὐπετῶς δύνωνται. ἐπὶ θάτερα δὲ τρόπῳ τῷ αὐτῷ ἐτετάχατο· τῆς μὲν γὰρ εὐθείας τὰ ἔσχατα ἱππεῖς πολλοὶ εἶχον, ὧν Ἰωάννης τε ὁ Νικήτου ἦρχε καὶ Κύριλλός τε καὶ Μάρκελλος· ξυνῆν δὲ αὐτοῖς καὶ Γερμανὸς καὶ Δωρόθεος· ἐς γωνίαν δὲ τὴν ἐν δεξιᾷ ἱππεῖς ἐτάττοντο ἑξα- P 37 κόσιοι, ὧν Σίμας τε καὶ Ἀσκὰν Μασσαγέται ἦρχον, ἵνα, ὅπερ εἴρηται, τῶν ἀμφὶ τὸν Ἰωάννην τρεπομένων, ἂν οὕτω τύχῃ, αὐτοὶ ἐνθένδε ἐξανιστάμενοι κατὰ νώτου τῶν Περσῶν ἴωσι. πανταχοῦ δὲ τῆς τάφρου οἵ τε τῶν ἱππέων κατάλογοι καὶ ὁ πεζὸς στρατὸς ἵστατο. ὧν δὴ ὄπισθεν οἵ τε ἀμφὶ Βελισάριον καὶ Ἑρμογένην κατὰ μέσους εἱστήκεσαν. ὧδε μὲν Ῥωμαῖοι ἐς πεντακισχιλίους τε καὶ δισμυρίους ξυνιόντες ἐτάξαντο, Περσῶν δὲ ὁ στρατὸς μυριάδες μὲν τέσσαρες ἱππέων τε καὶ πεζῶν ἦσαν, ἐφεξῆς δὲ ἅπαντες μετωπηδὸν ἵσταντο, ὡς βαθύτατον τῆς φάλαγγος τὸ μέτωπον ποιησάμενοι. χρόνον μὲν οὖν πολὺν μάχης ἐς B ἀλλήλους οὐδέτεροι ἦρχον, ἀλλὰ θαυμάζουσί τε τὴν Ῥωμαίων εὐκοσμίαν Πέρσαι ἐῴκεσαν καὶ ὅ τι χρήσονται τοῖς παροῦσιν ἀπορουμένοις.

Τῆς δὲ ἡμέρας ἀμφὶ δείλην ὀψίαν μοῖρά τις τῶν ἱππέων, οἳ κέρας τὸ δεξιὸν εἶχον, ἀποσχισθέντες τοῦ ἄλλου στρατοῦ τοῖς

17. ποιησάμενοι] ποιησόμενοι L.

sunt, eo consilio, ut si Buzes ac Pharas verterentur in fugam, ipsi ex obliquo invecti a tergo hostem exciperent, et Romanis ea parte laborantibus adessent celeriter et expedite. Similis erat alae alterius dispositio. Numerosus enim equitatus, quem Ioannes Nicetae filius, Marcellus et Cyrillus ducebant, adiunctique his Germanus ac Dorotheus, ad fossae caput stabat; ad angulum vero dexterum Simas et Ascan Massagetae cum DC. equitibus: ut si forte, quod de aliis monui, Ioannes inclinaretur, facta inde eruptione in terga hostium involarent. Intra totum spatium, quod fossa ambiebat, equitum classes cohortesque peditum erant dispositae. Post mediam aciem constiterant Belisarius atque Hermogenes cum triariis. Sic Romani aciem suam ordinarunt, haud plures numero quam XXV. M. cum Persarum exercitus XL. M. peditum simul equitumque constaret. Omnes ad copias nostras conversi ita formabant aciem, ut eius frons esset altissima. Ac diu stetere acies in conspectu, neutra cooriente in pugnam. Haerebant Persae, aptissimam Romanorum dispositionem stupentibus et quid praesentis ex usu temporis constituerent ignorantibus similes.

Iamque dies in vesperum declinabat, cum a Persarum exercitu manus equitum cornu dexteri se abiunxit, et in alam incurrit, cui Buzes

ἀμφὶ Βούζην τε καὶ Φάραν ἐπῆλθον. οἱ δὲ ὀπίσω κατὰ βραχὺ
ὑπεχώρησαν. Πέρσαι δὲ αὐτοὺς οὐκ ἐδίωξαν, ἀλλ' αὐτοῦ ἔμε-
νον, κύκλωσιν, οἶμαι, πρὸς τῶν πολεμίων τινὰ δείσαντες. μετὰ
δὲ Ῥωμαῖοι μὲν οἱ φυγόντες ἐκ τοῦ αἰφνιδίου πρὸς αὐτοὺς ὥρμη-
C σαν. οἱ δὲ οὐχ ὑποστάντες τὴν ἔφοδον ὀπίσω ἀπήλαυνον ἐς τὴν
φάλαγγα, καὶ αὖθις οἵ τε ἀμφὶ Βούζην καὶ Φάραν ἐν χώρᾳ τῇ
οἰκείᾳ ἐτάξαντο. ἐν τούτῳ τῷ ἔργῳ Περσῶν ἑπτὰ ἔπεσον, ὧν
δὴ τῶν σωμάτων Ῥωμαῖοι ἐκράτησαν, καὶ τὸ λοιπὸν ἡσυχάζον-
τες ἐν τάξει ἑκάτεροι ἔμενον. εἷς δὲ ἀνὴρ Πέρσης νεανίας, ἄγχι-
στα τοῦ Ῥωμαίων στρατοῦ τὸν ἵππον ἐλάσας, προὐκαλεῖτο ἅπαν-
τας, εἴ τίς οἱ βούλοιτο ἐς χεῖρας ἰέναι. καὶ τῶν μὲν ἄλλων ὑπο-
στῆναι τὸν κίνδυνον ἐτόλμα οὐδείς, Ἀνδρέας δὲ ἦν τις ἐν τοῖς
Βούζου οἰκείοις, οὐ στρατιώτης μὲν οὐδέ τι ἀσκήσας τῶν κατὰ
τὸν πόλεμον πώποτε, παιδατρίβης δὲ καὶ παλαίστρᾳ τινὶ ἐν Βυ-
D ζαντίῳ ἐφεστηκώς. διὸ δὴ καὶ τῷ στρατῷ εἵπετο, ἅτε τοῦ Βού-
H 20 ζου σώματος ἐν βαλανείῳ ἐπιμελούμενος, γένος δὲ Βυζάντιος ἦν.
οὗτος ἐθάρσησε μόνος, οὔτε Βούζου οὔτε ἄλλου ὁτουοῦν ἐπαγ-
γείλαντος, αὐτόματος τῷ ἀνθρώπῳ ἐς μονομαχίαν ἐπεξιέναι.
φθάσας δὲ τὸν βάρβαρον ἔτι περισκοπούμενον ὅπῃ ὁρμήσεται,
παρὰ μαζὸν τὸν δεξιὸν τῷ δόρατι παίει. ὁ δὲ πληγὴν ἀνδρὸς
ἰσχυροῦ λίαν οὐκ ἐνεγκὼν ἐκ τοῦ ἵππου ἐς ἔδαφος πίπτει. καὶ
αὐτὸν Ἀνδρέας μαχαίρᾳ τινὶ βραχείᾳ ὥσπερ ἱερεῖον ὑπτίως κείμε-
νον ἔθυσε, κραυγή τε ὑπερφυὴς ἔκ τε τοῦ περιβόλου καὶ τοῦ Ῥω-

17. οὔτε Βούζου] οὐδὲ Βούζου P.

ac Pharas praeerant. Hi pedem referre sensim. Tum sustinere se Persae, veriti, ut opinor, ne circumcluderentur. Post ab iisdem illis, qui retro cesserant, repente appetiti, neque impressionem ferentes, citatis equis refugerunt ad suam aciem; Romani ad assignatum sibi locum et ordinem sese retulerunt. Eo in congressu Persae desiderati sunt septem, quorum corpora remanserunt penes Romanos. Deinde cum in suis utrique ordinibus se continerent, adolescens quidam Persa propius ad Rom. exercitum admisso equo, omnes provocavit, inclamans, num cui ad manum conserendam secum animus esset. Certe nemo in discrimen venire ausus est praeter Andream Buzae domesticum, qui nec faciebat stipendia, nec rem militarem unquam tractaverat; sed fuerat Magister exercitor, et Byzantii, ubi natus erat, Palaestrico ludo praepositus. Tunc vero exercitum sequebatur, fungens apud Buzem balneatoris munere. Hic unus, non Buzis, non alius cuiusquam impulsu, at suapte sponte ausus est offerre se singulari certamini, et in Barbarum prorumpere, quem hasta ferire occupans meditantem adhuc quomodo impetum daret, mamillae dextrae inflixit ictum. Eo ille, quippe robustissimi viri manu impacto, deiectus ex equo humi sternitur: mox Andreas resupinum, non secus ac victimam, cultello iugulat, dum ingens e muro acieque Rom.

μαίων στρατοπέδου ἤρθη. Πέρσαι δὲ τῷ γεγονότι περιαλγήσαντες ἕτερον ἐς τὴν αὐτὴν πρᾶξιν ἱππέα καθῆκαν, ἀνδρεῖον μὲν καὶ P 38 μεγέθους σώματος πέρι εὖ ἥκοντα, οὐ νεανίαν δέ, ἀλλὰ καί τι- V 248 νας τῶν ἐν τῇ κεφαλῇ τριχῶν πολιὸν ὄντα. ὃς δὴ παρὰ τὸ τῶν πολεμίων στράτευμα ἐπιών, ἐπὶ πλεῖστον δὲ τὴν μάστιγα σείων, ᾗ παίειν τὸν ἵππον εἰώθει, Ῥωμαίων τὸν βουλόμενον ἐς μάχην ἐκάλει. οὐδενὸς δέ οἱ ἐπεξιόντος, Ἀνδρέας ἅπαντας λαθὼν ἐς μέσον ἦλθε, καίπερ αὐτῷ πρὸς τοῦ Ἑρμογένους ἀπειρημένον. ἄμφω γοῦν τοῖς δόρασιν ἐς ἀλλήλους θυμῷ πολλῷ ἐχόμενοι ὥρμησαν, καὶ τά τε δόρατα τοῖς θώραξιν ἐρεισθέντα δεινῶς ἀπε- B κρούσθη οἵ τε ἵπποι ἐς τὰς κεφαλὰς ἀλλήλοις συγκρούσαντες ἔπεσόν τε αὐτοὶ καὶ τοὺς ἐπιβάτας ἀπέβαλον. τὼ δὲ ἄνδρε τούτω ἄγχιστά πη πεσόντε ἀλλήλοιν ἐξανίστασθαι σπουδῇ πολλῇ ἄμφω ἠπειγέσθην, ἀλλ' ὁ μὲν Πέρσης τοῦτο δρᾶν, ἅτε οἱ τοῦ μεγέθους ἀντιστατοῦντος, οὐκ εὐπετῶς εἶχεν, Ἀνδρέας δὲ προτερήσας (τοῦτο γὰρ αὐτῷ ἡ κατὰ τὴν παλαίστραν μελέτη ἐδίδου) τῷ γόνατι ἐξανιστάμενον αὐτὸν ἔτυψε καὶ αὖθις εἰς τὸ ἔδαφος πεσόντα ἔκτεινε. κραυγή τε ἐκ τοῦ τείχους καὶ τοῦ Ῥωμαίων στρατοῦ οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, ἤρθη· καὶ οἱ μὲν Πέρσαι ἐς τὸ Ἀμμώδιος τὴν φάλαγγα διαλύσαντες ἀνεχώρησαν, οἱ δὲ C Ῥωμαῖοι παιανίσαντες ἐντὸς τοῦ περιβόλου ἐγένοντο. ἤδη γὰρ

20. ἐς τὸ ἀμμώδιος τὴν φάλαγγα διαλύσαντες ἀνεχώρησαν AHL, nisi quod HL verbo ἀνεχώρησαν carent. τὴν φάλαγγα διαλύσαντες ἀνεχώρησαν ἐς τὸ Ἀμμώδιος P. *ibid.* οἱ δὲ Ῥωμαῖοι add. AP: om. HL. 21. παιανίσαντες addidi ex A. Totum locum RV sic vertit, *Quamobrem Persae soluta phalange Ammodium reverterunt, Romani vero intra Daram, apud quam praelium hoc fuit, se receperunt.*

tollitur clamor. Casum hunc secum indignati Persae, equitem alterum ad idem facinus emittunt, robustum illum quidem et mole praestantem corporis, at non adolescentem: iam enim caput eius incipiebat conspergi canis. Porro progressus et flagellum, quo caedere solebat equum, crebro quatiens, e Romanis unum, cuicunque libido foret, ad certamen poscebat. Hic rursus offerente se nemine, inter omnes furtim elabens, in medium se proripit Andreas, quamvis nominatim vetuisset Hermogenes. Igitur ambo adversis connixi hastis concurrunt: quas thoracibus effultas cum a se invicem avertissent, equi collisis inter se frontibus ceciderunt, ac sessores excusserunt suos. Alter prope alterum lapsi consurgere festinant: at illud Persae non ita promptum, mole ipsa corporis impedito. Prior se in pedes erigit Andreas (beneficium id fuit exercitationis palaestricae) adversarium genu nixum percutit, iterumque afflictum trucidat. Exoritur qua a moenibus, unde oppidani spectabant, qua ab acie Rom. clamor multo contentior priori illo. Persae soluta acie, quoniam primas

καὶ ξυνεσκόταζεν. οὕτω τε ἀμφότεροι τὴν νύκτα ἐκείνην ηὐλίσαντο.

ιδʹ. Τῇ δὲ ὑστεραίᾳ Πέρσαις μὲν στρατιῶται μύριοι ἐκ Νισίβιδος πόλεως μετάπεμπτοι ἦλθον, Βελισάριος δὲ καὶ Ἑρμογένης πρὸς Μιρράνην ἔγραψαν τάδε „Πρῶτον ἀγαθὸν τὴν εἰρήνην εἶναι ὡμολόγηται παρὰ πάντων ἀνθρώπων οἷς τι καὶ κατὰ
D βραχὺ λογισμοῦ μέτεστιν. ὥστε ἤν τις διαλυτὴς αὐτῆς γένοιτο, τῶν κακῶν αἰτιώτατος ἂν οὐ τοῖς πέλας, ἀλλὰ καὶ ὁμογενέσι τοῖς αὐτοῦ εἴη. στρατηγὸς μὲν οὖν ἄριστος οὗτος ἐκεῖνός ἐστιν, ὃς δὴ ἐκ πολέμου εἰρήνην διατίθεσθαι ἱκανὸς πέφυκε. σὺ δὲ τῶν πραγμάτων εὖ καθεστώτων Ῥωμαίοις τε καὶ Πέρσαις πόλεμον ἐπάγειν ἡμῖν αἰτίαν οὐκ ἔχοντα ἔγνωκας, καίπερ ἑκατέρου μὲν βασιλέως εἰρηναῖα βουλευομένου, πρέσβεων δὲ παρόντων ἡμῖν ἐν γειτόνων ἤδη, οἳ δὴ τὰ διάφορα τῇ ἐς ἀλλήλους ὁμιλίᾳ οὐκ εἰς μακρὰν διαλύσουσιν, ἤν μή τι ἀνήκεστον ἐκ τῆς σῆς ἐφόδου ξυμ-
P 39 βαῖνον ταύτην ἡμῖν ἀναστέλλειν τὴν ἐλπίδα ἰσχύσῃ. ἀλλ' ἄπαγε ὅτι τάχιστα τὸν στρατὸν ἐς τὰ Περσῶν ἤθη, μηδὲ τοῖς μεγίστοις ἀγαθοῖς ἐμποδὼν ἵστασο, μή ποτε Πέρσαις, ὡς τὸ εἰκός, εἴης τῶν ξυμβησομένων δεινῶν αἴτιος." ταῦτα ἐπεὶ Μιρράνης ἀπενεχθέντα τὰ γράμματα εἶδεν, ἀμείβεται ὧδε „Ἐποίησα ἂν τὰ αἰτούμενα, τοῖς γεγραμμένοις ἀναπεισθείς, εἰ μὴ Ῥωμαίων ἡ ἐπιστολὴ ἐτύγχανεν οὖσα, οἷς τὸ μὲν ἐπαγγέλλεσθαι πρόχειρόν ἐστιν, ἔργῳ δὲ τὰ ἐπηγγελμένα ἐπιτελεῖν καὶ κρεῖσσον ἐλπίδος,

7. βραχὺ] [τὸ] βραχὺ P.

iam tenebras vesper offundebat, Ammodium reversi sunt: Romani Daram intrarunt: atque ita noctem illam utrique egerunt.

14. Postero die x. м. militum Persae Nisibi evocarunt: Belisarius autem atque Hermogenes in hanc sententiam scripsere Mirrhani. *Pacem bonis omnibus antecellere in confesso est apud omnes, quibus aliquantulum modo rationis inest. Quare si quis eam convellit, nae ille mala gravissima non vicinis duntaxat populis, sed popularibus etiam suis parit. Is quidem dux est optimus, qui bellum pace mutare scit: tu vero cum Romanorum iuxta ac Persarum res bene haberent, nobis per meram libidinem bellum decrevisti, licet Regis utriusque consilia ad pacem spectent, iamque in propinquo Legati adsint, qui mutuo congressu propediem controversias diriment, nisi quis ex hostili adventu tuo suboriatur casus adeo exitiabilis, ut hanc nostram accidat infringatque spem. Quin age, copias in Persidem reduc quamprimum, et bona, quae se offerunt maxima, arcere noli: ne malorum, quae Persis impendent, causa tibi uni merito ascribatur.* Mirrhanes epistolam hanc sibi oblatam cum perlegisset, ita rescripsit. *Postulatis annuerem, iis inductus, quae ad me fuerunt perscripta, nisi literae illae a Romanis venirent: quibus promptum quidem est ac solenne polliceri; id vero spem omnem superat, fore unquam ut promissa, vel iu-*

ἄλλως τε ἢν καὶ ὅρκοις τισὶ κυρώσητε τὰ ξυγκείμενα. ἡμεῖς μὲν οὖν πρὸς τὴν ὑμετέραν ἀπειπόντες ἀπάτην ἐν ὅπλοις ἠναγκάσμεθα παρ' ὑμᾶς ἥκειν, ὑμεῖς δέ, ὦ φίλοι Ῥωμαῖοι, μηδὲν B ἄλλο τὸ λοιπὸν οἴεσθε ἢ πολεμητέα ὑμῖν ἐς Πέρσας εἶναι. ἐνταῦθα γὰρ ἡμᾶς ἢ τεθνάναι ἢ καταγηράσκειν δεήσει, ἕως ἔργῳ τὰ δίκαια πρὸς ὑμᾶς θήσεσθε." τοσαῦτα μὲν καὶ ὁ Μιρράνης ἀντέγραψεν. αὖθις δὲ οἱ ἀμφὶ Βελισάριον ἔγραψαν ὧδε „Οὐ πάντα χρή, ὦ βέλτιστε Μιρράνη, τῇ ἀλαζονείᾳ χαρίζεσθαι, οὐδὲ τοῖς πέλας ἐπιφέρειν ὀνείδη τὰ μηδαμόθεν προσήκοντα. Ῥου- H 21 φῖνον γὰρ ἐπὶ πρεσβείαν ἥκοντα οὐκ ἄποθεν εἶναι ἡμεῖς τε εἴπομεν ξὺν τῷ ἀληθεῖ καὶ αὐτὸς οὐκ ἐς μακρὰν εἴσῃ. γλιχομένοις δὲ ὑμῖν πολεμίων ἔργων ἀντιταξόμεθα ξὺν θεῷ, ὃν ἡμῖν ἐν τῷ V 249 C κινδύνῳ ξυλλήψεσθαι ἴσμεν, ἡγμένον μὲν τῇ Ῥωμαίων ἀπραγμοσύνῃ, ἀλαζονείᾳ δὲ τῇ Περσῶν νεμεσήσαντα, καὶ οἷς ἐπὶ τὴν εἰρήνην προκαλουμένοις ἡμῖν εἶτα ἀντιτείνειν ἐγνώκατε. ἀντιταξόμεθα δὲ τὰ γεγραμμένα παρ' ἑκατέρων ἀπ' ἄκρων σημείων ἐς τὴν ξυμβολὴν ἀναψάμενοι." τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Μιρράνης δὲ καὶ αὖθις ἀμείβεται ὧδε „Οὐδὲ ἡμεῖς ἄνευ θεῶν τῶν ἡμετέρων ἐς τὸν πόλεμον καθιστάμεθα, ξὺν αὐτοῖς δὲ παρ' ὑμᾶς ἥξομεν, οὕσπερ τῇ ὑστεραίᾳ Πέρσας ἐς Δάρας ἐμβιβάσειν ἐλπίδα ἔχω. ἀλλά μοι τό τε βαλανεῖον καὶ ἄριστον ἐν παρασκευῇ τοῦ περιβόλου ἐντὸς γινέσθω." ταῦτα οἱ ἀμφὶ Βελισάριον ἀνα- D λεξάμενοι παρεσκευάζοντο ἐς τὴν ξυμβολήν.

1. κυρώσητε] κυρώσηται L.

reiurando firmata, perficiant. Quae vestra ludificatio cum a nobis ferri ultra non posset, vos armis petere coacti sumus. At vos, amici Romani, sic statuite, aliud vobis deinceps nihil, nisi bellum cum Persis gerendum esse. Nobis enim decretum est, donec ius obtinuerimus nostrum, aut hic emori, aut consenescere. His a Mirrhane rescriptis, sic ad ipsum iterum Belisarius. *Non oportet, praeclare Mirrhanes, indulgere omnino fastui, nec falsa vicinis exprobrare. Rufinum legatum haud abesse procul et nos vere diximus, et tu brevi cognosces. Sed quando insanus belli amor vos ita rapit, contra instructa acie offeremus nos, Deo duce, quem aequum candori nostro, et in arrogantiam Persicam indignationis plenum atque offensum repulsa, quam tulimus ad pacem vos invitantes, a nobis in praelio staturum scimus. Testes profecto literas, quae scriptae ultro citroque sunt, alligabimus summis vexillis, itaque demum adversa acie consistemus.* Haec habebat epistola: Mirrhanes ita reposuit. *Nec nos sine Diis nostr's bellum capessimus. His ducibus veniemus ad vos, et die crastino, ut equidem spero, suos Persas Daram inducent. Agitedum, mihi in urbe balneum prandiumque instructa tum habetote.* His lectis, ad praelium accinxit se Belisarius.

Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ Πέρσας ἅπαντας περὶ ἡλίου ἀνατολὴν ξυγκαλέσας Μιρράνης ἔλεξε τοιάδε „Οὐκ ἀγνοῶ μὲν ὡς οὐ λόγοις τῶν ἡγουμένων, ἀλλ' ἀρετῇ τε οἰκείᾳ καὶ τῇ ἐς ἀλλήλους αἰδοῖ θαρσεῖν ἐν τοῖς κινδύνοις εἰώθασι Πέρσαι. ὁρῶν δὲ ὑμᾶς διαλογιζομένους τί δήποτε συνειθισμένον Ῥωμαίοις πρότερον ἄνευ θορύβων τε καὶ ἀταξίας ἐς μάχην ἰέναι, οἱ δὲ ξὺν κόσμῳ τινὶ ἔναγχος οὐδαμόθεν σφίσι προσήκοντι Πέρσας ἐπιόντας ὑπέστησαν, τοῦδε εἵνεκα παραίνεσιν ποιεῖσθαί τινα εἰς ὑμᾶς ἔγνωκα, ὅπως μὴ δόξῃ οὐκ ἀληθεῖ χρωμένοις ὑμῖν σφαλῆναι συμβαίη. μὴ γὰρ οἴεσθε Ῥωμαίους ἀμείνους τὰ πολέμια ἐκ τοῦ αἰφνιδίου γενέσθαι μηδὲ ἀρετῆς τι ἢ ἐμπειρίας κεκτῆσθαι πλέον, ἀλλὰ καὶ δειλοὺς αὐτοὺς γεγονέναι μᾶλλον ἢ τὰ πρότερα ὄντες ἐτύγχανον·
P 40 *οἵ γε οὕτω Πέρσας δεδίασιν ὥστε οὐδὲ τάφρου χωρὶς ἐς τὴν φάλαγγα καθίστασθαι τετολμήκασιν. οὐδὲ ξὺν ταύτῃ μάχης τινὸς ἦρξαν, ἀλλ' ἐπεὶ ἐς χεῖρας αὐτοῖς οὐδαμῶς ἤλθομεν, ἄσμενοί τε καὶ κρεῖσσον ἐλπίδος τὰ πράγματα σφίσι κεχωρηκέναι οἰόμενοι ἐπὶ τὸ τεῖχος ἐχώρησαν. διὸ δὴ αὐτοῖς οὐδὲ ξυντεταράχθαι τετύχηκεν, οὔπω εἰς κίνδυνον πολέμου ἐλθοῦσιν. ἢν δέ γε ἡ μάχη ἐκ χειρὸς γένηται, ὀρρωδία τε αὐτοὺς καὶ ἀπειρία περιλαβοῦσαι ἐς ἀκοσμίαν τὴν συνήθη, ὡς τὸ εἰκός, καταστήσουσιν. τὰ μὲν οὖν τῶν πολεμίων τοιαῦτά ἐστιν· ὑμᾶς δέ, ὦ ἄνδρες Πέρσαι, τοῦ βασιλέων βασιλέως ἡ κρίσις εἰσίτω. ἢν γὰρ μὴ ἐπα-*

2. *ἀγνοῶ μὲν* P ex emendatione Maltreti. *ἀγνοοῦμεν* H. *ἀγνοῶμεν* L. *ignoramus* RV. 19. *ἀπειρία*] *ἀπορία* Pm. *anxietate metuque capti* RV. 22. *βασιλέων* om. L. non expressit RV: uncis inclusum est in HP, habet A. Conf. p. 50 b.

Postridie sub Solis ortum Persis omnibus convocatis in hunc modum verba fecit Mirrhanes. *Equidem scio non orationibus ducum, sed virtute ingenita ac pudore mutuo solere Persas incendi ad rem fortiter gerendam in praeliis. Tamen quia video vos id sermonibus agitare, quid causae sit cur, cum antea Romani ad pugnam tumultuose semper incompositeque procederent, isti cum aliquo ordine, ad quem nuper facti minime erant, impetum Persarum exceperint; propterea nonnulla uti cohortatione et vos quaedam admonere constitui, ne forte labamini opinione ducti falsa. Cavete existimetis bellicosiores repente evasisse Romanos, et maiorem virtutem vel usum collegisse: immo vero videte quam increverit eorum timiditas, qui Persas adeo iam reformidant, ut non ausi sint struere aciem sine fossae praesidio, ac ne ita quidem muniti pugnam lacessiverint. Et quoniam manum haud conseruimus, exultantes laetitia sibique successum meliorem spe gratulantes, urbi se commiserunt. Nec mirum eos non esse turbatos, qui nondum in discrimen venerint pugnae. Haec vero si manu collata fiat; terrore atque imperitia districti, in confusionem solitam procul dubio relabentur. Res quidem hostium hoc loco sunt. Vos autem, viri Persae, quale de vobis futurum sit Regis Regum iudicium reputate. Etenim si a*

ξίως τῆς Περσῶν ἀρετῆς ἐν τῷ παρόντι ἀνδραγαθίζοισθε, κόλα- B σις ὑμᾶς οὐκ εὐκλεὴς περιστήσεται.“ οὕτω μὲν Μιρράνης παρακελευσάμενος ἐπὶ τοὺς πολεμίους τὸ στράτευμα ἦγε. Βελισάριος δὲ καὶ Ἑρμογένης πρὸ τοῦ περιβόλου πάντας Ῥωμαίους ἀγείραντες παρεκελεύσαντο ὧδε ,,Ὡς μὲν οὐκ εἰσὶ παντάπασιν ἀνίκητοι Πέρσαι οὐδὲ κρείσσους ἢ θνήσκειν ἐπίστασθε δή που μάχῃ τῇ προτέρᾳ σταθμώμενοι· ὡς δὲ τῇ τε ἀνδρείᾳ καὶ σώματος ἰσχύϊ περιόντες αὐτῶν μόνῳ ἡττᾶσθε τῷ τοῖς ἄρχουσιν ἀπειθέστεροι εἶναι οὐδεὶς ἂν ἀντείποι. ὅπερ ἐπανορθοῦν πόνῳ οὐδενὶ ὑμῖν πάρεστι. τὰ μὲν γὰρ τῆς τύχης ἐναντιώματα σπουδῇ ἐπανορθοῦσθαι οὐδαμῶς πέφυκε, γνώμῃ δὲ τῶν οἰκείων κακῶν ῥᾳδίως ἂν ἀνθρώπῳ ἰατρὸς γένοιτο. ὥστε ἢν τῶν παραγγελλο- C μένων κατακούειν ἢ βουλομένοις ὑμῖν, αὐτίκα δὴ ἀναδήσεσθε τὸ τοῦ πολέμου κράτος. οἱ γὰρ οὐκ ἄλλῳ τῳ ἢ τῷ ἡμετέρῳ ἀκόσμῳ θαρσοῦντες ἐφ' ἡμᾶς ἥκουσιν. σφαλέντες δὲ καὶ νῦν τῆς τοιαύτης ἐλπίδος ὁμοίως τῇ προλαβούσῃ ξυμβολῇ ἀπαλλάξουσι. καὶ τὸ πλῆθος τῶν πολεμίων, ᾧ μάλιστα δεδίττονται, ὑμᾶς ὑπερφρονεῖν ἄξιον. τὸ γὰρ πεζὸν ἅπαν οὐδὲν ἄλλο ἢ ὅμιλός ἐστιν ἀγροίκων οἰκτρῶν, οἳ ἐς τὴν παράταξιν ἐπ' ἄλλῳ οὐδενὶ ἔρχονται ἢ τεῖχός τε διορύττειν καὶ τοὺς τεθνεῶτας σκυλεύειν καὶ τἆλλα τοῖς στρατιώταις ὑπηρετεῖν. διὸ δὴ ὅπλα μέν, οἷς ἂν καὶ τοὺς ἐναντίους ἐνοχλοῖεν, οὐδαμῇ ἔχουσι, τοὺς δὲ θυρεοὺς τοιούτους τὸ μέγεθος προβέβληνται μόνον, ὅπως αὐτοὶ πρὸς τῶν D H 22

7. ἀνδρείᾳ] ἀνδρίᾳ P. 12. παραγγελλομένων] παραγινομένων L.

virtute Persica hic desciveritis, ignominiosa vos manet animadversio. Ita concionatus Mirrhanes, exercitum in hostes duxit; dum Belisarius atque Hermogenes coactos pro muro Romanos his fere verbis hortati sunt, *Id quidem scitis, superiori certamine edocti, Persas nec invictos usquequaque esse, nec immortales: at nemo negaverit, vos, qui ipsis et animi et corporis robore praestatis, hoc uno inferiores esse, quod non ita bene ducibus obtemperatis. Quin hoc ipsum potestis labore nullo corrigere. Studio certe emendari nequeunt infortunia: sed malis, quorum residet in nobis causa, propositum animi facile mederi potest. Itaque si audientes dicto velitis esse, statim victoriam consequemini. Nam cum huc veniant alia re nulla confisi, nisi disciplinae nostrae perturbatione; hac sua etiam hodie depulsi spe ita abscedent, ut in certamine prius edito factum est. Nec vos moveat ille, quo formidolosius nihil offerunt, ingens numerus, sane dignus contemptu vestro. Universus enim peditatus agricolarum tantum turba est misellorum, qui exercitum eo solum sequuntur, ut perfodiant murum, cadavera spolient, militique deserviant. Idcirco arma, quibus adversarios impetant, nulla habent, et grandia dumtaxat scuta obiiciunt, ne telis ho-*

πολεμίων ἥκιστα βάλλωνται. οὐκοῦν ἄνδρες ἀγαθοὶ ἐν τῷδε τῷ πολέμῳ γενόμενοι οὐκ ἐν τῷ παρόντι μόνον Πέρσας νικήσετε, ἀλλὰ καὶ τῆς ἀπονοίας κολάσετε, ὥς μήποτε αὖθις εἰς γῆν τὴν Ῥωμαίων στρατεύσονται.“

Ταύτην Βελισάριός τε καὶ Ἑρμογένης τὴν παραίνεσιν ποιησάμενοι, ἐπειδὴ Πέρσας ὁδῷ ἰόντας ἐπὶ σφᾶς εἶδον, τρόπῳ τῷ προτέρῳ κατὰ τάχος τοὺς στρατιώτας διέταξαν. καὶ οἱ βάρβα-
V 250 *ροι παρ᾽ αὐτοὺς ἥκοντες μετωπηδὸν ἔστησαν. οὐχ ἅπαντας μέντοι Πέρσας ὁ Μιρράνης ἀντίους τοῖς πολεμίοις, ἀλλὰ τοὺς ἡμίσεις ἔστησε, τοὺς δὲ ἄλλους ὄπισθεν μένειν εἴασεν. οἳ δὴ τοὺς μαχομένους ἐκδεχόμενοι ἔμελλον ἀκμῆτες ἐπιθήσεσθαι τοῖς ἐναν-*
P 41 *τίοις, ὅπως ἀεὶ ἐκ περιτροπῆς ἅπαντες μάχωνται. μόνον δὲ τὸν τῶν ἀθανάτων λεγομένων λόχον ἡσυχῇ μένειν, ἕως αὐτὸς σημήνῃ, ἐκέλευεν. αὐτός τε κατὰ μέσον τοῦ μετώπου ταξάμενος, Πιτυάζην μὲν τοῖς ἐν δεξιᾷ, Βαρεσμανᾶν δὲ τοῖς ἐς τὸ ἀριστερὸν κέρας ἐπέστησεν. οὕτω μὲν ἀμφότεροι ἐτετάχατο. Φάρας δὲ Βελισαρίῳ τε καὶ Ἑρμογένει παραστὰς εἶπεν „Οὐδέν μοι δοκῶ ἐνταῦθα ξὺν τοῖς Ἐρούλοις μένων τοὺς πολεμίους ἐργάσεσθαι μέγα· ἢν δὲ κρυπτόμενοι ἐς τὸ κάταντες τοῦτο εἶτα, ἐπειδὰν ἐν τῷ ἔργῳ γένωνται Πέρσαι, διὰ τοῦδε τοῦ λόφου ἀναβαίνοντες ἐκ τοῦ αἰφνιδίου κατὰ νώτου αὐτῶν ἴωμεν ὄπισθεν βάλλοντες,*

14. ταξάμενος L. ταξόμενος P. 15. *Πιτυάζην*] *Πιτιάζην* P.
16. ἐπέστησεν] ἐπέστησαν L. 18. ἐργάσεσθαι] ἐργάσασθαι L.
20. τοῦδε] τούτου L.

stilibus configantur. Quae cum ita sint; si vos fortiter in hoc praelio gesseritis, non iam modo vincetis Persas; at sic etiam eorum vesaniam castigabitis, ut Romano Imperio nunquam posthac inferre signa ausuri sint.

Ita suos cohortati Belisarius et Hermogenes, ubi Persas viderunt ad se recta tendere, extemplo aciem eadem qua nudius tertius forma ordinarunt. Ad quos Barbari cum processissent, steterunt illis obversi. Porro Mirrhanes non omnes hosti Persas opposuit; sed dimidiam duntaxat partem, relictis a tergo caeteris, qui subeundo pugnantibus invasuri hostem erant recentes; sic ut in orbem omnes continenter praelio succederent. Unam Immortalium quam appellant cohortem iussit quiescere eousque dum ut adessent mandaret. Ipse in media versans aciei fronte, Pityazi cornu dexterum, Baresmanae laevum assignavit. Sic acie utraque composita, Belisarium et Hermogenem Pharas adiit, et illis astans, *Si ibi*, inquit, *cum Erulis meis positus maneam, nihil in hostem, quod sit operae pretium, facturus mihi videor. Sin latebimus in eo clivo, ac deinde, cum Persas pugnae ardor provexerit, superato repente tumulo,*

τὰ ἀνήκεστα αὐτούς, ὡς τὸ εἰκὸς, δράσομεν.“ ὁ μὲν ταῦτα εἶπε, καὶ ἐπεὶ τοὺς ἀμφὶ Βελισάριον ἤρεσκε, κατὰ ταῦτα ἐποίει.

Μάχης δὲ ἄχρι ἐς ἡμέραν μέσην οὐδέτεροι ἦρχον. ἐπειδὴ B δὲ τάχιστα ἡ μεσημβρία παρῴχηκεν, ἔργου οἱ βάρβαροι εἴχοντο, τοῦδε εἵνεκα ἐς τοῦτον τῆς ἡμέρας τὸν καιρὸν τὴν ξυμβολὴν ἀποθέμενοι, ὅτι δὴ αὐτοὶ μὲν σιτίοις ἐς δείλην ὀψίαν χρῆσθαι μόνον εἰώθασι, Ῥωμαῖοι δὲ πρὸ τῆς μεσημβρίας, ὥστε οὔποτε ᾤοντο αὐτοὺς ὁμοίως ἀνθέξειν, ἢν πεινῶσιν ἐπίθωνται. τὰ μὲν οὖν πρῶτα τοξεύμασιν ἐχρῶντο ἐς ἀλλήλους ἑκάτεροι, καί τινα τὰ βέλη τῷ πλήθει ἀχλὺν ἐπὶ πλεῖστον ἐποίει, ἔκ τε ἀμφοτέρων πολλοὶ ἔπιπτον, πολλῷ δὲ συχνότερα τὰ τῶν βαρβάρων βέλη ἐφέροντο. ἐν ἐπιτροπῇ γὰρ ἀεὶ ἀκμῆτες ἐμάχοντο, αἴσθησιν τοῦ ποιουμένου τοῖς πολεμίοις ὡς ἥκιστα παρεχόμενοι, οὐ μέντοι C οὐδ᾽ ὧς Ῥωμαῖοι τὸ ἔλασσον εἶχον. πνεῦμα γὰρ ἐνθένδε ἐπίφορον ἐπὶ τοὺς βαρβάρους ἐπιπεσὸν οὐ λίαν αὐτῶν τὰ τοξεύματα ἐνεργεῖν εἴα. ἐπεὶ δὲ ἅπαντα ἑκατέρους τὰ βέλη ἤδη ἐπιλελοίπει, τοῖς τε δόρασιν ἐς ἀλλήλους ἐχρῶντο καὶ ἡ μάχη ἔτι μᾶλλον ἐκ χειρὸς ἐγεγόνει. Ῥωμαίων δὲ κέρας τὸ ἀριστερὸν μάλιστα ἔκαμνε. Καδισηνοὶ γὰρ, οἳ ταύτῃ ξὺν τῷ Πιτυάζῃ ἐμάχοντο, πολλοὶ ἐπιβεβοηθηκότες ἐξαπιναίως ἐτρέψαντό τε τοὺς πολεμίους καὶ φεύγουσιν ἐγκείμενοι ἰσχυρότατα συχνοὺς ἔκτεινον. ὃ δὴ κατιδόντες οἱ ξὺν τῷ Σουνίκᾳ τε καὶ Αἰγᾷ, δρόμῳ πολλῷ ἐπ᾽

11. τὰ τῶν] τῶν om. L. 14. οὐδ᾽ ὧς] οὐ δαὶ οἷ vel simile quid A. οὐ δαῖ οἱ L. 19. Πιτυάζῃ] Πιτιάζῃ P. 20. ἐτρέψαντό τε L. τε om. P. 22. Αἰγᾷ] αἰσὰν A. αἰσᾶν L. Αἰγὰν nominativus est p. 36 d.

factoque a tergo impetu, aversos telis petemus; pessime profecto ipsos habebimus. Haec locutus, probatum Belisario consilium implevit.

Ab ineundo praelio acies utraque se continuit ad meridiem: qua praeterita, statim rem aggressi sunt barbari, ad eam horam reiecta idcirco pugna, quod cum ipsi capere cibum nonnisi sub vesperum consueverint, Romani vero ante meridiem, haud ita restituros putabant, si impastos et fame languidos adorirentur. Sagittis primo utrinque pugnatum est: quarum multitudo caliginem late inducebat. Cadebant parte ex utraque multi: quamquam tela veniebant crebriora a barbaris. Nam in certamen semper integri succedebant per vices, neque id hostis persentiebat. Res tamen Romana non erat peiore loco. Cum enim ventus a parte nostra ferens in barbaros exortus esset, sagittarum, quas missitabant, infringebat vim. Exhaustis demum pharetris, ad hastas venitur. Tum pugna cominus fieri et magis ac magis crudescere. In primis Romanorum cornu sinistrum laborabat, impressione subita disiectum a Cadisenis, sociam operam navantibus Pityazi, cui suppetias magno numero tulerant: ac iam fugientibus instantes acerrime multos perimebant. Quo viso, effuse in barbaros incurrerunt Sunicas et Augan, atque his cele-

D αὐτοὺς ᾔεσαν. πρῶτοι δὲ οἱ τριακόσιοι ξὺν τῷ Φάρᾳ Ἔρουλοι ἐξ ὑψηλοῦ κατὰ νώτου τῶν πολεμίων γινόμενοι ἔργα θαυμαστὰ ἔς τε τοὺς ἄλλους καὶ τοὺς Καδισηνοὺς ἐπεδείκνυντο. οἳ δὴ ἐπεὶ καὶ τοὺς ἀμφὶ τὸν Σουνίκαν πλαγίους ἤδη ἀνιόντας ἐπ' αὐτοὺς εἶδον, ἐς φυγὴν ὥρμηντο. τῆς δὲ τροπῆς λαμπρᾶς γενομένης, ἐπειδὴ ἀλλήλοις ξυνέμιξαν οἱ ταύτῃ Ῥωμαῖοι, γέγονε φόνος τῶν βαρβάρων πολύς. καὶ αὐτῶν κατὰ κέρας τὸ δεξιὸν οὐχ ἧσσους ἢ τρισχίλιοι ἐν τούτῳ τῷ πόνῳ ἀπέθανον, οἱ δὲ λοιποὶ ἐς τὴν φάλαγγα μόλις καταφυγόντες ἐσώθησαν. Ῥωμαῖοι δὲ οὐκέτι ἐδίωκον, ἀλλ' ἐν τῇ παρατάξει ἑκάτεροι ἔστησαν ἀντίοι ἀλλήλοις. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

P 42 Μιρράνης τε ἄλλους τε πολλοὺς καὶ τοὺς ἀθανάτους λεγομένους ἅπαντας ἐς μέρος τὸ ἀριστερὸν λάθρα ἔπεμψεν. οὓς δὴ κατιδόντες Βελισάριός τε καὶ Ἑρμογένης, τοὺς ἀμφὶ Σουνίκαν τε καὶ Αἰγᾶν ἑξακοσίους ἐς γωνίαν τὴν ἐν δεξιᾷ ἐκέλευον ἰέναι, οὗ δὴ οἱ ξὺν τῷ Σίμᾳ τε καὶ Ἀσκᾶν ἵσταντο, καὶ αὐτῶν ὄπισθεν
H 23 τῶν Βελισαρίῳ ἑπομένων πολλοὺς ἔστησαν. Πέρσαι μὲν οὖν, οἳ κέρας τὸ ἀριστερὸν εἶχον Βαρεσμανᾶ ἡγουμένου σφίσι, ξὺν τοῖς ἀθανάτοις ἐς τοὺς κατ' αὐτοὺς Ῥωμαίους δρόμῳ ἐσέβαλλον. οἱ δὲ οὐχ ὑποστάντες τὴν ἔφοδον ἐς φυγὴν ὥρμηντο. τότε δὴ οἵ τε ἐν τῇ γωνίᾳ Ῥωμαῖοι καὶ ὅσοι αὐτῶν ὄπισθεν ἦσαν, σπουδῇ πολλῇ ἐπὶ τοὺς διώκοντας ᾔεσαν. ἅτε δὲ τοῖς βαρβάροις ἐγκάρσιοι ἰόν-
B τες, διεῖλον αὐτῶν δίχα τὸ στράτευμα, καὶ τοὺς μὲν πλείστους

7. αὐτῶν A. τῶν P. 16. Σίμᾳ] σίμμᾳ A.

rius trecenti illi cum Phara Eruli ex edito aversis hostibus imminentes mira facinora cum in alios ediderunt, tum maxime in Cadisenos, qui ut Sunicam etiam cum suis e transverso prorumpentem videre, illico arripuerunt fugam. Ea clare cognita, iunxerunt agmina Romani, qui illic erant, et magnam barbarorum caedem fecerunt. In hac dimicatione ceciderunt ex hostium cornu dextero minimum III. M. caeteri vix evaserunt ad suam aciem: neque illos insecuti Romani sunt; sed in acie utrique sibi invicem oppositi constiterunt. Hunc res ibi successum habuit.

Ad cornu vero sinistrum Mirrhanes cum alios complures submisit, tum totam cohortem Immortalium. Hos ut viderunt Belisarius et Hermogenes, sexcentos equites, quos Sunicas cum Augane ducebat, ad angulum dexterum, ubi Simas et Ascan in procinctu stabant, vocarunt. Pone illos magna pars eorum, qui Belisarium sequebantur, locata fuit. Igitur Persae in cornu sinistro positi, duce Baresmana, cum Immortalibus Romanos invadunt sibi obiectos. Hi magno fracti impetu iam ruebant in fugam, cum dispositae ad angulum turmae et quicunque post illas aderant, in persequentes effudere se ardentissime. Obliquo incursu bifariam scissus est barbaricus exercitus, exclusa ad dexteram parte maxima,

ἐν δεξιᾷ εἶχον, τινὰς δὲ καὶ ἐγκαταλειφθέντας ἐν ἀριστερᾷ ἐποιή-
σαντο. ἐν τοῖς καὶ τὸν τοῦ Βαρεσμανᾶ τὸ σημεῖον φέροντα ξυν-
έπεσεν εἶναι, ὃν δὴ ὁ Σουνίκας τῷ δόρατι ἐπελθὼν παίει. ἤδη
τε Πέρσαι οἱ ἐν τοῖς πρώτοις διώκοντες, αἰσθόμενοι οὗ ἦσαν κα-
κοῦ, στρέψαντές τε τὰ νῶτα καὶ τὴν δίωξιν καταπαύσαντες ἐπ' V 251
αὐτοὺς ᾔεσαν, καὶ ἀπ' αὐτοῦ ἀμφίβολοι πρὸς τῶν πολεμίων ἐγί-
νοντο. ξυνέντες γὰρ τῶν ποιουμένων οἱ φεύγοντες ἀνέστρεφον
αὖθις. οἵ τε γοῦν ἄλλοι Πέρσαι καὶ ὁ τῶν ἀθανάτων λόχος, κε-
κλιμένον τε τὸ σημεῖον ἰδόντες καὶ ἐς τὸ ἔδαφος καθειμένον, ἐπὶ
τοὺς ἐκείνῃ Ῥωμαίους σὺν τῷ Βαρεσμανᾷ ὥρμησαν. Ῥωμαῖοι C
δὲ ὑπηντίαζον. καὶ πρῶτος Σουνίκας τὸν Βαρεσμανᾶν ἔκτεινέ
τε καὶ ἐκ τοῦ ἵππου ἐς τὸ ἔδαφος ἔρριψε. καὶ ἀπ' αὐτοῦ ἐς δέος
μέγα οἱ βάρβαροι ἐμπεπτωκότες ἀλκῆς μὲν οὐκέτι ἐμέμνηντο,
ἀκοσμίᾳ δὲ πολλῇ ἐχόμενοι ἔφευγον. καὶ κατ' αὐτῶν Ῥωμαῖοι
κύκλωσίν τινα ποιησάμενοι πεντακισχιλίους μάλιστα ἔκτειναν. οὕ-
τω τε τὰ στρατόπεδα παντάπασιν ἐκινήθη ἑκάτερα, Περσῶν μὲν
εἰς ὑπαγωγήν, Ῥωμαίων δὲ ἐς τὴν δίωξιν. ἐν τούτῳ τῷ πόνῳ
ὅσοι δὴ πεζοὶ ἐν τῷ Περσῶν στρατεύματι ἦσαν, ῥίψαντές τε τοὺς
θυρεοὺς καὶ καταλαμβανόμενοι κόσμῳ οὐδενὶ παρὰ τῶν πολεμίων
ἐκτείνοντο. Ῥωμαίων μέντοι ἡ δίωξις δι' ὀλίγου ἐγένετο.
Βελισάριος γὰρ καὶ Ἑρμογένης περαιτέρω ἰέναι οὐδαμῇ εἴων, D
δείσαντες μή τινι ἀνάγκῃ Πέρσαι ὑποστραφέντες τρέψωνται
αὐτοὺς οὐδενὶ λόγῳ διώκοντας, ἱκανόν τε αὐτοῖς κατεφαίνετο
τὴν νίκην ἀκραιφνῆ διασώσασθαι. μακροῦ γὰρ χρόνου Ῥωμαίων

4. οὗ L. οἵ P.

ad laevam altera intercepta cum Baresmanae vexillario, quem adortus Sunicas hasta confecit. Hoc loco Persae, qui primi fugientibus instabant, discrimine cognito terga vertunt, et istos desistunt insequi, ut illos petant. At ipsi iam ab hostibus utrinque peti coepti sunt. Etenim qui fugiebant, re intellecta, ad eos conversi redierunt. Porro Immortalium cohors ac caeteri Persae, ubi inclinatum vexillum et afflictum humi viderunt, eam partem versus cum Baresmana ceperunt impetum. Occurrunt Romani, ac primus Sunicas Baresmanam confodit, atque ex equo ad terram dat. Eo casu perculsi barbari, proiecta virtute, consternantur in fugam. Romani promotis aciei cornibus sic illos circuncluserunt, ut ad quina millia interfecerint: atque ita utraque acies se prorsus movit ac mutavit locum; Persica, retrahendo sese; Romana, insequendo. Tum omnes, qui in Persarum exercitu pedibus merebant, nudi clypeis, quos abiecerant, in summa perturbatione deprehensi, occisione perierunt. Nec longe procurrerunt haerentes in terga fugacium Romani, inhibentibus Belisario et Hermogene, cum vererentur ne Persae necessitate compulsi ora impetumque converterent in temere persequentes, eosque profligarent. Et vero ipsis id satis esse videbatur, si victoriam retine-

D αὐτοὺς ᾔεσαν. πρῶτοι δὲ οἱ τριακόσιοι ξὺν τῷ Φάρᾳ Ἔρουλοι ἐξ ὑψηλοῦ κατὰ νώτου τῶν πολεμίων γινόμενοι ἔργα θαυμαστὰ ἔς τε τοὺς ἄλλους καὶ τοὺς Καδισηνοὺς ἐπεδείκνυντο. οἳ δὴ ἐπεὶ καὶ τοὺς ἀμφὶ τὸν Σουνίκαν πλαγίους ἤδη ἀνιόντας ἐπ' αὐτοὺς εἶδον, ἐς φυγὴν ὥρμηντο. τῆς δὲ τροπῆς λαμπρᾶς γενομένης, ἐπειδὴ ἀλλήλοις ξυνέμιξαν οἱ ταύτῃ Ῥωμαῖοι, γέγονε φόνος τῶν βαρβάρων πολύς. καὶ αὐτῶν κατὰ κέρας τὸ δεξιὸν οὐχ ἧσσους ἢ τρισχίλιοι ἐν τούτῳ τῷ πόνῳ ἀπέθανον, οἱ δὲ λοιποὶ ἐς τὴν φάλαγγα μόλις καταφυγόντες ἐσώθησαν. Ῥωμαῖοι δὲ οὐκέτι ἐδίωκον, ἀλλ' ἐν τῇ παρατάξει ἑκάτεροι ἔστησαν ἀντίοι ἀλλήλοις. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

P 42 Μιρράνης τε ἄλλους τε πολλοὺς καὶ τοὺς ἀθανάτους λεγομένους ἅπαντας ἐς μέρος τὸ ἀριστερὸν λάθρα ἔπεμψεν. οὓς δὴ κατιδόντες Βελισάριός τε καὶ Ἑρμογένης, τοὺς ἀμφὶ Σουνίκαν τε καὶ Αἰγᾶν ἑξακοσίους ἐς γωνίαν τὴν ἐν δεξιᾷ ἐκέλευον ἰέναι, οὗ δὴ οἱ ξὺν τῷ Σίμᾳ τε καὶ Ἀσκᾶν ἵσταντο, καὶ αὐτῶν ὄπισθεν
H 23 τῶν Βελισαρίῳ ἑπομένων πολλοὺς ἔστησαν. Πέρσαι μὲν οὖν, οἳ κέρας τὸ ἀριστερὸν εἶχον Βαρεσμανᾶ ἡγουμένου σφίσι, ξὺν τοῖς ἀθανάτοις ἐς τοὺς κατ' αὐτοὺς Ῥωμαίους δρόμῳ ἐσέβαλλον. οἱ δὲ οὐχ ὑποστάντες τὴν ἔφοδον ἐς φυγὴν ὥρμηντο. τότε δὴ οἵ τε ἐν τῇ γωνίᾳ Ῥωμαῖοι καὶ ὅσοι αὐτῶν ὄπισθεν ἦσαν, σπουδῇ πολλῇ ἐπὶ τοὺς διώκοντας ᾔεσαν. ἅτε δὲ τοῖς βαρβάροις ἐγκάρσιοι ἰόν-
B τες, διεῖλον αὐτῶν δίχα τὸ στράτευμα, καὶ τοὺς μὲν πλείστους

7. αὐτῶν A. τῶν P. 16. Σίμᾳ] σίμμᾳ A.

rius trecenti illi cum Phara Eruli ex edito aversis hostibus imminentes mira facinora cum in alios ediderunt, tum maxime in Cadisenos, qui ut Sunicam etiam cum suis e transverso prorumpentem videre, illico arripuerunt fugam. Ea clare cognita, iunxerunt agmina Romani, qui illic erant, et magnam barbarorum caedem fecerunt. In hac dimicatione ceciderunt ex hostium cornu dextero minimum III. M. caeteri vix evaserunt ad suam aciem: neque illos insecuti Romani sunt; sed in acie utrique sibi invicem oppositi constiterunt. Hunc res ibi successum habuit.

Ad cornu vero sinistrum Mirrhanes cum alios complures submisit, tum totam cohortem Immortalium. Hos ut viderunt Belisarius et Hermogenes, sexcentos equites, quos Sunicas cum Augane ducebat, ad angulum dexterum, ubi Simas et Ascan in procinctu stabant, vocarunt. Pone illos magna pars eorum, qui Belisarium sequebantur, locata fuit. Igitur Persae in cornu sinistro positi, duce Baresmana, cum Immortalibus Romanos invadunt sibi obiectos. Hi magno fracti impetu iam ruebant in fugam, cum dispositae ad angulum turmae et quicunque post illas aderant, in persequentes effudere se ardentissime. Obliquo incursu bifariam scissus est barbaricus exercitus, exclusa ad dexteram parte maxima,

ἐν δεξιᾷ εἶχον, τινὰς δὲ καὶ ἐγκαταλειφθέντας ἐν ἀριστερᾷ ἐποιήσαντο. ἐν τοῖς καὶ τὸν τοῦ Βαρεσμανᾶ τὸ σημεῖον φέροντα ξυνέπεσεν εἶναι, ὃν δὴ ὁ Σουνίκας τῷ δόρατι ἐπελθὼν παίει. ἤδη τε Πέρσαι οἱ ἐν τοῖς πρώτοις διώκοντες, αἰσθόμενοι οὗ ἦσαν κακοῦ, στρέψαντές τε τὰ νῶτα καὶ τὴν δίωξιν καταπαύσαντες ἐπ' V 251 αὐτοὺς ᾔεσαν, καὶ ἀπ' αὐτοῦ ἀμφίβολοι πρὸς τῶν πολεμίων ἐγίνοντο. ξυνέντες γὰρ τῶν ποιουμένων οἱ φεύγοντες ἀνέστρεφον αὖθις. οἵ τε γοῦν ἄλλοι Πέρσαι καὶ ὁ τῶν ἀθανάτων λόχος, κεκλιμένον τε τὸ σημεῖον ἰδόντες καὶ ἐς τὸ ἔδαφος καθειμένον, ἐπὶ τοὺς ἐκείνῃ Ῥωμαίους σὺν τῷ Βαρεσμανᾷ ὥρμησαν. Ῥωμαῖοι C δὲ ὑπηντίαζον. καὶ πρῶτος Σουνίκας τὸν Βαρεσμανᾶν ἔκτεινέ τε καὶ ἐκ τοῦ ἵππου ἐς τὸ ἔδαφος ἔρριψε. καὶ ἀπ' αὐτοῦ ἐς δέος μέγα οἱ βάρβαροι ἐμπεπτωκότες ἀλκῆς μὲν οὐκέτι ἐμέμνηντο, ἀκοσμίᾳ δὲ πολλῇ ἐχόμενοι ἔφευγον. καὶ κατ' αὐτῶν Ῥωμαῖοι κύκλωσίν τινα ποιησάμενοι πεντακισχιλίους μάλιστα ἔκτειναν. οὕτω τε τὰ στρατόπεδα παντάπασιν ἐκινήθη ἑκάτερα, Περσῶν μὲν εἰς ὑπαγωγήν, Ῥωμαίων δὲ ἐς τὴν δίωξιν. ἐν τούτῳ τῷ πόνῳ ὅσοι δὴ πεζοὶ ἐν τῷ Περσῶν στρατεύματι ἦσαν, ῥίψαντές τε τοὺς θυρεοὺς καὶ καταλαμβανόμενοι κόσμῳ οὐδενὶ παρὰ τῶν πολεμίων ἐκτείνοντο. Ῥωμαίων μέντοι ἡ δίωξις δι' ὀλίγου ἐγίνετο. Βελισάριος γὰρ καὶ Ἑρμογένης περαιτέρω ἰέναι οὐδαμῇ εἴων, D δείσαντες μή τινι ἀνάγκῃ Πέρσαι ὑποστραφέντες τρέψωνται αὐτοὺς οὐδενὶ λόγῳ διώκοντας, ἱκανόν τε αὐτοῖς κατεφαίνετο τὴν νίκην ἀκραιφνῆ διασώσασθαι. μακροῦ γὰρ χρόνου Ῥωμαίων

4. οὗ L. οἱ P.

ad laevam altera intercepta cum Baresmanae vexillario, quem adortus Sunicas hasta confecit. Hoc loco Persae, qui primi fugientibus instabant, discrimine cognito terga vertunt, et istos desistunt insequi, ut illos petant. At ipsi iam ab hostibus utrinque peti coepti sunt. Etenim qui fugiebant, re intellecta, ad eos conversi redierunt. Porro Immortalium cohors ac caeteri Persae, ubi inclinatum vexillum et afflictum humi viderunt, eam partem versus cum Baresmana ceperunt impetum. Occurrunt Romani, ac primus Sunicas Baresmanam confodit, atque ex equo ad terram dat. Eo casu perculsi barbari, proiecta virtute, consternantur in fugam. Romani promotis aciei cornibus sic illos circuncluserunt, ut ad quina millia interfecerint: atque ita utraque acies se prorsus movit ac mutavit locum; Persica, retrahendo sese; Romana, insequendo. Tum omnes, qui in Persarum exercitu pedibus merebant, nudi clypeis, quos abiecerant, in summa perturbatione deprehensi, occisione perierunt. Nec longe procurrerunt haerentes in terga fugacium Romani, inhibentibus Belisario et Hermogene, cum vererentur ne Persae necessitate compulsi ora impetumque converterent in temere persequentes, eosque profligarent. Et vero ipsis id satis esse videbatur, si victoriam retine-

D αὐτοὺς ᾔεσαν. πρῶτοι δὲ οἱ τριακόσιοι ξὺν τῷ Φάρᾳ Ἔρου-
λοι ἐξ ὑψηλοῦ κατὰ νώτου τῶν πολεμίων γινόμενοι ἔργα θαυμα-
στὰ ἔς τε τοὺς ἄλλους καὶ τοὺς Καδισηνοὺς ἐπεδείκνυντο. οἳ δὴ
ἐπεὶ καὶ τοὺς ἀμφὶ τὸν Σουνίκαν πλαγίους ἤδη ἀνιόντας ἐπ' αὐ-
τοὺς εἶδον, ἐς φυγὴν ὥρμηντο. τῆς δὲ τροπῆς λαμπρᾶς γενο-
μένης, ἐπειδὴ ἀλλήλοις ξυνέμιξαν οἱ ταύτῃ Ῥωμαῖοι, γέγονε φό-
νος τῶν βαρβάρων πολύς. καὶ αὐτῶν κατὰ κέρας τὸ δεξιὸν οὐχ
ἧσσους ἢ τρισχίλιοι ἐν τούτῳ τῷ πόνῳ ἀπέθανον, οἱ δὲ λοιποὶ ἐς
τὴν φάλαγγα μόλις καταφυγόντες ἐσώθησαν. Ῥωμαῖοι δὲ οὐκέτι
ἐδίωκον, ἀλλ' ἐν τῇ παρατάξει ἑκάτεροι ἔστησαν ἀντίοι ἀλλή-
λοις. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

P 42 Μιρράνης τε ἄλλους τε πολλοὺς καὶ τοὺς ἀθανάτους λεγο-
μένους ἅπαντας ἐς μέρος τὸ ἀριστερὸν λάθρα ἔπεμψεν. οὓς δὴ
κατιδόντες Βελισάριός τε καὶ Ἑρμογένης, τοὺς ἀμφὶ Σουνίκαν τε
καὶ Αἰγᾶν ἑξακοσίους ἐς γωνίαν τὴν ἐν δεξιᾷ ἐκέλευον ἰέναι, οὗ
δὴ οἱ ξὺν τῷ Σίμᾳ τε καὶ Ἀσκᾶν ἵσταντο, καὶ αὐτῶν ὄπισθεν
H 23 τῶν Βελισαρίῳ ἑπομένων πολλοὺς ἔστησαν. Πέρσαι μὲν οὖν, οἳ
κέρας τὸ ἀριστερὸν εἶχον Βαρεσμανᾶ ἡγουμένου σφίσι, ξὺν τοῖς
ἀθανάτοις ἐς τοὺς κατ' αὐτοὺς Ῥωμαίους δρόμῳ ἐσέβαλλον. οἱ δὲ
οὐχ ὑποστάντες τὴν ἔφοδον ἐς φυγὴν ὥρμηντο. τότε δὴ οἵ τε ἐν τῇ
γωνίᾳ Ῥωμαῖοι καὶ ὅσοι αὐτῶν ὄπισθεν ἦσαν, σπουδῇ πολλῇ
ἐπὶ τοὺς διώκοντας ᾔεσαν. ἅτε δὲ τοῖς βαρβάροις ἐγκάρσιοι ἰόν-
B τες, διεῖλον αὐτῶν δίχα τὸ στράτευμα, καὶ τοὺς μὲν πλείστους

7. αὐτῶν A. τῶν P. 16. Σίμᾳ] σίμμᾳ A.

rius trecenti illi cum Phara Eruli ex edito aversis hostibus imminentes mira facinora cum in alios ediderunt, tum maxime in Cadisenos, qui ut Sunicam etiam cum suis e transverso prorumpentem videre, illico arripuerunt fugam. Ea clare cognita, iunxerunt agmina Romani, qui illic erant, et magnam barbarorum caedem fecerunt. In hac dimicatione ceciderunt ex hostium cornu dextero minimum III. M. caeteri vix evaserunt ad suam aciem: neque illos insecuti Romani sunt; sed in acie utrique sibi invicem oppositi constiterunt. Hunc res ibi successum habuit.

Ad cornu vero sinistrum Mirrhanes cum alios complures submisit, tum totam cohortem Immortalium. Hos ut viderunt Belisarius et Hermogenes, sexcentos equites, quos Sunicas cum Augane ducebat, ad angulum dexterum, ubi Simas et Ascan in procinctu stabant, vocarunt. Pone illos magna pars eorum, qui Belisarium sequebantur, locata fuit. Igitur Persae in cornu sinistro positi, duce Baresmana, cum Immortalibus Romanos invadunt sibi obiectos. Hi magno fracti impetu iam ruebant in fugam, cum dispositae ad angulum turmae et quicunque post illas aderant, in persequentes effudere se ardentissime. Obliquo incursu bifariam scissus est barbaricus exercitus, exclusa ad dexteram parte maxima,

ἐν δεξιᾷ εἶχον, τινὰς δὲ καὶ ἐγκαταλειφθέντας ἐν ἀριστερᾷ ἐποιήσαντο. ἐν τοῖς καὶ τὸν τοῦ Βαρεσμανᾶ τὸ σημεῖον φέροντα ξυνέπεσεν εἶναι, ὃν δὴ ὁ Σουνίκας τῷ δόρατι ἐπελθὼν παίει. ἤδη τε Πέρσαι οἱ ἐν τοῖς πρώτοις διώκοντες, αἰσθόμενοι οὗ ἦσαν κακοῦ, στρέψαντές τε τὰ νῶτα καὶ τὴν δίωξιν καταπαύσαντες ἐπ' V 251 αὐτοὺς ᾔεσαν, καὶ ἀπ' αὐτοῦ ἀμφίβολοι πρὸς τῶν πολεμίων ἐγίνοντο. ξυνέντες γὰρ τῶν ποιουμένων οἱ φεύγοντες ἀνέστρεφον αὖθις. οἵ τε γοῦν ἄλλοι Πέρσαι καὶ ὁ τῶν ἀθανάτων λόχος, κεκλιμένον τε τὸ σημεῖον ἰδόντες καὶ ἐς τὸ ἔδαφος καθειμένον, ἐπὶ τοὺς ἐκείνῃ Ῥωμαίους σὺν τῷ Βαρεσμανᾷ ὥρμησαν. Ῥωμαῖοι C δὲ ὑπηντίαζον. καὶ πρῶτος Σουνίκας τὸν Βαρεσμανᾶν ἔκτεινέ τε καὶ ἐκ τοῦ ἵππου ἐς τὸ ἔδαφος ἔρριψε. καὶ ἀπ' αὐτοῦ ἐς δέος μέγα οἱ βάρβαροι ἐμπεπτωκότες ἀλκῆς μὲν οὐκέτι ἐμέμνηντο, ἀκοσμίᾳ δὲ πολλῇ ἐχόμενοι ἔφευγον. καὶ κατ' αὐτῶν Ῥωμαῖοι κύκλωσίν τινα ποιησάμενοι πεντακισχιλίους μάλιστα ἔκτειναν. οὕτω τε τὰ στρατόπεδα παντάπασιν ἐκινήθη ἑκάτερα, Περσῶν μὲν εἰς ὑπαγωγὴν, Ῥωμαίων δὲ ἐς τὴν δίωξιν. ἐν τούτῳ τῷ πόνῳ ὅσοι δὴ πεζοὶ ἐν τῷ Περσῶν στρατεύματι ἦσαν, ῥίψαντές τε τοὺς θυρεοὺς καὶ καταλαμβανόμενοι κόσμῳ οὐδενὶ παρὰ τῶν πολεμίων ἐκτείνοντο. Ῥωμαίων μέντοι ἡ δίωξις δι' ὀλίγου ἐγένετο. Βελισάριος γὰρ καὶ Ἑρμογένης περαιτέρω ἰέναι οὐδαμῇ εἴων, D δείσαντες μή τινι ἀνάγκῃ Πέρσαι ὑποστραφέντες τρέψωνται αὐτοὺς οὐδενὶ λόγῳ διώκοντας, ἱκανόν τε αὐτοῖς κατεφαίνετο τὴν νίκην ἀκραιφνῆ διασώσασθαι. μακροῦ γὰρ χρόνου Ῥωμαίων

4. οὗ L. οἵ P.

ad laevam altera intercepta cum Baresmanae vexillario, quem adortus Sunicas hasta confecit. Hoc loco Persae, qui primi fugientibus instabant, discrimine cognito terga vertunt, et istos desistunt insequi, ut illos petant. At ipsi iam ab hostibus utrinque peti coepti sunt. Etenim qui fugiebant, re intellecta, ad eos conversi redierunt. Porro Immortalium cohors ac caeteri Persae, ubi inclinatum vexillum et afflictum humi viderunt, eam partem versus cum Baresmana ceperunt impetum. Occurrunt Romani, ac primus Sunicas Baresmanam confodit, atque ex equo ad terram dat. Eo casu perculsi barbari, proiecta virtute, consternantur in fugam. Romani promotis aciei cornibus sic illos circuncluserunt, ut ad quina millia interfecerint: atque ita utraque acies se prorsus movit ac mutavit locum; Persica, retrahendo sese; Romana, insequendo. Tum omnes, qui in Persarum exercitu pedibus merebant, nudi clypeis, quos abiecerant, in summa perturbatione deprehensi, occisione perierunt. Nec longe procurrerunt haerentes in terga fugacium Romani, inhibentibus Belisario et Hermogene, cum vererentur ne Persae necessitate compulsi ora impetumque converterent in temere persequentes, eosque profligarent. Et vero ipsis id satis esse videbatur, si victoriam retine-

τῇ μάχῃ ἐκείνῃ τῇ ἡμέρᾳ ἡσσήθησαν Πέρσαι. οὕτω μὲν ἀπ' ἀλλήλων ἑκάτεροι διεκρίθησαν. Πέρσαι δὲ οὐκέτι μάχην ἐκ τοῦ εὐθέος ἐς Ῥωμαίους διενεγκεῖν ἤθελον. ἐγένοντο μέντοι ἀμφοτέροις τινὲς ἐξ ἐπιδρομῆς ἔφοδοι, ἐν αἷς οὐκ ἔλασσον Ῥωμαῖοι ἔσχον. τὰ μὲν οὖν στρατόπεδα ἐν Μεσοποταμίᾳ τῇδε ἐφέρετο.

P 43 ιε'. Καβάδης δὲ ἄλλο στράτευμα εἰς Ἀρμενίαν τὴν Ῥωμαίων κατήκοον ἔπεμπε. τὸ δὲ στράτευμα τοῦτο Περσαρμενίων τε καὶ Σουνιτῶν ἦσαν, οἳ δὴ Ἀλανοῖς εἰσιν ὅμοροι. Οὖννοί τε αὐτοῖς οἱ Σάβειροι καλούμενοι τρισχίλιοι ξυνῆσαν, μαχιμώτατον ἔθνος. στρατηγὸς δὲ Μερμερόης, Πέρσης ἀνήρ, ἅπασιν ἐφειστήκει. οἵπερ ἐπειδὴ Θεοδοσιουπόλεως τριῶν ἡμερῶν ὁδῷ διεῖχον, ἐνστρατοπεδευσάμενοί τε ἔμενον ἐν Περσαρμενίων τῇ χώρᾳ καὶ τὰ ἐς τὴν ἐσβολὴν ἐξηρτύοντο. ἐτύγχανε δὲ Ἀρμενίας μὲν B στρατηγὸς Δωρόθεος, ὢν ἀνὴρ συνετός τε καὶ πολέμων πολλῶν ἔμπειρος. Σίττας δὲ ἀρχὴν μὲν τὴν στρατηγίδα ἐν Βυζαντίῳ εἶχε, παντὶ δὲ τῷ ἐν Ἀρμενίοις στρατῷ ἐφειστήκει. οἳ δὴ στράτευμα πολεμίων γνόντες ἐν Περσαρμενίοις ἀγείρεσθαι, δορυφόρους εὐθὺς δύο ἔπεμψαν, ἐφ' ᾧ διασκοπήσαντες ἅπασαν σφίσι τῶν πολεμίων τὴν δύναμιν ἐσαγγείλωσιν. ἄμφω τε ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων γενόμενοι καὶ ἅπαντα ἐς τὸ ἀκριβὲς κατανοήσαντες ἀπηλλάσσοντο. ὁδῷ τε ἰόντες ἔς τι τῶν ἐκείνῃ χωρίων Οὔννοις πολεμίοις ἀπροσδοκήτως ἐντυγχάνουσιν. ὑφ' ὧν ἅτερος

11. τριῶν] γ' P. 13. τὰ ἐς A. τὰ om. P. 16. ἐφειστήκει L. ἐφεστήκει P. 17. ἀγείρεσθαι] ἐγείρεσθαι L. 22. ἀπροσδοκήτως] ἀπροσδοκήτοις L.

rent integram et illibatam, cum longo iam intervallo Romani Persas acie superassent. Ita discessum est: neque ausi sunt Persae postea cum Romanis recte et collato Marte pugnare: leves tantum incursiones utrinque factae, in quibus Romani haud inferiores fuerunt. Hic erat belli status in Mesopotamia.

15. In Armeniam Romanis subditam alium Cabades exercitum misit, e Persarmenis et Sunitis, qui sunt Alanis finitimi, conflatum. Iis se adiunxerant tria Hunnorum millia, eorum qui vocantur Sabiri: bellicosissima sane gens. Mermeroes Persa omnibus praeerat. In Persarmenia cum substitissent, castris quodam in loco positis, unde ad Theodosiopolin iter est tridui, ad irruptionem faciendam se comparabant. Ac tum quidem Armeniae Dux erat Dorotheus, intelligens vir, et multorum bellorum usu peritus. Sittas vero Magister militum in praesenti ac simul per Armeniam. Hi cum exercitum in Persarmenia confici audiissent, statim Praetorianos binos eo miserunt, ut explorate renuntiarent quid virium haberet hostis. Iamque in castra Barbarorum illapsi ambo, diligenter inspectis omnibus revertebantur, et regionis illius locum nescio quem petebant, cum improvide in Hunnos inciderunt. Vivus eorum alter, Daga-

μὲν, Δάγαρις ὄνομα, δεθεὶς ἐζωγρήθη, ὁ δὲ δὴ ἄλλος φυγεῖν τε C ἴσχυσε καὶ τοῖς στρατηγοῖς τὸν πάντα λόγον ἀπήγγειλεν. οἱ δὲ ἅπαν τὸ στράτευμα ἐξοπλίσαντες τῶν πολεμίων τῷ στρατοπέδῳ ἐκ τοῦ αἰφνιδίου ἐπέστησαν. οἵ τε βάρβαροι τῷ ἀπροσδοκήτῳ καταπλαγέντες οὐκέτι ἐς ἀλκὴν ἔβλεπον, ἀλλ' ἔφευγον ὡς ἕκαστός πῃ ἐδύνατο. ἐνταῦθα Ῥωμαῖοι κτείναντές τε συχνοὺς καὶ τὸ στρατόπεδον ληισάμενοι αὐτίκα δὴ ὀπίσω ἀπήλαυνον.

Μερμερόης τε ξύμπασαν ἀγείρας τὴν στρατιὰν οὐ πολλῷ ὕστερον ἐς γῆν τὴν Ῥωμαίων ἐσέβαλλε, καὶ καταλαμβάνουσι τοὺς πολεμίους ἀμφὶ Σάταλαν πόλιν. οὗ δὴ ἐνστρατοπεδευσάμενοι D ἐν χωρίῳ Ὀκτάβῃ ἡσύχαζον, ὅπερ τῆς πόλεως ἓξ τε καὶ πεντήκοντα σταδίους ἀπέχει. Σίττας μὲν οὖν χιλίους ἐπαγόμενος ὄπισθεν τῶν τινος λόφων ἐκρύπτετο, οἷοι πολλοὶ Σάταλαν V 252 H 24 τὴν πόλιν ἐν πεδίῳ κειμένην κυκλοῦσι. Δωρόθεον δὲ ξὺν τῷ ἄλλῳ στρατῷ ἐντὸς τοῦ περιβόλου ἐκέλευε μένειν, ἐπεὶ ἐν τῷ ὁμαλῷ τοὺς πολεμίους ὑφίστασθαι οἷοί τε εἶναι οὐδαμῇ ᾤοντο, οὐχ ἧσσον ἢ τρισμυρίους ὄντας, αὐτοὶ μόλις ἐς τὸ ἥμισυ ἐξικνούμενοι. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ οἱ βάρβαροι ἄγχιστα τοῦ περιβόλου γενόμενοι κύκλωσιν αὐτοῦ ποιεῖσθαί τινα ἐν σπουδῇ εἶχον. P 44 ἄφνω δὲ κατιδόντες τοὺς ἀμφὶ Σίτταν ἐξ ὑψηλοῦ ἤδη ἐπ' αὐτοὺς καταβαίνοντας, καὶ αὐτῶν ξυμμετρεῖσθαι τὸ πλῆθος ἥκιστα ἔχοντες, ἅτε κονιορτοῦ ὥρᾳ θέρους πολλοῦ ἐγκειμένου, πολλῷ τε πλείους ᾤοντο εἶναι καὶ τῆς κυκλώσεως κατὰ τάχος ἀφέμενοι ἐς

8. ἀγείρας] ἐγείρας L. 17. ἧσσον] ἥσσους Hm. Sic p. 72, 8.

ris nomine, captus vinctusque est: alter elapsus, quae viderat, Ducibus plane edidit. Illi imperatis militi armis derepente in castra hostium convolant. Attonitis inopinato impetu Barbaris non iam ad vim, sed ad fugam animus: eam pro se quisque capessere: Romani passim caede metere fugientes. Castris demum direptis, reditum maturarunt.

Nec multo post Mermeroes ubi copias omnes collegisset, eas in agrum Rom. induxit et circa urbem Satalam offendit hostes, stativa tunc habentes Octavae, quae stadiis ab urbe LVI. distat. Hic viros mille secum assumit Sittas, et post collem, e multis unum, qui Satalam in planitie sitam ambiunt, delitescit, Dorotheo cum reliquis copiis intra moenia manere iusso. Cum enim Romani vix mediam aequarent numero partem hostium, qui non pauciores erant XXX. M. non videbantur eorum impressionem excipere in campo ac sustinere posse. Postero die, dum Barbari muris admoti urbem corona cingere intendunt, apparet ex insperato Sittas, recta ad ipsos de collis vertice cum agmine suo descendens. Et quoniam prae aestivi pulveris vi commetiri id visu minime poterant, multo numerosius rebantur esse. Quare omisso cingendae urbis consilio,

ὀλίγον τινὰ χῶρον αὐτοὺς ξυναγαγεῖν ἠπείγοντο. φθάσαντες δὲ Ῥωμαῖοι καὶ διελόντες σφᾶς αὐτοὺς εἰς ξυμμορίας δύο ἀναχωροῦσιν ἐκ τοῦ περιβόλου ἐπέθεντο, ὅπερ ἐπειδὴ ἅπας εἶδεν ὁ Ῥωμαίων στρατός, ἐθάρσησάν τε καὶ δρόμῳ πολλῷ ἐκ τοῦ περιβόλου ξυρρέοντες ἐπὶ τοὺς ἐναντίους ἐχώρησαν. μέσους δὲ αὐτοὺς B καταστησάμενοι εἰς φυγὴν ἔτρεψαν. πλήθει μέντοι, ὥσπερ ἐρρήθη, τῶν πολεμίων οἱ βάρβαροι ὑπεραίροντες ἔτι ἀντεῖχον, ἥ τε μάχη καρτερὰ ἐγεγόνει καὶ ἐκ χειρὸς ἦν. ἀγχιστρόφους δὲ τὰς διώξεις ἐποιοῦντο εἰς ἀλλήλους ἑκάτεροι, ἐπεὶ ἱππεῖς ἅπαντες ἦσαν. ἐνταῦθα Φλωρέντιος Θρᾷξ, καταλόγου ἱππικοῦ ἄρχων, εἰς μέσους ὁρμήσας τοὺς πολεμίους καὶ αὐτῶν τὸ στρατηγικὸν σημεῖον ἁρπάσας, ἐπικλίνας τε αὐτὸ ὡς μάλιστα, ὀπίσω ἀπήλαυνεν. καὶ αὐτὸς μὲν καταληφθείς τε καὶ κρεουργηθεὶς αὐτοῦ ἔπεσε, τῆς δὲ νίκης Ῥωμαίοις αἰτιώτατος γέγονεν. ἐπεὶ γὰρ τὸ σημεῖον οἱ βάρβαροι οὐκέτι ἑώρων, ἐς ἀκοσμίαν τε πολλὴν καὶ ὀρρωδίαν ἐμπεπτωκότες ὑπεχώρησάν τε καὶ γενόμενοι ἐν τῷ στρατο- C πέδῳ ἡσύχαζον, πολλοὺς ἐν τῇ μάχῃ ἀποβαλόντες. τῇ τε ὑστεραίᾳ ἐπ' οἴκου ἅπαντες ἀνεχώρησαν οὐδενὸς σφίσιν ἐπισπομένου, ἐπεὶ μέγα τε καὶ λόγου πολλοῦ ἄξιον ἐφαίνετο εἶναι τῷ Ῥωμαίων στρατῷ βαρβάρους τοσούτους τὸ πλῆθος ἔν τε τῇ σφετέρᾳ χώρᾳ ἐκεῖνα πεπονθέναι ἅπερ μοι ὀλίγον ἔμπροσθεν εἴρηται, καὶ ἐς τὴν πολεμίαν ἐμβεβληκότας, ἀπράκτους τε καὶ οὕτω πρὸς τῶν ἐλασσόνων ἡσσημένους ἀπαλλαγῆναι.

6. ἐρρήθη] ἐῤῥέθη P.

In arctum sese cogere properarunt. Praevertunt Romani, ac divisi bifariam, illos a muro se referentes adoriuntur. Quo viso erecti caeteri effudere se portis, interceptumque hostem in fugam verterunt; ita tamen, ut subinde resisteret, quippe numero longe superior, ut dicebam. Acris erat dimicatio, et res manu gerebatur, cumque omnes ex equis pugnarent, incursu celeri ac recursu sese invicem lacessebant. Tunc in medios hostes invectus Florentius Thrax turmae equestris ductor vexillum Praetorium rapuit, eoque ad solum inclinato cum ad suos rediret, comprehensus et in frusta concisus occidit. Ab ipso maxime nata est Romanis victoria. Si quidem Barbari, sublato ex oculis vexillo, misere turbati sunt, et terrore concitati cessere retro: demum in castra se collegerunt, multis pugnando amissis. Postridie patriam repetierunt, neque illos quisquam insecutus est. Quod enim tanto numero Barbari eam, quam paulo supra memoravimus, cladem in regno suo accepissent, et nunc in hostile ingressi lusissent operam, atque a paucioribus fusi profligatique abscessissent; id vero Romanus exercitus magnum et illustre esse existimabat.

Τότε καὶ Περσῶν χωρία ἐν Περσαρμενίοις Ῥωμαῖοι ἔσχον φρούριόν τε τὸ Βῶλον καὶ τὸ Φαράγγιον καλούμενον, ὅθεν δὴ τὸν χρυσὸν Πέρσαι ὀρύσσοντες βασιλεῖ φέρουσιν. ἐτύγχανον δὲ καὶ ὀλίγῳ πρότερον καταστρεψάμενοι τὸ Τζανικὸν ἔθνος, οἳ ἐν γῇ τῇ Ῥωμαίων αὐτόνομοι ἐκ παλαιοῦ ἵδρυντο· ἅπερ αὐτίκα ὄντινα ἐπράχθη τρόπον λελέξεται. ἐκ τῶν Ἀρμενίας χωρίων ἐς D Περσαρμενίαν ἰόντι ἐν δεξιᾷ μὲν ὁ Ταῦρός ἐστιν, ἔς τε Ἰβηρίαν καὶ τὰ ἐκείνῃ ἔθνη διήκων, ὥσπερ μοι ὀλίγῳ ἔμπροσθεν εἴρηται, ἐν ἀριστερᾷ δὲ κατάντης μὲν ἐπὶ πλεῖστον προϊοῦσα ἡ ὁδὸς γίνεται, καὶ ὄρη ἀποκρέμαται λίαν ἀπότομα νεφέλαις τε καὶ χιόσι κεκαλυμμένα τὸν πάντα αἰῶνα. ἔνθεν ἐξιὼν ποταμὸς Φᾶσις φέρεται εἰς γῆν τὴν Κολχίδα. ταύτῃ τὸ ἐξ ἀρχῆς βάρβαροι, τὸ Τζανικὸν ἔθνος, οὐδενὸς κατήκοοι ᾤκηντο, Σάνοι ἐν τοῖς ἄνω χρόνοις καλούμενοι, ληστείαις μὲν χρώμενοι ἐς τοὺς περιοίκους Ῥωμαίους, δίαιταν δὲ σκληρὰν ὑπερφυῶς ἔχοντες καὶ τοῖς φωρίοις ἀεὶ ἀποζῶντες. οὐ γάρ τι εἰς βρῶσιν αὐτοῖς ἀγαθὸν ἡ γῆ ἔφερε· διὸ δὴ αὐτοῖς χρυσίον τακτὸν ἀνὰ πᾶν ἔτος ὁ Ῥωμαίων P 45 βασιλεὺς ἔπεμπεν, ἐφ' ᾧ δὴ μήποτε ληίσονται τὰ ἐκείνῃ χωρία. οἱ δὲ καὶ ὅρκους τοὺς σφίσι πατρίους ὑπὲρ τούτων ὀμνύντες καὶ τὰ ὀμωμοσμένα ἐν ἀλογίᾳ ποιούμενοι ἀπροσδόκητοί τε ἐμπίπτοντες ἐκ τῶν ἐπὶ πλεῖστον ἐκακούργουν οὐκ Ἀρμενίους μόνον, ἀλλὰ καὶ τοὺς αὐτῶν ἐχομένους Ῥωμαίους μέχρι ἐς θάλασσαν, δι' ὀλίγου

4. Τζανικὸν] τερανικὸν A. Zanicam RV, et infra. 6. τρόπον] Legebatur λόγον. 8. ἐκείνῃ ἔθνη] Legebatur ἔθνη ἐκείνῃ. ἔθνη ἐκείνης L. 9. προϊοῦσα] Legebatur ἂν προϊοῦσα. Quo fortasse ἀνιοῦσα indicatum fuit. 11. Φᾶσις] Φάσις P. 13. Σάνοι] Suni RV. 18. ληίσονται] ληΐσωνται L. 19. τοὺς om. L.

Quo etiam tempore Romani loca ditionis Persicae obtinuerunt in Persarmenia, Bolum castellum et Pharangium, ut appellant: ubi sunt auri fodinae Regis Persarum. Aliquanto ante subacti fuerant Tzani, veteres ac liberi incolae regionis, quae Romani Imperii finibus comprehenditur. Mox uti res gesta sit dicam. Ex Armenia in Persarmeniam eunti ad dextram est mons Taurus, qui, ut paulo supra descripsimus, ad Iberes usque et vicinas gentes evadit: ad laevam, iter in declivi longissimum, et montes praeruptissimi; qui nubibus ac nive perenni tecti impendent, unde et scatens fluvius Phasis in Colchidem fertur. Hic sedes ab omni vetustate habuerant, nec parebant cuiquam Tzani (olim Sani dicebantur) gens barbara, circumpositos Romanos infestare solita latrociniis et asperrimo durata victu. Et quoniam illos parum alebat malignum solum, rapto semper vivebant. Quare Romanus Imperator certum auri modum ipsis ea lege quotannis mittebat, ut vim ab circumiectis locis abstinerent. Verum illi neglectis, quibus fidem obstrinxerant, iuramentis patriis, iamdiu non in Armenios modo, sed in Romanos etiam accolas adusque Pontum infestissime gras-

δὲ τὴν ἔφοδον πεποιημένοι, εὐθὺς ἐπ᾿ οἴκου ἀπεκομίζοντο. καὶ Ῥωμαίων ἴσως ἐντυχόντες στρατῷ ἡσσῶντο μὲν τῇ μάχῃ, ἁλώσιμοι δὲ παντάπασιν οὐκ ἐγίνοντο χωρίων ἰσχύϊ. μάχῃ τοίνυν ὁ Σίττας αὐτοὺς πρὸ τοῦδε τοῦ πολέμου νικήσας, ἐπαγωγά τε πολλὰ B εἰς αὐτοὺς εἰπών τε καὶ πράξας, προσποιήσασθαι παντελῶς ἴσχυ- V 253 σε. τήν τε γὰρ δίαιταν ἐπὶ τὸ ἡμερώτερον μεταβαλόντες ἐς καταλόγους αὐτοὺς Ῥωμαϊκοὺς ἐπεγράψαντο καὶ τὸ λοιπὸν ξὺν τῷ ἄλλῳ Ῥωμαίων στρατῷ ἐπὶ τοὺς πολεμίους ἐξίασι. τὴν δὲ δόξαν H 25 ἐπὶ τὸ εὐσεβέστερον μετέθεντο, ἅπαντες Χριστιανοὶ γεγενημένοι. τὰ μὲν οὖν ἀμφὶ τοῖς Τζανοῖς ταύτῃ πῃ ἔσχεν.

Ὑπερβάντι δὲ τὰ αὐτῶν ὅρια φάραγξ ἐστὶ βαθεῖά τε καὶ λίαν κρημνώδης μέχρι ἐς τὰ Καυκάσια ὄρη διήκουσα. ἐνταῦθα χωρία τε πολυάνθρωπά ἐστι καὶ ἄμπελός τε καὶ ἄλλη ὀπώρα διαρκῶς φύεται. καὶ μέχρι μὲν ἐς τριῶν ἡμερῶν ὁδὸν μάλιστα C Ῥωμαίοις ἡ φάραγξ αὕτη ὑποτελὴς τυγχάνει οὖσα, τὸ δὲ ἐνθένδε οἱ Περσαρμενίων ὅροι ἐκδέχονται, οὗ δὴ καὶ τὸ τοῦ χρυσοῦ μέταλλόν ἐστιν, ὅπερ Καβάδου δόντος ἐπετρόπευε τῶν τις ἐπιχωρίων Συμεώνης ὄνομα. οὗτος ὁ Συμεώνης ἐπειδὴ ἀμφοτέρους ἐς τὸν πόλεμον ἀκμάζοντας εἶδε, Καβάδην τῆς τῶν χρημάτων προσόδου ἀποστερεῖν ἔγνω. διὸ δὴ αὐτόν τε καὶ τὸ Φαράγγιον Ῥωμαίοις ἐνδοὺς οὐδετέροις τὸν ἐκ τοῦ μετάλλου χρυσὸν ἀποφέρειν ἠξίου. Ῥωμαῖοι μὲν γὰρ οὐδὲν ἔπραττον, ἀποχρῆν σφίσιν ἡγούμενοι ἀπολωλέναι τοῖς πολεμίοις τὴν ἐνθένδε φορὰν, Πέρσαι δὲ

1. οἴκου] οἴκους L.

sabantur, raptimque facta populatione, domum revolabant. Si quando in Rom. exercitum forte inciderent, fundebantur ilicet; omnino tamen ne delerentur obstabat inexpugnabilis locorum situs. Hos Barbaros cum ante bellum istud Sittas praelio vicisset, tandem humanitatis illecebris, quam et verbis et re testatus prolixe est, ipsos perdomuit ac subegit. Nam ad mitiorem vitae cultum traducti, nomina sua in Rom. numeros retulerunt, ac iam inde usque eos in expeditiones sequuntur. Cum feritate impietatem etiam exuerunt et Christianam omnes religionem amplexi sunt. Hactenus de Tzanis.

Transitis eorum finibus, venitur in vallem altam admodum et praecipitiis asperam, quae ad montes usque Caucasios pertinet. Hic oppida sunt frequentia incolis: vitifera tellus, fructus autumnales cuiusque generis benigne sufficit. Tridui iter habet ea vallis pars, quae paret Romanis: alteram excipiunt Persarmeniae fines; ubi et auri fodinae sunt, quibus concessu Cabadis praeerat oriundus indidem Symeones. Is ubi Romanos inter ac Persas bellum exarsisse vidit, apud se statuit proventu auri Cabadem intervertere. Itaque et se ipse Romanis et Pharangium dedidit, hac arte id consecutus, ut effossum aurum impune retineret. Nam nec Romani exigebant, contenti nihil inde ad hostem redire: nec

οὐχ οἷοί τε ἦσαν ἀκόντων Ῥωμαίων τοὺς ταύτῃ ᾠκημένους ἀντιστατούσης τῆς δυσχωρίας βιάζεσθαι.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους Ναρσῆς τε καὶ Ἀράτιος, οἳ D Βελισαρίῳ τε καὶ Σίττᾳ ἐν Περσαρμενίων τῇ χώρᾳ κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου εἰς χεῖρας ἦλθον, ὥσπερ ἔμπροσθέν μοι δεδήλωται, σὺν τῇ μητρὶ αὐτόμολοι ἐς Ῥωμαίους ἧκον, καὶ αὐτοὺς Ναρσῆς ὁ βασιλέως ταμίας ἐδέξατο — Περσαρμένιος γὰρ καὶ αὐτὸς γένος ἐτύγχανε — χρήμασί τε αὐτοὺς δωρεῖται μεγάλοις. ὅπερ ἐπειδὴ Ἰσάκης, ὁ νεώτατος αὐτῶν ἀδελφὸς, ἔμαθε, Ῥωμαίοις λάθρα εἰς λόγους ἐλθὼν Βῶλον αὐτοῖς τὸ φρούριον, ἄγχιστά πη ὂν τῶν Θεοδοσιουπόλεως ὁρίων, παρέδωκε. στρατιώτας γὰρ ἐγγύς πη ἐπέστελλε κρύπτεσθαι, οὓς δὴ τῷ φρουρίῳ νύκτωρ ἐδέξατο, μίαν αὐτοῖς λάθρα ἀνακλίνας πυλίδα· οὕτω τε καὶ αὐτὸς εἰς Βυζάντιον ἦλθεν.

ιϛ'. Οὕτω μὲν Ῥωμαίοις τὰ πράγματα εἶχε. Πέρσαι δὲ P 46 πρὸς Βελισαρίου ἐν Δάρας ἡσσημένοι τῇ μάχῃ οὐδ' ὣς ἐνθένδε ἀναχωρεῖν ἔγνωσαν, ἕως Ῥουφῖνος, ἐπεὶ ἐς ὄψιν τὴν Καβάδου ἦλθεν, ἔλεξεν ὧδε „Ἔπεμψέ με, ὦ βασιλεῦ, ὁ σὸς ἀδελφὸς μέμψιν δικαίαν τυγχάνουσαν μεμφόμενος, ὅτι δὴ Πέρσαι ἀπὸ οὐδεμιᾶς αἰτίας εἰς γῆν τὴν αὐτοῦ ἐν ὅπλοις ἦλθον. καίτοι βασιλεῖ μεγάλῳ τε καὶ ἐς τοσοῦτον ξυνέσεως ἥκοντι ἐκ πολέμου εἰρήνην πρυτανεῦσαι μᾶλλον ἂν πρέποι ἢ τῶν πραγμάτων εὖ καθεστώτων ταραχὴν οὐ δέον αὐτῷ τε καὶ τοῖς πέλας προστρίβεσθαι. οἷς δὴ B

11. Θεοδοσίου πόλεως divisim P hic et alibi.

Persae Romanis invitis poterant in incolas vim ob locorum asperitatem suscipere.

Sub idem tempus Narses atque Aratius, qui belli huius initio cum Belisario et Sitta (quod iam ante narravi) in Persarmenia dimicaverant, ultro cum matre ad Romanos transfugerunt. Eos Narses, Imperatoriae gazae Praefectus, natione et ipse Persarmenus, excepit ac magna pecunia donavit. Quod ubi audiit eorum frater natu minimus Isaces, cum Romanis clanculum collocutus, Bolum castellum agro Theodosiopolitano finitimum ipsis tradidit, admissis noctu porta clam aperta militibus, qui se prope abdiderant, ex ipsius praescripto. Tum ipse quoque Byzantium venit.

16. Romanis quidem res ista cesserat: Persae vero quamvis a Belisario victi acie fuissent ad Daram, tamen inde abire noluerunt, donec Rufinus Cabadem adiit: ad cuius conspectum admissus, in hunc modum verba fecit. *A fratre huc tuo missus, o Rex, ipsius querelas ad te defero sane iustas. Nimirum armis infesti Persae irruperunt in eius regnum, quamvis nulla iniuria provocati. At magnum certe Regem tantaque sapientia praeditum magis decet bellum pace componere quam bello miscere pacem, et se ac vicinos, quando res in tranquillo sedent, discordia indi-*

καὶ αὐτὸς εὔελπις ὢν ἐνθάδε ἀφῖγμαι, ὅπως τὸ λοιπὸν ἀμφοτέροις τὰ ἐκ τῆς εἰρήνης ἀγαθὰ εἴη.“ Ῥουφῖνος μέντοι τοσαῦτα εἶπε. Καβάδης δὲ ἀμείβεται ὧδε „Ὦ παῖ Σιλβανοῦ, μηδαμῶς ἀντιστρέφειν τὰς αἰτίας πειρῶ, πάντων ἐξεπιστάμενος μάλιστα ταραχῆς ἁπάσης αἰτιωτάτους γεγονέναι τοὺς Ῥωμαίους ὑμᾶς. πύλας γὰρ τὰς Κασπίας ἡμεῖς ἔσχομεν ἐπὶ τῷ Περσῶν τε καὶ Ῥωμαίων ἀγαθῷ βιασάμενοι τοὺς ἐκείνῃ βαρβάρους, ἐπεὶ Ἀναστάσιος ὁ Ῥωμαίων αὐτοκράτωρ, ὥς που καὶ αὐτὸς οἶσθα, παρὸν αὐτὰς χρήμασιν ὠνεῖσθαι, οὐκ ἤθελεν, ὅπως μὴ στράτευμα ἐς πάντα τὸν αἰῶνα ἐνταῦθα ἔχων χρήματα μεγάλα ὑπὲρ ἀμφοτέ-
C ρων προΐεσθαι ἀναγκάζηται. ἐξ ἐκείνου τε ἡμεῖς στρατιὰν τοσαύτην τὸ πλῆθος ἐνταῦθα καταστησάμενοι καὶ ἐς τὸν παρόντα χρόνον ἐκτρέφοντες δεδώκαμεν ὑμῖν τό γε κατὰ τοὺς ἐκείνῃ βαρβάρους μέρος ἀδῄωτον τὴν χώραν οἰκεῖν, ξὺν πολλῇ ἀπραγμοσύνῃ τὰ ὑμέτερα αὐτῶν ἔχουσιν. ὥσπερ δὲ οὐχ ἱκανὸν ὑμῖν τοῦ-
V 254 τό γε, καὶ πόλιν μεγάλην Δάρας ἐπιτείχισμα Πέρσαις πεποίησθε, καίπερ διαρρήδην ἐν ταῖς σπονδαῖς ἀπειρημένον, ἅσπερ Ἀνατόλιος πρὸς Πέρσας ἔθετο, καὶ ἀπ' αὐτοῦ δυοῖν στρατοπέδοιν
D ἀνάγκῃ πόνοις τε καὶ δαπάνῃ κεκακῶσθαι τὰ Περσῶν πράγματα, τὸ μέν, ὅπως μὴ Μασσαγέται τὴν ἀμφοτέρων γῆν ἄγειν τε καὶ φέρειν ἀδεῶς δύνωνται, τὸ δέ, ὅπως ἂν τὰς ὑμετέρας ἐπιδρομὰς ἀναστέλλοιμεν. ὑπὲρ ὧν ἔναγχος μεμφομένων ἡμῶν, δυοῖν τε τὸ ἕτερον ἀξιούντων παρ' ὑμῶν γίνεσθαι, ἢ ἐξ ἀμ-

23. δυοῖν] δυεῖν P.

gna turbare. Me vero non sine spe bona huc perduxit consilium pacis, ut eius bonis utrumque Imperium fortunetur. Haec Rufinus: cui sic contra Cabades. *Ego vero, fili Silvani, ad regerendas querelas nullam adhibeo animi contentionem, quippe qui sciam omnium optime vos Romanos quidquid turbarum fuit maxime excitasse. Nos Portas Caspias in Romanorum aeque ac Persarum commodum occupavimus, exactis inde barbaris, posteaquam, ut ipse scis, Anastasius Rom. Imperator eas emere cum posset, noluit, ne in stipendium assidui illic militis magnos sumptus rei causa communis facere cogeretur. Nos ibi praesidium imposuimus numerosissimum: nos ad hanc diem aluimus: nos vobis de re vestra parum sollicitis id beneficium praestitimus, ut saltem a Barbaris, qui illic degunt, intactam hactenus regionem incolueritis. Vos autem, quasi levius esset istud, Daram urbem magnam ad oppugnandos Persas extruxistis; contra quam diserte cautum est instrumento pacis ab Anatolio cum illis compositae. Atque ex eo tempore necesse fuit rem Persicam non solum praeliis, verum etiam sumptu minui in duos exercitus facto: quorum alterum obiecimus Massagetis, ne in utroque regno raperent impune ac ferrent omnia; alterum vobis, quo excursiones vestras cohiberemus. Ac de his non ita pridem expostulantes, cum a vobis peteremus alterutrum; aut ut miles utrinque*

φοτέρων τὸν ἐς πύλας τὰς Κασπίας στρατὸν στέλλεσθαι, ἢ
πόλιν Δάρας καταλύεσθαι, τῶν μὲν λεγομένων τὴν μάθησιν
οὐ προσίεσθε, κακῷ δὲ μείζονι κρατύνεσθαι τὴν ἐς Πέρσας
ἐπιβουλὴν ἔγνωτε, εἴ τι μεμνήμεθα τῆς ἐν Μίνδονος οἰκοδο-
μίας· καὶ νῦν δὲ Ῥωμαίοις ἑλετὰ μὲν τὰ τῆς εἰρήνης, αἱρετὰ P 47
δὲ τὰ ὅπλα, ἢ τὰ δίκαια πρὸς ἡμᾶς τιθεμένοις, ἢ ἀπ' ἐναν-
τίας αὐτῶν ἰοῦσιν. οὐ γὰρ τὰ ὅπλα καταθήσουσι πρότερον Πέρ-
σαι, πρὶν δὴ αὐτοῖς Ῥωμαῖοι ἢ τὰς πύλας δικαίως τε καὶ ὀρθῶς
ξυμφυλάξουσιν, ἢ πόλιν Δάρας καταλύσουσι.“ τοσαῦτα Κα- H 26
βάδης εἰπὼν τὸν πρεσβευτὴν ἀπεπέμψατο, παραδηλώσας ὡς
οἱ βουλομένῳ εἴη χρήματά τε πρὸς Ῥωμαίων λαβεῖν καὶ τὰς τοῦ
πολέμου καταλύειν αἰτίας. ἅπερ Ῥουφῖνος ἐς Βυζάντιον ἥκων
βασιλεῖ ἤγγειλεν. οὗ δὴ οὐ πολλῷ ὕστερον καὶ Ἑρμογένης ἀφί-
κετο, καὶ ὁ χειμὼν ἔληγε, καὶ τέταρτον ἔτος ἐτελεύτα Ἰουστινια-
νῷ βασιλεῖ τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντι.

ιζ. Ἅμα δὲ ἦρι ἀρχομένῳ στράτευμα Περσῶν Ἀζαρέθου B
ἡγουμένου ἐσέβαλεν ἐς Ῥωμαίων τὴν γῆν. ἦσαν δὲ πεντακισχί-
λιοί τε καὶ μύριοι, ἱππεῖς ἅπαντες. καὶ αὐτοῖς Ἀλαμούνδαρος ὁ
Σακκίνης ξυνῆν πάμπολύν τινα ὅμιλον Σαρακηνῶν ἔχων. αὕτη
τε Πέρσαις ἡ ἐσβολὴ οὐ καθάπερ εἰώθει ἐγένετο· οὐ γὰρ ἐς τὴν
Μεσοποταμίαν ἐσέβαλλον, ὥσπερ τὰ πρότερα, ἀλλ' ἐς τὴν πά-
λαι μὲν Κομμαγηνήν, τανῦν δὲ καλουμένην Εὐφρατησίαν, ὅθεν

3. προσίεσθε L. προσίεσθαι P. 4. ἐν excidit in P. *ibid.* Μίνδονος] μίνδονος A. *ad Mirduum aedificii* RV. Conf. p. 85 b. 18. Ἀλαμούνδαρος Σακκίνης] *Alamandarus Saracenus* RV. 20. εἴωθεν] εἰώθει L. 22. Κομαγηνὴν] Κομμαγηνὴν P.

mitteretur ad Portas Caspias, aut ut Dara dirueretur; vos dicta respuentes, consilium perdendi Persas maiori firmare iniuria voluistis. Enimvero nondum animo excidit castelli Mindonensis aedificatio. At nunc Romani pacem accipere possunt, vel bellum eligere: illam quidem, si modo praestent quod aequum est: hoc vero, si secus agant. Nam arma Persae non prius ponent, quam cum ipsis, ut par est, Romani coierint ad Portarum Caspiarum custodiam, vel urbem Daram everterint. Ita locutus Cabades, Legatum remisit, cum obscure significasset velle se accipere a Romanis pecuniam, atque ita belli causas rescindere. Haec Rufinus Byzantium reversus Imperatori retulit: eodem etiam non multo post venit Hermogenes. Abit hyems, et annus imperii Iustiniani quartus absolvitur.

17. Primo vere in fines Romanorum irrupit duce Azarethe Persarum exercitus. Erant numero xv. m. et quidem equites omnes: seque illis adiunxerat Alamundarus Saccines cum magna Saracenorum manu. Ea demum irruptio hoc habuit novi, ut non in Mesopotamiam pro more pristino facta fuerit; sed in Comagenen (sic appellabant veteres, quae vocatur hodie Euphratesia) unde numquam, quod equidem sciamus,

δὴ οὔ πώποτε Πέρσαι πρότερον, ὅσα γε ἡμᾶς εἰδέναι, ἐπὶ Ῥωμαίους ἐστράτευσαν. ὅτου δὲ ἕνεκα Μεσοποταμία τε ἡ χώρα ἐκλήθη καὶ οἱ Πέρσαι τῆς ἐς ταύτην ἐφόδου ἀπέσχοντο ἐρῶν ἔρχομαι.

C *Ὄρος οὐ λίαν ἀπότομον ἐν Ἀρμενίοις ἐστὶ, Θεοδοσιουπόλεως μὲν δύο καὶ τεσσαράκοντα διέχον σταδίοις, τετραμμένον δὲ αὐτῆς πρὸς βορρᾶν ἄνεμον. καὶ πηγαὶ δύο ἐνθένδε ἐξίασι, ποταμοὺς δύο ποιοῦσαι αὐτίκα, Εὐφράτην μὲν ἡ ἐν δεξιᾷ, ἡ δὲ δὴ ἑτέρα Τίγριν ὄνομα. τούτοιν ἅτερος μὲν, ὁ Τίγρις, οὔτε περιόδοις τισὶ χρώμενος οὔτε ὑδάτων ὅτι μὴ ὀλίγων οἱ ἐπιγινομένων, εὐθὺ Ἀμίδης πόλεως κάτεισι. καὶ αὐτῆς ἐς τὰ πρὸς βορρᾶν ἄνεμον προϊὼν χωρεῖ ἐς τῶν Ἀσσυρίων τὴν χώραν. ὁ δὲ δὴ Εὐφράτης φέρεται μὲν κατ' ἀρχὰς ἐπί τινα χῶρον ὀλίγον, εὐθὺς δὲ προϊὼν ἀφανίζεται, οὐχ ὑπόγειος μέντοι γινόμενος, ἀλλά τί*
P 48 *οἱ ξυμβαῖνον θαυμάσιον οἷον. ὑπὲρ γὰρ τοῦ ὕδατος τέλμα ἐπὶ πλεῖστον βαθὺ γίνεται, μῆκος μὲν ὅσον ἐπὶ σταδίους πεντήκοντα, εὖρος δὲ εἴκοσι. καὶ καλάμων φύεται πολύ τι χρῆμα ἐν τῷ πηλῷ τούτῳ. ἐς τόσον δὲ σκληρός τις ὁ χοῦς ἐνταῦθά ἐστιν ὥστε τοῖς ἐντυγχάνουσιν οὐδὲν ἄλλο δοκεῖν ἢ ἤπειρον εἶναι. ἐπ' αὐτῷ τοίνυν ξυμβαίνει οὐδὲν δεδιότας πεζούς τε καὶ ἱππέας πορεύεσθαι. καὶ μὴν καὶ ἅμαξαι παρίασιν ἐνθένδε πολλαὶ ἡμέρᾳ ἑκάστῃ, ἀλλ' οὐδὲν τὸ παράπαν ἰσχύουσι κινεῖν τι ἢ ἐξελέγχειν τοῦ τέλματος. καίουσι δὲ τοὺς καλάμους οἱ ἐπιχώριοι ἀνὰ πᾶν ἔτος, τοῦ*

9. *Τίγριν — Τίγρις*] *τίγρην — τίγρης* A. 22. *ἐξελέγχειν*] *ἐξελκύειν* Pm.

Persicae copiae Romanos invaserant. Ego vero et originem nominis Mesopotamiae, et causam cur in eam regionem se eiicere Persae noluerint, iam aggredior explicare.

Est mons in Armenia non admodum praeceps, stadiis XLII. Theodosiopoli dissitus illique obversus a Septentrione. Ex eo fontes nascuntur duo, qui illico totidem efficiunt flumina; is nempe qui dextra oritur, Euphratem; alter Tigrin. Ac Tigris quidem non flexuose, sed recta, et parum aquae externae colligens, Amidam versus descendit, ac profluens ad latus urbis huius Aquilonare, devolvitur in Assyriam. Euphrates cursum incipit per angusta spatia: unde simul ac prorupit, subducit se oculis, non per alveum subterraneum, at mirabili quodam casu. Etenim super aqua limus altissimus coiit, seque ita effudit, ut stadia L. in longitudinem, XX. in latitudinem pateat. Atque hic limus arundinum est admodum ferax, adeoque durus, ut accedentibus obiiciat speciem continentis, et transitum securum praebeat equitibus pariter ac peditibus. Quin etiam plaustra magno illac numero aguntur quotidie; nec tamen fieri labes ulla, nec quid subsit deprehendi potest. Cum autem indigenae so-

μὴ τὰς ὁδοὺς πρὸς αὐτῶν εἴργεσθαι, καί ποτε πνεύματος ἐνταῦθα ἐξαισίου ἐπιπεσόντος μέχρι ἐς τὰ τῶν ῥιζῶν ἔσχατα τὸ πῦρ V 255 B ἐξικνεῖσθαι τετύχηκε, καὶ τὸ ὕδωρ ἐν χωρίῳ ὀλίγῳ φανῆναι. χρόνου δὲ ὁ χοῦς αὖθις οὐ πολλοῦ ξυμφυεὶς ἀπέδωκε τῷ χωρίῳ τὸ σχῆμα, ἐφ' οὗπερ τὸ πρότερον ἦν. ἐνθένδε τε ὁ ποταμὸς πρόεισιν ἐς τὴν Ἐκελεσηνὴν καλουμένην χώραν, οὗ δὴ τὸ ἐν Ταύροις τῆς Ἀρτέμιδος ἱερὸν ἦν, ἔνθεν λέγουσι τὴν Ἀγαμέμνονος Ἰφιγένειαν ξύν τε Ὀρέστῃ καὶ Πυλάδῃ φυγεῖν τὸ τῆς Ἀρτέμιδος ἄγαλμα φέρουσαν. ὁ γὰρ ἄλλος νεώς, ὃς δὴ καὶ ἐς ἐμὲ ἐστιν ἐν πόλει Κομάνῃ, οὐχ ὁ ἐν Ταύροις ἐστίν. ἀλλ' ὅπως ἐγένετο, ἐγὼ δηλώσω.

Ἐπειδὴ ἐκ Ταύρων Ὀρέστης ξὺν τῇ ἀδελφῇ ἀπιὼν ᾤχετο, C ξυνέπεσεν αὐτῷ νοσῆσαι τὸ σῶμα. καὶ ἀμφὶ τῇ νόσῳ πυνθανομένῳ χρῆσαι τὸ μαντεῖόν φασιν οὐ πρότερον λωφήσειν αὐτῷ τὸ κακόν, πρὶν τῇ Ἀρτέμιδι ναὸν δείμασθαι ἐν χώρῳ τοιούτῳ, οἷον δὴ τὸν ἐν Ταύροις ξυμβαίνει εἶναι, ἐνταῦθά τε ἀποκείρασθαι τὴν αὐτοῦ κόμην καὶ αὐτῇ ὁμωνύμως καλέσαι τὴν πόλιν. διὸ δὴ Ὀρέστην περιιόντα τὰ ἐκείνῃ χωρία ἐν Πόντῳ γενέσθαι, κατιδεῖν τε ὄρος, ὃ δὴ ἐνταῦθα ἀπότομον ἀπεκρέματο, ἔρρει τε ἔνερθε παρὰ τὰς τοῦ ὄρους ἐσχατιὰς ποταμὸς Ἶρις. ὑποτοπήσαντα οὖν τὸν Ὀρέστην τότε τοῦτόν οἱ τὸν χῶρον δηλοῦν τὸ μαντεῖον πόλιν D τε ἐνταῦθα λόγου ἀξίαν καὶ τὸν τῆς Ἀρτέμιδος νεὼν δείμασθαι, τήν τε κόμην ἀποθριξάμενον ὁμωνύμως αὐτῇ καλέσαι τὴν πόλιν,

6. Ἐκελεσηνὴν] Ἀκιλισηνὴν Pm. Edesenem RV. 12. ἀπιὼν] ἐπιὼν A. 17. αὐτοῦ] αὑτοῦ P.

leant quotannis incendio arundinetum vastare, ne vias calami intercludant; contigit aliquando, id dum fit, ut ventus incumberet violentior, quo actus ignis ad radices imas pervasit: tum demum aqua per hiatum exiguum apparuit: sed coalescens iterum limus, brevi tempore pristinam reddidit loco faciem. Inde labitur Euphrates in Acilisenen, ubi Dianae Tauricae fanum erat, ex quo cum Oreste ac Pylade aufugisse dicitur Iphigenia, simulacrum Dianae ferens. Templum enim, quod in urbe Comana etiamnum visitur, a Taurico diversum est. Rem ego, uti se habet, exponam.

Postquam Orestes a Tauris abiit cum sorore, in morbum incidit: ac super eo consultum Oraculum respondisse memorant, aegrum haud prius sanatum iri, quam in loco, cuius situs ei, quem Tauri habent, similis esset, posuisset aedem Dianae, ibique attonsa coma, factum ex ea nomen dedisset urbi. Itaque Orestes circumiectos tractus obiens, venit in Pontum: ubi cum praeruptum montem vidisset, ac fluvium Irin radices eius alluentem, hunc sibi locum ab Oraculo designari ratus, praeclaram in eo urbem et Dianae fanum extruxit, recisaque coma, hinc nomen

ἣ δὴ Κόμανα καὶ ἐς ἐμὲ ὀνομάζεται. τούτων τε Ὀρέστῃ ἐξειρ-
γασμένων οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, τὴν νόσον ἀκμά-
ζειν. αἰσθόμενον δὲ τὸν ἄνθρωπον ὡς οὐκ ἐπιτηδείως ταῦτα τῷ
μαντείῳ ποιοίη, ἅπαντα αὖθις περιιόντα σκοπεῖσθαι καὶ χῶρόν
τινα ἐν Καππαδόκαις εὑρεῖν τῷ ἐν Ταύροις τὰ μάλιστα ἐμφερέ-
στατον. ὅνπερ καὶ ἐγὼ πολλάκις ἰδὼν ἠγάσθην τε ὑπερφυῶς
καί μοι ἐδόκουν ἐν Ταύροις εἶναι. τό τε γὰρ ὄρος τοῦτο ἐκείνῳ
ἀτεχνῶς ἔοικεν, ἐπεὶ κἀνταῦθα ὁ Ταῦρός ἐστι, καὶ ὁ ποταμὸς
H 27 Σάρος τῷ Εὐφράτῃ εἰκάζεται. πόλιν τε οὖν ἀξιοθέατον ᾠκο-
δομήσατο ἐνταῦθα Ὀρέστης καὶ νεὼς δύο, τὸν ἕτερον μὲν
τῇ Ἀρτέμιδι, τὸν δὲ ἄλλον τῇ ἀδελφῇ Ἰφιγενείᾳ, οὓς δὴ
P 49 Χριστιανοὶ ἱερὰ σφίσι πεποίηνται, τῆς οἰκοδομίας τὸ παράπαν
οὐδὲν μεταβαλόντες. αὕτη καλεῖται καὶ νῦν ἡ χρυσῆ Κόμανα,
τῆς Ὀρέστου κόμης ἐπώνυμος οὖσα, ἣν δὴ ἐκεῖνον ἐνταῦθά φα-
σιν ἀποκειράμενον διαφυγεῖν τὸ ἀρρώστημα. τινὲς δὲ λέγουσιν
αὐτὸν οὐκ ἄλλην τινὰ νόσον ἢ τὴν μανίαν ταύτην ἀποφυγεῖν,
ἥπερ αὐτὸν ἔσχεν, ἐπειδὴ τὴν μητέρα τὴν ἑαυτοῦ ἔκτεινεν. ἐγὼ
δὲ ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.

Ἔκ τε γὰρ τῶν ἐν Ταύροις Ἀρμενίων καὶ χώρας τῆς Ἐκε-
λεσηνῆς ποταμὸς Εὐφράτης ἐν δεξιᾷ ῥέων γῆν τε πολλὴν περι-
βάλλεται καὶ ποταμῶν οἱ ἄλλων τε ἀναμιγνυμένων καὶ αὐτοῦ Ἀρ-
B σίνου, ὃς δὴ ἐκ τῶν Περσαρμενίων καλουμένων πολὺς φέρεται,

1. Ὀρέστῃ] Legebatur Ὀρέστην. 9. Εὐφράτῃ] ταύρῳ εὐφράτῃ
19. ἐκελεσηνῆς A. Ἀκιλισηνῆς, ut apud Ptolemaeum et Strabone
P. Conf. p. 88, 6.

Comanae fecit, quod urbi hac etiam aetate manet. His vero exac cum morbus adeo non remitteret, ut ingravesceret potius; intelli Orestes nondum se Oraculo satisfecisse, partes illas denuo lustravit o et consideravit: tandem in Cappadocia locum plane geminum ac sim ei, quem viderat apud Tauros, invenit. Hunc ego saepe contem oculis, vehementer miratus sum; sic ut mihi non abesse a Tauris rer. Nam et montem, qui est apud illos, huius loci mons, cum hic que Taurus sit, repraesentat, et speciem Euphratis exhibet Sarus vius. Igitur Orestes urbem hic aedificavit spectatu dignam, ac duo Dianae alterum, alterum Iphigeniae sorori: ea iam templa sunt Ch norum, qui utrumque inaugurarunt, nihil mutata structura. Urbs etiam hodie vocatur Aurea Comana, eam nacta nomenclationem ab stis coma, qua tonsa ipsum convaluisse fama est. Porro quida bum, ex quo evasit, meram fuisse insaniam perhibent, quae illum serat post matricidium. Nunc ad propositum redeo.

Ab ea parte Armeniae, quam habent Tauri, et Acilisene dextra Euphrates magnam regionem amplectitur, et cum alios tum Arsinem e Persarmenia copioso alveo decurrentem accipit:

μέγας τε, ὡς τὸ εἰκός, γεγενημένος ἐς τοὺς πάλαι μὲν Λευκοσύ-
ρους, νῦν δὲ Ἀρμενίους μικροὺς καλουμένους, χωρεῖ. ὧν δὴ
πόλις πρώτη Μελιτηνὴ λόγου πολλοῦ ἀξία ἐστί. τὸ δὲ ἐντεῦθεν
τά τε Σαμόσατα παραρρεῖ καὶ τὴν Ἱερὰν πόλιν καὶ πάντα τὰ ἐκεί-
νῃ χωρία, μέχρι ἐς τῶν Ἀσσυρίων τὴν γῆν, οὗ δὴ ἀλλήλοιν ἄμ-
φω τὼ ποταμὼ ἀναμιγνυμένω ἐν ὄνομα τὸ τοῦ Τίγριδος ἀποκέ-
κριται. χώρα γοῦν, ἣ ἐκ Σαμοσάτων ἐκτὸς Εὐφράτου ποταμοῦ
ἐστι, πάλαι μὲν Κομαγηνὴ ἐκλήθη, τανῦν δὲ τῷ ποταμῷ ἐστιν
ἐπώνυμος. ἡ δὲ τούτου ἐντός, ἣ δὴ αὐτοῦ τε μέση καὶ Τίγρι-
δός ἐστι, Μεσοποταμία, ὡς τὸ εἰκός, ὀνομάζεται· μοῖρα μέν-
τοι αὐτῆς οὐ τούτῳ μόνον τῷ ὀνόματι, ἀλλὰ καὶ ἄλλοις τισὶν ἐπι- C
καλεῖται. ἥ τε γὰρ ἄχρις Ἀμίδης πόλεως Ἀρμενία πρὸς ἐνίων
ὠνόμασται Ἔδεσά τε ξὺν τοῖς ἀμφ' αὐτὴν χωρίοις, Ὀσροηνὴ τε
Ὀσρόου ἐπώνυμός ἐστιν, ἀνδρὸς ἐνταῦθα βεβασιλευκότος ἐν τοῖς
ἄνω χρόνοις, ἡνίκα Πέρσαις οἱ ταύτῃ ἄνθρωποι ἔνσπονδοι ἦσαν.
Πέρσαι οὖν ἐπειδὴ πρὸς Ῥωμαίων Νίσιβίν τε πόλιν καὶ ἄλλα ἄτ-
τα Μεσοποταμίας χωρία ἔλαβον, ἡνίκα ἐπὶ Ῥωμαίους στρατεύειν
ἔμελλον, χώραν μὲν τὴν ἐκτὸς Εὐφράτου ποταμοῦ ἐν ὀλιγωρίᾳ V 256
ποιούμενοι, ἐκ τοῦ ἐπὶ πλεῖστον ἄνυδρόν τε καὶ ἀνθρώπων ἔρη-
μον οὖσαν, ἐνταῦθα δὲ πόνῳ οὐδενὶ ἀγειρόμενοι, ἅτε ἐν χώρᾳ
οἰκείᾳ τε καὶ πολεμίᾳ τῇ οἰκουμένῃ ἀγχοτάτω οὔσῃ, ἐνθένδε τὰς D
ἐσβολὰς ἐποιοῦντο.

6. 9. Τίγριδος] τίγρητος A.

auctus non mediocriter Leucosyriam petit, sic olim, nunc Armeniam minorem dictam, cuius caput est Melitene, urbs nobilissima: postea Samosata, Hierapolin, et oras omnes illas praeterfluit, usque in Assyriam, ubi confusis aquis utriusque fluvii, unum manet separatum Tigridis nomen. Porro plagam, quae a Samosatis trans Euphratem est, vocarunt veteres Comagenen; nunc a fluvio ducta appellatione dicitur Euphratesia. Ea vero, quam Tigris et Euphrates includunt, Mesopotamia est nominata a suo illo, ut consentaneum erat, inter amnes positu. Quanquam eius parti praeter commune istud vocabulum, alia quaedam tributa sunt. Nonnulli enim tractum illum, qui usque Amidam pertinet, Armeniam appellant: Edessa item cum vicinitate Osroenes nomen habet ab Osroe, qui ibi quondam regnavit; nimirum quando illa civitas foedere Persis coniuncta erat. Ex quo autem Persae Nisibin aliaque Mesopotamiae loca Romanis eripuerunt, quoties in eos expeditionem suscipiebant, regione, quam Euphrates excludit, per contemptum relicta, quoniam siti longe ac late deserta est, ex illa Mesopotamiae parte erumpebant; in qua, utpote et sua, et vicina hostili provinciae, quae est incolis frequens, facile exercitum cogunt.

Ἡνίκα δὲ ἡσσηθεὶς Μιρράνης τῇ μάχῃ καὶ τοὺς πλείστους ἀποβαλὼν τῷ ἄλλῳ στρατῷ ἐς τὰ Περσῶν ἤδη ἀφίκετο, ποινῆς ἔτυχε πρὸς βασιλέως Καβάδου πικρᾶς. κόσμον γὰρ ἀφείλετο αὐτὸν, ὃν δὴ ἀναδεῖσθαι τῶν ἐν τῇ κεφαλῇ τριχῶν εἰώθει, ἔκ τε χρυσοῦ καὶ μαργάρων πεποιημένον. ἀξίωμα δὲ τοῦτο ἐν Πέρσαις μέγα μετά γε τὴν βασιλέως τιμήν. ἐνταῦθα γὰρ οὔτε δακτυλίῳ χρυσῷ οὔτε ζώνῃ οὔτε περόνῃ χρῆσθαι οὔτε ἄλλῳ ὁτῳοῦν θέμις, ὅτι μὴ ἐκ βασιλέως ἀξιωθέντι. καὶ τὸ λοιπὸν ὁ Καβάδης ἐν P 50 *βουλῇ εἶχεν ὅντινα τρόπον αὐτὸς ἐπὶ Ῥωμαίους στρατεύοι. Μιρράνου γὰρ σφαλέντος οὕτως, ὥσπερ ἐρρήθη, ἐπ᾽ ἄλλῳ οὐδενὶ τὸ θαρρεῖν εἶχε. καὶ οἱ ἐπὶ πλεῖστον ἀπορουμένῳ Ἀλαμούνδαρος ὁ τῶν Σαρακηνῶν βασιλεὺς προσελθὼν εἶπεν „Οὐ πάντα, ὦ δέσποτα, χρεών ἐστι πιστεύειν τῇ τύχῃ οὐδὲ τοὺς πολέμους οἴεσθαι δεῖν κατορθοῦν ἅπαντας. οὐδὲ γὰρ εἰκὸς τοῦτό γε οὐδὲ ἄλλως ἀνθρώπειον, ἀλλὰ καὶ ἀξύμφορος αὕτη μάλιστα τοῖς αὐτῇ ἐχομένοις ἡ ἔννοια. τοὺς γὰρ ἅπαντας σφίσιν ἐλπίσαντας τἀγαθὰ ἔσεσθαι σφαλέντας ποτὲ, ἂν οὕτω τύχοι, ἡ ἐλπὶς οὐ δέον ἡγησαμένη τοῦ προσήκοντος μᾶλλον ἠνίασε. διὸ δὴ οὐκ ἔχοντες ἀεὶ ἐπὶ τῇ τύχῃ τὸ θαρρεῖν ἄνθρωποι οὐκ ἐκ τοῦ εὐθέος ἐς κίνδυνον πόλεμον καθίστανται, κἂν τῷ παντὶ τῶν πολεμίων ὑπεραί-* B *ρειν αὐχῶσιν, ἀλλ᾽ ἀπάτῃ τε καὶ μηχαναῖς τισι περιελθεῖν τοὺς ἐναντίους ἐν σπουδῇ ἔχουσιν. οἷς γὰρ ἐκ τοῦ ἀντιπάλου ὁ κίν-*

8. *ἐν βουλῇ* additum in P, ex coniectura Maltreti: om. HL. De A nihil annotatum. 9. *στρατεύοι* P ex Hm. *στρατεύειν* H.

Verum ubi acie victus Mirrhanes, amissa copiarum parte maxima, cum residua in Persidem rediisset, primum quidem poena acerbissima in eum Cabades animadvertit. Ipsum enim comae redimiculo privavit, auro unionibusque contexto, quod apud Persas honoris est insigne eximii, secundum dignitatem Regis, a quo illud tribuitur. Nulli enim, nisi quem dignatus Rex fuerit, nec annulum aureum, nec zonam, nec fibulam, nec tale quidquam gestare fas est. Deinde vero deliberavit, qua ipse ratione in Romanos exercitum duceret: propterea quod ita lapso, ut dixi, Mirrhane, cui iam fideret nesciebat. Tum maxime laborantem adiit Saracenorum Rex Alamundarus, et sic affatus est. *Haud plane sequi oportet, Domine, Fortunae fidem, neque existimare bellis omnibus secundos exitus deberi. Nam et rationi parum id consentaneum est, ac multo etiam minus humanarum rerum conditioni. Immo vero isthaec opinio officit iis plurimum, quos semel occupavit. Quisquis enim bonum aliquod sibi pollicetur, eum illa ipsa deinde spes, quae animum ultra quam decet provehit, si forte fuerit irrita, affligat gravius. Quare cum fiduciam in Fortuna semper iacere mortales nequeant, sequitur ut quamvis partibus omnibus superiores adversario se esse glorientur; tamen bellum in apertam aleam minime adducant; sed studeant dolo hostem circumvenire. Et sane qui*

δυνός ἐστιν, οὐκ ἐν βεβαίῳ τὰ τῆς νίκης χωρεῖ. νῦν οὖν μὴ δέον οἷς Μιρράνης ἠτύχησεν οὕτω περιώδυνος, ὦ βασιλέων βασιλεῦ, γίνου, μηδὲ αὖθις ἀποπειράσασθαι βούλου τῆς τύχης. Μεσοποταμίας γὰρ καὶ τῆς Ὀσροηνῆς καλουμένης χώρας, ἅτε τῶν σῶν ὁρίων ἄγχιστα οὔσης, αἵ τε πόλεις ὀχυρώταταί εἰσι πασῶν μάλιστα καὶ στρατιωτῶν πλῆθος οἷον οὔ πώποτε πρότερον τανῦν ἔχουσιν, ὥστε ἡμῖν αὐτόσε ἰοῦσιν οὐκ ἐν τῷ ἀσφαλεῖ τὰ τῆς ἀγωνίας γενήσεται, ἐν μέντοι τῇ χώρᾳ, ἣ ἐκτὸς Εὐφράτου H 28 ποταμοῦ τυγχάνει οὖσα, καὶ τῇ ταύτης ἐχομένῃ Συρίᾳ οὔτε πόλεως ὀχύρωμα οὔτε στράτευμα λόγου ἄξιόν ἐστι. ταῦτα γὰρ πολλάκις πρὸς τῶν ἐπὶ κατασκοπῇ ἐς ταῦτα ἐσταλμένων Σαρακηνῶν C ἤκουσα. ἔνθα δὴ καὶ πόλιν Ἀντιόχειαν εἶναί φασι, πλούτῳ τε καὶ μεγέθει καὶ πολυανθρωπίᾳ πόλεων πρώτην ἁπασῶν τῶν ἐν τοῖς ἑῴοις Ῥωμαίων οὖσαν· ἣ δὴ ἀφύλακτός τε καὶ στρατιωτῶν ἔρημός ἐστιν. οὐ γὰρ ἄλλου οὐδενὸς τῷ ταύτης δήμῳ ὅτι μὴ πανηγύρεών τε καὶ τρυφῆς μέλει καὶ τῆς ἐν θεάτροις ἀεὶ πρὸς ἀλλήλους φιλονεικίας. ὥστε ἢν ἐκ τοῦ ἀπροσδοκήτου ἐπ' αὐτοὺς ἴωμεν, τήν τε πόλιν αἱρήσειν ἡμᾶς ἐξ ἐπιδρομῆς οὐδὲν ἀπεικὸς καὶ μηδενὶ ἐντυχόντας πολεμίων στρατῷ εἶτα ἐπανελθεῖν ἐς τὰ Περσῶν ἤθη οὔπω πεπυσμένων τὰ ξυμπεσόντα τῶν ἐν Μεσοποταμίᾳ στρατιωτῶν. ὕδατος δὲ ἢ ἄλλου του τῶν ἐπιτηδείων ἀπορίας πέρι μηδέν σε εἰσίτω. ἐγὼ γὰρ τῷ στρατῷ ἐξηγήσομαι D ὅπη ἂν δοκῇ ἄριστα εἶναι."

11. ταῦτα] ταύτας A.

recta atque ex aequo in discrimen ac dimicationem veniunt, iis victoria in incerto pendet. Nunc igitur, o Regum Rex, noli tantum eumque inutilem ex Mirrhanis clade dolorem capere, nec tibi committendum puta, ut fortunam iterum tentes. Mesopotamiae quidem oppida et Osroenes, quia limites tuos fere contingunt, et omnium munitissima, et praesidiis iam tantis instructa sunt, quanta nunquam habuerunt. Itaque si illuc intendimus, nos praelia manent periculosa. At in regione, quae est ultra Euphratem, ipsique contigua Syria, nec propugnacula urbium, nec praesidia aliquo ducenda numero sunt. Haec enim saepe a Saracenis exploratoribus accepi. Insuper ferunt ibi esse Antiochiam et divitiis, et magnitudine, et hominum frequentia, urbium, quae in Oriente Romanis parent, omnium facile principem, quae incustodita et militibus nuda sibi non caveat. Cives enim aliud nihil nisi genium curant, toti in celebritatibus festorum ac theatralibus inter se contentionibus. Quamobrem si illos aggrediamur improviso, proximum vero est nos cursim capturos urbem, ac fore ut nullo usquam facto obviam hostili exercitu, reduces in Persidem nos prius videas, quam vel nuntius rei gestae ad praesidiarium Mesopotamiae militem pervenerit. Nec te aquae vel commeatus penuria sollicitum habeat: ego enim ipse exercitum ducam ea via ac ratione, quam optimam et opportunissimam iudico.

Ταῦτα ἀκούσας Καβάδης οὔτε ἀντιτείνειν οὔτε ἀπιστεῖν εἶ-
χεν. ἦν γὰρ Ἀλαμούνδαρος ξυνετώτατός τε καὶ τῆς κατὰ πόλε-
μον ἐμπειρίας εὖ ἥκων, Πέρσαις τε πιστὸς ἐς τὰ μάλιστα, καὶ
διαφερόντως δραστήριος, ὃς δὴ ἐς πεντήκοντα ἐνιαυτῶν χρόνον
ἐς γόνυ ἐλθεῖν τὰ Ῥωμαίων ἐποίησε πράγματα. ἐκ γὰρ τῶν Αἰ-
P. 51 *γύπτου ὁρίων ἀρξάμενος καὶ μέχρι ἐς Μεσοποταμίαν ληιζόμενος*
τὰ ἐκείνῃ χωρία, ἦγέ τε καὶ ἔφερεν ἐφεξῆς ἅπαντα, καίων τε τὰς
ἐν ποσὶν οἰκοδομίας καὶ τοὺς ἀνθρώπους κατὰ πολλὰς ἀεὶ μυ-
ριάδας ἀνδραποδίζων, καὶ αὐτῶν τοὺς μὲν πλείστους ἀποκτείνων
ἐνὶ λόγῳ, τοὺς δὲ ἄλλους ἀποδιδόμενος χρημάτων μεγάλων.
ἀπήντα δέ οἱ τῶν πάντων οὐδείς. οὐ γάρ ποτε ἀνεπισκέπτως
ἐποιεῖτο τὴν ἔφοδον, ἀλλ' οὕτως ἐξαπιναίως τε καὶ αὐτῷ ἐς τὰ
μάλιστα ἐπιτηδείως ὥστε ὁ μὲν ἤδη ὡς τὰ πολλὰ ξὺν τῇ λείᾳ
ἀπιὼν ᾤχετο, οἱ δὲ στρατηγοί τε καὶ στρατιῶται πυνθάνεσθαί τε
V 257 *τὰ ξυμπεσόντα καὶ ἀγείρεσθαι ἐπ' αὐτὸν ἤρχοντο. ἦν δέ που*
B *αὐτὸν καὶ καταλαβεῖν τύχῃ τινὶ ἔσχον, ἀλλ' ἔτι ἀπαρασκεύοις τε*
οὖσι καὶ οὐ ξυντεταγμένοις ἐπιπεσὼν τοῖς διώκουσιν ὁ βάρβαρος
οὗτος ἔτρεπέ τε καὶ διέφθειρεν οὐδενὶ πόνῳ, καί ποτε τοὺς διώ-
κοντας στρατιώτας ξὺν τοῖς ἄρχουσιν ἐζώγρησεν ἅπαντας. Δη-
μόστρατος δὲ ἦν ὁ Ῥουφίνου ἀδελφὸς καὶ Ἰωάννης ὁ τοῦ Λουκᾶ
παῖς, οὓς δὴ ἀπέδοτο ὕστερον, πλοῦτον αὐτῶν οὐ φαῦλον οὐδὲ
τὸν τυχόντα περιβαλλόμενος. καὶ τὸ ξύμπαν εἰπεῖν χαλεπώτα-

4. *πεντήκοντα*] *ν'* P. 12. *ἔφοδον*] *εὔφοδον* L. 15. *ἀγείρεσθαι*] *ἐγείρεσθαι* P. *ibid.* *δέ που* L. *δή που* P.

His auditis nec refragari Cabades nec diffidere potuit. Nam cum prudentia, tum rei bellicae peritia singularis, et constantissima in Persas fides, et strenuitas eximia Alamundarum commendabant. Per annos is L. rem pessum Romanam dedit, et in genua, ut aiunt, coegit succidere. Etenim ab Aegypti finibus excursiones inceptans, totum illum continenter tractum usque in Mesopotamiam pervolabat praedabundus, agebat ferebatque omnia, aedificia quaeque obvia delebat igni, myriadas multas abripiebat hominum, quorum maximam partem necabat ex tempore, reliquos magna pecunia commutabat. Nec offendebat venientem ex adverso quemquam. Neque enim erumpebat unquam inexplorato; sed tam repente tamque in primis apposite ad consilium, ut plerumque cum praeda iam se recepisset, quando Duces et milites primo rei accepto nuntio, contra tendere instituebant. Sic ubi illum forte assequerentur, in persequentes se obvertebat Barbarus et imparatos adhuc inordinatosque adortus fundebat facile ac profligabat. Factum est aliquando ut qui ipsum insectabantur, vivi omnes in potestatem eius venerint, non milites modo, sed Duces etiam, Demostratus Rufini frater, et Ioannes Lucae filius, qui luculento postea pretio se redemerunt. In summa, mo-

τος οὗτος ὁ ἀνὴρ γέγονε Ῥωμαίοις πολέμιος πάντων μάλιστα. αἴτιον δὲ ἦν, ὅτι Ἀλαμούνδαρος μὲν βασιλέως ἀξίωμα ἔχων ἁπάντων μόνος τῶν ἐν Πέρσαις Σαρακηνῶν εἶχε τὴν ἀρχήν, παντί τε τῷ στρατῷ οἷός τε ἦν ἀεὶ τὴν ἔφοδον ποιεῖσθαι ὅπῃ βούλοιτο τῆς C Ῥωμαίων ἀρχῆς. οὐδεὶς δὲ οὔτε Ῥωμαίων στρατιωτῶν ἄρχων, οὓς δοῦκας καλοῦσιν, οὔτε Σαρακηνῶν τῶν Ῥωμαίοις ἐνσπόνδων ἡγούμενος, οἳ φύλαρχοι ἐπικαλοῦνται, ξὺν τοῖς ἑπομένοις Ἀλαμουνδάρῳ ἀντιτάξασθαι ἱκανῶς εἶχεν· ἐν χώρᾳ γὰρ ἑκάστῃ τοῖς πολεμίοις οὐκ ἀξιόμαχοι ἐτετάχατο. διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς φυλαῖς ὅτι πλείσταις Ἀρέθαν τὸν Γαβαλᾶ παῖδα ἐπέστησεν, ὃς τῶν ἐν Ἀραβίοις Σαρακηνῶν ἦρχεν, ἀξίωμα βασιλέως αὐτῷ περιθέμενος, οὐ πρότερον τοῦτο ἔν γε Ῥωμαίοις γεγονὸς πώποτε. Ἀλαμούνδαρος μέντοι οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, τὰ Ῥωμαίων πράγματα ἔφθειρεν, Ἀρέθα ἐν πάσῃ ἐφόδῳ τε καὶ ἀγωνίᾳ D ἢ ἀτυχοῦντος ὡς μάλιστα ἢ καταπροδιδόντος ὡς τάχιστα. οὐ γάρ πω σαφές τι ἀμφ' αὐτῷ ἴσμεν. ταύτῃ τε ξυνέβη Ἀλαμουνδάρῳ, οὐδενός οἱ ἀντιστατοῦντος, ἐπὶ μήκιστον τὴν ἑῴαν ληΐζεσθαι πᾶσαν, ἐπεὶ καὶ μακροβιώτατος ἀκριβῶς γέγονε.

ιη'. Τούτου οὖν τότε τοῦ ἀνδρὸς τῇ ὑποθήκῃ ἡσθεὶς Κα- P 52 βάδης ἄνδρας πεντακισχιλίους τε καὶ μυρίους ἀπολεξάμενος Ἀζαρέθην αὐτοῖς ἄνδρα Πέρσην ἐπέστησε διαφερόντως ἀγαθὸν τὰ πολέμια, καὶ σφίσιν Ἀλαμούνδαρον τῆς πορείας ἐξηγεῖσθαι ἐκέλευεν. οἱ δὲ τὸν Εὐφράτην ποταμὸν διαβάντες ἐν Ἀσσυρίοις,

12. „τοῦτο — γεγονός Reg." Malt. τούτου — γεγονότος P.

lestiorem illo hostem passi nullum Romani sunt: idque eo fiebat, quia regio cum imperio unus omnibus praeerat Saracenis, qui Regni Persici finibus continentur, et in quamcunque vellet Romanae ditionis provinciam toto cum exercitu irrumpere poterat. Nemo autem vel eorum quibus milites Romani parent (hos Duces vocant) vel ex illis, qui Saracenis Romanorum foederatis praesunt et appellantur Phylarchi, cum suis copiis valebat Alamundaro se opponere; propterea quod singularum regionum praesidia hosti viribus cedebant. Idcirco Arethan Gabalae filium Saracenorum Arabum principem quamplurimis tribubus Iustinianus Augustus praefecerat, ac regia dignitate auxerat, novo inter Romanos exemplo. Nihilo tamen minus, immo etiam gravius Romanam rem Alamundarus atterebat, cum eam Arethas in quavis irruptione et pugna vel statim proderet, vel ageret infeliciter: necdum enim sat liquet. Ita accidit, ut totum Orientem Alamundarus populatus sit perdiu; quippe qui longissime vitam produxerit.

18. Huius viri commonitione erectus Cabades, delectis militum xv. m. Azarethem, natione Persam, bellicosissimum virum, Imperatorem; Alamundarum itineris ducem dedit. Hi transito in Assyria Euphrate, ac so-

γῆν τε πορευθέντες τινὰ ἔρημον ἀνθρώπων, ἄφνω ἐς τὴν Κομαγηνῶν καλουμένων τὴν χώραν παρὰ δόξαν ἐσέβαλλον. αὕτη τε πρώτη ἐνθένδε Περσῶν ἐσβολὴ ἐς γῆν τὴν Ῥωμαίων ἐγένετο, ὅσα B *γε εἰς ἡμᾶς ἀκοῇ ἢ τρόπῳ τῳ ἄλλῳ ἐπίστασθαι, καὶ πάντας Ῥωμαίους τῷ ἀπροσδοκήτῳ κατέπληξεν. ἃ δὴ ἐπεὶ Βελισάριος ἔμα-* H 29 *θε, τὰ μὲν πρῶτα διηπορεῖτο, μετὰ δὲ βοηθεῖν κατὰ τάχος ἔγνω. φυλακήν τε αὐτάρκη ἐν πόλει ἑκάστῃ καταστησάμενος, ὅπως μὴ Καβάδης τε καὶ στράτευμα τῶν πολεμίων ἄλλο ἐνταῦθα ἰόντες ἀφύλακτα τὸ παράπαν εὑρήσουσι τὰ ἐπὶ Μεσοποταμίας χωρία, αὐτὸς τῷ ἄλλῳ στρατῷ ὑπηντίαζεν, Εὐφράτην τε ποταμὸν διαβάντες σπουδῇ πολλῇ πρόσω ἐχώρουν. ὁ μὲν οὖν Ῥωμαίων στρατὸς ἐς δισμυρίους μάλιστα πεζούς τε καὶ ἱππέας ξυνῄει, καὶ αὐ-* C *τῶν Ἴσαυροι οὐχ ἧσσον ἢ δισχίλιοι ἦσαν. ἄρχοντες δὲ ἱππέων μὲν ἅπαντες ἦσαν, οἳ τὰ πρότερα τὴν ἐν Δάρας μάχην πρός τε Πέρσας καὶ Μιρράνην διήνεγκαν, πεζῶν δὲ τῶν τις δορυφόρων Ἰουστινιανοῦ βασιλέως, Πέτρος ὄνομα. τοῖς μέντοι Ἰσαύροις Λογγῖνός τε καὶ Στεφανάκιος ἐφειστήκεσαν· ἐνταῦθα δὲ καὶ Ἀρέθας αὐτοῖς ξὺν τῷ Σαρακηνῶν στρατεύματι ἦλθεν. ἐπεί τε εἰς Χαλκίδα πόλιν ἀφίκοντο, ἐνστρατοπεδευσάμενοι αὐτοῦ ἔμενον, ἐπεὶ τοὺς πολεμίους ἐν χωρίῳ Γαββουλῶν εἶναι ἐπύθοντο, δέκα καὶ ἑκατὸν σταδίους Χαλκίδος διέχοντι. ὃ δὴ γνόντες Ἀλαμούν-* D *δαρός τε καὶ Ἀζαρέθης τόν τε κίνδυνον κατορρωδήσαντες ἐπίπροσθεν οὐκέτι ἐχώρουν, ἀλλ' ἐπ' οἴκου δὴ αὐτίκα δὴ ἀποχωρεῖν*

3. τὴν Hm. τῶν P. 14. πρότερα] πρότερον Suidas s. v. διήνεγκαν: sed πρότερα s. v. Δάρας. 20. Γαββουλῶν] γαμβουλῶν L. 21. σταδίους] σταδίοις L.

litudine peragrata, in Comagenen repente inopinateque ingressi sunt; unde nunquam Persas in Romanae ditionis terras immisisse se vel auditione vel alia quapiam ratione accepimus. Nemo non perculsus fuit inopinato Barbarorum adventu: de quo factus certior Belisarius, haesit primo inops consilii; deinde statuit propere auxilium ferre. Quare cum urbes singulas idoneo praesidio communisset, ne Cabades si exercitum alterum duceret in Mesopotamiam, plane incustoditam offenderet; perrexit obviam cum reliquis copiis, quae transmisso Euphrate, ulterius celeritate maxima contenderunt. Eae constabant peditum equitumque xx. m. bis mille minimum Isauri erant. Equitatum ducebant iidem illi, qui ad Daram cum Persis et Mirrhane pugnaverunt; peditatum Petrus unus e Iustiniani Praetorianis; Isauros Longinus ac Stephanacius; advenit etiam Arethas cum Saracenis. Ubi Chalcidem pervenerunt, ibi fixerunt castra; quoniam hostem esse Gabbulis audiebant, haud longius ab urbe Chalcide cx. stadiis. Id cum audissent Alamundarus et Azarethes, eos periculi metus non modo repressit, sed impulit etiam ad maturandum redi-

ἔγνωσαν. αὐτοί τε γοῦν Εὐφράτην ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες ὀπίσω ἀπήλαυνον καὶ ὁ Ῥωμαίων στρατὸς ὄπισθεν εἵπετο. ἔν τε V 258 τῷ χώρῳ, οὗ δὴ οἱ βάρβαροι ἐς νύκτα ἑκάστην ηὐλίζοντο, ἀεὶ Ῥωμαῖοι τῇ ἐπιγινομένῃ νυκτὶ ἔμενον. Βελισάριος γὰρ ἐξεπίτηδες ὁδόν τινα πλείω πορεύεσθαι τὸ στράτευμα οὐδαμῇ εἴα, ἐπεὶ οἱ οὐκ ἦν βουλομένῳ τοῖς πολεμίοις εἰς χεῖρας ἰέναι, ἀλλ' ἀποχρῆν ᾤετο σφίσι Πέρσας τε καὶ Ἀλαμούνδαρον ἐς γῆν τὴν Ῥω- P 53 μαίων ἐσβεβληκότας, εἶτα ἐνθένδε οὕτω δὴ ἀποκεχωρηκότας, ἀπράκτους εἰς τὰ οἰκεῖα κομίζεσθαι. διὸ δὴ ἅπαντες αὐτῷ λάθρα ἐλοιδοροῦντο, ἄρχοντές τε καὶ στρατιῶται, ἐκάκιζε μέντοι αὐτὸν ἐς ὄψιν οὐδείς.

Τελευτῶντες δὲ Πέρσαι μὲν ἐν τῇ τοῦ Εὐφράτου ἠόνι ηὐλίσαντο, ᾗ δὴ πόλεως Καλλινίκου ἀντιπέρας ἐστίν. ἐνθένδε γὰρ διὰ χώρας πρὸς οὐδενὸς ἀνθρώπων οἰκουμένης πορεύεσθαι ἔμελλον, οὕτω τε τῆς Ῥωμαίων γῆς ἀπαλλαγήσεσθαι. οὐ γὰρ ἔτι διενοοῦντο ἰέναι, ὥσπερ τὰ πρότερα, τῆς τοῦ ποταμοῦ ὄχθης ἐχόμενοι. Ῥωμαῖοι δὲ διανυκτερεύσαντες ἐν πόλει Σούρων ἐν- B θένδε τε ἐξαναστάντες καταλαμβάνουσι συσκευαζομένους ἤδη ἐς τὴν ἄφοδον τοὺς πολεμίους. ἑορτὴ δὲ ἡ πασχαλία ἐπέκειτο ἡμέρα, ἐπιγενησομένη τῇ ὑστεραίᾳ, ἣν δὴ σέβονται Χριστιανοὶ πασῶν μάλιστα, ἡμέρᾳ τε τῇ ταύτης προτέρᾳ σιτίων τε καὶ ποτοῦ ἀπεχόμενοι οὐ διημερεύειν νενομίκασι μόνον, ἀλλὰ καὶ πόρρω που νήστεις τῶν νυκτῶν ἰέναι. τότε οὖν ἅπαντας Βελισάριος ὀργῶντας ἐπὶ τοὺς πολεμίους ὁρῶν, ταύτης τε ἀποστῆσαι τῆς

12. ἠόνι] ἠϊόνι P. 15. ἀπαλλαγήσεσθαι] ἀπαλλαγήσασθαι P.

tum. Itaque viam converterunt secundum Euphratem a laeva praeterfluentem. Sequebatur exercitus Romanus, sic, ut quo in loco quamque Barbari noctem duxerant, eodem Romani posteram agerent. Consulto enim Belisarius non sinebat longius suos progredi, quod congredi cum hoste nollet, satis esse ratus, Persas et Alamundarum spe delusa, qua ducti in Rom. imperium penetraverant, emigrare, et inanes domum redire. Quamobrem in eum omnes, Duces iuxta militesque, clam probra iactabant, nemine in os convitiari audente.

Eo demum deducti Persae, ut per desertam plane regionem facturi iam iter, ac Rom. finibus excessuri essent (neque enim oram fluminis, ut prius, legere cogitabant) in ripa Euphratis e regione urbis Callinici castris positis quieverunt. Romani vero Suris, ubi noctem egerant, cum movissent, convasanti iam discessumque ornanti hosti supervenere. Instabat, die nempe celebrandum proxima, festum Paschale, quod omnium est sanctissimum Christianis, ob id solitis pridie non diem modo solidum transire sine cibo ac potu, sed ad multam etiam noctem ieiunium protrahere. Eo tempore, cum Romanos in pugnam prurire animadverteret

γνώμης ἐθέλων (ταῦτα γάρ οἱ καὶ Ἑρμογένης ἐγίνωσκεν ἄρτι ἐπὶ πρεσβείᾳ ἐκ βασιλέως ἥκων) τοὺς παραγενομένους ξυγκαλέσας
C ἅπαντας ἔλεξε τοιάδε „Ποῖ φέρεσθε, ἄνδρες Ῥωμαῖοι, ἢ τί πεπονθότες κίνδυνον αἱρεῖσθαι ὑμῖν αὐτοῖς οὐκ ἀναγκαῖον βουλεύεσθε; μίαν εἶναι νίκην ἀκίβδηλον οἴονται ἄνθρωποι τὸ μηδὲν δεινὸν πρὸς τῶν πολεμίων παθεῖν, ὅπερ ἡμῖν ἔν γε τῷ παρόντι δέδωκεν ἥ τε τύχη καὶ ἡμῶν τὸ καταπλῆξαν τὸν στρατὸν τῶν ἐναντίων δέος. οὐκοῦν ἢ ἀπόνασθαι τῶν παρόντων ἀγαθῶν ἄμεινον ἢ παρελθόντα ταῦτα ζητεῖν. Πέρσαι γὰρ πολλαῖς μὲν ἐλπίσιν ἠγμένοι ἐπὶ Ῥωμαίους ἐστράτευσαν, πάντων δὲ τανῦν ἐκπεπτωκότες ἐς φυγὴν ὥρμηνται. ὥστε ἢν οὐχ ἑκόντας αὐτοὺς μεταβάλλεσθαι μὲν τῆς ἐς τὴν ὑπαγωγὴν γνώμης, ἐς χεῖρας δὲ ἰέναι ἡμῖν αὐτοῖς ἀναγκάσωμεν, νενικηκότες μὲν πλέον τὸ παράπαν
D οὐδὲν ἕξομεν. τί γὰρ ἄν τις τόν γε φεύγοντα τρέποι; σφαλέντες δὲ ἴσως τῆς τε ὑπαρχούσης στερησόμεθα νίκης, οὐ πρὸς τῶν πολεμίων ἀφαιρεθέντες, ἀλλ' αὐτοὶ ταύτην προέμενοι, καὶ τῇ βασιλέως γῇ τὸ τοῖς πολεμίοις ἐκκεῖσθαι, τῶν ἀμυνομένων χωρὶς, τὸ λοιπὸν δώσομεν. καίτοι καὶ τοῦτο ἐνθυμεῖσθαι ὑμᾶς ἄξιον, ὡς τῶν ἀναγκαίων, οὐ τῶν αὐθαιρέτων, ξυναίρεσθαι ὁ θεὸς ἀεὶ τοῖς ἀνθρώποις φιλεῖ. χωρὶς δὲ τούτων τοῖς μὲν οὐκ ἔχουσιν ὅπῃ ἂν τραπεῖεν ἀνδραγαθίζεσθαι οὐχ ἑκουσίοις ξυμβήσεται, ἡμῖν δὲ πολλὰ τὰ ἐναντιώματα εἰς τὴν ξυμβολὴν τετύχηκεν εἶναι.

17. ἐκκεῖσθαι H. ἐγκεῖσθαι HmP. ἐκκεῖσθαι (γ superscr.) L. 22. „ξυμβολὴν] Vocabulum hoc substitui in locum ξυμβουλήν." Malt.

Belisarius, eosque a proposito avocare vellet, de sententia Hermogenis, qui recens ab Augusto Legatus venerat, convocatis quotquot aderant, sic verba fecit. *Quo, Romani, quo ruitis? aut quaenam vis mentibus vestris incidit, ut praelii discrimen adeatis minime necessarium? Nemo est quin si hostis recedat innoxius, id purae victoriae loco ponat: quod certe nobis fortuna iam tribuit et incussus Barbarico exercitui terror. Satius profecto est bonis frui praesentibus, quam in absentia se intendere. Persas quidem spes multae ad hanc in Romanos expeditionem induxerant: at nunc de omnibus deiecti fugam praecipitant: Itaque si illos cogamus abiicere cogitationem reditus, et invitos ad praelium retrahamus, nihil amplius quam quod adest habebimus, ac luserimus operam: quorsum enim fugientem quis fuget? Quod si nobis res male cesserit; quam tenemus, amittemus victoriam, non hostili vi nobis extortam, sed e manibus proiectam ultro; itaque Caesaris provincias, sublato omni praesidio, insolentiae victoris obnoxias relinquemus. Et vero cogitare vos id par est, non item in susceptis sponte periculis, ut in necessariis solere Deum opitulari. Ad haec, praecluso omni effugio, coget hostem desperatio rem strenue gerere: nos autem multa quominus pugnam capessamus impediunt. Exhausti*

πεζῇ τε γὰρ βαδίζοντες πολλοὶ ἥκουσι καὶ νήστεις ἅπαντες τυγχά- H 30
νομεν ὄντες. ἀφίημι γὰρ λέγειν ὥς τινες οὔπω καὶ νῦν πάρεισι.“
Βελισάριος μὲν τοσαῦτα εἶπεν.

Ὁ δὲ στρατὸς εἰς αὐτὸν ὑβρίζων οὐ σιγῇ τινι οὐδὲ ἐν παρα-
βύστῳ, ἀλλ' αὐτῷ ἐς ὄψιν ξὺν κραυγῇ ἥκοντες μαλθακόν τε καὶ P 54
τῆς προθυμίας διαλύτην ἐκάλουν, ὃ δὴ καὶ τῶν ἀρχόντων τινὲς
ξὺν τοῖς στρατιώταις ἡμάρτανον, ταύτῃ τὸ εὔτολμον ἐνδεικνύμε-
νοι. καὶ αὐτῶν τῷ ἀναισχύντῳ καταπλαγεὶς Βελισάριος ἀντι-
στρέψας τὴν παραίνεσιν ἐγκελευομένῳ τε ἤδη ἐπὶ τοὺς πολεμίους
ἐῴκει καὶ διατάσσοντι ἐς παράταξιν, ἔφασκέ τε ὡς οὐκ εἰδείη μὲν
αὐτῶν τὴν ἐς τὸ μάχεσθαι προθυμίαν τὰ πρότερα, νῦν δὲ θαρ-
σεῖν τε καὶ ξὺν ἐλπίδι τῇ ἀμείνονι ἐπὶ τοὺς πολεμίους ἰέναι. καὶ
τὴν φάλαγγα μετωπηδὸν ποιησάμενος διέταξεν ὧδε. ἐς κέρας
μὲν τὸ ἀριστερὸν πρὸς τῷ ποταμῷ τοὺς πεζοὺς ἅπαντας ἔστησεν,
ἐς δὲ τὸ δεξιὸν, ᾗ δὴ ὁ χῶρος ἀνάντης ἦν, Ἀρέθαν τε καὶ τοὺς B
ξὺν αὐτῷ Σαρακηνοὺς ἅπαντας, αὐτὸς δὲ ξὺν τοῖς ἱππεῦσι κατὰ
μέσον εἱστήκει. οὕτω μὲν Ῥωμαῖοι ἐτάξαντο. Ἀζαρέθης δὲ ἐπεὶ
ξυνιόντας εἰς παράταξιν τοὺς πολεμίους εἶδε, τοιάδε παρεκελεύ- V 259
σατο „Πέρσας μὲν ὄντας ὑμᾶς μὴ οὐχὶ τοῦ βίου τὴν ἀρετὴν
ἀνταλλάξεσθαι, ἥν τις αἵρεσιν ἀμφοῖν διδοίη, οὐδεὶς ἂν ἀντεί-
ποι. ἐγὼ δέ φημι οὐδ' ἂν βουλομένοις ἐφ' ὑμῖν εἶναι τούτοιν
ποιεῖσθαι τὴν αἵρεσιν. οἷς μὲν γὰρ ἐξὸν διαφυγοῦσι τὸν κίνδυνον
ξὺν τῇ ἀτιμίᾳ βιοῦν, οὐδὲν, ἤν γε βούλοιντο, ἀπεικὸς ἀντὶ τῶν

4. τινὶ om. Suidas s. v. ἐν παραβύστῳ. 17. Ἀζαρέθης] ἀζαρέθας L. 20. ἀνταλλάξεσθαι] ἀνταλλαξασθαι L.

omnes ieiunio sumus, multi etiam confecta pedibus via; ut omittam quod copiarum pars nondum adest. Haec Belisarius.

At exercitus non iam mussitando nec latenter in eum contumelias interquebat; sed coram vociferans appellabat ignavum, et ab ipso militarem ardorem extingui querebatur. Id cum militibus Duces nonnulli generositatis ostentatione peccarunt. Quorum impudentia perculsus Belisarius, versa in contrariam sententiam oratione, iam in hostem incitanti et aciem instruenti similis, dictitabat haud sibi cognitam prius ipsorum ad pugnandum alacritatem; nunc se meliori animo ac spe in adversarios vadere. Interim aciem obiecit hostibus, in hunc modum dispositam. In sinistro cornu propter fluvium peditatum locavit; in dextero Arethan cum Saracenis, ubi locus acclivis erat; ipse in medio constitit cum equitatu. Eam habebat formam acies Romana, quam instrui ut vidit Azarethes, suos his fere verbis hortatus est. *Illud quidem nemo negaverit, vos, cum sitis Persae, nunquam optaturos vitam prae bellicae virtutis laude, si quis vobis optionem utriusque permiserit. Ego vero aio nunc eam vobis, ut maxime velletis, non dari. Eos certe, quibus integrum est retinere turpiter vitam detrectando praelium, haud plane absurdum fuerit prae ho-*

βελτίστων ἑλέσθαι τὰ ἥδιστα, οἷς δὲ τὸ θνήσκειν ἐπάναγκες, ἢ C *ξὺν τῇ εὐκλείᾳ πρὸς τῶν πολεμίων, ἢ πρὸς τοῦ κρατοῦντος ἐς τὴν κόλασιν αἰσχρῶς ἀγομένοις, πολλὴ ἄνοια μὴ πρὸ τῶν αἰσχίστων ἑλέσθαι τὰ κρείσσω. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει, προσήκειν ὑμᾶς ἅπαντας οἶμαι μὴ τοὺς πολεμίους μόνον, ἀλλὰ καὶ τὸν δεσπότην τὸν ὑμέτερον ἐν νῷ ἔχοντας οὕτως ἐς μάχην τήνδε καθίστασθαι.“*

*Τοσαῦτα καὶ Ἀζαρέθης παρακελευσάμενος ἀντίξουν τοῖς ἐναντίοις τὴν φάλαγγα ἔστησε, Πέρσας μὲν τὰ ἐν δεξιᾷ ἔχοντας, Σαρακηνοὺς δὲ τὰ εὐώνυμα. καὶ αὐτίκα μὲν ἐς χεῖρας ἀμφότεροι ἦλθον. ἦν δὲ ἡ μάχη καρτερὰ μάλιστα. τά τε γὰρ τοξεύματα ἑκατέρωθεν συχνὰ ἐπὶ πλεῖστον βαλλόμενα φόνον ἀμφοτέ*D*ρων πολὺν ἐποίει καί τινες ἐν μεταιχμίῳ γινόμενοι ἔργα ἐς ἀλλήλους ἐπεδείκνυντο ἀρετῆς ἄξια, μᾶλλον δὲ Πέρσαι ἐκ τῶν τοξευμάτων πολλοὶ ἔθνησκον. τὰ μὲν γὰρ αὐτῶν βέλη συχνότερα μὲν ἀτεχνῶς ἐπῄει, ἐπεὶ Πέρσαι τοξόται σχεδόν τί εἰσιν ἅπαντες καὶ πολὺ θᾶσσον ἢ ἄλλοι ξύμπαντες ἄνθρωποι ποιεῖσθαι τὰς βολὰς ἐκδιδάσκονται. ἐκ δὲ τόξων μαλθακῶν τε καὶ οὐ λίαν ἐντεταμένων βαλλόμενα θώρακι ἴσως ἢ κράνει ἢ καὶ ἀσπίδι ἐντυχόντα Ῥωμαίου ἀνδρὸς ἀπεκαυλίζετό τε καὶ λυπεῖν τὸν προσπίπτοντα οὐδαμῇ εἶχε. Ῥωμαίων δὲ τὰ τοξεύματα βραδύτερα μὲν ἐς ἀεί ἐστιν, ἅτε δὴ ἐκ τόξων σκληρῶν τε ὑπεράγαν καὶ δεινῶς ἐντεταμένων βαλλόμενα, προσθείη δὲ ἂν τις καὶ πρὸς ἀνδρῶν ἰσχυρο-*

16. ἐπῄει Maltretus, qui ᾔει ex Reg. affert. ἐποίει P. 18. ἐκδιδάσκονται A. ἐκδιδάσκοντες P. 21. τὰ τοξεύματα] τά τε τοξεύματα A.

nesto dulce amplecti, si quidem ita voluntas ferat. At quos circunstat mortis necessitas, vel pulchrae per vulnera, cum hoste dimicando, vel foedae per supplicia adeundae, victorem sequendo; nae stultissime ii fecerint, si honestis turpia praeoptarint. Quae cum ita sint, vestras esse partes sentio, non ob oculos modo hostem, sed vestrum etiam in animis habere Dominum, itaque in hanc pugnam incumbere.

Hac usus hortatione Azarethes, aciem hosti opposuit, obtinentibus Persis dexteram, laevam Saracenis. Mox ad manus utrinque ventum, et quidem fortissime. Denso hinc inde sagittarum ingruente nimbo, haud sine mutua nec levi caede, nonnulli in campum inter acies relictum progressi, generosa inter se facinora ediderunt. E Persis plures interibant sagittis icti: quae licet ab illis crebriores venirent, quoniam Persae fere omnes sagittarii sunt, eaque in arte expeditissimi mortalium omnium; tamen eorum Sagittae, lorica Romani militis, vel forte galea aut scuto retusae dissiliebant, nec virum poterant obvium violare, quia mollibus neque adeo contentis arcubus impellebantur. Quas vero Romani mittunt, tardius eae quidem ex arcubus, quippe rigidis intentissimeque adductis,

τέρων πολλῷ ἔτι μᾶλλον ἢ οἱ Πέρσαι, οἷς ἂν ἐντύχοιεν, εὐπετῶς σίνονται, ὅπλου οὐδενὸς ἐμποδὼν αὐτῶν γινομένου τῇ ῥύμῃ. ἤδη μὲν οὖν τῆς ἡμέρας αἱ δύο παρῳχήκεσαν μοῖραι, καὶ ἡ μάχη P 55 ἔτι ἀγχώμαλος ἦν. τότε δὲ ξυμφρονήσαντες, ὅσοι δὴ ἄριστοι ἐν τῷ Περσῶν στρατεύματι ἦσαν, ἐσήλαυνον ἐς τῶν πολεμίων τὸ δεξιὸν κέρας, οὗ δὴ Ἀρέθας τε καὶ οἱ Σαρακηνοὶ ἐτετάχατο. οἱ δὲ οὕτω τὴν φάλαγγα διαλύσαντες δίχα ἐγένοντο, ὥστε καὶ δόξαν ἀπήνεγκαν ὅτι δὴ Πέρσαις τὰ Ῥωμαίων πράγματα προὔδοσαν. τοὺς γὰρ ἐπιόντας οὐχ ὑποστάντες αὐτίκα ἐς φυγὴν ἅπαντες ὥρμηντο. οἱ γοῦν Πέρσαι διαρρήξαντες οὕτω τὴν τῶν ἐναντίων παράταξιν κατὰ νώτου εὐθὺς τῆς Ῥωμαίων ἵππου ἐγένοντο. Ῥωμαῖοι δὲ κεκμηκότες ἤδη τῇ τε ὁδῷ καὶ τῷ πόνῳ τῆς μάχης νήστεις τε ἅπαντες ἐς τόδε τῆς ἡμέρας ὄντες, καὶ πρὸς τῶν πολε- B μίων ἑκατέρωθεν ἐνοχλούμενοι, οὐκέτι ἀντεῖχον, ἀλλ' οἱ μὲν πολλοὶ φεύγοντες ἀνὰ κράτος ἐς τοῦ ποταμοῦ τὰς νήσους ἄγχιστά που οὔσας ἐχώρησαν, τινὲς δὲ καὶ αὐτοῦ μένοντες ἔργα θαυμαστά τε καὶ λόγου πολλοῦ ἄξια τοὺς πολεμίους εἰργάσαντο, ἐν τοῖς καὶ Ἀσκᾶν ἦν. ὃς δὴ πολλοὺς μὲν κτείνας τῶν ἐν Πέρσαις δοκίμων, κρεουργηθεὶς δὲ κατὰ βραχὺ μόλις ἔπεσε, λόγον αὐτοῦ τοῖς πολεμίοις ἀπολιπών, καὶ σὺν αὐτῷ ἄλλοι ὀκτακόσιοι H 81 ἄνδρες ἀγαθοὶ γενόμενοι ἐν τῷ πόνῳ τούτῳ ἀπέθανον, οἵ τε Ἴσαυροι ξὺν τοῖς ἄρχουσι σχεδὸν ἅπαντες, οὐδὲ ὅπλα ἀνταίρειν

2. σίνονται A. γίνονται P. concidunt RV. ibid. ὅπλου A. ὅπου P. armatura RV. 8 αἱ δύο παρῳχήκεσαν μοῖραι] Ex Homero Il. κ, 252. παρῴχηκεν δὲ πλέων νὺξ τῶν δύο μοιράων. 18. τοῖς L. οἷς P. 20. αὐτοῦ] αὐτοῦ P.

exeunt: sed accedente impressione, quam ipsis dant viri multo Persis robustiores, quos offendunt configunt facile, cum nihil earum impetum frangat. Iam partes diei duae elapsae erant, et Marte adhuc pugnabatur ancipiti, quando Persarum fortissimi uno animo invecti sunt in dexterum cornu hostium, ubi stabat Arethas cum Saracenis: qui solutis ordinibus, ita se ab acie abiunxerunt, ut opinionem praebuerint proditae Persis Romanae rei. Nam invadentibus minime repugnantes, statim omnes in fugam se coniecerunt. Ita districta acie, mox a tergo Persae equitatum occupant. Hi fractis tum viae tum praelii labore viribus, cum et nihildum cibi quisquam eo die gustasset, lacessentibus utrinque hostibus haud diutius restiterunt; at plerique effuso cursu fugientes, ad amnis insulas evaserunt proximas: dum quidam in campo stantes facinora patrabant admiratione et laude digna singulari. Inter quos Ascan, confectis manu sua e Persarum flore quamplurimis paulatim in frusta concisus, vix tandem occidit, relicta hostibus clara sui memoria. Cum ipso occubuerunt viri in hoc certamine strenui DCCC. et suis cum Ducibus Isauri prope omnes, qui in hostem arma ne tollere quidem ausi sunt.

τοῖς πολεμίοις τολμήσαντες. ἀπειρίᾳ γὰρ τοῦ ἔργου τούτου πολλῇ
C εἴχοντο, ἐπεὶ ἄρτι τῆς γεωργίας ἀφέμενοι ἐς κίνδυνον πολέμου κα-
τέστησαν, ἀγνῶτα σφίσι τὰ πρότερα ὄντα, καίτοι μάλιστα πάν-
των αὐτοὶ ἔναγχος ἐς τὴν μάχην ἀγνοίᾳ πολέμου ὀργῶντες, Βελι-
σαρίῳ τότε τὴν δειλίαν ὠνείδιζον. οὐ μὴν οὐδὲ Ἴσαυροι ἅπαν-
τες, ἀλλὰ Λυκάονες οἱ πλεῖστοι ἦσαν.

Βελισάριος δὲ ξὺν ὀλίγοις τισὶν ἐνταῦθα μείνας, ἕως μὲν
τοὺς ἀμφὶ τὸν Ἀσκᾶν ἀντέχοντας ἑώρα καὶ αὐτὸς ξὺν τοῖς πα-
ροῦσι τοὺς πολεμίους ἠμύνατο. ἐπεὶ δὲ αὐτῶν οἱ μὲν ἔπεσον, οἱ
δὲ ὅπῃ ἐδύναντο ἐς φυγὴν ὥρμηντο, τότε δὴ καὶ αὐτὸς ξὺν τοῖς
ἑπομένοις φυγὼν ἐς τῶν πεζῶν τὴν φάλαγγα ἦλθεν, οἳ ξὺν τῷ
D Πέτρῳ ἔτι ἐμάχοντο, οὐ πολλοὶ ὄντες, ἐπεὶ καὶ αὐτῶν ἔτυχον
φεύγοντες οἱ πλεῖστοι. ἔνθα δὴ αὐτός τε τὸν ἵππον ἀφῆκε καὶ
πάντας ταυτὸ δρᾶν τοὺς ἑπομένους ἐκέλευε, πεζοὺς ξὺν τοῖς ἄλ-
V 260 λοις τοὺς ἐπιόντας ἀμύνασθαι. Περσῶν δὲ ὅσοι τοῖς φεύγουσιν
εἵποντο, δι᾽ ὀλίγου τὴν δίωξιν ποιησάμενοι εὐθὺς ἐπανῆκον, ἔς
τε τοὺς πεζοὺς καὶ Βελισάριον ξὺν τοῖς ἄλλοις ἅπασιν ὥρμηντο.
οἱ δὲ τὰ νῶτα ἐς τὸν ποταμὸν τρέψαντες, ὅπως μή τις αὐτοῖς
πρὸς τῶν πολεμίων κύκλωσις γένοιτο, ἐκ τῶν παρόντων τοὺς
ἐπιόντας ἠμύνοντο. αὖθίς τε ἡ μάχη καρτερὰ γέγονε, καίπερ
οὐκ ἐξ ἀντιπάλου τῆς δυνάμεως οὖσα. πεζοί τε γὰρ καὶ λίαν
ὀλίγοι πρὸς ξύμπασαν ἐμάχοντο τὴν Περσῶν ἵππον. οὐ μέντοι
αὐτοὺς οἱ πολέμιοι οὔτε τρέπεσθαι οὔτε ἄλλως βιάζεσθαι εἶχον.
P 56 ἐν χρῷ τε γὰρ ἀλλήλοις ἐς ὀλίγον ἀεὶ ξυναγόμενοι καὶ ὡς ἰσχυρό-

Cum enim ab agricultura iam recens ad ignota sibi belli discrimina transiissent, imperitia districti haerebant; quamvis ipsi omnium maxime pugnandi libidine abrepti modo, timiditatem Belisario exprobraverant: neque omnes erant Isauri, sed Lycaones plerique.

Belisarius vero, qui parva succinctus manu loco non cesserat, quamdiu restare vidit Ascanis turmam, tamdiu et ipse cum sua hostem repulit. Verum ubi illi partim ceciderunt, partim quo fortuna tulit fugerunt, tum ipse quoque cessit cum suis, seque recepit ad pedites, qui quamvis exiguo numero (iam enim plurimi dilapsi erant) cum Petro adhuc praelium sustinebant. Hic ille dimisso equo, idem omnes, qui ipsum sequebantur, ut facerent, et ad pedes degressi hostem coniuncte arcerent imperavit. Quicunque instabant fugientibus Persae, haud longe provecti, rediere statim, et cum reliquo exercitu in pedites ac Belisarium irruerunt. Tum illi, ne circumveniantur, terga amni obvertere, et quantum e re nata fieri potest ad propulsandum aggressorem conniti. Ardore quidem summo instauratur certamen; sed iniquis viribus. Nam pedites, iique oppido pauci contra universum Persarum equitatum pugnabant. Eorum tamen aciem nec inclinare hostis, nec perrumpere valuit. In ar-

τατα ταῖς ἀσπίσι φραξάμενοι ἔβαλλον μᾶλλον ἐς τοὺς Πέρσας ἐπιτηδείως ἢ αὐτοὶ πρὸς ἐκείνων ἐβάλλοντο. πολλάκις δὲ ἀπειπόντες οἱ βάρβαροι ἐπ' αὐτοὺς ἤλαυνον, ξυνταράξοντές τε καὶ διαλύσοντες τὴν παράταξιν, ἀλλ' ἄπρακτοι ἐνθένδε ὀπίσω αὖθις ἀπήλαυνον. οἱ γὰρ ἵπποι αὐτοῖς τῷ τῶν ἀσπίδων πατάγῳ ἀχθόμενοι ἀνεχαιτίζοντό τε καὶ ἐς ταραχὴν ξὺν τοῖς ἐπιβάταις καθίσταντο. διαγεγόνασί τε οὕτως ἑκάτεροι, ἕως ἐγεγόνει τῆς ἡμέρας ὀψέ. νυκτὸς ἤδη ἐπιλαβούσης Πέρσαι μὲν ἐς τὸ στρατόπεδον ἀνεχώρησαν, Βελισάριος δὲ ὁλκάδος ἐπιτυχὼν ξὺν ὀλίγοις τισὶν ἐς τοῦ ποταμοῦ τὴν νῆσον κατῆρεν, οὗ δὴ καὶ οἱ ἄλλοι Ῥωμαῖοι νηχόμενοι ἦλθον. τῇ δὲ ὑστεραίᾳ Ῥωμαῖοι μὲν ὁλκάδων B σφίσιν ἐκ Καλλινίκου πόλεως παραγενομένων πολλῶν ἐς αὐτὴν ἐκομίσθησαν, Πέρσαι δὲ τοὺς νεκροὺς ἐσκυλευκότες ἐπ' οἴκου ἅπαντες ἀνεχώρησαν. οὐ μὴν τοὺς σφετέρους νεκροὺς τῶν πολεμίων ἐλάσσους εὗρον.

Ἀζαρέθης δέ, ἐπεὶ ξὺν τῷ στρατῷ ἐς Πέρσας ἀφίκετο, καίπερ ἐν τῇ μάχῃ εὐημερήσας, ἀχαρίστου Καβάδου μάλιστα ἔτυχεν ἐξ αἰτίας τοιᾶσδε. νόμος ἐστὶ Πέρσαις, ἡνίκα ἐπὶ τῶν πολεμίων τινὰς στρατεύεσθαι μέλλουσι, τὸν μὲν βασιλέα ἐπὶ θρόνου τοῦ βασιλείου καθῆσθαι, κοφίνους δέ οἱ πολλοὺς ἐνταῦθά πῃ εἶναι, καὶ παρεῖναι μὲν τὸν στρατηγόν, ὃς δὴ τῷ στρατῷ C ἐπὶ τοὺς ἐναντίους ἐξηγήσεσθαι ἐπίδοξός ἐστι, παριέναι δὲ τὸ στράτευμα τοῦτο ἐς τοῦ βασιλέως τὴν ὄψιν κατ' ἄνδρα ἕνα, καὶ αὐτῶν ἕκαστον βέλος ἓν ἐς τὰς τάρπας ῥιπτεῖν, μετὰ δὲ αὐτὰς

ctum quippe cuneum sese coegerant, haerebatque viro vir, ac praetentis validissime clypeis muniti, aptius ictus dabant quam acciperent. Fracti Barbari resumptis saepe animis equos omni impetu in illum globum, ut perturbarent ipsum atque disiicerent, admiserunt: sed irriti toties retro cedere compulsi sunt. Scutorum enim crepitus impatientes equi, retrecantes efferebant sese, et cum sessoribus turbabantur. Ea utrinque pertinacia duratum est ad vesperum; interventu demum noctis dirempta pugna in castra Persae concesserunt: Belisarius navigium vectorium nactus in insulam fluvii, quo caeteri enataverant, appulit. Postera die Romani missis Callinico onerariis, in eam urbem delati sunt: Persae domum remearunt, spoliatis prius mortuis, in quibus sane non minorem suorum quam hostium numerum invenerunt.

In Persidem reversus Azarethes cum exercitu, re quamvis in praelio feliciter gesta, Cabadem expertus est ingratissimum, istam ob causam. Est in more positum apud Persas ut in expeditionis procinctu, regali solio Rex considat, multis prope dispositis cophinis, atque astante Duce, cui belli imperium destinatur. Sub Regis oculos praetereunt milites singuli, ac sagittam iacit quisque unam in corbes, qui deinde sigillo regio obsignati servantur. Post reditum ab expeditione singuli sin-

μὲν τῇ βασιλέως σφραγῖδι κατασεσημασμένας φυλάσσεσθαι, ἐπειδὰν δὲ ἐς Πέρσας ἐπανίοι τὸ στράτευμα τοῦτο, τῶν στρατιωτῶν ἕκαστον ἐκ τῶν ἀρρίχων ἓν ἀφαιρεῖσθαι βέλος. ἀριθμοῦντες οὖν τῶν βελῶν ὅσα πρὸς τῶν ἀνδρῶν οὐκ ἀνῄρηται, οἷς ἐπίκειται ἡ τιμὴ αὕτη, ἀγγέλλουσι τῷ βασιλεῖ τὸ πλῆθος τῶν οὐκ ἐπανηκόντων στρατιωτῶν, ταύτῃ τε ὅσοι ἐν τῷ πολέμῳ τετελευτήκασιν ἔνδηλοι γίνονται. οὕτω μὲν οὖν Πέρσαις ὁ νόμος ἐκ παλαιοῦ
D ἔχει. ἐπεὶ δὲ Ἀζαρέθης ἐς ὄψιν τῷ βασιλεῖ ἦλθεν, ἀνεπυνθάνετο αὐτοῦ ὁ Καβάδης εἴ τι χωρίον παραστησάμενος Ῥωμαϊκὸν ἥκοι, ἐπεὶ ξὺν τῷ Ἀλαμουνδάρῳ ὡς Ἀντιόχειαν καταστρεψόμενος ἐπὶ Ῥωμαίους στρατεύσειεν. ὁ δὲ Ἀζαρέθης χωρίων μὲν ἑλεῖν οὐδὲν ἔφασκε, Ῥωμαίους δὲ καὶ Βελισάριον μάχῃ νενικηκέναι. Καβάδης μὲν οὖν παριέναι τὸ ξὺν τῷ Ἀζαρέθῃ ἐκέλευε στράτευμα, ἔκ τε τῶν ταρπῶν βέλος ἕκαστος ἀνῃρεῖτο ἧπερ εἰώθει. πολλῶν δὲ ἀπολελειμμένων βελῶν ὠνειδίζετο τῷ Ἀζαρέθῃ ὁ βασιλεὺς τὴν νίκην καὶ ἐν τοῖς ἀτιμοτάτοις τὸ λοιπὸν εἶχε. τὰ μὲν οὖν τῆς νίκης ἐς τοῦτο ἐτελεύτα τῷ Ἀζαρέθῃ.

P 57 V 261 ιθ'. Ἔννοια δὲ τότε Ἰουστινιανῷ βασιλεῖ γέγονεν Αἰθίοπάς τε καὶ Ὁμηρίτας ἐπὶ τῷ Περσῶν πονηρῷ ἑταιρίσασθαι. ὅπῃ δὲ τῆς γῆς οἱ ἄνθρωποι οἵδε ᾤκηνται καὶ καθ' ὅ τι αὐτοὺς Ῥωμαίοις ξυνοίσειν βασιλεὺς ἤλπισεν, ἐρῶν ἔρχομαι. τὰ Παλαιστίνης ὅρια πρὸς ἀνίσχοντα ἥλιον ἐς θάλασσαν τὴν ἐρυθρὰν καλουμένην διῴκηνται. αὕτη δὲ ἡ θάλασσα ἐξ Ἰνδῶν ἀρχομένη

11. χωρίων] χωρίον L. 19. πονηρῷ] „πονήρῳ Reg." Malt.

gulas e corbibus sagittas extrahunt: tum recensioni praepositi, ex earum, quae eductae non sunt, subductione numerum colligentes militum, qui non redierint, Regi significant, atque ita quot desiderati in bello sint planum fit. Is est perantiquus Persarum mos. Cabades autem, ubi comparuit Azarethes, ex eo quaesiit, urbemne aliquam ditionis Romanae adiunxisset suae? quandoquidem cum Alamundaro exercitum in Romanos duxisset, Antiochia potiturum se pollicens. Cui Azarethes, nullam quidem a se captam urbem; sed Romanos ac Belisarium acie fusos victosque respondit. Procedere tum porro Cabades cum Azarethe copias iubet: sagittam quisque e cophinis de more eripit: cumque residuae perplures essent victoria Azarethi exprobrata, eum Rex posthac habuit inter despicatissimos maximeque ignobiles. Huc demum Azarethi victoria parta recidit.

19. Eadem tempestate Iustiniano Aug. venit in mentem societatem cum Aethiopibus et Homeritis pangere in Persarum perniciem. Quae gentes ubi terrarum degant, quidque inde commodi in Romanos rediturum speraret, declarare aggredior. Exortivi Palaestinae fines pertingunt ad mare Rubrum, quod ab India quidem incipit; in ea vero Roma-

ἐνταῦθα τελευτᾷ τῆς Ῥωμαίων ἀρχῆς. καὶ πόλις Αἰλὰς καλουμένη πρὸς τῇ ταύτης ἠόνι ἐστὶν, ἔνθα ἡ θάλασσα, ὥσπερ μοι εἴρηται, ἀπολήγουσα πορθμός τις ἐς ἄγαν στενὸς γίνεται, καὶ αὐτὸν B ἐνθένδε ἐσπλέοντι ἐν δεξιᾷ μὲν ὄρη τὰ Αἰγυπτίων πρὸς νότον ἄνεμον τετραμμένα ἐστὶν, ἐπὶ θάτερα δὲ χώρα ἔρημος ἀνθρώπων ἐπὶ πλεῖστον διήκει πρὸς βορρᾶν ἄνεμον, ἥ τε γῆ αὕτη τῷ ἐσπλέοντι ἑκατέρωθεν ὁρατὴ γίνεται, μέχρι ἐς τὴν Ἰωτάβην καλουμένην νῆσον, Αἰλᾶ πόλεως σταδίους οὐχ ἧσσον ἢ χιλίους διέχουσαν. ἔνθα Ἑβραῖοι αὐτόνομοι μὲν ἐκ παλαιοῦ ᾤκηντο, ἐπὶ τούτου δὲ Ἰουστινιανοῦ βασιλεύοντος κατήκοοι Ῥωμαίων γεγένηνται. πέλαγος δὲ τὸ ἐνθένδε μέγα ἐκδέχεται. καὶ γῆν μὲν τὴν ἐν δεξιᾷ οἱ ταύτῃ ἐσπλέοντες οὐκέτι ὁρῶσιν, ἐς μέντοι τὴν C εὐώνυμον νυκτὸς ἀεὶ ἐπιγινομένης ὁρμίζονται. ἐν σκότῳ γὰρ ναυτίλλεσθαι ἐν ταύτῃ δὴ τῇ θαλάσσῃ ἀδύνατά ἐστιν, ἐπεὶ βράχους αὐτὴν ἔμπλεων ἐπὶ πλεῖστον ξυμβαίνει εἶναι. ὅρμοι δέ εἰσιν ἐνταῦθα πολλοὶ οὐ χερσὶν ἀνθρώπων, ἀλλὰ τῇ φύσει τῶν χωρίων πεποιημένοι, καὶ ἀπ' αὐτοῦ τοῖς πλέουσιν οὐ χαλεπόν ἐστιν ὅπῃ παρατύχοι ὁρμίζεσθαι.

Ταύτην δὴ τὴν ἠόνα εὐθὺς μὲν ὅρους τοὺς Παλαιστίνης ὑπερβάντι Σαρακηνοὶ ἔχουσιν, οἳ ἐν τῷ φοινικῶνι ἐκ παλαιοῦ ἵδρυνται. ἔστι δὲ ὁ φοινικὼν ἐν τῇ μεσογείᾳ ἐς χώραν κατατείνων πολλὴν, ἔνθα δὴ τὸ παράπαν ἄλλο οὐδὲν ὅτι μὴ φοίνικες D

2. ἠόνι] ἠϊόνι P et pariter p. 99, 19. 100, 16. 101, 4. 8. Αἰλᾶ] „Αἰλᾶς Reg.“ Malt. 15. ἔμπλεων] ἔμπλεον H.

Quae ditionis ora terminatur. Est littori urbs apposita, nomine Ailas; ubi mare, sicut modo dicebam, desinens, in sinum arctatur angustissimum: quem qui intrant ex illa parte, a dextra habent Aegypti montes procurrentes Meridiem versus, a laeva solitudinem, quae ad Septentrionem longissime patet. Porro introrsum vectis apparet utrinque tellus, donec pervenerint ad insulam Iotaben stadiis haud minus mille ab urbe Aila dissitam: cuius incolae Hebraei, cum sui iam inde olim iuris fuissent, Iustiniani principatu Romanum iugum acceperunt. Vastum deinde pelagus; sic, ut iam amplius terram a dextra non videant, qui ulterius provehuntur, quibus et mos est appetente nocte ad oram sinistram applicare. Neque enim potest Mare illud navigari tenebris, propter brevia, quae in eo sunt plurima. At idem non humana industria, sed locorum natura portuosum est, ut ea re facile sit appellere, quocumque sors tulerit.

Hoc littus, continuo post Palaestinae fines, obtinent Saraceni, veteres incolae Palmeti, quod in regione mediterranea longe ac late diffusum est, neque aliud quidquam nisi palmas progignit. Id princeps Sa-

HAVERFIELD LIBRARY
OF ANCIENT HISTORY
OXFORD

(

φύονται μόνοι. τοῦτον τὸν φοινικῶνα βασιλεῖ Ἰουστινιανῷ Ἀβοχάραγος ἐχαρίσατο, ὁ τῶν ἐκείνῃ Σαρακηνῶν ἄρχων, καὶ αὐτὸν βασιλεὺς φύλαρχον τῶν ἐν Παλαιστίνῃ Σαρακηνῶν κατεστήσατο. ἀδῄωτόν τε τὴν χώραν διεφύλαξε τὸν ἅπαντα χρόνον, ἐπεὶ
P 58 τοῖς τε ἀρχομένοις βαρβάροις καὶ οὐδέν τι ἧσσον τοῖς πολεμίοις φοβερός τε ἀεὶ Ἀβοχάραγος ἔδοξεν εἶναι καὶ διαφερόντως δραστήριος. τῷ μὲν οὖν λόγῳ τὸν φοινικῶνα βασιλεὺς ἔχει, μετεῖναι δὲ αὐτῷ τῶν ταύτῃ χωρίων οὐδ' ὁπωστιοῦν δυνατά ἐστι. γῆ τε γὰρ ἀνθρώπων παντελῶς ἔρημος καὶ ἀτεχνῶς ἄνυδρος ἐν μέσῳ οὖσα ἐς δέκα ἡμερῶν ὁδὸν διήκει, καὶ αὐτὸς λόγου ὁτουοῦν ἄξιος ὁ φοινικὼν οὐδαμῇ ἐστιν, ἀλλ' ὄνομα δώρου, ὅ τι Ἀβοχάραγος ἔδωκε μόνον καὶ βασιλεὺς εὖ εἰδὼς ἔλαβε. τὰ μὲν οὖν ἀμφὶ τῷ φοινικῶνι ταύτῃ πῃ ἔχει. τούτων δὲ τῶν ἀνθρώπων ἄλλοι Σαρακηνοὶ ἐχόμενοι τὴν ἀκτὴν ἔχουσιν, οἳ δὴ Μααδδηνοὶ καλοῦν-
B ται, Ὁμηριτῶν κατήκοοι ὄντες. οἱ δὲ Ὁμηρῖται οὗτοι ἐν χώρᾳ τῇ ἐπέκεινα ᾤκηνται πρὸς τῇ τῆς θαλάσσης ᾐόνι, ὑπέρ τε αὐτοὺς ἄλλα ἔθνη πολλά, μέχρι ἐς τοὺς ἀνθρωποφάγους Σαρακηνοὺς ἱδρῦσθαί φασι. μεθ' οὓς δὴ τὰ γένη τῶν Ἰνδῶν ἐστιν. ἀλλὰ τούτων μὲν πέρι λεγέτω ἕκαστος ὥς πῃ αὐτῷ βουλομένῳ ἐστίν.

Ὁμηριτῶν δὲ καταντικρὺ μάλιστα ἐν τῇ ἀντιπέρας ἠπείρῳ C
Αἰθίοπες οἰκοῦσιν, οἳ Αὐξωμῖται ἐπικαλοῦνται, ὅτι δὴ αὐτοῖς τὰ βασίλειά ἐστιν ἐν Αὐξώμιδι πόλει, καὶ θάλασσα, ἣ ἐν μέσῳ ἐστίν, ἀνέμου μετρίως ἐπιφόρου ἐπιπεσόντος ἐς πέντε ἡμερῶν τε

1. φύονται μόνοι AH. μόνοι φύονται HmP. ibid. Ἀβοχάραγος] Legebatur Ἀβοχάραβος. *Abocharalus* RV, qui infra hoc nomen omisit. 6. ἀβοχάραγος hic et infra A. Legebatur Ἀβοχάραβος.

racenorum illic degentium Abocharabus donavit Iustiniano Augusto; a quo Phylarchus Saracenis Palaestinis praepositus, regionem ab hostili vi intactam usque servavit nominis terrore sui, cum aeque apud hostes ut inter subditos Barbaros formidabilis strenuissimusque audiret. Et nunc quidem verbo tenus Palmeti dominus est Caesar; reipsa potiri nequit: quoniam tractus ille in medio plane desertus ac siti squalens, patet iter dierum decem, nec res ulla Palmetum commendat, nisi doni appellatio, quod nempe ipsum dederit Abocharabus, gratoque animo Caesar acceperit. Hactenus de Palmeto. Saracenos istos alii continenter excipiunt, Maaddeni denominati, qui mare accolunt sub ditione positi Homeritarum. Iis secundum littus succedunt ipsi Homeritae; his aliae atque aliae gentes, ad Saracenos usque anthropophagos; post denique Indi. Sed pro suo quisque sensu de his loquatur.

E regione Homeritarum, ulteriorem continentem habent Aethiopes Auxomitae, ita dicti de nomine urbis Auxomidis, ubi regia ipsorum est. Porro interfusum mare, ferente mediocriter vento, traiicitur diebus quin-

καὶ νυκτῶν διάπλουν διήκει. ταύτῃ γὰρ καὶ νύκτωρ ναυτίλλεσθαι νενομίκασιν, ἐπεὶ βράχος ἐνταῦθα οὐδαμῇ ἐστιν· αὕτη πρὸς ἐνίων ἡ θάλασσα ἐρυθρὰ κέκληται. τὰ γὰρ ταύτης ἐκτὸς ἐκπλέοντι ἄχρι ἐς τὴν ἠόνα καὶ Αἰλᾶν πόλιν Ἀραβικὸς ὠνόμασται κόλπος. χώρα γὰρ ἡ ἐνθένδε ἄχρι τῶν Γάζης πόλεως ὁρίων Ἀραβία τὸ παλαιὸν ὠνομάζετο, ἐπεὶ καὶ τὰ βασίλεια ἐν τοῖς ἄνω χρόνοις ἐν Πέτραις τῇ πόλει ὁ τῶν Ἀράβων βασιλεὺς εἶχεν. ὁ μὲν οὖν τῶν Ὁμηριτῶν ὅρμος, ἐξ οὗ ἀπαίροντες εἰώθασιν ἐς Αἰθίοπας πλέειν, Βουλικὰς ὀνομάζεται. διαπλεύσαντες δὲ ἀεὶ τὸ πέλαγος τοῦτο καταίρουσιν ἐς τῶν Ἀδουλιτῶν τὸν λιμένα. Ἄδουλις δὲ ἡ πόλις τοῦ μὲν λιμένος μέτρῳ εἴκοσι σταδίων διέχει· τοσούτῳ γὰρ διείργεται τὸ μὴ ἐπιθαλάσσιος εἶναι· πόλεως δὲ Αὐξώμιδος ὁδῷ ἡμερῶν δώδεκα.

V 262 C H 33

Πλοῖα μέντοι ὅσα ἔν τε Ἰνδοῖς καὶ ἐν ταύτῃ τῇ θαλάσσῃ ἐστίν, οὐ τρόπῳ τῷ αὐτῷ ᾧπερ αἱ ἄλλαι νῆες πεποίηνται. οὐδὲ γὰρ πίσσῃ οὐδὲ ἄλλῳ ὁτῳοῦν χρίονται, οὐ μὴν οὐδὲ σιδήρῳ διαμπερὲς ἰόντι ἐς ἀλλήλας αἱ σανίδες ξυμπεπήγασιν, ἀλλὰ βρόχοις τισὶ ξυνδέδενται. αἴτιον δὲ οὐχ ὅπερ οἱ πολλοὶ οἴονται, πέτραι τινὲς ἐνταῦθα οὖσαι καὶ τὸν σίδηρον ἐφ' ἑαυτὰς ἕλκουσαι (τεκμήριον δέ· ταῖς γὰρ Ῥωμαίων ναυσὶν ἐξ Αἰλᾶ πλεούσαις ἐς θάλασσαν τήνδε, καίπερ σιδήρῳ πολλῷ ἡρμοσμέναις, οὔποτέ τι τοιοῦτο ξυνηνέχθη παθεῖν), ἀλλ' ὅτι οὔτε σίδηρον οὔτε ἄλλο

D

7. πέτραις AH. Πέτρᾳ P. Petra RV. 9. Βουλικὰς] βουλικᾶς L. 15. ᾧπερ] ὥσπερ A.

que ac noctibus totidem. Neque enim nox interrumpit ibi navigationem, propterea quod ea pars aequoris nulla habet omnino brevia. Fuere qui mare hoc Rubrum appellarent: quod autem inde usque ad oram et urbem Ailam enavigatur, sinum Arabicum ideo vocarunt, quia regio, quae hinc ad Gazae limites pertinet, nominata quondam fuit Arabia: immo Rex Arabum superioribus saeculis in urbe Petra habebat regiam. Nomen est Bulicas portui Homeritarum, unde qui solvunt petere Aethiopiam solent, et traiectu pelagi non intermisso, in portum Adulitarum appellunt, a quo stadiis xx. distat urbs Adulis: tanto nimirum spatio a mari retracta; ab urbe vero Auxomide dierum iter xii. dissita est.

In hoc autem atque Indico mari navigia, quaecunque sunt, a caeteris plane discrepant ratione compaginis. Nam nec pice, aliave re quapiam oblitae, nec ferreis clavis perfixae attextaeque tabulae, sed restibus quibusdam colligatae inter se cohaerent. Neque ea, quam multi putant, causa est, quod ibi sint scopuli, qui ferrum attrahant. Et sane argumento sunt Romanorum naves, quae quamvis ferro plurimo aptae, nihil unquam tale patiuntur, cum ex urbe Aila in hoc mare contendunt. Assignandum id potius ferri caeterarumque rerum ad fabricam idonea-

τι τῶν ἐς ταῦτα ἐπιτηδείων Ἰνδοὶ ἢ Αἰθίοπες ἔχουσιν. οὐ μὴν οὐδὲ πρὸς Ῥωμαίων ὠνεῖσθαι τούτων τι οἷοί τέ εἰσιν, νόμῳ ἅπα- P 59 *σι διαρρήδην ἀπειρημένον. θάνατος γὰρ τῷ ἁλόντι ἡ ζημία ἐστί. τὰ μὲν οὖν ἀμφὶ τῇ ἐρυθρᾷ καλουμένῃ θαλάσσῃ καὶ χώρᾳ ἢ αὐτῆς ἐφ' ἑκάτερά ἐστι ταύτῃ πῃ ἔχει.*

Ἐκ δὲ Αὐξώμιδος πόλεως ἐς τὰ ἐπ' Αἰγύπτου ὅρια τῆς Ῥωμαίων ἀρχῆς, οὗ δὴ πόλις ἡ Ἐλεφαντίνη καλουμένη οἰκεῖται, τριάκοντα ὁδὸς ἡμερῶν ἐστιν εὐζώνῳ ἀνδρί. ἐνταῦθα ἔθνη τε ἄλλα πολλὰ ἵδρυται καὶ Βλέμυές τε καὶ Νοβάται, πολυανθρωπότατα γένη. ἀλλὰ Βλέμυες μὲν ταύτης δὴ τῆς χώρας ἐς τὰ μέσα ᾤκηνται, Νοβάται δὲ τὰ ἀμφὶ Νεῖλον ποταμὸν ἔχουσι. πρότερον δὲ οὐ ταῦτα ἐγεγόνει τὰ ἔσχατα τῆς Ῥωμαίων ἀρχῆς, B *ἀλλ' ἐπέκεινα ὅσον ἑπτὰ ἡμερῶν ἑτέρων ἐπίπροσθεν· ἡνίκα δὲ ὁ Ῥωμαίων αὐτοκράτωρ Διοκλητιανὸς ἐνταῦθα γενόμενος κατενόησεν ὅτι δὴ τῶν μὲν ἐκείνῃ χωρίων ὁ φόρος λόγου ἄξιος ὡς ἥκιστα ἦν, ἐπεὶ στενὴν μάλιστα τὴν γῆν ἐνταῦθα ξυμβαίνει εἶναι. πέτραι γὰρ τοῦ Νείλου οὐ πολλῷ ἄποθεν ὑψηλαὶ λίαν ἀνέχουσαι τῆς χώρας τὰ λοιπὰ ἔχουσι. στρατιωτῶν δὲ πάμπολύ τι πλῆθος ἐνταῦθα ἐκ παλαιοῦ ἵδρυτο, ὧνπερ ταῖς δαπάναις ὑπερφυῶς ἄχθεσθαι συνέβαινε τὸ δημόσιον· ἅμα δὲ καὶ οἱ Νοβάται ἀμφὶ πόλιν Ὄασιν ᾠκημένοι τὰ πρότερα ἦγόν τε καὶ ἔφερον ἅπαντα ἐς ἀεὶ τὰ ἐκείνῃ χωρία· τούτους δὴ τοὺς βαρβάρους ἀνέπεισεν ἀνα-* C *στῆναι μὲν ἐξ ἠθῶν τῶν σφετέρων, ἀμφὶ ποταμὸν δὲ Νεῖλον ἱδρύσασθαι, δωρήσασθαι αὐτοὺς ὁμολογήσας πόλεσί τε μεγάλαις*

1. ἐς ταῦτα] ἐν ταῦτα (sic) L. 3. ἀπειρημένον] ἀπειρημένα A.

rum penuriae, qua laborant Indi atque Aethiopes: quin ipsis eius generis merces a Romanis emendi facultas erepta est lege patria, quae sub poena capitis id nominatim vetat. Haec habui quae de mari Rubro et adiacentibus utrinque oris dicerem.

Ab Auxomide ad Elephantinen, urbem Romani imperii limitaneam in Aegypto, tantum est viae quantum diebus xxx. vir expeditus conficiat. Hic cum alii, tum Blemyes et Nobatae habitant, gentes admodum populosae: sed Nili ripam Nobatae, interiorem regionem Blemyes obtinent. Submotior olim erat imperii limes itinere dierum VII. Ibi cum esset Diocletianus Augustus, vidissetque tenuissimum inde capi vectigal, quod arva illic angustissime circumscripta sint vicinitate scopulorum Nili ingentium, qui reliquam late regionem occupant; iamque a longinquo aevo magnam vim militum in praesidiis ibidem esse, unde aerarium graviter premeretur; ad haec solere Nobatas, qui urbem Oasin circumcolebant, in iis partibus agere et ferre omnia; Barbaros demum istos perpulit, ut relictis antiquis sedibus novas ad Nilum figerent, urbes magnas magnamque

καὶ χώρᾳ πολλῇ τε καὶ διαφερόντως ἀμείνονι ἧπερ τὰ πρότερα ᾤκηντο. οὕτω γὰρ ᾤετο αὐτούς τε οὐκέτι τά γε ἀμφὶ τὴν Ὄασιν ἐνοχλήσειν χωρία καὶ γῆς τῆς σφίσι διδομένης μεταποιουμένους, ἅτε οἰκείας οὔσης, ἀποκρούεσθαι Βλέμυάς τε, ὡς τὸ εἰκός, καὶ βαρβάρους τοὺς ἄλλους. ἐπεί τε τοὺς Νοβάτας ταῦτα ἤρεσκε, τήν τε μετανάστασιν αὐτίκα δὴ μάλα πεποίηντο, ᾗπερ ὁ Διοκλητιανὸς σφίσιν ἐπέστελλε, καὶ Ῥωμαίων τάς τε πόλεις καὶ χώραν ξύμπασαν ἐφ' ἑκάτερα τοῦ ποταμοῦ ἐξ Ἐλεφαντίνης πό- D λεως ἔσχον. τότε δὴ ὁ βασιλεὺς οὗτος αὐτοῖς τε καὶ Βλέμυσιν ἔταξε δίδοσθαι ἀνὰ πᾶν ἔτος ῥητόν τι χρυσίον ἐφ' ᾧ μηκέτι γῆν τὴν Ῥωμαίων λῄσωνται. ὅπερ καὶ ἐς ἐμὲ κομιζόμενοι οὐδέν τι ἧσσον καταθέουσι τὰ ἐκείνῃ χωρία. οὕτως ἄρα βαρβάρους ἅπαντας οὐδεμία μηχανὴ διασώσασθαι τὴν ἐς Ῥωμαίους πίστιν ὅτι μὴ δέει τῶν ἀμυνομένων στρατιωτῶν. καίτοι καὶ νῆσόν τινα ἐν ποταμῷ Νείλῳ ἄγχιστά πη τῆς Ἐλεφαντίνης πόλεως εὑρὼν ὁ βασιλεὺς οὗτος, φρούριόν τε ταύτῃ δειμάμενος ἐχυρώτατον, κοινούς τινας ἐνταῦθα νεώς τε καὶ βωμοὺς Ῥωμαίοις τε καὶ τούτοις δὴ κατεστήσατο τοῖς βαρβάροις, καὶ ἱερεῖς ἑκάστων ἐν τῷ φρουρίῳ τούτῳ ἱδρύσατο, ἐν τῷ βεβαίῳ τὴν φιλίαν αὐτοῖς ἔσεσθαι τῷ με- V 263 τέχειν τῶν ἱερῶν σφίσιν οἰόμενος. διὸ δὴ καὶ Φίλας ἐπωνόμασε τὸ χωρίον. ἄμφω δὲ ταῦτα τὰ ἔθνη, οἵ τε Βλέμυες καὶ οἱ Νο-

6. πεποίηντο AHL. πεποίηνται P. 11. λῄσωνται A. ληΐσονται P. 13. οὐδεμία μηχανὴ] οὐδεμιᾷ μηχανῇ HL. οὐδεμιᾷ μηχανῇ οἷόν τε P, quod ex Hoeschelii annotatione ductum videtur, qui aut οὐδεμία μηχανὴ scribi voluerat, quod ego recepi, aut addi οἷόν τε. 21. ταῦτα L. τούτῳ P.

Regionem et ea, quam tum haberent, multo beatiorem attributurum se illis pollicitus. Quo se effecturum sperabat, ut infesta nunquam haberent circumiecta Oasi loca, et ad donatum sibi agrum translati, ex eo, quippe iam suo, Blemyas, ut par esset, caeterosque Barbaros prohiberent. Haec lubentibus animis amplexi Nobatae, ad Diocletiani praescriptum migrarunt statim, et usque ab Elephantine Romana oppida et praetentos utrinque fluvio agros occuparunt. Illis quoque ac Blemybus idem Imperator certum in annos singulos auri modum assignavit, ea lege, ne Romanos vexarent latrociniis. At licet solvatur ipsis etiamnum pensio, nihilo secius in vicinos grassantur. Hoc nempe sunt ingenio omnes Barbari, ut in data Romanis fide contineri nulla re possint, nisi militis ipsorum cervicibus imminentis metu. Tametsi in quadam Nili insula, proxime Elephantinen, validissimum castrum Diocletianus extruxerat, ibique templa atque aras posuerat Romanis Barbarisque illis communes, sub cura Flaminum, qui ex utrisque assumpti erant, ratus communione sacrorum sanctissime constituram inter ipsos amicitiam: unde locum appellavit Philas. Utrique autem, Blemyes inquam ac Nobatae, cum alios

βάται, τούς τε ἄλλους θεοὺς, οὕσπερ Ἕλληνες νομίζουσι πάν-
60 τας, καὶ τήν τε Ἶσιν τόν τε Ὄσιριν σέβουσι, καὶ οὐχ ἥκιστά γε
τὸν Πρίαπον. οἱ μέντοι Βλέμυες καὶ ἀνθρώπους τῷ ἡλίῳ θύειν
εἰώθασι. ταῦτα δὲ τὰ ἐν Φίλαις ἱερὰ οὗτοι δὴ οἱ βάρβαροι καὶ
ἐς ἐμὲ εἶχον, ἀλλὰ βασιλεὺς αὐτὰ Ἰουστινιανὸς καθελεῖν ἔγνω.
Ναρσῆς γοῦν, Περσαρμένιος γένος, οὗ πρόσθεν ἅτε ηὐτομοληκό-
H 84 τος ἐς Ῥωμαίους ἐμνήσθην, τῶν ἐκείνῃ στρατιωτῶν ἄρχων τά τε
ἱερὰ καθεῖλε, βασιλέως οἱ ἐπαγγείλαντος, καὶ τους μὲν ἱερεῖς ἐν
φυλακῇ ἔσχε, τὰ δὲ ἀγάλματα ἐς Βυζάντιον ἔπεμψεν. ἐγὼ δὲ
ἐπὶ τὸν πρότερον λόγον ἐπάνειμι.

B κ΄. Ὑπὸ τοὺς χρόνους τοῦ πολέμου τοῦδε Ἑλλησθεαῖος ὁ
τῶν Αἰθιόπων βασιλεὺς, Χριστιανός τε ὢν καὶ δόξης τῆσδε ὡς
μάλιστα ἐπιμελούμενος, ἐπειδὴ Ὁμηριτῶν τῶν ἀντιπέρας ἠπείρῳ
ἔγνω πολλοὺς μὲν Ἰουδαίους ὄντας, πολλοὺς δὲ δόξαν τὴν πα-
λαιὰν σέβοντας, ἣν δὴ καλοῦσιν Ἑλληνικὴν οἱ νῦν ἄνθρωποι,
ἐπιβολῇ μέτρον οὐκ ἐχούσῃ ἐς τοὺς ἐκείνῃ Χριστιανοὺς χρῆσθαι,
στόλον τε νηῶν καὶ στράτευμα ἀγείρας ἐπ᾽ αὐτοὺς ἦλθε, καὶ μά-
χῃ νικήσας τόν τε βασιλέα καὶ τῶν Ὁμηριτῶν πολλοὺς ἔκτεινεν,
C ἄλλον τε αὐτόθι Χριστιανὸν βασιλέα καταστησάμενος, Ὁμηρίτην
μὲν γένος, ὄνομα δὲ Ἐσιμφαῖον, φόρον τε αὐτῷ τάξας Αἰθίοψι
φέρειν ἀνὰ πᾶν ἔτος, ἐπ᾽ οἴκου ἀνεχώρησε. τούτου τοῦ Αἰθιό-
πων στρατοῦ δοῦλοί τε πολλοὶ καὶ ὅσοι ἐπιτηδείως ἐς τὸ κακουρ-

11. ἑλλησθεαῖος HL. Ελλισθεαῖος P. *Hellisthaeus* hic et infra RV. 13. τῶν ἀντιπέρας ἠπείρῳ AHL. τῶν τῆς ἀντιπέρας ἠπείρου P. 17. ἀγείρας] ἐγείρας H. 20. „Ἐσιμφαῖον Reg.“ Malt. Ἐσιμιφαῖον P, et infra constanter Ἐσιμιφ—. Quod legit RV.

Gentilium Deos, tum Isin et Osirin Priapumque inprimis venerantur: sed et Solem Blemyes humanis hostiis colunt. Ea Philarum templa cum ad nostram aetatem Barbari tenuissent, Iustinianus Aug. illa excindere constituit. Itaque Narses Persarmenus, cuius ad Romanos transfugium supra memoravi, quo tempore praesidio illic imposito praeerat, fana iussu Imperatoris evertit, et coniectis in carcerem sacerdotibus, deorum simulachra Byzantium misit. Ego vero ad institutam antea narrationem revertor.

20. Sub tempora huiusce cum Persis belli, Hellestheaeus Aethiopiae Rex, Christianae religionis cultor eximius, cum audiisset Homeritarum, qui in adversa continente degunt, non paucos genere Iudaeos, multos etiam priscae superstitioni, quam hodie Graecanicam vocant, addictos, illius orae Christianis tributa supra modum imponere, classe copiisque collectis, eo bellum portavit, commissoque praelio victor, magnum Homeritarum numerum, ipsumque adeo Regem vita spoliavit. In eius locum subrogato Esimiphaeo, Christiano et Homerita, sub ea tamen conditione ut tributum annuum Aethiopibus penderet, domum rediit. Ab-

γεῖν εἶχον τῷ μὲν βασιλεῖ ἕπεσθαι οὐδαμῆ ἤθελον, αὐτοῦ δὲ ἀπολειπόμενοι ἔμενον ἐπιθυμίᾳ τῆς Ὁμηριτῶν χώρας· ἀγαθὴ γὰρ ὑπερφυῶς ἐστιν.

Οὗτος ὁ λεὼς χρόνῳ οὐ πολλῷ ὕστερον ξὺν ἑτέροις τισὶν Ἐσιμφαίῳ τῷ βασιλεῖ ἐπαναστάντες αὐτὸν μὲν ἔν τινι τῶν ἐκείνῃ D *φρουρίων καθεῖρξαν, ἕτερον δὲ Ὁμηρίταις βασιλέα κατεστήσαντο, Ἄβραμον ὄνομα. ὁ δὲ Ἄβραμος οὗτος Χριστιανὸς μὲν ἦν, δοῦλος δὲ Ῥωμαίου ἀνδρὸς, ἐν πόλει Αἰθιόπων Ἀδούλιδι ἐπὶ τῇ κατὰ θάλασσαν ἐργασίᾳ διατριβὴν ἔχοντος. ἃ δὴ Ἑλλησθεαῖος μαθὼν τίσασθαί τε Ἄβραμον ὁμοῦ τοῖς ξὺν αὐτῷ ἐπαναστᾶσι τῆς ἐς τὸν Ἐσιμφαῖον ἀδικίας ἐν σπουδῇ ἔχων, στράτευμά τε* P 61 *τρισχιλίων ἀνδρῶν καὶ ἄρχοντα τῶν τινα ξυγγενῶν τῶν αὑτοῦ ἐπ' αὐτοὺς ἔπεμψεν. οὗτος ὁ στρατὸς οὐκέτι ἐθέλοντες ἐπ' οἴκου ἐπανιέναι, ἀλλ' αὐτοῦ ἐν χώρᾳ ἀγαθῇ μένειν, κρύφα τοῦ ἄρχοντος τῷ Ἀβράμῳ ἐς λόγους ἦλθον, ἔς τε ξυμβολὴν καταστάντες τοῖς ἐναντίοις, ἐπειδὴ ἐν τῷ ἔργῳ ἐγένοντο, κτείναντες τὸν ἄρχοντα τῷ τε τῶν πολεμίων στρατῷ ἀνεμίγνυντο καὶ αὐτοῦ ἔμενον. θυμῷ δὲ πολλῷ Ἑλλησθεαῖος ἐχόμενος καὶ ἄλλο στράτευμά ἐπ' αὐτοὺς ἔπεμψεν, οἳ δὴ τοῖς ἀμφὶ τὸν Ἄβραμον ἐς χεῖρας ἐλθόντες* D *παρὰ πολύ τε ἡσσηθέντες τῇ μάχῃ ἐπ' οἴκου εὐθὺς ἀνεχώρησαν. δείσας δὲ τὸ λοιπὸν ὁ τῶν Αἰθιόπων βασιλεὺς ἐπὶ τὸν Ἄβραμον* B *οὐκέτι ἐστράτευσεν. Ἑλλησθεαίου δὲ τελευτήσαντος φόρους Ἄβραμος ὡμολόγησε φέρειν τῷ μετ' αὐτὸν τὴν Αἰθιόπων βασι-*

4. ὁ addidi ex A. 9. ἑλλησθεαῖος L. Ἑλλισθεαῖος HP. 12. αὑτοῦ] *αὐτοῦ* HL.

euntem sequi noluerunt multi e servitiis exercitus et quicunque erant ad facinus praedamque nati: quos cepit ac tenuit singularis felicitas regionis Homeritarum.

Haud multo post, turba haec et colluvies aliique nonnulli conflata in Esimiphaeum Regem seditione, eum in castellum incluserunt, regnumque Homeritarum detulerunt Abramo, Christiano illi quidem, at servo Romani cuiusdam institoris, qui apud Aethiopes in urbe Adulite commercii maritimi gratia morabatur. Quod ubi Hellestheaeus accepit, illatae Esimiphaeo iniuriae poenas ex Abramo ac participibus rebellionis sumere cupidissime festinans, tria pugnatorum millia adversum illos expediit, Duce e regia propinquitate lecto. At hi quoque patriae renuntiantes, ut in regione perbona habitarent, clam cum Abramo egerunt, insciente duce, quem et postea, ubi in aciem contra hostes educti iniere pugnam, necarunt, mox facta transitione, ibi manserunt. His graviter exulceratus Hellestheaeus, confestim eodem destinavit exercitum alterum: qui demum cum Abramo congressus magnam accepit cladem, et foede mutilatus in patriam ocyus renavigavit. Metu deinceps cautior Aethiopiae Rex Abramo bellum inferre desiit. Defuncto Hellestheaeo, tributum pactus est

λείαν παραλαβόντι, οὕτω τε τὴν ἀρχὴν ἐκρατύνατο. ἀλλὰ ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.

V 264 *Τότε δὲ Ἰουστινιανὸς ὁ βασιλεὺς ἐν μὲν Αἰθίοψι βασιλεύοντος Ἑλλησθεαίου, Ἐσιμφαίου δὲ ἐν Ὁμηρίταις, πρεσβευτὴν Ἰουλιανὸν ἔπεμψεν, ἀξιῶν ἄμφω Ῥωμαίοις διὰ τὸ τῆς δόξης ὁμόγνωμον Πέρσαις πολεμοῦσι ξυνάρασθαι, ὅπως Αἰθίοπες μὲν ὠνούμενοί τε τὴν μέταξαν ἐξ Ἰνδῶν, ἀποδόμενοι δὲ αὐτὴν ἐς Ῥωμαίους, αὐτοὶ μὲν κύριοι γένωνται χρημάτων μεγάλων, Ῥωμαίους* C *δὲ ποιήσωσι τοῦτο κερδαίνειν μόνον, ὅτι δὴ οὐκέτι ἀναγκασθήσονται τὰ σφέτερα αὐτῶν χρήματα ἐς τοὺς πολεμίους μετενεγκεῖν — αὕτη δέ ἐστιν ἡ μέταξα, ἐξ ἧς εἰώθασι τὴν ἐσθῆτα ἐργάζεσθαι, ἣν πάλαι μὲν Ἕλληνες Μηδικὴν ἐκάλουν, τανῦν δὲ σηρικὴν ὀνομάζουσιν· — Ὁμηρῖται δὲ ὅπως Καϊσὸν τὸν φυγάδα φύλαρχον Μααδδηνοῖς καταστήσωνται καὶ στρατῷ μεγάλῳ αὐτῶν τε Ὁμηριτῶν καὶ Σαρακηνῶν τῶν Μααδδηνῶν ἐσβάλωσιν ἐς τὴν Περσῶν γῆν. (ὁ δὲ Καϊσὸς οὗτος γένους μὲν ἦν τοῦ φυλαρχικοῦ καὶ διαφερόντως ἀγαθὸς τὰ πολέμια, τῶν δέ τινα Ἐσιμφαίου ξυγγενῶν κτείνας εἰς γῆν ἔφευγεν, ἣ δὴ ἔρημος παντάπα-* D *σιν ἀνθρώπων ἐστίν.) ἑκάτερος μὲν οὖν τὴν αἴτησιν ὑποσχόμενος ἐπιτελῆ ποιήσειν τὸν πρεσβευτὴν ἀπεπέμψατο, ἔδρασε δὲ αὐτοῖν τὰ ὡμολογημένα οὐδέτερος. τοῖς τε γὰρ Αἰθίοψι τὴν μέταξαν*

1. *ἐκρατύνατο*] *ἐκρατύνετο* L. 7. *ἀποδόμενοι* Suidas s. v. *σηρική*. Vulgo *ἀποδιδόμενοι*. 8. *χρημάτων μεγάλων*] *μεγάλων χρημάτων* Suidas. 11. *εἰώθασι*] *εἰώθεσαν* Suidas. 12. *τανῦν δὲ*] *τὰ δὲ νῦν* Suidas. 13. *Καϊσὸν — Καϊσὸς*] *Carsum — Carsus* RV. 18. *εἰς γῆν ἔφευγεν* A. *ἔφευγεν εἰς γῆν* P.

Abramus eius successori, itaque asseruit sibi regnum. Sed haec recentiora sunt.

Quo autem tempore Hellestheaeus regnabat in Aethiopia, parebantque Homeritae Esimiphaeo, Iulianum ad eos legavit Iustinianus Aug. per ipsum ab utroque petens, ut pro religionis communione, qua cum Romanis devincti essent, illos cum Persis gerentes bellum iuvarent: atque Aethiopes quidem sericum, ex quo vestis conficitur, quae olim dicta a Graecis Medica, nunc serica appellatur, sericum inquam ab Indis emerent, ac postea Romanis venum id darent, quo et sibi pararent ingentem pecuniam, et lucrum hoc unum afferrent Romanae genti, ne ad hostes cogeretur aurum suum transferre: Homeritae vero Caisum patria profugum Maaddenis Phylarchum praeponerent, et cum valido exercitu ex Saracenis illis suaque gente conflato in Persidem irrumperent. Vir erat Caisus Phylarchico sanguine prognatus, et bellica virtute praestans: at quoniam propinquum occiderat Esimiphaei, vitam fugae solitudinique mandarat. Uterque sane Rex postulatis annuit, eaque se facturum pollicitus legatum remisit liberaliter: tamen promissa et conventa neuter implevit. Nec vero fieri poterat, ut ab Indis Aethiopes sericum merca-

ὠνεῖσθαι πρὸς τῶν Ἰνδῶν ἀδύνατον ἦν, ἐπεὶ ἀεὶ οἱ Περσῶν ἔμ-
ποροι πρὸς αὐτοῖς τοῖς ὅρμοις γενόμενοι (οὗ δὴ τὰ πρῶτα αἱ τῶν
Ἰνδῶν νῆες καταίρουσιν, ἅτε χώραν προσοικοῦντες τὴν ὅμορον)
ἅπαντα ὠνεῖσθαι τὰ φορτία εἰώθασι, καὶ τοῖς Ὁμηρίταις χαλεπὸν
ἔδοξεν εἶναι χώραν ἀμειψαμένοις ἔρημόν τε καὶ χρόνου πολλοῦ H 35
ὁδὸν κατατείνουσαν ἐπ' ἀνθρώπους πολλῷ μαχιμωτέρους ἰέναι.
ἀλλὰ καὶ Ἄβραμος ὕστερον, ὅτε δὴ τὴν ἀρχὴν ὡς ἀσφαλέστατα
ἐκρατύνατο, πολλάκις μὲν Ἰουστινιανῷ βασιλεῖ ὡμολόγησεν ἐς
γῆν τὴν Περσίδα ἐσβάλλειν, ἅπαξ δὲ μόνον τῆς πορείας ἀρξάμε- P 62
νος ὀπίσω εὐθὺς ἀπεχώρησε. τὰ μὲν οὖν Αἰθιόπων τε καὶ Ὁμη-
ριτῶν ταύτῃ Ῥωμαίοις ἐχώρησεν.

κα'. Ἑρμογένης δὲ τότε, ἐπειδὴ τάχιστα ἡ πρὸς τῷ Εὐ- B
φράτῃ μάχη ἐγένετο, παρὰ Καβάδην ἐπὶ πρεσβείαν ἥκων, ἐπέ-
ραινεν οὐδὲν τῆς εἰρήνης πέρι, ἧς ἕνεκα ἦλθεν, ἐπεὶ αὐτὸν οἰδαί-
νοντα ἔτι ἐπὶ Ῥωμαίους εὗρε· διὸ δὴ ἄπρακτος ἀνεχώρησε. καὶ
Βελισάριος βασιλεῖ ἐς Βυζάντιον μετάπεμπτος ἦλθε περιῃρημένος
ἣν εἶχεν ἀρχήν, ἐφ' ᾧ ἐπὶ Βανδίλους στρατεύσειεν. Σίττας δέ,
Ἰουστινιανῷ βασιλεῖ τοῦτο δεδογμένον, ὡς φυλάξων τὴν ἑῴαν ἐν-
ταῦθα ἦλθε. καὶ Πέρσαι αὖθις στρατῷ πολλῷ ἐς Μεσοποτα-
D μίαν, Χαναράγγου τε καὶ Ἀσπεβέδου καὶ Μερμερόου ἡγουμένων
σφίσιν, ἐσέβαλον. ἐπεί τε αὐτοῖς ἐτόλμα οὐδεὶς ἐς χεῖρας ἰέναι,
Μαρτυρόπολιν ἐγκαθεζόμενοι ἐπολιόρκουν, οὗ δὴ Βούζης τε καὶ C
Βέσας τεταγμένοι ἐπὶ τῇ φυλακῇ ἐτύγχανον. αὕτη δὲ κεῖται μὲν

4. χαλεπὸν — κατατείνουσαν] Suidas s. v. κατατείνουσαν. 8. ἐκρατύνατο] ἐκρατύνετο L. 20. Ἀσπεβέδου] Legebatur Ἀπεβέδου. Aspebedo RV. Vide supra p. 51, 1. 23. Βέσας] Bessas RV.

rentur, siquidem institores Persae illis portubus propter vicinitatem imminentes, ad quos Indi prius appellunt, merces omnes emere plerumque occupant. Homeritis autem grave visum est, per solitudines agere longinquum iter, ac demum in eius exitu gentem multo bellicosiorem invadere. Quin etiam postea Abramus ipse, cum regnum sibi stabilisset, se in Persidem eruptionem facturum Iustiniano saepe spopondit: verum ingressus viam, idque semel tantum, extemplo reversus est. Ita demum cessit Romanis missa ad Aethiopes et Homeritas Legatio.

21. Statim ut ad Euphratem pugnatum est, Legatus ad Cabadem profectus Hermogenes, cum ipsum adhuc in Romanos ira tumidum offendisset, pace, cuius ergo venerat, infecta rediit. Belisarium Augustus Byzantium revocavit, et a potestate, quam gerebat, amovit, ut praeesset expeditioni Vandalicae. Tunc Sittas tuendi Orientis munere suscepto, de sententia Iustiniani eo sese contulit. Quando Persae denuo in Mesopotamiam se iniecerunt, magnas eorum copias Chanarange, Apebede, Mermeroeque ducentibus: ac nemine cum ipsis audente congredi, Martyropolin, cuius praesidio Buzes ac Besas praeerant, obsederunt. Urbs

ἐν τῇ Σοφανηνῇ καλουμένῃ χώρᾳ, πόλεως Ἀμίδης τεσσαράκοντά τε καὶ διακοσίοις σταδίοις διέχουσα πρὸς βορρᾶν ἄνεμον· πρὸς αὐτῷ δὲ Νυμφίῳ τῷ ποταμῷ ἐστιν, ὃς τήν τε Ῥωμαίων γῆν καὶ Περσῶν διορίζει. οἱ μὲν οὖν Πέρσαι τῷ περιβόλῳ προσέβαλλον, οἱ δὲ πολιορκούμενοι κατ' ἀρχὰς μὲν αὐτοὺς ἀνδρείως ὑφίσταντο, οὐ διὰ πολλοῦ δὲ ἀνθέξειν ἐπίδοξοι ἦσαν. ὅ τε γὰρ περίβολος ἐπιμαχώτατος ἦν ἐκ τοῦ ἐπὶ πλεῖστον καὶ πολιορκίᾳ Περσῶν ῥᾷστα ἁλώσιμος, αὐτοί τε τὰ ἐπιτήδεια οὐ διαρκῶς εἶχον, οὐ μὴν οὐδὲ μηχανὰς οὐδέ τι ἄλλο ἀξιόχρεων καθ' ὅ τι ἀμύνονται. Σίττας δὲ καὶ ὁ Ῥωμαίων στρατὸς ἐς χωρίον μὲν Ἀτταχὰς ἦλ-
D θον, Μαρτυροπόλεως ἑκατὸν σταδίοις διέχον, ἐς τὰ πρόσω δὲ οὐκ ἐτόλμων ἰέναι, ἀλλ' αὐτοῦ ἐνστρατοπεδευσάμενοι ἔμενον.
V 265 ξυνῆν δὲ αὐτοῖς καὶ Ἑρμογένης αὖθις ἐπὶ πρεσβείᾳ ἐκ Βυζαντίου ἥκων. ἐν τούτῳ δὲ τοιόνδε τι ξυνηνέχθη γενέσθαι.

Κατασκόπους ἐκ παλαιοῦ ἔν τε Ῥωμαίοις καὶ Πέρσαις δημοσίᾳ σιτίζεσθαι νόμος, οἳ δὴ λάθρα ἰέναι παρὰ τοὺς πολεμίους εἰώθασιν, ὅπως περισκοπήσαντες ἐς τὸ ἀκριβὲς τὰ πρασσόμενα εἶτα ἐπανιόντες τοῖς ἄρχουσιν ἐσαγγέλλωσι. τούτων πολλοὶ μὲν εὐνοίᾳ, ὡς τὸ εἰκὸς, χρῆσθαι εἰς τοὺς ὁμογενεῖς ἐν σπουδῇ ἔχου-
P 63 σι, τινὲς δὲ καὶ τοῖς ἐναντίοις προΐενται τὰ ἀπόρρητα. τότε οὖν ἐκ Περσῶν κατάσκοπός τις ἐς Ῥωμαίους σταλεὶς ἐς ὄψιν τε Ἰουστινιανῷ βασιλεῖ ἥκων, ἄλλα τε πολλὰ ἐξεῖπεν ἐν τοῖς βαρ-

21. ἐς Ῥωμαίους] „Reg. ἐς Ῥωμαίων. supple γῆν." MALT. contra Romaeos RV.

haec in Sophanene sita, distat Amida stadiis CCXL. ad Septentrionem, fluvioque alluitur Nymphio, qui ab agro Persico Romanum dividit. Igitur Persae ad oppugnanda moenia se adhibuerunt: quorum etsi impetum viriliter initio excipiebant obsessi; tamen constans erat opinio non restituros diu. Nam et murus multis in locis expugnabilis vi atque impressione Persarum facile poterat occupari, nec iusta annonae copia, nec machinae, neque aliud quidquam ad propugnationem idoneum inclusis suppetebat. Sittas ac Romanus exercitus castra Attachis centesimo a Martyropoli stadio metati, neque ausi accedere propius, ibi se continebant, et Byzantio missus iterum Legatus Hermogenes una aderat. Res interea contigit, quam modo referam.

Persarum iuxta ac Romanorum antiquus est ille mos, ut alantur de publico exploratores, qui ad hostem submitti solent, et postquam accurate quae apud illum geruntur inspexerint, Ducibus indicatum veniunt. Ex his multi pro eo ac debent impense student patriae suisque civibus: nonnulli eorum arcana hostibus efferunt. Tali quidam animo explorator ad Romanos profectus e Perside, Iustinianum Aug. convenit, et coram cum alia ipsi multa, quae molirentur Barbari, tum hoc etiam enuntiavit,

βάροις πρασσόμενα καὶ ὡς γένος Μασσαγετῶν ἐπὶ τῷ Ῥωμαίων πονηρῷ αὐτίκα δὴ μάλα εἰς τὰ Περσῶν ἤδη ἐξίασιν, ἐνθένδε τε ἐς Ῥωμαίων τὴν γῆν ἰόντες τῷ Περσῶν στρατῷ ἕτοιμοί εἰσιν ἀναμίγνυσθαι. ὁ δὲ ταῦτα ἀκούσας, πεῖράν τε ἤδη τοῦ ἀνθρώπου ἀληθείας πέρι ἐς αὐτὸν ἔχων, χρήμασιν αὐτὸν ἁδροῖς τισι χαρισάμενος πείθει ἔς τε τὸ Περσῶν στρατόπεδον ἰέναι, ὃ δὴ Μαρτυροπολίτας ἐπολιόρκει, καὶ τοῖς ταύτῃ βαρβάροις ἀγγεῖλαι ὅτι δὴ οἱ Μασσαγέται οὗτοι χρήμασιν ἀναπεισθέντες τῷ Ῥωμαίων B βασιλεῖ μέλλουσιν ὅσον οὔπω ἐπ' αὐτοὺς ἥξειν. ὁ δὲ κατὰ ταῦτα ἐποίει, ἔς τε τὸ τῶν βαρβάρων στρατόπεδον ἀφικόμενος τῷ τε Χαναράγγῃ καὶ τοῖς ἄλλοις ἀπήγγελλε στράτευμα Οὔννων πολεμίων σφίσιν οὐκ εἰς μακρὰν ἐς τοὺς Ῥωμαίους ἀφίξεσθαι. οἱ δὲ ἐπεὶ ταῦτα ἤκουσαν, κατωρρώδησάν τε καὶ ἐπὶ τοῖς παροῦσι διηποροῦντο.

Ἐν τούτῳ δὲ ξυνέβη πονήρως τῷ Καβάδῃ νοσῆσαι τὸ σῶμα, καὶ Περσῶν ἕνα τόν οἱ ἐν τοῖς μάλιστα ἐπιτηδειότατον καλέσας, Μεβόδην ὄνομα, ἐκοινολογεῖτο ἀμφί τε τῷ Χοσρόῃ καὶ τῇ βασιλείᾳ, δεδιέναι τε Πέρσας ἔφασκε μή τι τῶν αὐτῷ βεβουλευμένων ἀλογήσειν ἐν σπουδῇ ἕξουσιν. ὁ δέ οἱ τῆς γνώμης τὴν C δήλωσιν ἐν γράμμασιν ἀπολιπεῖν ἠξίου, θαρσοῦντα ὡς οὐ μή ποτε αὐτὴν ὑπεριδεῖν τολμήσωσι Πέρσαι. Καβάδης μὲν οὖν ἄντικρυς διετίθετο βασιλέα Χοσρόην Πέρσαις καθίστασθαι. τὸ δὲ γράμμα ὁ Μεβόδης αὐτὸς ἔγραφε καὶ ὁ Καβάδης αὐτίκα ἐξ ἀν-

6. ἔς τε τὸ A. ἐς τὸ P. 10. βαρβάρων] βαρβαρικῶν L.
11. ἀπήγγελλε] ἀπήγγελε HL.

Massagetas Romanis infensos brevi adventuros in Persidem, et illinc velle Romani imperii fines ingredi, seque adiungere Persarum copiis. His ille auditis, cum versasset hominem ac veracem comperisset, grandi evicit pecunia, ut ad castra Persarum, qui tunc Martyropolim circumsedebant, contenderet, nuntiaretque Massagetas auro corruptos ab Augusto infestis in ipsos animis actutum venturos. Ille munus iniunctum exequens, simul ut castra Barbarorum attigit, Chanarangi caeterisque significat iam aversos a Persis Hunnos praesto Romanis propediem adfore. Hoc ii nuntio territi, quid pro re nata decernerent nesciebant.

Hoc interim spatio, morbo correptus acuto Cabades, Mebodem Persam, quo familiarissime utebatur, accivit, et cum eo de Chosroe ac regno sermonem instituens, vereri se dixit ne quid eorum, quae constituta haberet, Persae reiicerent et aspernarentur. Rogavit ille, tantum ut sibi relinqueret consignatam tabulis supremam voluntatem, cum spe certa fore ut eam Persae nullo habere loco minime auderent. Tum Cabades testamento, quod manu sua conscripsit Mebodes, regnum Chosroi plane

θρώπων ἠφάνιστο. καὶ ἐπεὶ τὰ νόμιμα ἐπὶ τῇ τοῦ βασιλέως τα-
φῇ ἐγεγόνει, ὁ μὲν Καόσης τῷ νόμῳ θαρσῶν ἐπεβάτευε τῆς τι-
H 36 μῆς, ὁ δὲ Μεβόδης ἐκώλυε, φάσκων οὐδένα χρῆναι αὐτόματον
ἐς τὴν βασιλείαν ἰέναι, ἀλλὰ ψήφῳ Περσῶν τῶν λογίμων. καὶ
ὃς ἐπέτρεπε ταῖς ἀρχαῖς τὴν περὶ τοῦ πράγματος γνῶσιν, οὐδὲν
ἐνθένδε ἔσεσθαί οἱ ἐναντίωμα ὑποτοπάζων, ἐπεὶ δὲ ἅπαντες οἱ
D Περσῶν λόγιμοι ἐς τοῦτο ἀγηγερμένοι ἐκάθηντο, τὸ μὲν γράμμα
ὁ Μεβόδης ἀναλεξάμενος τὴν Καβάδου ἀμφὶ τῷ Χοσρόῃ ἐδήλου
γνώμην, ἀναμνησθέντες δὲ τῆς Καβάδου ἀρετῆς ἅπαντες βασι-
λέα Πέρσαις αὐτίκα Χοσρόην ἀνεῖπον.

Οὕτω μὲν ὁ Χοσρόης τὴν ἀρχὴν ἔσχεν. ἐν δὲ Μαρτυρο-
πόλει Σίττας τε καὶ Ἑρμογένης ἀμφὶ τῇ πόλει δειμαίνοντες,
ἀμύνειν γὰρ κινδυνευούσῃ οὐδαμῇ εἶχον, ἔπεμψάν τινας ἐς τοὺς
πολεμίους, οἳ τοῖς στρατηγοῖς ἐς ὄψιν ἐλθόντες ἔλεξαν τοιάδε
„Λελήθατε ὑμᾶς αὐτοὺς βασιλεῖ τε τῷ Περσῶν καὶ τοῖς τῆς
P 64 εἰρήνης ἀγαθοῖς καὶ πολιτείᾳ ἑκατέρᾳ ἐμποδὼν οὐ δέον γινόμενοι.
πρέσβεις γὰρ ἐκ βασιλέως ἐσταλμένοι τανῦν πάρεισιν, ἐφ' ᾧ πα-
ρὰ τὸν Περσῶν βασιλέα ἰόντες τά τε διάφορα λύσουσι καὶ τὰς
σπονδὰς πρὸς αὐτὸν θήσονται· ἀλλ' ὡς τάχιστα ἐξανιστάμενοι
τῆς Ῥωμαίων γῆς ξυγχωρεῖτε τοῖς πρέσβεσι πράσσειν ἣ ἑκατέροις
ξυνοίσειν μέλλει. ἕτοιμοι γὰρ ἐσμὲν ὑπὲρ τούτων αὐτῶν καὶ ὁμή-
ρους διδόναι ἄνδρας δοκίμους, ὡς δὴ ἔργῳ οὐκ εἰς μακρὰν ἐπι-

2. ἐπεβάτευε] ἐπενάτευε A. 7. ἀγηγερμένοι A. ἐγηγερμένοι P. 9. τῆς Κ.] τῆς τοῦ κ. A, ut videtur. 18. τὸν περσῶν L. τῶν Περσῶν P. 21. αὐτῶν om. L.

decrevit; nec multo post obiit. Ubi iusta regio funeri soluta sunt, consuetudinis iure fretus Caoses honorem summum usurpabat, cum intercessit Mebodes, nemini fas esse dicens intrudere se in regnum; at procerum Persarum suffragiis ad id vocari oportere. Is ab hac parte sibi omnia fore prona existimans, rei cognitionem potestatibus permisit. Verum ubi in consessu universae nobilitatis ad id convocatae Mebodes testamentum legit, quidque Cabades moriens de Chosroe sanxisset aperuit, tantum apud omnes valuit memoria virtutis demortui, ut Chosroem una voce Persarum Regem declararint.

Ita regnum adeptus est Chosroes: iam vero ad Martyropolim Sittas atque Hermogenes urbi timentes, cui periclitanti subvenire non poterant, ad hostem quosdam e suis miserunt, quorum haec apud Duces fuit oratio. *Vos et Persarum Regem, et pacem, et rem utriusque imperii publicam contra quam fas sit atque adeo praeter opinionem vestram oppugnatis. Iam enim Augusti Legati adsunt, Regem adituri vestrum, ut cum ipsomet dirempta omni lite pacem conficiant. Agite dum, Romano solo movete quamprimum, date legatis locum et copiam transigendi prout erit e re communi. Nos certe vobis fidem ut faciamus accessurum verbis exi-*

τελῆ ἔσται.“ Ῥωμαίων μὲν οἱ πρέσβεις τοσαῦτα εἶπον. ἐτύγχανε δὲ καὶ ἄγγελος ἐκ τῶν βασιλείων ἐς αὐτοὺς ἥκων, ὃς δὴ αὐτοῖς τετελευτηκέναι μὲν Καβάδην ἐτύγχανεν ἀπαγγέλλων, Χοσρόην δὲ τὸν Καβάδου βασιλέα καταστῆναι Πέρσαις, ταύτῃ τε τὰ B πράγματα ᾐωρῆσθαι σφίσι. καὶ ἀπ' αὐτοῦ τοὺς Ῥωμαίων λόγους οἱ στρατηγοὶ ἄσμενοι ἤκουσαν, ἅτε καὶ τὴν Οὔννων ἔφοδον δείσαντες. Ῥωμαῖοι μὲν οὖν ἐν ὁμήρων λόγῳ εὐθὺς ἔδοσαν Μαρτῖνόν τε καὶ τῶν Σίττα δορυφόρων ἕνα, Σενέκιον ὄνομα· Πέρ- V 266 σαι δὲ διαλύσαντες τὴν προσεδρείαν εὐθυωρὸν τὴν ἀναχώρησιν ἐποιήσαντο. οἵ τε Οὖννοι οὐ πολλῷ ὕστερον ἐσβαλόντες ἐς γῆν τὴν Ῥωμαίων, ἐπεὶ τὸν Περσῶν στρατὸν ἐνταῦθα οὐχ εὗρον, δι' ὀλίγου τὴν ἐπιδρομὴν ποιησάμενοι ἐπ' οἴκου ἀπεκομίσθησαν ἅπαντες.

κβ'. Αὐτίκα δὲ καὶ Ῥουφῖνός τε καὶ Ἀλέξανδρος καὶ Θω- C μᾶς, οἱ ξὺν Ἑρμογένει πρεσβεύσοντες, ἦλθον, παρά τε Περσῶν τὸν βασιλέα πάντες ἀφίκοντο ἐς ποταμὸν Τίγριν. καὶ αὐτοὺς μὲν Χοσρόης ἐπειδὴ εἶδε, τοὺς ὁμήρους ἀφῆκε. τιθασεύοντες δὲ Χοσρόην οἱ πρέσβεις ἐπαγωγά τε πολλὰ ἔλεξαν καὶ Ῥωμαίων ὡς ἥκιστα πρέσβεσι πρέποντα. οἷς δὴ χειροήθης ὁ Χοσρόης γενόμενος τὴν μὲν εἰρήνην πέρας οὐκ ἔχουσαν δέκα καὶ ἑκατὸν κεντηναρίων ὡμολόγει πρὸς αὐτοὺς θήσεσθαι, ἐφ' ᾧ δὴ ὁ τῶν ἐν Μεσοποταμίᾳ στρατιωτῶν ἄρχων μηκέτι ἐν Δάρας τὸ λοιπὸν εἴη, D ἀλλ' ἐν Κωνσταντίνῃ τὸν ἅπαντα χρόνον διαγένοιτο, ἧπερ καὶ τὸ

15. οἱ ξὺν] ὡς ξὺν H. 17. τιθασεύοντες] Vulgo τιθασσεύοντες.

um brevi, obsides dare viros primarios parati sumus. Vix ea Legati Romani dixerant, cum ex aula missus ad Persas nuntius attulit Cabadem vita functum, Regem constitutum eius filium Chosroem, eoque fieri ut res in Perside obscura expectatione penderent. His accedente adventus Hunnorum metu, oblatam a Romanis conditionem lubentissime Persarum Duces amplexi sunt. Romani nulla interposita mora obsides Martinum et Senecium Sittae stipatorem dedere. Mox Persae soluta obsidione in patriam remigrarunt. Aliquanto post Romanum agrum ingressi Hunni, cum in eo Persarum exercitum minime reperissent, brevi facta excursione, domum repetierunt.

22. Protinus adfuere, qui legationem cum Hermogene erant obituri, Rufinus, Alexander et Thomas, unaque omnes Regem Persarum adierunt ad fluvium Tigrin. Eos ut vidit Chosroes, statim obsides dimisit. Illum vero iidem palpantes, multis blanditiis usi sunt, quae Legatos Romanos minime decebant. Hac arte cicuratus et delinitus Chosroes, pacem perpetuam spopondit hisce conditionibus, ut sibi centenaria cx. numerarentur: nec Dara sedes esset in posterum Ducis Mesopotamiae, at pro more

παλαιὸν εἴθιστο· φρούρια δὲ τὰ ἐν Λαζικῇ οὐκ ἔφη ἀποδώσειν, καίπερ αὐτὸς τό τε Φαράγγιον καὶ Βῶλον τὸ φρούριον δικαιῶν πρὸς Ῥωμαίων ἀπολαβεῖν. ἕλκει δὲ λίτρας τὸ κεντηνάριον ἑκατόν, ἀφ' οὗ δὴ καὶ ὠνόμασται. κέντον γὰρ τὰ ἑκατὸν καλοῦσι Ῥωμαῖοι. τοῦτο δέ οἱ δίδοσθαι τὸ χρυσίον ἠξίου, ὡς μήτε πόλιν Δάρας Ῥωμαῖοι καθελεῖν ἀναγκάζωνται μήτε φυλακτηρίου
P 65 τοῦ ἐν πύλαις Κασπίαις μεταλαχεῖν Πέρσαις. οἱ μέντοι πρέσβεις τὰ μὲν ἄλλα ἐπῄνουν, τὰ δὲ φρούρια ἐκδιδόναι οὐκ ἔφασκον οἷοί τε εἶναι, ἢν μὴ βασιλέως ἀμφ' αὐτοῖς πύθωνται πρότερον. ἔδοξε τοίνυν Ῥουφῖνον μὲν ὑπὲρ τούτων ἐς Βυζάντιον στέλλεσθαι, τοὺς δὲ ἄλλους, ἕως αὐτὸς ἐπανίῃ, μένειν. καὶ χρόνος ἡμερῶν ἑβδομήκοντα Ῥουφίνῳ ξυνέκειτο ἐς τὴν ἄφιξιν. ἐπεὶ δὲ ὁ Ῥουφῖνος ἐς Βυζάντιον ἀφικόμενος βασιλεῖ ἀπήγγελλεν, ὅσα Χοσρόῃ ἀμφὶ τῇ εἰρήνῃ δοκοῦντα εἴη, ἐκέλευε βασιλεὺς κατὰ ταῦτα σφίσι τὴν εἰρήνην ξυνίστασθαι.

B Ἀλλ' ἐν τούτῳ φήμη τις οὐκ ἀληθὴς ἥκουσα εἰς τὰ Περσῶν ἤθη, βασιλέα Ἰουστινιανὸν ἤγγελλεν ὀργισθέντα Ῥουφῖνον κτεῖναι. οἷς δὴ Χοσρόης ξυνταραχθείς τε καὶ θυμῷ πολλῷ ἤδη ἐχόμενος τῷ παντὶ στρατῷ ἐπὶ Ῥωμαίους ᾔει. Ῥουφῖνος δέ οἱ μεταξὺ ἐπανήκων ἐνέτυχε πόλεως Νισίβιδος οὐ μακρὰν ἄποθεν. διὸ δὴ αὐτοί τε ἐν τῇ πόλει ταύτῃ ἐγένοντο καί, ἐπεὶ τὴν εἰρήνην βεβαιοῦν ἔμελλον, τὰ χρήματα οἱ πρέσβεις ἐνταῦθα ἐκόμιζον.

2. τό τε L. τότε P. 13. ἀπήγγελλεν] Vulgo ἀπήγγειλεν. 17. ἤγγελλεν L. ἤγγελεν P.

veteri Constantina: Lazicae castella negavit se redditurum; quamvis aequum esse diceret se a Romanis Pharangium et Bolum castellum recipere. Porro centenarium pendet centum pondo: unde et nomen traxit: *centum* enim vocabulum Romanum est, quod sonat numerum centenarium. Summam hanc auri petebat ille, si quidem Romani nollent nec Daram demoliri, nec praesidium coniuncte cum Persis ad Portas Caspias agitare. Omnia probarunt rataque habuerunt Legati praeterquam unum: quod nempe ad Lazicae castella attineret, negarunt ea se remittere prius posse, quam super his Augusti mentem accepissent. Ad id placuit Rufinum mitti Byzantium, eiusque reditum collegas opperiri, praestituto dierum LXX. spatio ad iter peragendum. Posteaquam Byzantium Rufinus pervenit, conditiones, quibus Chosroes finem bello imponere volebat, proposuit Imperatori: qui tum illis assensus, pacem componi iussit.

Interim falsus venit rumor in Persidem Rufinum fuisse morte affectum ab irato Iustiniano. Inde turbatus iraque incensus Chosroes iam in Romanos exercitum universum ducebat, cum prope Nisibin occurrit ipsi Rufinus rediens. Pertraxit eos opportunitas loci, et quoniam sancienda pax erat, Legati in eam urbem pactum aurum deportaverunt. Interve-

ἀλλ' Ἰουστινιανῷ τὰ Λαζικῆς φρούρια ξυγκεχωρηκότι μετέμελεν H 37
ἤδη, γράμματά τε ἄντικρυς ἀπολέγοντα τοῖς πρέσβεσιν ἔγραφε, μηδαμῶς αὐτὰ προΐεσθαι Πέρσαις. διὸ δὴ Χοσρόης τὰς σπονδὰς θέσθαι οὐκ ἔτι ἠξίου, καὶ τότε Ῥουφίνῳ ἔννοιά τις ἐγένετο C
ὡς ταχύτερα ἢ ἀσφαλέστερα βουλευσάμενος ἐς γῆν τὴν Περσῶν τὰ χρήματα ἐκκομίσειεν. αὐτίκα γοῦν ἐς τὸ ἔδαφος καθῆκε τὸ σῶμα, κείμενός τε πρηνὴς Χοσρόην ἱκέτευε τά τε χρήματα σφίσι ξυμπέμψαι καὶ μὴ ἐπὶ Ῥωμαίους εὐθὺς στρατεύειν, ἀλλὰ ἐς χρόνον τινὰ ἕτερον τὸν πόλεμον ἀποτίθεσθαι. Χοσρόης δὲ αὐτὸν ἐνθένδε ἐκέλευεν ἐξανίστασθαι, ἅπαντά οἱ ταῦτα χαριεῖσθαι ὑποσχόμενος. οἵ τε γοῦν πρέσβεις σὺν τοῖς χρήμασιν ἐς Δάρας ἦλθον καὶ ὁ Περσῶν στρατὸς ὀπίσω ἀπήλαυνε.

Καὶ τότε μὲν Ῥουφῖνον οἱ ξυμπρεσβευταὶ δι' ὑποψίας τε αὐτοὶ ἐς τὰ μάλιστα ἔσχον καὶ ἐς βασιλέα διέβαλλον, τεκμαιρό- D
μενοι, ὅτι δή οἱ ἅπαντα ὁ Χοσρόης ὅσα ἔχρῃζεν αὐτοῦ ἀναπεισθεὶς ξυνεχώρησεν. ἔδρασε μέντοι αὐτὸν διὰ ταῦτα βασιλεὺς οὐ-ἐν ἄχαρι. χρόνῳ δὲ οὐ πολλῷ ὕστερον Ῥουφῖνός τε αὐτὸς καὶ
-ρμογένης αὖθις παρὰ Χοσρόην ἐστέλλοντο, ἔς τε τὰς σπονδὰς V 267
-ντίκα ἀλλήλοις ξυνέβησαν, ἐφ' ᾧ ἑκάτεροι ἀποδώσουσιν ὅσα δὴ -μφότεροι χωρία ἐν τῷδε τῷ πολέμῳ ἀλλήλους ἀφείλοντο, καὶ -ηκέτι στρατιωτῶν τις ἀρχὴ ἐν Δάρας εἴη· τοῖς τε Ἴβηρσιν ἐδέ-οκτο ἐν γνώμῃ εἶναι ἢ μένειν αὐτοῦ ἐν Βυζαντίῳ, ἢ ἐς σφῶν τὴν

2. γράμματα — Πέρσαις] Suidas s. v. ἀπολεγόμενος. 5. ἀσφαλέστερα] „ἀσφαλέστερον Reg.“ Malt. 10. ἐκέλευεν L. ἐκέλευσεν P. 21. τοῖς τε Ἴβηρσιν — ἤδη om. RV. ibid. ἐδέδοκτο] ἐδέδοτο Pm.

-iunt tali rerum articulo literae Iustiniani, suo in Lazicae castella iure -ecessisse iam poenitentis, et oratoribus diserte mandantis ne Persis ea -oncederent: id vero Chosroem a studio pacis avertit. Hic Rufino ve-ri in mentem venit, ne praecipiti magis quam salubri consilio pecu-iam secum in Persidem detulissent. Quare illico se humi provolvit, ac -ronus Chosroi supplicat ut sinat reportari pecuniam, neque in praesenti -rmis petat Romanos, sed in aliud tempus bellum reiiciat. Erigit iacen-em Chosroes, ei plane se gratificaturum promittens. Et vero cum pe-unia legati Daram venerunt, et Persarum exercitus viam convertit.

Tunc Rufinum collegae maxime suspectum habuerunt, atque adeo -riminati sunt apud Imperatorem, hac nixi coniectura, quod ab eo Chos-roes sivisset se exorari, neque ipsi quidquam abnuisset. Verum adeo -non illum acerbe habuit Imperator, ut ipsum paulo post cum Hermogene ad Chosroem iterum delegaverit. Primo congressu pax inter illos conditionibus his convenit, ut quae loca hoc bello alter alteri eripuisset, utrinque bona fide omnia restituerentur: ne in posterum Dara sedes esset Ducis. Iberibus permitteretur optio, utrum mallent remanere Byzantii, an

πατρίδα ἐπανιέναι. ἦσαν δὲ πολλοὶ καὶ οἱ μένοντες καὶ ἐπανιόντες ἐς τὰ πάτρια ἤδη. οὕτω τοίνυν τήν τε ἀπέραντον καλουμένην εἰρήνην ἐσπείσαντο, ἕκτον ἤδη ἔτος τὴν βασιλείαν Ἰουστινιανοῦ ἔχοντος. καὶ Ῥωμαῖοι μὲν τό τε Φαράγγιον καὶ Βῶλον τὸ
P 66 φρούριον σὺν τοῖς χρήμασι Πέρσαις ἔδοσαν, Πέρσαι δὲ Ῥωμαίοις τὰ Λαζικῆς φρούρια. καὶ Δάγαριν δὲ Ῥωμαίοις ἀπέδοσαν Πέρσαι, ἀντ' αὐτοῦ ἕτερον κεκομισμένοι ἄνδρα οὐκ ἀφανῆ. οὗτος ὁ Δάγαρις χρόνῳ τῷ ὑστέρῳ πολλάκις Οὔννους ἐς γῆν τὴν Ῥωμαίων ἐσβεβληκότας μάχαις νικήσας ἐξήλασεν. ἦν γὰρ διαφερόντως ἀγαθὸς τὰ πολέμια. τὰς μὲν οὖν πρὸς ἀλλήλους σπονδὰς τρόπῳ τῷ εἰρημένῳ ἀμφότεροι ἐκρατύναντο.

B κγ'. Εὐθὺς δὲ βασιλεῖ ἑκατέρῳ ἐπιβουλὴν γενέσθαι ξυνηνέχθη πρὸς τῶν ὑπηκόων· ὅντινα μέντοι τρόπον, αὐτίκα δηλώσω. Χοσρόης ὁ Καβάδου ἄτακτός τε ἦν τὴν διάνοιαν καὶ νεωτέρων πραγμάτων ἄτοπος ἐραστής. διὸ δὴ αὐτός τε ἀεὶ ἔμπλεως ταραχῆς τε καὶ θορύβων ἐγίνετο καὶ τῶν ὁμοίων τοῖς ἄλλοις ἅπασιν αἰτιώτατος. ἀχθόμενοι οὖν αὐτοῦ τῇ ἀρχῇ ὅσοι ἐν Πέρσαις δραστήριοι ἦσαν, ἕτερον σφίσι βασιλέα καταστήσεσθαι ἐκ τῆς τοῦ
C Καβάδου οἰκίας ἐν βουλῇ εἶχον. καὶ ἦν γὰρ αὐτοῖς πολύς τις πόθος τῆς Ζάμου ἀρχῆς, ἣν δὴ ὁ νόμος, αἰτία τῆς τοῦ ὀφθαλμοῦ λώβης, ὥσπερ μοι ἐρρήθη, ἐκώλυε. λογισάμενοι ηὕρισκον σφίσιν αὐτοῖς ἄμεινον εἶναι Καβάδην μὲν τὸν αὐτοῦ παῖδα καὶ τῷ

3. ἕκτον — ἔχοντος] *anno imperii Iustiniani septimo* RV. 4. τό τε] τότε P. 11. ἐκρατύναντο A. ἐκρατύνοντο P.

repetere patriam. Caeterum mansere horum multi; multi item sedes patrias reviserunt. Ita confecta pax est perpetua, annum principatus agente sextum Iustiniano. Tunc Romani Persis Pharangium castellumque Bolum cum pecunia, Persae Romanis Lazicae castella tradiderunt, et Dagaria quodam alio haud obscuro viro commutarunt. Hic ille est Dagaris, qui multis postea praeliis Hunnos fudit, et ex imperio Romano, in quod se effuderant, exterminavit: vir enim fuit bello egregius.

23. Vix inter Augustum et Regem Persarum pax coaluerat, cum uterque insidiis subditorum appetitus fuit: quo res pacto contigerit iamiam narrabo. Chosroes Cabadis filius inquieto erat ingenio, et rerum novarum cupido ad insaniam. Inde fiebat ut nunquam vacuus esset mentis tumultibus, nec se ipse solum, sed omnes etiam turbaret. Quamobrem strenuissimi quique Persarum graviter ferentes dominatum eius, de alio sibi Rege e domo Cabadis constituendo habere inter se consilium coeperunt. Id unice optabant ut Zames regno potiretur, a quo tamen ob oculi vitium, quemadmodum supra commemoravi, lex ipsum excludebat. Tandem re ponderata, in hanc, quae potior visa est, sententiam iverunt, oportere Regem creari Cabadem eius filium et avo cognominem;

πάππῳ ὁμώνυμον ἐς τὴν ἀρχὴν καταστήσεσθαι, Ζάμην δὲ, ἅτε τῷ παιδὶ ἐπίτροπον ὄντα, διοικεῖσθαι ὅπη βούλοιτο τὰ Περσῶν πράγματα. γενόμενοί τε παρὰ τὸν Ζάμην τό τε βούλευμα ἐξήνεγκαν καὶ προθυμίᾳ πολλῇ ἐγκελευόμενοι ἐς τὴν πρᾶξιν ἐνῆγον. καὶ ἐπεὶ τὸν ἄνδρα ἡ βουλὴ ἤρεσκεν, ἐς καιρὸν τῷ Χοσρόῃ ἐπιθήσεσθαι διενοοῦντο. D ἔκπυστος δὲ ἡ βουλὴ μέχρι ἐς τὸν βασιλέα γεγενημένη τὰ πρασσόμενα διεκώλυσε. Ζάμην τε γὰρ αὐτὸν ὁ Χοσρόης καὶ τοὺς αὐτοῦ τε καὶ Ζάμου ἀδελφοὺς ἅπαντας ξὺν γόνῳ παντὶ ἄρσενι ἔκτεινε, καὶ Περσῶν τοὺς δοκίμους ὅσους ἐπ' αὐτῷ βεβουλευμένους ἢ ἄρξαι ἢ μεταλαχεῖν τρόπῳ δὴ ὅτῳ τετύχηκεν. ἐν τοῖς καὶ Ἀσπεβέδης ἦν ὁ τῆς Χοσρόου μητρὸς ἀδελφός.

Καβάδην μέντοι τὸν Ζάμου υἱὸν αὐτὸς μὲν κτείνειν οὐδαμῇ P 67 εἶχεν. ἔτι γὰρ ὑπὸ Χαναράγγῃ τῷ Ἀδεργουδουνβάδῃ ἐτρέφετο. αὐτῷ δὲ Χαναράγγῃ τὸν παῖδα τοῦτον, ὅνπερ ἐθρέψατο, ἐπέστελλε διαχρήσασθαι. οὔτε γὰρ τῷ ἀνδρὶ ἀπιστεῖν ἐδικαίου οὔτε ἄλλως αὐτὸν βιάζεσθαι εἶχεν. ὁ μὲν οὖν Χαναράγγης, ἐπεὶ τὰς Χοσρόου ἐντολὰς ἤκουσε, περιαλγήσας τε καὶ ἀποκλαύσας τὴν συμφορὰν ἐκοινολογεῖτο τῇ γυναικὶ καὶ Καβάδου τίτθῃ ὅσα οἱ ὁ βασιλεὺς ἐπιστείλειε. δακρύσασα δὲ ἡ γυνὴ καὶ τῶν γονάτων τοῦ ἀνδρὸς λαβομένη ἔχρῃζε τέχνῃ μηδεμιᾷ Καβάδην κτεῖναι.

9. περσῶν τοὺς δοκίμους A. Περσῶν δοκίμων P. ibid. ὅσους] Legebatur ὅσους τοὺς. 10. ὅτῳ] „Ita correxi, cum scriptum viderem οὕτω." Malt. Ad ὅτῳ nihil diversitatis annotatum ex AL. 11. Ἀσπεβέδης] Scribebatur Ἀπεβέδης. Aspebedes RV. Conf. ad p. 51, 1. ibid. Ἀδεργουδουνβάδῃ] ἀδεργουμάνδῃ H, sed illud Hm. Adeogundubadi RV. Conf. p. 33, 1. 12.

Zami autem mandari filii curationem, ut eo nomine rem ipse Persicam ad arbitrium moderaretur. Tum ad Zamem adeunt, consilium susceptum explicant, omni instant ope ac stimulos subdunt. Concessit ille in eorum sententiam, nihil ut iam nisi idoneum invadendo Chosroi tempus aucuparentur. Sed patefacta Chosroi conspiratio ad nihilum recidit. Enimvero Zamem Chosroes et suos ipsiusque fratres cum omni prole mascula interfecit: una etiam sustulit nobiles Persas, quotquot comperit vel authores vel quomodocunque participes extitisse coniurationis: atque in his fuit avunculus Chosrois Apebedes.

Unus restabat Zamis filius Cabades, quem Chosroes e medio tollere per se ipse non poterat, cum adhuc infans sub manu Adergudunbadis Chanarangis educaretur. Et quoniam tali viro nec diffidendum putabat Chosroes, nec, quod caput erat, valebat afferre vim; satis habuit demandare alumni caedem. Hoc ubi iussum accepit Chanaranges, rem impertiit uxori suae ac nutrici Cabadis, dolens ac deplorans ipsius vicem. Hic uxor quoque effundere lacrymas, amplexari mariti genua, et enixe ab eo vitam Cabadis deprecari. Ergo inita deliberatione constituerunt

H 38 βουλευσάμενοι οὖν ἐν σφίσιν αὐτοῖς ἐλογίσαντο κρυπτόμενον μὲν
B ὡς ἀσφαλέστατα τὸν παῖδα ἐκτρέφειν, τῷ δὲ Χοσρόῃ κατὰ τάχος σημῆναι ὥς οἱ ὁ Καβάδης ἐξ ἀνθρώπων ἀφανισθείη. καὶ τῷ
V 268 τε βασιλεῖ κατὰ ταῦτα ἐσήμαινον τόν τε Καβάδην οὕτως ἀπέκρυψαν, ὥστε τούτου γε παρείχοντο οὐδενὶ αἴσθησιν, ὅτι μὴ Οὐαρράμῃ τε τῷ σφετέρῳ παιδὶ καὶ τῶν οἰκετῶν ἑνί, ὃς δὴ αὐτοῖς πιστότατος ἐς τὰ μάλιστα ἔδοξεν εἶναι. ἐπεὶ δὲ προϊόντος τοῦ χρόνου ἐς ἡλικίαν ὁ Καβάδης ἦλθε, δείσας ὁ Χαναράγγης μὴ τὰ πεπραγμένα εἰς φῶς ἄγοιτο, χρήματά τε τῷ Καβάδῃ ἐδίδου καὶ αὐτὸν ἀπαλλαγέντα ἐκέλευε διασώζεσθαι ὅπῃ οἱ φεύγοντι δυνατὰ εἴη. τότε μὲν οὖν Χοσρόην τε καὶ τοὺς ἄλλους ἅπαντας ταῦτα
C διαπεπραγμένος ὁ Χαναράγγης ἐλάνθανε.

Χρόνῳ δὲ ὕστερον ὁ μὲν Χοσρόης ἐς γῆν τὴν Κολχίδα στρατῷ μεγάλῳ ἐσέβαλλεν, ὥς μοι ἐν τοῖς ὄπισθεν λόγοις γεγράψεται. εἵπετο δὲ αὐτῷ ὁ τούτου δὴ τοῦ Χαναράγγου υἱὸς Οὐαρράμης, ἄλλους τε τῶν οἰκετῶν ἐπαγόμενος καὶ ὃς αὐτῷ τὰ ἐς τὸν Καβάδην ξυνεπιστάμενος ἔτυχεν· ἐνταῦθα δὲ τῷ βασιλεῖ Οὐαρράμης τὰ ἀμφὶ τῷ Καβάδῃ ἅπαντα ἔφραζε, καὶ τὸν οἰκέτην ἐφ' ἅπασίν οἱ ὁμολογοῦντα παρείχετο. ταῦτα ἐπεὶ ὁ Χοσρόης ἔγνω, τῷ τε θυμῷ ἤδη ὑπερφυῶς εἴχετο καὶ δεινὰ ἐποιεῖτο εἰ πρὸς δούλου ἀνδρὸς τοιαῦτα ἔργα πεπονθὼς εἴη, οὐκ ἔχων τε ὅπως οἱ
D ὑποχείριον τὸν ἄνδρα ποιοίη, ἐπενόει τάδε. ἡνίκα ἐκ γῆς τῆς Κολχίδος ἐπ' οἴκου ἀναχωρεῖν ἔμελλε, γράφει τῷ Χαναράγγῃ

4. οὕτως] οὕτω P. 12. Χαναράγγης] χαρανάγγης H: illud Hm. Et sic infra aliquoties. 14. ὄπισθεν] ὄπισθε L. 22. γῆς τῆς] τῆς om. L.

in latebris tutissimis puerulum alere et significare quamprimum Chosroi Cabadem; prout iusserat, interemptum. His Regi pro certo traditis, ita Cabadem abdiderunt, ut praeter Varrhamem ipsorum filium, unumque e famulis, quem multo fidissimum iudicabant, neminem conscium latebrarum habuerint. Progrediente aetate cum adolevisset Cabades, veritus Chanaranges ne res proferretur in lucem, eum instruxit pecunia, ac dimisit, iubens fuga evadere quocumque posset. Eo perduxerat consilium Chanaranges; nihil dum tamen Chosroi, nihil cuiquam alii suboluerat.

Post tandem Chosroes cum magno exercitu in Colchidem irrupit: quam ego expeditionem proximo libro complectar, eumque secutus est Chanarangis filius Varrhames, illum habens in famulorum grege, qui conscius erat collatae in Cabadem benignitatis. Hoc loco Varrhames Regi fortunam omnem Cabadis narrat, sibique consentientem producit famulum. Quibus Chosroes auditis incredibiliter exarsit, ita habitum se a subdito fremens ferensque indignissime. Cum autem illum vi deducere in manus suas nequiret, hanc artem commentus est. Sub reditum e Colchide Chanarangi scribit constitutum sibi esse Romanum imperium ag-

τούτῳ ὅτι δὴ αὐτῷ βεβουλευμένα εἴη παντὶ τῷ στρατῷ ἐς γῆν τὴν Ῥωμαίων ἐμβαλεῖν, οὐκ ἐν μιᾷ μέντοι τῆς χώρας εἰσόδῳ, ἀλλὰ δίχα ποιησαμένῳ τὸ Περσῶν στράτευμα, ὅπως οἱ ἐντός τε καὶ ἐκτὸς ποταμοῦ Εὐφράτου ἐπὶ τοὺς πολεμίους ἡ ἐσβολὴ ἔσται. μιᾷ μὲν οὖν τῆς στρατιᾶς μοίρᾳ ἐς τὴν πολεμίαν αὐτὸν, ὡς τὸ εἰκὸς, ἐξηγήσεσθαι, ἑτέρῳ δὲ οὐδενὶ ἐνδιδόναι τῶν αὐτοῦ δούλων ἴσα τῷ βασιλεῖ ἐν ταύτῃ δὴ τῇ τιμῇ ἔχειν, ὅτι μὴ αὐτῷ Χαναράγγῃ τῆς ἀρετῆς ἕνεκα. δεῖν τοίνυν αὐτὸν μὲν ἐν τῇ ἀποπορείᾳ κατὰ τάχος οἱ ἐς ὄψιν ἐλθεῖν, ὅπως αὐτῷ κοινολογησάμενος ἅπαντα ἐπιστέλλοι ὅσα ξυνοίσειν τῇ στρατιᾷ μέλλοι, τοὺς δὲ ξὺν P 68
αὐτῷ ὄπισθε κελεύειν ὁδῷ ἰέναι. ταῦτα ἐπεὶ ὁ Χαναράγγης ἀπενεχθέντα εἶδε, περιχαρὴς γεγονὼς τῇ εἰς αὐτὸν τοῦ βασιλέως τιμῇ, μακράν τε ἀπολελειμμένος τῶν οἰκείων κακῶν, αὐτίκα τὰ ἐντεταλμένα ἐπιτελῆ ἐποίει. ἐν δὲ τῇ ὁδῷ ταύτῃ ἀντέχειν τῷ πόνῳ οὐδαμῇ ἔχων (ἦν γάρ τις γέρων ὁ ἀνὴρ μάλιστα) τόν τε χαλινὸν μεθεὶς τοῦ ἵππου ἐκπίπτει καί οἱ τὸ ἐν τῷ σκέλει ὀστέον ἐρράγη· διὸ δὴ αὐτῷ ἐπάναγκες ἦν ἐνταῦθα θεραπευομένῳ ἡσυχῇ μένειν, ἔς τε τὸ χωρίον τοῦτο τῷ βασιλεῖ ἥκοντι ἐς ὄψιν ἦλθε. καὶ αὐτῷ Χοσρόης ἔφασκε ξυστρατεύειν σφίσιν οὕτως ἔχοντι τοῦ ποδὸς ἀδύνατα εἶναι, ἀλλὰ χρῆναι αὐτὸν ἔς τι τῶν ἐκείνῃ φρου- B
ρίων ἰόντα τῆς πρὸς τῶν ἰατρῶν ἐπιμελείας ἐνταῦθα τυχεῖν. οὕτω μὲν ὁ Χοσρόης τὴν ἐπὶ τῷ θανάτῳ τὸν ἄνθρωπον ἀπεπέμ-

2. τὴν] τῶν P. 5. αὐτὸν] αὐτῶν H. 7. Χαναράγγῃ] χαρανάγκῃ A. 8. ἀποπορείᾳ] ἄπο πορείᾳ A. ἀπορείᾳ H. πορείᾳ Hm. ἀπορίᾳ P. „Legendum forte ἀποπορείᾳ. Reg. habet πορείᾳ.“ Malt. *in tanta necessitate* RV. 9. οἱ add. A. 11. κελεύειν L. κελεύει P. 21. ἐνταῦθα] ἐνταῦτα L.

gredi viribus omnibus, non una via, sed divisis bifariam copiis, ut in hostem irruptio fieret qua trans qua cis Euphratem: ac partem quidem alteram educturum se pro dignitate sua; alium vero e subditis neminem unum, praeter ipsum esse, quem possit virtutis ergo in aequam secum honoris partem vocare, atque ita facere Regi parem: maturet igitur sibi obviam venire, volenti coram cum ipso agere, deque eius consilio praescribere omnia quae e re fuerint militari. Tum quosdam, qui illum in via subsequerentur misit. Lectis Chanaranges literis, exequi mandata properat, incedens omnibus laetitiis ob delatum a Rege honorem, et cogitatione longe abstractus ab imminente exitio. At viae labori impar, exactae iam atque effoetae aetatis vir, dum remissius habenas regit, ex equo decidit. Casu cruris osse confracto, ibi quiescere, ut curationem admitteret, necesse habuit. Quo Rex cum pervenisset, eum invisit, ac negavit fieri posse, ut ita affecto pede proficisceretur secum ad bellum; sed consentaneum esse deferri ipsum in vicinum castellum aliquod, ubi a medicis commodius curaretur. Sic illum Chosroes leti viam ingredi

ψατο, καὶ ξὺν αὐτῷ ὄπισθεν εἵποντο οἵπερ αὐτὸν ἐν τῷ φρου-
ρίῳ ἀπολεῖν ἔμελλον, ἄνδρα ἐν Πέρσαις ἀήττητον στρατηγὸν ὄντα
τε καὶ λεγόμενον, ὅσπερ ἐπὶ δώδεκα ἔθνη βαρβάρων στρατεύσας
ἅπαντα Καβάδῃ βασιλεῖ παρεστήσατο. τοῦ δὲ Ἀδεργουδουνβά-
δου ἐξ ἀνθρώπων ἀφανισθέντος, Οὐαρράμης ὁ παῖς τὸ τοῦ Χα-
ναράγγου ἀξίωμα ἔσχε. χρόνῳ δὲ οὐ πολλῷ ὕστερον εἴτε Καβά-
C δης αὐτὸς ὁ τοῦ Ζάμου υἱὸς εἴτε τις ἄλλος ἐπιβατεύων τοῦ Κα-
βάδου ὀνόματος ἐς Βυζάντιον ἦλθε· Καβάδης μέντοι βασιλεῖ
τὴν ὄψιν ἐμφερέστατος ἦν. καὶ αὐτὸν Ἰουστινιανὸς βασιλεὺς ἀμ-
φιγνοῶν μέν, ἅτε δὴ Καβάδου βασιλέως υἱωνόν, ξὺν φιλοφρο-
σύνῃ πολλῇ ἐν τιμῇ ἔσχε. τὰ μὲν οὖν ἀμφὶ Πέρσας τοὺς Χοσ-
ρόῃ ἐπαναστάντας ἐγένετο ὧδε.

Ὕστερον δὲ καὶ τὸν Μεβόδην ὁ Χοσρόης διεχρήσατο ἐξ αἰ-
τίας τοιᾶσδε. τῶν τι σπουδαίων διαχειρίζων παρόντι τῷ Ζαβερ-
γάνῃ ἐπέταττε τὸν Μεβόδην καλεῖν· ἐτύγχανε δὲ τῷ Μεβόδῃ ὁ
Ζαβεργάνης διάφορος ὤν· ὃς δὴ παρ' αὐτὸν ἀφικόμενος εὕρι-
σκε μὲν στρατιώτας τοὺς αὐτῷ ἑπομένους διέποντα, ἔλεγε δὲ ὅτι
D δὴ αὐτὸν ὡς τάχιστα ὁ βασιλεὺς καλοίη. καὶ ὁ μὲν αὐτίκα μάλα,
V 269 ἐπειδὰν τὰ ἐν ποσὶ διάθηται, ἕψεσθαι ὡμολόγει, ὁ δὲ τῷ ἐς
H 39 αὐτὸν ἔχθει ἠγμένος ἀπήγγειλε Χοσρόῃ ὡς οὐ βούλοιτο Μεβόδης
ἐν τῷ παρόντι ἥκειν, φάσκων οἵ τινα ἀσχολίαν εἶναι. θυμῷ τοί-
νυν ὁ Χοσρόης ἐχόμενος, στείλας τῶν οἱ ἑπομένων τινά, παρὰ

2. ἀπολεῖν] ἀπολλύναι Hm. 3. στρατεύσας] στρατευσάμενος L a m. sec. 4. Ἀδεργουδουνβάδου] Scribebatur Ἀδεργουνδουνβάδου. 20. ἀπήγγειλε] ἀπήγγελλε HL.

iussit, iis comitatum, a quibus in castello necandus erat: vir inter Persas talis reipsa, qualem communis omnium vox ferebat; Dux nempe invictus, qui susceptis expeditionibus in Barbaras nationes duodecim, omnes in Regis Cabadis ditionem subiunxerat. Extincto Adergudunbade, eius filius Varrhames dignitatem obtinuit Chanarangis. Quidam haud multo post venit Byzantium Cabades, sive is fuerit Zamis filius, sive quis alius qui sibi arrogasset Cabadis nomen: Regem certe Cabadem omnino vultu referebat. Quem Iustinianus, ut eius nepotem, subdubitans licet, perhonorifice excepit habuitque liberalissime. Hos demum habuere exitus Persae, qui Chosroem oppugnaverant.

Mebodem quoque postea idem morte multavit, istam ob causam. Cum rem aliquando Chosroes gravissimam tractaret, astanti forte Zabergani Mebodem ut accerseret imperavit. Animo erat alieno a Mebode Zaberganes, qui ubi illum adiit, milites suos componentem offendit: nihilominus aperit mandatum Regis, iubentis sine mora adesse. Statim is venturum se recepit, ubi praesens negotium expediisset. Reversus Zaberganes, dictante odio, renuntiat Chosroi Mebodem negotium causantem aliquod in praesenti venire nolle. Iratus Chosroes Mebodi per quemdam

τὸν τρίποδα τὸν Μεβόδην ἐκέλευεν ἰέναι. ὅ τι δὲ τοῦτό ἐστιν, αὐτίκα δηλώσω. τρίπους σιδηροῦς πρὸ τῶν βασιλείων ἀεὶ ἕστηκεν. ἐπειδὰν οὖν τις τῶν Περσῶν πύθηται ὅτι δὴ αὐτῷ ὁ βασιλεὺς χαλεπῶς ἔχοι, τούτῳ δὲ οὔτε πη ἐς ἱερὸν καταφυγεῖν θέμις οὔτε ἀλλαχόσε ἰέναι, ἀλλὰ παρὰ τοῦτον καθημένῳ τὸν τρίποδα τὴν βασιλέως προσδέχεσθαι ψῆφον, τῶν πάντων οὐδενὸς φυλάσσειν αὐτὸν ἀξιοῦντος. ἐνταῦθα ὁ Μεβόδης ἐν σχήματι οἰκτρῷ ἐκάθητο ἡμέρας πολλάς, ἕως τις αὐτὸν Χοσρόου ἐπαγγείλαντος P 69 λαβὼν ἔκτεινεν. ἐς τοῦτό τε αὐτῷ τὰ τῆς ἐς Χοσρόην εὐεργεσίας ἐχώρησεν.

κδ'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἐν Βυζαντίῳ στάσις τῷ B δήμῳ ἐκ τοῦ ἀπροσδοκήτου ἐνέπεσεν, ἣ μεγίστη τε παρὰ δόξαν ἐγένετο καὶ ἐς κακὸν μέγα τῷ τε δήμῳ καὶ τῇ βουλῇ ἐτελεύτησε τρόπῳ τοιῷδε. οἱ δῆμοι ἐν πόλει ἑκάστῃ ἔς τε Βενέτους ἐκ παλαιοῦ καὶ Πρασίνους διῄρηντο, οὐ πολὺς δὲ χρόνος ἐξ οὗ τούτων τε τῶν ὀνομάτων καὶ τῶν βάθρων ἕνεκα, οἷς δὴ θεώμενοι ἐφεστήκασι, τά τε χρήματα δαπανῶσι καὶ τὰ σώματα αἰκισμοῖς πικροτάτοις προΐενται καὶ θνήσκειν οὐκ ἀπαξιοῦσι θανάτῳ αἰσχίστῳ· μάχονται δὲ πρὸς τοὺς ἀντικαθισταμένους, οὔτε εἰδότες C ὅτου αὐτοῖς ἕνεκα ὁ κίνδυνός ἐστιν, ἐξεπιστάμενοί τε ὡς, ἢν καὶ περιέσονται τῶν δυσμενῶν τῇ μάχῃ, λελείψεται αὐτοῖς ἀπαχθῆ-

4. χαλεπῶς L. χαλεπὸς P. 16. βάθρων A. Legebatur βαφῶν, quod A a corr. habet. ibid. θεώμενοι] θεάμασιν Pm. 21. περιέσονται] περιέσωνται L.

suis asseclis imperat ut eat ad tripodem. Quid hoc rei sit, paucis explico. Stat semper pro Regia tripus ferreus. Ubi quis Persarum sibi Regem offensum esse accepit, illi non in templum ullum, non alio quoquam licet perfugere; sed pro tripode sedens expectare debet sententiam Regis, neque hunc audet quisquam tueri. Hic Mebodes miserabili habitu dies multos resedit, donec iussu Chosrois a quodam comprehensus et confossus occubuit. Hoc denique praemium infelix tulit suorum in Chosroem meritorum.

24. Sub idem fere tempus plebem Byzantinam incessit seditio repens, quae maiorem in modum praeter opinionem exarsit, et cum populo tum Senatui funestissimum finem habuit: quod uti contigerit, planum faciam. Pervetus quidem est in civitatibus singulis factionum Venetae Prasinaeque discrimen: haud tamen ita vetus insania, qua nominibus his et coloribus, quibus conspicui ludis intersunt, ita sunt dediti, ut eorum gratia fortunas profundant, corpora cruciatibus acerbissimis offerant, nec mortem defugiant vel turpissimam. Cum adversariis digladiantur, ignari causae, cur in periculum se ac dimicationem coniiciant; at non ignari paratae poenae, cum probe sciant se quamvis victores sub ipsam

ναι μὲν αὐτίκα ἐς τὸ δεσμωτήριον, αἰκιζομένους δὲ τὰ ἔσχατα
εἶτα ἀπολωλέναι. φύεται μὲν οὖν αὐτοῖς τὸ ἐς τοὺς πέλας ἔχθος
αἰτίαν οὐκ ἔχον, μένει δὲ ἀτελεύτητον ἐς τὸν πάντα αἰῶνα, οὔτε
κήδει οὔτε συγγενείᾳ οὔτε φιλίας θεσμῷ εἶκον, ἢν καὶ ἀδελφοὶ ἢ
ἄλλο τι τοιοῦτό γέ οἱ ἐς τὰ χρώματα ταῦτα φιλοστοργοῦντες διά-
D φοροι εἶεν. μέλει τε αὐτοῖς οὔτε θείων οὔτε ἀνθρωπείων πραγ-
μάτων παρὰ τὸ ἐν τούτοις νικᾶν, ἤν τέ τι ἀσέβημα εἰς τὸν θεὸν
ὑφ᾽ ὁτουοῦν ἁμαρτάνηται ἤν τε οἱ νόμοι καὶ ἡ πολιτεία πρὸς τῶν
οἰκείων ἢ τῶν πολεμίων βιάζωνται, ἐπεὶ καὶ τῶν ἐπιτηδείων σπα-
νίζοντες ἴσως, κἂν τοῖς ἀναγκαιοτάτοις ἀδικουμένης αὐτοῖς τῆς
πατρίδος, οὐ προσποιοῦνται, ἤν γε αὐτοῖς κεῖσθαι τὸ μέρος τοῦτο
ἐν καλῷ μέλλῃ· οὕτω γὰρ τοὺς συστασιώτας καλοῦσι. μεταλαγ-
χάνουσι δὲ τοῦ ἄγους τούτου καὶ γυναῖκες αὐτοῖς, οὐ τοῖς ἀνδρά-
P 70 σιν ἑπόμεναι μόνον, ἀλλὰ καὶ τούτοις, ἂν οὕτω τύχοι, ἀντι-
στατοῦσαι, καίπερ οὔτε ἐς τὰ θέατρα τὸ παράπαν ἰοῦσαι οὔτε τῳ
ἄλλῳ αἰτίῳ ἠγμέναι· ὥστε οὐκ ἔχω ἄλλο τι ἔγωγε τοῦτο εἰπεῖν ἢ
ψυχῆς νόσημα. ταῦτα μὲν οὖν ταῖς τε πόλεσι καὶ δήμῳ ἑκάστῳ
ὧδέ πῃ ἔχει.

Τότε δὲ ἡ ἀρχὴ, ἣ τῷ δήμῳ ἐφειστήκει ἐν Βυζαντίῳ, τῶν στασιωτῶν τινας τὴν ἐπὶ θανάτῳ ἦγε. ξυμφρονήσαντες δὲ καὶ σπεισάμενοι πρὸς ἀλλήλους ἑκάτεροι τούς τε ἀγομένους ἁρπάζουσι

3. 4. οὔτε ter] οὐδὲ ter P. 4. ἀδελφοὶ A. ἀδελφὸς P. 12. μεταλαγχάνουσι] μεταλαχάνουσι A. 15. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

statim pugnam raptum iri in carcerem, indeque ad extremum supplicium. Alter ab altero nulla iniuria provocati, odium inter se suscipiunt adeo inexpiabile, ut licet germanitatis aut alio huiuscemodi vinculo iuncti sint, qui colorum istorum diversis invicem studiis dissident, nulli tamen necessitudini, non consanguinitati, non legibus amicitiae concedat. Prae victoria, quam in his ambiunt, divina aeque apud illos humanaque iacent omnia: neque ipsis pensi est, quid socii aemulive impie in Deum peccent, aut quo scelere leges remque publicam violent. Eos nec rei familiaris angustia, nec summa iniuria, quae in maximis necessitatibus infertur patriae, movet; dummodo *Pars* (ita vocant socios factionis) belle se habeat. Neque ipsae foeminae hoc piaculo vacant: siquidem eandem cum viris suis, vel forte adversam factionem sequuntur: quamvis spectaculis omnino abstineant, neque alio quoquam agi irritamento possint; ut illud ego verius nequeam appellare, quam animi morbum meramque insaniam. En quo civitates popularesque factiones hodie redactae sunt.

Cum autem Praefectus urbis factiosos aliquos ad mortem raperet, utriusque partis homines inito inter se foedere et conspiratione conflata fecere impetum, ac sontes, qui abducebantur, eripuere: mox etiam in-

καὶ ἐς τὸ δεσμωτήριον αὐτίκα ἐσβάντες ἀφιᾶσιν ἅπαντας ὅσοι
στάσεως ἢ ἑτέρου του ἁλόντες ἀτοπήματος ἐδέδεντο. καὶ οἱ μὲν V 270
ὑπηρέται, ὅσοι τῇ τῆς πόλεως ἀρχῇ ἕπονται, ἐκτείνοντο οὐδενὶ B
λόγῳ, τῶν δὲ πολιτῶν εἴ τι καθαρὸν ἦν ἐς τὴν ἀντιπέρας ἤπειρον ἔφευγον, καὶ τῇ πόλει πῦρ ἐπεφέρετο, ὡς δὴ ὑπὸ πολεμίοις γεγενημένῃ. καὶ τὸ ἱερὸν ἡ Σοφία τό τε βαλανεῖον ὁ Ζεύξιππος καὶ τῆς βασιλέως αὐλῆς τὰ ἐκ τῶν προπυλαίων ἄχρι ἐς τὸν Ἄρεως λεγόμενον οἶκον καυθέντα ἐφθάρη. ἐπὶ τούτοις τε ἅμα αἱ μεγάλαι στοαὶ μέχρι τῆς ἀγορᾶς ἀνήκουσαι, ἣ Κωνσταντίνου ἐπώνυμός ἐστιν, εὐδαιμόνων τε ἀνθρώπων οἰκίαι πολλαὶ καὶ χρήματα μεγάλα. βασιλεὺς δὲ καὶ ἡ συνοικοῦσα καὶ τῶν ἀπὸ βουλῆς
ἔνιοι καθείρξαντες σφᾶς αὐτοὺς ἐν παλατίῳ ἡσύχαζον. ξύμβολον C
δὲ ἀλλήλοις ἐδίδοσαν οἱ δῆμοι τὸ νίκα, καὶ ἀπ' αὐτοῦ ἐς τόδε τοῦ χρόνου ἡ κατάστασις ἐκείνη προσαγορεύεται.

Τότε τῆς μὲν αὐλῆς ἔπαρχος Ἰωάννης ἦν ὁ Καππαδόκης, Τριβουνιανὸς δέ, Πάμφυλος γένος, βασιλεῖ πάρεδρος, κοιαίστωρα τοῦτον καλοῦσι Ῥωμαῖοι. τούτοιν ἅτερος, Ἰωάννης, λόγων μὲν τῶν ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν. οὐ γὰρ ἄλλο οὐδὲν ἐς
γραμματιστοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα, καὶ ταῦτα H 40
κακὰ κακῶς γράψαι· φύσεως δὲ ἰσχύϊ πάντων γέγονε δυνατώτα-

17. μὲν τῶν om. Suidas s. v. ἀνήκοος. 19. ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι] Aristoph. Equit. 189. οὐδὲ μουσικὴν ἐπίσταμαι, πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς. 20. κακὰ om. Suidas s. v. γραμματιστής. *ibid.* δυνατώτατος] δεινότατος Suidas s. v. Ἰωάννης.

...essi carcerem, reos, quotquot seditionis aliusve cuiuspiam sceleris con...icti vinculis attinebantur, laxarunt, omnibus ad unum per libidinem ...esis Praefecti apparitoribus. Civium optimi ac praestantissimi serva...ant se integros neutrique erant factioni addicti, in adversam continen...m fugerunt, dum urbs, tanquam si capta ab hoste esset, sic illatis ...cibus deflagraret. Igni corruptum est templum Sophiae, Zeuxippi bal...eum, et ex aula Imperatoris quidquid a vestibulo ad Martis oecum per...nebat, magnae praeterea porticus ad forum usque Constantini procur...entes, domus item permultae locupletum civium, unaque immanis auri ...rgentique vis. Interea Augustus palatio se tenebat cum uxore ac Sena...oribus nonnullis. Porro factiosi pro tessera inter se usurpabant hanc ...ocem, VINCE: quae transiit in seditionis illius nomen.

Erat id temporis Praefectus Praetorio Ioannes Cappadox; Augusti assessor sive, ut lingua Rom. dicitur, Quaestor, Tribunianus, natione Pamphylus. Ac Ioannes quidem ingenuarum erat disciplinarum atque eruditionis expers. Nam apud ludimagistrum nihil aliud nisi literas scribere, et quidem prave atque ineleganter, didicerat. At ingenii vi supra omnes, quos equidem noverim, pollebat; ita ut rerum vel opportunitates videre, vel nodos expedire pari nemo facilitate posset. Illa vero ingenii

D τος ὢν ἡμεῖς ἴσμεν. γνῶναί τε γὰρ τὰ δέοντα ἱκανώτατος ἦν καὶ λύσιν τοῖς ἀπόροις εὑρεῖν. πονηρότατος δὲ γεγονὼς ἀνθρώπων ἁπάντων τῇ τῆς φύσεως δυνάμει ἐς τοῦτο ἐχρῆτο, καὶ οὔτε θεοῦ λόγος οὔτε ἀνθρώπων αὐτὸν αἰδώς τις ἐσῄει, ἀλλὰ βίους τε αὐτῷ ἀνθρώπων πολλῶν ἀπολλύναι κέρδους ἕνεκα καὶ πόλεις ὅλας καθελεῖν ἐπιμελὲς ἦν. χρόνου γοῦν ὀλίγου χρήματα μεγάλα περιβαλλόμενος ἐς κραιπάλην τινὰ ἐκλελάκτικεν ὅρον οὐκ ἔχουσαν, ἄχρι μὲν ἐς τὸν τοῦ ἀρίστου καιρὸν ληιζόμενος τὰς τῶν ὑπηκόων
P 71 οὐσίας, μέθῃ δὲ τὸ λοιπὸν καὶ σώματος ἔργοις ἀσελγεστάτοις ἠσχολημένος, κατέχειν ἑαυτὸν οὐδαμῇ ἴσχυεν, ἀλλὰ τά τε βρώματα μέχρι ἐς τὸν ἔμετον ἤσθιε καὶ τὰ χρήματα κλέπτειν μὲν ἦν ἐς ἀεὶ ἕτοιμος, προΐεσθαι δὲ καὶ δαπανᾶν ἑτοιμότατος. Ἰωάννης μὲν οὖν τοιοῦτος ἦν. Τριβουνιανὸς δὲ φύσεως μὲν δυνάμει ἐχρῆτο καὶ παιδείας ἐς ἄκρον ἀφίκετο τῶν κατ' αὐτὸν οὐδενὸς ἧσσον, ἐς δὲ φιλοχρηματίαν δαιμονίως ἐσπουδακὼς οἷός τε ἦν κέρδους ἀεὶ τὸ δίκαιον ἀποδίδοσθαι, τῶν τε νόμων ἡμέρᾳ ἐκ τοῦ ἐπὶ πλεῖστον ἑκάστῃ τοὺς μὲν ἀνῄρει, τοὺς δὲ ἔγραφεν, ἀπεμπολῶν τοῖς δεομένοις κατὰ τὴν χρείαν ἑκάτερον.

Ἕως μὲν οὖν ὁ δῆμος ὑπὲρ τῶν ἐν τοῖς χρώμασιν ὀνομάτων
B τὸν πόλεμον πρὸς ἀλλήλους διέφερον, λόγος οὐδεὶς ἦν ὧν οὗτοι

6. περιβαλλόμενος] περιβαλόμενος A. Illud Suidas. 9. ἀσελγεστάτοις] ἀσελγέσιν Suidas. 10. ἑαυτὸν] δὲ αὐτὸν Suidas. 11. μέχρι ἐς τὸν ἔμετον] μέχρις ἐς ὅσον Suidas. 12. ἐς ἀεὶ om. Suidas. *ibid.* ἑτοιμότατος] ἑτοιμότερος Suidas. 14. ἐς ἄκρον] εἰς ἄκρον τε Suidas s. v. Τριβωνιανός. 16. ἡμέρᾳ — ἑκάστῃ] ἡμέρα — ἑκάστη H. ἡμέρας — ἑκάστης Suidas. 18. ἑκάτερον] ἑκατέρου Suidas.

vi ad improbitatem, qua etiam mortales omnes superabat, abutebatur. Non respectus Dei, non hominum reverentia unquam eius animum subiit. Ad quaestum maxime se adhibebat accumulatis caedibus et urbium integrarum excidiis faciendum. Quibus artibus cum ad magnas pecunias brevi tempore venisset, extra modum in crapulam sese effudit, ita diem partiri solitus, ut ad horam prandii expilandis subditorum fortunis vacaret; quod supererat, in temulentia obscoenisque corporis voluptatibus traduceret, adeo sui impotens, ut cibis se ad vomitum expleret. Semper quidem ad corradendum aurum paratus erat; sed ad prodigendum multo etiam comparatior. His moribus Ioannes, hac natura praeditus fuit. Tribunianus autem cum ingenii et ipse acie valebat, tum apicem eruditionis attigerat, sic ut nullum aetatis suae mortalium haberet hac laude superiorem. Verum hianti homo et inexplebili avaritia, unice lucro serviebat, erantque apud illum iura venalia. Iamdiu legum nundinationi deditus, quotidie pretio refigebat alias, alias figebat, prout e re erat atque usu poscentium.

Utrique in Remp. peccare impune ac sine publica querela licuit, quamdiu fuit populus contentione distractus propter nominum diversitatem

ἐς τὴν πολιτείαν ἡμάρτανον· ἐπεὶ δὲ ξυμφρονήσαντες, ὥσπερ ἐρρήθη, ἐς τὴν στάσιν κατέστησαν, ἔκ τε τοῦ ἐμφανοῦς ἀνὰ πᾶσαν τὴν πόλιν ἐς αὐτοὺς ὕβριζον καὶ περιιόντες ἐζήτουν ἐφ᾽ ᾧ κτείνουσι. διὸ δὴ ἑταιρίζεσθαι βασιλεὺς τὸν δῆμον ἐθέλων ἄμφω τῆς ἀρχῆς ἐν τῷ παραυτίκα παρέλυσε. καὶ Φωκᾶν μέν, ἄνδρα πατρίκιον, ἔπαρχον τῆς αὐλῆς κατεστήσατο, ξυνετώτατόν τε καὶ τοῦ δικαίου ἐπιμελεῖσθαι ἱκανῶς πεφυκότα· Βασιλείδην δὲ τὴν τοῦ κοιαίστωρος ἀρχὴν ἔχειν ἐκέλευεν, ἔκ τε ἐπιεικείας γνώριμον ἐν πατρικίοις ὄντα καὶ ἄλλως δόκιμον. οὐδὲν μέντοι ἧσσον ἡ στάσις ἐπ᾽ αὐτοῖς ἤκμαζε. πέμπτῃ δὲ ἀπὸ τῆς στάσεως ἡμέρᾳ C περὶ δείλην ὀψίαν Ἰουστινιανὸς βασιλεὺς Ὑπατίῳ τε καὶ Πομπηΐῳ τοῖς Ἀναστασίου τοῦ βεβασιλευκότος ἀδελφιδοῖς οἴκαδε ὡς τάχιστα ἐπέσκηπτεν ἰέναι, εἴτε τι νεώτερον πράσσεσθαι πρὸς αὐτῶν ἐς σῶμα τὸ οἰκεῖον ὑποτοπήσας εἴτε καὶ αὐτοὺς ἡ πεπρωμένη ἐς τοῦτο ἦγεν. οἱ δέ, ὅπερ ἐγένετο, δείσαντες μὴ σφᾶς ὁ δῆμος ἐς τὴν βασιλείαν βιάζοιτο, ἔφασαν οὐ δίκαια ποιήσειν εἰ σφῶν τὸν βασιλέα παρήσουσιν ἐς τοσόνδε κίνδυνον ἥκοντα. ταῦτα ἀκούσας V 271 Ἰουστινιανὸς βασιλεὺς ἔτι μᾶλλον ἐς τὴν ὑποψίαν ἐνέπιπτε, καὶ αὐτοὺς αὐτίκα μάλα ἐκέλευεν ἀπαλλάσσεσθαι. οὕτω γοῦν D οἴκαδε τὼ ἄνδρε τούτω ἐκομιζέσθην καὶ τέως μὲν (νὺξ γὰρ ἐτύγχανεν οὖσα) ἐνταῦθα ἡσυχαζέτην.

Τῇ δὲ ὑστεραίᾳ ἅμα ἡλίῳ ἀνίσχοντι ἔκπυστα ἐς τὸν δῆμον ἐγένετο ὡς ἀμφοτέρω ἀπηλλαγήτην τῆς ἐν παλατίῳ διατριβῆς.

2. ἐρρήθη] „ἐῤῥέθη Reg." Malt. 10. „αὐτοῖς Reg." Malt. Sic Hm. αὐτοὺς P. αὐτοῦ H. 19. ἐκέλευεν L. ἐκέλευσεν P.

in factionum coloribus positam. Ubi vero conciliatis, ut modo dicebam, animis, seditio coorta est, iactis in eos contumeliis tota urbs personabat, ac circumcursans multitudo quaerebat ipsos ad necem. Eam autem Imperator demereri et adiungere sibi cupiens, nulla interposita mora ambos a magistratu submovit. Quorum loco Praefecturam Praetorii Phocae Patricio, quem in primis cordatum et servantissimum aequi noverat; Quaesturam Basilidi itidem Patricio, spectatissimae clementiae et nobilitatis viro, mandavit. Seditio tamen nihilo secius increbrescebat. Ac iam dies, ex quo illa coeperat, quintus agebatur, ortoque vespere exibat, cum Iustinianus Hypatio et Pompeio Anastasii Augusti ex sorore nepotibus edixit, ut quamprimum se domum referrent; sive ab illis vitae timeret suae, sive ipsos eo duceret fatum. Il veriti, quod postea contigit, ne a populo ad imperium veherentur vi, dixerunt se inique facturos, si in tanto discrimine Imperatorem suum desererent. Id suspicionem magis incendit: quocirca eos Iustinianus e vestigio iubet egredi. Sic domum reversis, quoniam nox erat, quiescere licuit.

Postero die, sole vixdum exorto, percrebuit ambos Palatio, ubi se tenebant, excessisse. Ad illos undique concursus fit populi: Imperator

ἔτρεχον οὖν ἐπ' αὐτοὺς ὁ λεὼς ἅπας, βασιλέα τε Ὑπάτιον ἀνηγόρευον, καὶ αὐτὸν ὡς παραληψόμενον τὰ πράγματα ἐς τὴν ἀγορὰν ἦγον. ἡ δὲ Ὑπατίου γυνὴ Μαρία, ξυνετή τε οὖσα καὶ δόξαν ἐπὶ σωφροσύνῃ μεγίστην ἔχουσα, εἴχετο μὲν τοῦ ἀνδρὸς καὶ οὐ μεθίει, ἐβόα δὲ ὀλολυγῇ τε χρωμένη καὶ τοῖς ἐπιτηδείοις ἅπα- P 72 *σιν ἐγκελευομένη ὡς αὐτὸν τὴν ἐπὶ θανάτῳ οἱ δῆμοι ἄγοιεν. ὑπερβιαζομένου τοίνυν τοῦ ὁμίλου, αὐτή τε οὐχ ἑκοῦσα μεθῆκε τὸν ἄνδρα καὶ αὐτὸν ὁ λεὼς οὔτι ἑκούσιον ἐς τὴν Κωνσταντίνου ἀγορὰν ἥκοντα ἐς τὴν βασιλείαν ἐκάλουν, καὶ (οὐ γὰρ ἦν αὐτοῖς οὔτε διάδημα οὔτε τι ἄλλο ὧν δὴ βασιλέα περιβάλλεσθαι νόμος) στρεπτόν τινα χρυσοῦν ἐπὶ τῇ κεφαλῇ θέμενοι βασιλέα Ῥωμαίων ἀνεῖπον. ἤδη δὲ καὶ ἐκ τῶν ἐκ βουλῆς ξυνιόντων, ὅσοι οὐκ ἀπολειφθέντες ἐτύγχανον ἐν τῇ βασιλέως αὐλῇ, πολλαὶ μὲν ἐλέγοντο γνῶμαι ὡς αὐτοῖς ἰτέον ἀγωνιουμένοις ἐς παλάτιον· Ὠριγένης δέ, ἀνὴρ ἐκ βουλῆς, παρελθὼν ἔλεξε τοιάδε ,,Τὰ μὲν παρόντα ἡμῖν, ὦ ἄνδρες Ῥωμαῖοι, πράγματα μὴ οὐχὶ πολέμῳ διακριθῆναι οὐχ οἷόν τε. πόλεμος δὲ καὶ βασιλεία τὰ μέγιστα* B *τῶν ἐν ἀνθρώποις ἁπάντων ὡμολόγηται εἶναι. τῶν δὲ δὴ πράξεων αἱ μεγάλαι οὐ βραχύτητι καιροῦ κατορθοῦσθαι θέλουσιν,* H 41 *ἀλλ' εὐβουλίᾳ τε λογισμῶν καὶ πόνοις σωμάτων, ἅπερ ἄνθρωποι ἐς χρόνου μῆκος ἐνδείκνυνται. ἢν μὲν οὖν ἐπὶ τὸν πολέμιον ἴοιμεν, ἐπὶ ξυροῦ μὲν ἀκμῆς τὰ πράγματα ἡμῖν στήσεται, περὶ δὲ τῶν ὅλων ἐν βραχεῖ διακινδυνεύσομεν χρόνῳ, τῶν δὲ ἀποβή-*

acclamatur Hypatius, et in forum, ut ibi habenas rerum capessat, deducitur, comitante uxore (Mariae nomen erat) femina prudentiae continentiaeque laudem adepta maximam. Haec maritum retentans nec dimittens, inclinata ululantique voce clamabat, hominem ad mortem rapi, et amicorum omnium ac necessariorum opem implorabat. Sed multitudine praevalente, abstracta a viro depulsaque est: quem populus invitum licet ac renitentem cum ad forum Constantini duxisset, sibi in Imperatorem poposcit, et quoniam diadema caeteraque ornamenta Imperatoria deerant, imposito capiti torque aureo, Augustum consalutavit. Iam vero cum omnes Curiae Patres, qui erant extra aulam Imperatoris, convenissent, in eam ibant sententiam multi, ut faciendum impetum dicerent in Palatium. Tum processit Origenes senator, et orationem hanc habuit. *Fieri non potest, viri Romani, ut sumptis temere armis de praesenti rerum statu bene decernamus. Nam ex iis omnibus, quae homines tractant, nihil esse maioris constat nec molis nec momenti, quam bellum et regnum. Atqui coeptis ingentibus secundos exitus afferre solet non punctum temporis, sed consiliorum prudentia et dura corporis exercitatio: utrumque autem longo spatio probari debet. Quare si petamus iam adversarium, in novaculae acie, quod vulgo aiunt, sitae res nostrae erunt, deque earum summa momento periclitabimur. Eventus vero, qui-*

σεσθαι μελλόντων ἕνεκα τὴν τύχην ἢ προσκυνήσομεν ἢ μεμψόμεθα πάντως. τὰ γὰρ τῶν πραγμάτων ὀξύτατα ἐς τὸ τῆς τύχης ὡς τὰ πολλὰ περιίσταται κράτος. ἢν δὲ σχολαίτερον τὰ παρόντα διοικησώμεθα, οὐδὲ βουλομένοις παρέσται ἡμῖν Ἰουστινιανὸν ἐν παλατίῳ λαβεῖν, ἀλλ᾽ ἀγαπήσει ὡς τάχιστα ἤν τις αὐτὸν ἐῴη C φυγεῖν. ἀρχὴ γὰρ περιορωμένη καταρρεῖν εἴωθεν, ἀπολῃγούσης αὐτῇ τῆς ἰσχύος ἐς ἡμέραν ἑκάστην. ἔστι τοίνυν ἡμῖν βασίλεια ἕτερα, Πλακιλλιαναί τε καὶ τὰ Ἑλένης ἐπώνυμα, ὅθεν χρὴ βασιλέα τόνδε ὁρμώμενον τόν τε πόλεμον διενεγκεῖν καὶ τὰ ἄλλα διοικήσασθαι ᾗ ἄμεινον ἕξει.“ Ὠριγένης μὲν τοσαῦτα εἶπεν. οἱ δὲ δὴ ἄλλοι, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, ὀξύτερόν τε ἀντελαμβάνοντο καὶ τὸ παραυτίκα ᾤοντο ξύμφορον εἶναι, καὶ οὐχ ἥκιστά γε Ὑπάτιος (χρῆν γάρ οἱ γενέσθαι κακῶς) τῆς ἐπὶ τὸν ἱππόδρομον ὁδοῦ ἐκέλευεν ἡγεῖσθαι. τινὲς δέ φασιν ἐξεπίτηδες αὐτὸν ἐνταῦθα ἥκειν, βασιλεῖ εὐνοϊκῶς ἔχοντα.

Οἱ δὲ ἀμφὶ τὸν βασιλέα ἐν βουλῇ ἦσαν πότερα μενοῦσιν αὐτοῖς ἢ ταῖς ναυσὶν ἐς φυγὴν τρεπομένοις ἄμεινον ἔσται. καὶ λόγοι D μὲν πολλοὶ ἐλέγοντο ἐς ἑκάτερα φέροντες. καὶ Θεοδώρα δὲ ἡ βασίλισσα ἔλεξε τοιάδε ,,Τὸ μὲν γυναῖκα ἐν ἀνδράσι μὴ χρῆναι τολμᾶν τὸν παρόντα οἶμαι καιρὸν ἥκιστα ἐφεῖναι διασκοπεῖσθαι, ἢ ἐν τοῖς ἀποκνοῦσι νεανιεύεσθαι, εἴτε ταύτῃ εἴτε ἄλλῃ πῃ νομιστέον. οἷς γὰρ τὰ πράγματα ἐς κίνδυνον τὸν μέγιστον ἥκει, οὐκ

3. ,,σχολαίτερον Reg.“ Malt. σχολαιότερον P. 21. ἢ — νεανιεύεσθαι om. A.

Utcumque futurus est, vel laudem vel culpam tribuemus omnem Fortunae, validioribus inceptis plerumque dominanti. Quod si instantia sedatius lentiusque digeramus, facultas capiendi in Palatio Iustiniani ultro se nobis offeret; quin ille brevi secum agi praeclare credet, si quis ipsum elabi siverit. Despecta enim potestas deficientibus in dies viribus tandem collabi solet. Porro alia sunt nobis Palatia, puta Placillianum atque Helenae, unde Imperatorem hunc in bellum erumpere, caeteraque, quam optime poterit, administrare oportet. Haec Origenes. Contra caeteri (ut fit in turba) dicebant audendum promptius et in celeritate multum ponebant. Nec segnius Hypatius (nam illi fatum erat perire) sibi ut in Circum praeiretur imperabat. Quamquam sunt qui ipsum dedita opera voluisse eo deduci interpretentur, quod Augusto consultum cuperet.

Interea apud Imperatorem consulebatur in medium, utrum potius esset subsistere, an navibus coniicere se in fugam. Scissum erat consilium in utramque partem, cum Theodora Augusta in hunc modum locuta est. *Non fert, meo quidem iudicio, tempus istud ut quis reputet minime decere feminam inter viros virum agere; nec si illa apud ignavos animose verba faciat, idne recte an secus fiat spectandum est. Quorum enim*

P 73 ἄλλῳ οὐδενὶ ἢ τῷ τὰ ἐν ποσὶν ὡς ἄριστα θέσθαι προσέχειν χρεὼν ἅπασιν. ἡγοῦμαι δὲ τὴν φυγὴν ἔγωγε, εἴπερ ποτὲ, καὶ νῦν, ἣν καὶ τὴν σωτηρίαν ἐπάγηται, ἀξύμφορον εἶναι. ἀνθρώπῳ μὲν γὰρ ἐς φῶς ἥκοντι τὸ μὴ οὐχὶ καὶ νεκρῷ γενέσθαι ἀδύνατον, τῷ δὲ βεβασιλευκότι τὸ φυγάδι εἶναι οὐκ ἀνεκτόν. μὴ γὰρ ἂν γενοίμην τῆς ἁλουργίδος ταύτης χωρὶς, μηδ᾽ ἂν τὴν ἡμέραν ἐκείνην βιῴην, ἐν ᾗ με δέσποιναν οἱ ἐντυχόντες οὐ προσεροῦσιν. εἰ μὲν οὖν σώζεσθαί σοι βουλομένῳ ἐστὶν, ὦ βασιλεῦ, οὐδὲν τοῦτο πρᾶγμα. χρήματά τε πολλά ἐστιν ἡμῖν, καὶ θάλασσα μὲν ἐκείνη, πλοῖα δὲ ταῦτα. σκόπει μέντοι μὴ διασωθέντι ξυμβήσεταί σοι ἥδιστα ἂν τῆς σωτηρίας τὸν θάνατον ἀνταλλάξασθαι. ἐμὲ B γάρ τις καὶ παλαιὸς ἀρέσκει λόγος, ὡς καλὸν ἐντάφιον ἡ βασιλεία ἐστί". τοσαῦτα τῆς βασιλίδος εἰπούσης, θάρσος τε τοῖς πᾶσιν ἐγένετο καὶ εἰς ἀλκὴν τραπόμενοι ἐν βουλῇ ἐποιοῦντο ᾗ ἂν ἀμύνεσθαι δυνατοὶ γένωνται, ἤν τις ἐπ᾽ αὐτοὺς πολεμήσων ἴοι. οἱ μὲν οὖν στρατιῶται ξύμπαντες, οἵ τε ἄλλοι καὶ ὅσοι ἀμφὶ τὴν βασιλέως αὐλὴν ἐτετάχατο, οὔτε τῷ βασιλεῖ εὐνοϊκῶς εἶχον οὔτε εἰς τὸ ἐμφανὲς ἔργου ἔχεσθαι ἤθελον, ἀλλὰ τὸ μέλλον ἐκαραδόκουν ὅπῃ ἐκβήσεται. πᾶσαν δὲ τὴν ἐλπίδα ἐν Βελισαρίῳ τε καὶ Μούνδῳ ὁ βασιλεὺς εἶχεν, ὧν ἅτερος μὲν, ὁ Βελισάριος, ἄρτι ἐκ τοῦ Μηδικοῦ ἐπανήκων πολέμου τήν τε ἄλλην θεραπείαν C δυνατήν τε καὶ λόγου ἀξίαν ἐπήγετο καὶ δορυφόρων τε εἶχε καὶ

1. ἄλλῳ οὐδενὶ ἢ τῷ] ἄλλῳ οὐδενὶ εἴη ἢ τῷ P. ἄλλῳ οὐδὲν εἴη ἢ τῷ H. „ἄλλο οὐδὲν εἴη ἢ τὸ Reg." Malt. Sic Hm. 3. μὲν γὰρ] Legebatur γὰρ μὲν. 9. ἐκείνη] ἐκείνῃ H. 18. ἔργου ἔχεσθαι] „ἔρχεσθαι Reg." Malt.

res in summum venere discrimen, eorum cogitationes omnes in hoc uno versari debent, ut instantia constituant optime. Ego vero sic sentio, rationibus nostris fugam vel nunc maxime adversari, quamvis allatura salutem esset. Homini quidem in lucem edito subeunda est necessitas leti: id vero pati non debet qui imperium semel obtinuit, ut in exilio vivat, dignitati superstes suae. Ne Deus siverit ut purpura hac spoliata unquam conspiciar, ac vel unum diem vivam, quo me Dominam obvii non salutent. Tu quidem, Auguste, si vis evadere, nihil in hoc negotii: affatim pecuniae est: en mare, en naves. Caeterum vide, ne tibi hinc elapso contingat lucis huius suavitatem cum morte ignobili commutare. At mihi vetus illud verbum placet, quo fertur, praeclarum esse linteum sepulchrale regnum." His dictis Augusta ita omnium erexit animos et vires incendit, ut iam unum id agitarent, quo se pacto tuerentur, si quis inferret oppugnationem. Certe milites plerique omnes, etiam Palatini, nec Augusto studebant, nec rem aperte volebant aggredi; sed motus civilis exitum expectabant. Spem omnem Imperator in Belisario ac Mundo repositam habebat: quorum ille e bello Persico recens praeter

ὑπασπιστῶν πλῆθος, ἔν τε ἀγῶσι καὶ τοῖς τοῦ πολέμου κινδύνοις τὰς μελέτας πεποιημένον. Μοῦνδος δὲ, Ἰλλυριῶν στρατηγὸς ἀποδεδειγμένος, τύχῃ τινὶ ξυνεκύρησε, βαρβάρους Ἐρούλους ἐπαγαγόμενος κατά τινα χρείαν ἐς Βυζάντιον μετάπεμπτος ἥκειν.

Ὑπάτιος μὲν οὖν ἐπειδὴ εἰς τὸν ἱππόδρομον ἀφίκετο, ἀναβαίνει μὲν αὐτίκα οὗ δὴ βασιλέα καθίστασθαι νόμος, κάθηται δὲ ἐς τὸν βασίλειον θρόνον, ὅθεν ἀεὶ βασιλεὺς εἰώθει τόν τε ἱππικὸν καὶ γυμνικὸν θεᾶσθαι ἀγῶνα. ἐκ δὲ παλατίου Μοῦνδος μὲν διὰ πύλης ἐξῄει, ἔνθεν δὴ ὁ κοχλίας ἀπὸ τῆς ἰδέας καθόλου κυκλοτεροῦς οὔσης ὠνόμασται. Βελισάριος δὲ τὰ μὲν πρῶτα εὐθὺς αὐτοῦ τε Ὑπατίου καὶ θρόνου τοῦ βασιλείου ἀνέβαινεν, ὡς D δὲ ἐς τὸ πλησίον οἴκημα ἦλθεν, οὗ δὴ στρατιωτῶν φρουρὰ ἐκ παλαιοῦ ἐστιν, ἐβόα τοῖς στρατιώταις, ἐγκελευόμενος ἀνοιγνύναι οἱ τὴν θύραν ὡς τάχιστα, ὅπως ἐπὶ τὸν τύραννον ἴοι. δεδογμένον δὲ τοῖς στρατιώταις μηδετέρῳ ἀμύνειν, ἕως αὐτῶν ἅτερος λαμπρῶς νικῴη, ὡς ἥκιστα ἐπαΐειν δοκοῦντες διεκρούσαντο. ἀναστρέψας οὖν Βελισάριος ὡς βασιλέα διεφθάρθαι ἰσχυρίζετο σφίσι H 42 τὰ πράγματα. νεωτερίζειν γὰρ ἐς αὐτὸν τοὺς στρατιώτας, οἳ τὴν παλατίου φρουρὰν ἔχουσιν. ἐκέλευεν οὖν αὐτὸν βασιλεὺς ἐπὶ τὴν καλουμένην Χαλκῆν καὶ τὰ ἐνταῦθα προπύλαια ἰέναι. ὁ δὲ δὴ μόλις καὶ οὔτε κινδύνων οὔτε πόνων μεγάλων χωρὶς δι᾽ ἐρει- P 74

4. ἐπαγαγόμενος A. ἐπαγόμενος P. 10. ἔνθεν] ἔνθα L. 22. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

Amplum et validum ministerium, quod ducebat, hastatis militibus ac scutariis septus erat, qui in praeliis fuerant multis versati, diuque bello exerciti. Mundus Magister militum per Illyricum designatus, et tum temporis ad aliquid, quod ipsius operam postulabat, accitus Byzantium, cum Erulorum Barbarorum manu forte aderat.

Ergo perductus in Circum Hypatius, ad solium, unde Augustus equestria gymnicaque certamina spectare solet, ascendit protinus, et in eo consedit. E Palatio Mundus per eam exiit portam, in qua est cochleas, a forma, quam plane rotundam habet, sic appellatus. Belisarius autem primum quidem recta ad ipsum Hypatium soliumque Imperatorium subire instituit. Verum ubi ad coniunctum parti huic et a praesidiariis iam inde olim teneri solitum domicilium pervenit, inclamavitque militibus uti ianua sibi ad tyrannum vadenti quamprimum recluderetur, illi constitutum inter se habentes ad neutram causam se aggregare, donec ad alteram manifeste victoria vergeret, nihil se exaudire simularunt. Ita repulsam passus Belisarius, ad Augustum redit, actum esse affirmat, periisse cuncta, custodes quoque Palatii studere rebus novis, et ab ipso iam descivisse. Mox eundem Augustus ad portam, quae Chalca sive Aerea dicitur, et ad vestibulum illi obiacens ire, eaque parte tentare

πίων τε καὶ χωρίων ἡμιφλέκτων διεξιὼν εἰς τὸ ἱππικὸν ἀναβαίνει. καὶ ἐπειδὴ περὶ τὴν Βενέτειον ἐγεγόνει στοάν, ἣ τοῦ βασιλέως θρόνου ἐν δεξιᾷ ἐστιν, ἐβούλευσε μὲν ἐπὶ πρῶτον αὐτὸν Ὑπάτιον ἰέναι, βραχείας δὲ οὔσης ἐνταῦθα πυλίδος, ἣ ἀποκέκλειστό τε καὶ ὑπὸ τῶν ἐντὸς Ὑπατίου στρατιωτῶν ἐφυλάσσετο, κατωρρώδησε μή οἱ ἐν στενῷ πονουμένῳ ὁ δῆμος ξυνεπιθέμενος αὐτόν τε καὶ τοὺς ἑπομένους ἅπαντας διαφθείραντες ῥᾷόν τε καὶ ἀπονώτερον ἐπὶ βασιλέα χωρήσωσι. λογισάμενος οὖν ὡς οἱ ἐπὶ τὸν δῆμον ἰτέον ἐστίν, οἳ ἐν τῷ ἱπποδρόμῳ ἑστήκεσαν, πλήθει τε ἄμετροι καὶ μετὰ πολλῆς ἀκοσμίας ὑπ' ἀλλήλων ὠθούμενοι, ἀπὸ B *τοῦ κολεοῦ τὸ ξίφος ἀράμενος τοῖς τε ἄλλοις κατὰ ταὐτὰ ποιεῖν ἐπαγγείλας, δρόμῳ τε καὶ κραυγῇ ἐπ' αὐτοὺς ᾔει. ὁ δὲ δῆμος, ἅτε δὴ ἐν ὁμίλῳ καὶ οὐκ ἐν τάξει ἱστάμενοι, ἐπειδὴ στρατιώτας εἶδον τεθωρακισμένους τε καὶ δόξαν πολλὴν ἐπί τε ἀνδρείᾳ καὶ πολέμων ἐμπειρίᾳ ἔχοντας, καὶ τοῖς ξίφεσιν οὐδεμιᾷ φειδοῖ παίοντας, ἐς φυγὴν ὥρμηντο. κραυγῆς δὲ πολλῆς, ὡς τὸ εἰκός, γεγενημένης, πλησίον που ἑστηκὼς Μοῦνδος καὶ βουλόμενος ἔργου ἔχεσθαι (ἦν γάρ τις τολμητὴς καὶ δραστήριος), ἀπορούμενος δὲ ᾗ χρήσεται τοῖς παροῦσιν, ἐπειδὴ ἐτεκμήρατο ὡς Βελισάριος ἐν τῷ πόνῳ εἴη, εὐθὺς ἐπὶ τὸ ἱπποδρόμιον διὰ τῆς εἰσόδου, ἣ νε*C *κρὰ καλεῖται, εἰσβάλλει. τότε δὴ ἑκατέρωθέν οἱ Ὑπατίου στασιῶται κατὰ κράτος πλησσόμενοι διεφθείροντο. ἐπεὶ δὲ ἡ τροπὴ λαμπρὰ ἐγεγόνει καὶ φόνος ἦν τοῦ δήμου ἤδη πολύς, Βοραΐδης*

4. ἀποκέκλειστο] ἀποκέκλιτο A corr. 11. ταυτὰ L. ταῦτα P.

aditum iubet. Ille inter rudera et loca incendio deformata non sine discrimine et labore magno ad Circum evasit, et prope Venetiam consistens porticum, quae est a dextra Caesarei solii, de invadendo primo omnium ipso Hypatio cogitavit. Sed propter angustias portae, quae et clausa erat et Hypatii satellitio munita intus, timuit ne iniquiori spatio impeditus, ab irruente populo opprimeretur cum suis, et hinc magis pateret Augustus perduellium impressioni. Videns igitur satius esse multitudinem adoriri, quae in Circo stabat, numero infinita atque inordinatissima; quippe omnes invicem se contrudebant; districto gladio, idemque iussis facere caeteris incurrit eodem, conclamans. Simul autem conferta plebs neque ad pugnam composita, milites, qui et fortitudine et rei bellicae peritia clarissimi erant, adesse loricatos nec ferro parcere animadvertit; consternata in fugam est. Exorto, ut res ferebat, clamore ingenti, Mundus, qui haud procul substiterat, ac rem quidem, pro innata vi atque ardore animi, volebat gerere, haerebat tamen nescius quid tempus posceret; ubi coniecit Belisarium dimicare, confestim per portam, quam vocant Libitinensem, irrupit in Circum. Hinc inde iam Hypatiani stragem accipere, et manu valida passim sterni. Populi patebat

τε καὶ Ἰοῦστος, Ἰουστινιανοῦ βασιλέως ἀνεψιοὶ, χεῖρας αὐτοῖς οὐδενὸς ἀνταίρειν τολμῶντος, καθεῖλόν τε ἀπὸ τοῦ θρόνου Ὑπάτιον καὶ αὐτὸν ἐσαγαγόντες βασιλεῖ ἅμα Πομπηίῳ παρέδωκαν. θνήσκουσί τε τοῦ δήμου πλέον ἢ τρισμύριοι ἐν ταύτῃ τῇ ἡμέρᾳ. βασιλεὺς δὲ αὐτοὺς ἐν φυλακῇ χαλεπῇ ἐκέλευεν εἶναι. ἐνταῦθα Πομπήιος μὲν ἐδάκρυέ τε καὶ ἄξια ἐλέου ἐφθέγγετο· ἦν γὰρ δὴ ὁ ἀνὴρ πραγμάτων τε καὶ κακῶν τοιούτων ἥκιστα ἔμπειρος· Ὑπάτιος δὲ αὐτὸν πολλὰ ὀνειδίσας οὐκ ἔφη χρῆναι τοὺς οὐκ ἐν δίκῃ ἀπολουμένους ὀδύρεσθαι. ἀρχήν τε γὰρ ὑπὸ τοῦ δήμου ἄκοντας D
βιασθῆναι καὶ οὐκ ἐπὶ κακῷ τοῦ βασιλέως ὕστερον ἐς τὸ ἱπποδρόμιον ἀφικέσθαι. κτείναντες δὲ οἱ στρατιῶται τῇ ὑστεραίᾳ ἑκάτερον ἐς θάλασσαν καθῆκαν τὰ σώματα. βασιλεὺς δὲ αὐτῶν τε τὰ χρήματα ἐς τὸ δημόσιον ἀνάγραπτα ἐποιήσατο καὶ ἄλλων τῶν ἐκ βουλῆς ἁπάντων, οἳ δὴ τὴν γνώμην ξὺν αὐτοῖς ἔθεντο. ἔπειτα μέντοι τοῖς τε ἄλλοις ἅπασι καὶ τοῖς Ὑπατίου καὶ Πομπηίου παισὶ τά τε ἀξιώματα, οἷς πρότερον ἐχρῶντο, ἀπέδωκε καὶ τῶν χρημάτων ὅσοις τῶν ἐπιτηδείων τινὰς οὐκ ἔτυχε δωρησάμενος. ἐς τόδε μὲν ἐν Βυζαντίῳ ἡ στάσις ἐτελεύτα.

κε΄. Τριβουνιανὸς δὲ καὶ Ἰωάννης τῆς τιμῆς οὕτω παρα- P 75
λυθέντες χρόνῳ ὕστερον ἐς ἀρχὰς τὰς αὐτὰς κατέστησαν ἄμφω. ἀλλὰ Τριβουνιανὸς μὲν ἔτη πολλὰ ἐπιβιοὺς τῇ τιμῇ ἐτελεύτησε νόσῳ, ἄλλο οὐδὲν ἄχαρι πρὸς οὐδενὸς παθών. ἦν γὰρ αἱμύλος τε καὶ τἆλλα ἡδὺς, καὶ τῆς φιλοχρηματίας τὸ νόσημα ἐπισκιάσαι

22. ἄλλο om. Suidas s. v. Τριβωνιανός.

Fuga et clades ingens, cum Boraides et Iustus, Iustiniani Aug. ex fratre nepotes, Hypatium, nemine repugnare audente, e solio deturbarunt, abductumque cum Pompeio, tradiderunt in manus Augusti. Eo die caesis e populo amplius xxx. m. utrumque Caesar dura et arcta custodia septum tenuit. Ibi Pompeius rerum et casuum eiuscemodi insolens, lachrymis dedebat se et lamentis miserabiliter: eumque Hypatius valde increpabat, ploratum illos decere negans, qui insontes perirent: sibi initio renitentibus vim a populo fuisse factam, nec se postea infestis in Augustum animis venisse in Circum. Nihilo tamen minus postridie confossi sunt a militibus, et in mare proiecta eorum cadavera. Ac bona quidem non amborum modo, sed omnium etiam Senatorum, qui ab ipsis steterant, fisco Imperator addixit: deinde tamen cum caeteros quosque, quos ordine moverat, tum Hypatii Pompeiique liberos in pristinum gradum restituit, atque e facultatibus quidquid amicis non dederat, ipsis reddidit. Hic fuit Byzantinae seditionis exitus.

25. Tribunianus vero et Ioannes ita, ut dicebam, exuti honoribus, quibus utebantur, eosdem postmodum recepere. Ac Tribunianus quidem cum annos multos in Magistratu vixisset, morbo decessit, nullam praeterea passus offensionem: quippe mira urbanitate, lepore, et suavitate

ἱκανώτατος τῇ τῆς παιδείας περιουσίᾳ. Ἰωάννης δὲ (πᾶσι γὰρ ἀνθρώποις βαρύς τε ὁμοίως καὶ χαλεπὸς ἦν, πληγάς τε τοῖς προσπίπτουσιν ἐντεινόμενος καὶ τὰ χρήματα ἁπαξάπαντα λόγῳ
B οὐδενὶ ληιζόμενος) δέκατον ἔτος τὴν ἀρχὴν ἔχων τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίαιταν παρανομίας ἐξέτισε τρόπῳ τοιῷδε.

Θεοδώρα ἡ βασιλὶς ἤχθετο αὐτῷ πάντων μάλιστα, καὶ ὃς τῇ γυναικὶ προσκεκρουκὼς οἷς ἡμάρτανε θωπείᾳ μὲν αὐτὴν ἢ χάριτι μετελθεῖν ὡς ἥκιστα ἔγνω, ἐς ἐπιβουλὴν δὲ αὐτῇ ἐκ τοῦ ἐμφανοῦς καθιστάμενος ἐς τὸν βασιλέα διέβαλλεν, οὔτε τὴν τύχην ἐρυθριῶν οὔτε τὴν στοργὴν αἰσχυνόμενος, ἥνπερ ἐς αὐτὴν ὁ βασιλεὺς εἶχεν ἐξαισίαν οἵαν. αἰσθομένη δὲ ἡ βασιλὶς τῶν ποιου-
H 43 μένων κτεῖναι μὲν διενοεῖτο τὸν ἄνθρωπον, μηχανῇ δὲ οὐδεμιᾷ
C εἶχεν, ἐπεὶ λόγον αὐτοῦ Ἰουστινιανὸς βασιλεὺς ἐποιεῖτο πολύν. γνοὺς δὲ Ἰωάννης τὴν τῆς βασιλίδος ἐς αὐτὸν γνώμην ἐν δείμασι μεγάλοις ἐγίνετο. ἐπειδάν τε ὡς καθευδήσων ἐς τὸν κοιτῶνα ἴοι, τῶν τινα βαρβάρων ἐπιστήσεσθαί οἱ ὡς ἀπολοῦντα ὑπώπτευεν ἐς νύκτα ἑκάστην, ὑπερκύπτων τε ἀεὶ ἐκ τοῦ δωματίου καὶ τὰς εἰσόδους περισκοπῶν ἄυπνος ἔμενε, καίπερ ἑταιρισάμενος δορυφόρων τε καὶ ὑπασπιστῶν χιλιάδας πολλάς, οὐ γεγονὸς ὑπάρχων τινὶ πρότερον τοῦτό γε. ἀλλ' ἐπιλελησμένος ἅμα ἡμέρᾳ θείων τε

1. τῇ τῆς Suidas. Aberat τῇ. 3. προσπίπτουσιν] περιπίπτουσιν Suidas s. v. Ἰωάννης. ibid. ἁπαξάπαντα Suidas. Vulgo ἅπαξ ἅπαντα. 5. δίαιταν] δίκην Suidas. 10. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 15. αὐτὸν] αὑτὸν P. αὐτὴν L.

erat conditus, et avaritiam obscurabat splendore summae eruditionis. Contra Ioannes, homo aeque omnibus gravis, et adeo importunus, ut obvium quemque oneraret plagis, et cunctis uno tempore pecuniis exhauriret indicta causa, decimo tandem Praefecturae anno poenas iure meritoque dedit sceleratissimae et contaminatissimae vitae: quod ita accidit.

Ioannem oderat Theodora Augusta unum omnium maxime. Quod ille odium etsi culpa sua ipsam offendendo contraxerat, adeo non obsequio ambire feminam sibique officiis conciliare studuit, ut aperte illi inimicus crimen intulerit apud Augustum, nec conditionem erubescens, nec amorem reverens ingentem, quo eam Imperator amplectebatur. His Theodora intellectis, coepit animo coquere interficiendi eius consilium: at qua id via perficeret nesciebat: quoniam ipsum magni faciebat Augustus. Haud ignarus Ioannes quo esset in se animo Augusta; percellebatur magnis terroribus. Noctibus enim singulis, ubi se in cubiculum quietis causa receperat, imminere putabat Barbarum aliquem ad caedem instructum: quocirca e thalamo caput quolibet temporis puncto proferens, omnesque aditus circumspectans, somnum non videbat, quamvis succinctus esset Hastatorum ac Scutariorum multis millibus: quantum satellitium nullus

καὶ ἀνθρωπείων δειμάτων ἁπάντων ὄλεθρος αὖθις κοινῇ τε καὶ ἰδίᾳ πᾶσι Ῥωμαίοις ἐγίγνετο. καὶ φαρμακεῦσι μὲν τὰ πολλὰ ὡμίλει, μαντείαις δὲ ἀσεβέσιν ἐς ἀεὶ χρώμενος τὴν αὐτοκράτορα αὐτῷ τερατευομέναις ἀρχὴν, ἀεροβατῶν τε καταφανὴς ἦν καὶ μετέωρος ἀρθεὶς ταῖς τῆς βασιλείας ἐλπίσι. τῆς μέντοι πονηρίας αὐτῷ καὶ τῆς ἐς τὴν δίαιταν παρανομίας οὐδὲν οὔτε ἐλώφα οὔτε ὑπέληγε. καί τις αὐτῷ θεοῦ λόγος τὸ παράπαν οὐκ ἦν, ἀλλὰ καὶ, εἴ που εἰς ἱερὸν ὡς εὐξόμενός τε καὶ διαννκτερεύσων ἐνταῦθα ἴοι, οὐδὲν ὁμοίως τοῖς Χριστιανῶν ἤθεσιν ἔπραττεν, ἀλλὰ τριβώνιον ἐνδιδυσκόμενος ἱερεῖ πρέπον τῆς παλαιᾶς δόξης, ἣν νῦν Ἑλληνικὴν καλεῖν νενομίκασιν, λόγους οὐχ ὁσίους τινὰς, ὥσπερ ἐμεμελετήκει, ἀνὰ πᾶσαν τὴν νύκτα ἐκείνῃ ἀπεστομάτιζεν, ὅπως οἱ ἥ τε βασιλέως διάνοια ἔτι μᾶλλον ὑποχειρία εἴη καὶ αὐτὸς κακῶν γένοιτο ἀπαθὴς πρὸς πάντων ἀνθρώπων.

Ἐν τούτῳ δὲ Βελισάριος Ἰταλίαν καταστρεψάμενος βασιλεῖ ἐς Βυζάντιον ξὺν Ἀντωνίνῃ τῇ γυναικὶ μετάπεμπτος ἦλθεν, ἐφ' ᾧ ἐπὶ Πέρσας στρατεύσειε. καὶ τοῖς μὲν ἄλλοις ἅπασιν ἔντιμός τε καὶ λόγου πολλοῦ ἄξιος, ὡς τὸ εἰκὸς, ἦν, μόνος δὲ Ἰωάννης αὐτῷ χαλεπῶς εἶχε καὶ πολλῇ ἐπιβουλῇ ἐς αὐτὸν εἴχετο, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ αὐτὸς μὲν τὸ ἐκ πάντων ἔχθος ἐφ' ἑαυτὸν εἷλκε, Βελισάριος δὲ πάντων εὐδοκιμῶν μάλιστα ἐτύγχανε· ἐπ' αὐτῷ τε γενομένης τῆς Ῥωμαίων ἐλπίδος αὖθις ἐπὶ Πέρσας ἐστρά-

P 76 · B · C

12. ἐκείνῃ Hm. Vulgo ἐκείνην.

umquam Praefectus habuit. At simul illuxerat, Dei pariter hominumque omni metu deposito, pergebat Romanos universos pessundare, qua publice, qua privatim. Cum incantatoribus versabatur plurimum, impias divinationes consectans, quae ipsi Imperatorium apicem spondebant: iamque ad illum spe subvectus, aequalis astris gradiebatur: nunquam eius respirabat improbitas: nihil effraenis vitae licentia remittebat. Nullo erat apud ipsum numero Deus: immo vero si quando in templum se conferret precationis et sacri pervigilii causa, aliena prorsus a Christianorum ritibus agebat. Nam pallio Sacerdotali indutus, antiquae sectae, quae hodie Graecanica vocari solet, profanas quasdam nugas, quibus mentem imbuerat, tota nocte recitabat, eo vota intendens, ut sibi magis in dies deditum atque obnoxium haberet animum Imperatoris, nec violari ipse a quoquam posset.

Per id tempus subacta Italia Byzantium cum Antonina uxore Belisarius rediit, accitu Augusti, ut imperium contra Persas acciperet. Singulari apud omnes erat in gratia et honore, neque immerito, victoris nomen: unus admodum ringebatur Ioannes, eique perniciem moliebatur, nullam aliam ob causam, nisi quia, cum ipse omnium in se odium collegisset, Belisarius supra omnes omnium laudibus tollebatur. Et quoniam in eo residebat spes Romanorum, bellum Persicum ipsi iterum datum est.

*τευσε, τὴν γυναῖκα ἐν Βυζαντίῳ ἀπολιπών. Ἀντωνίνα δὲ ἡ τοῦ
Βελισαρίου γυνὴ (ἦν γὰρ ἱκανωτάτη ἀνθρώπων ἁπάντων μηχα-
νᾶσθαι τὰ ἀμήχανα) χαριεῖσθαι τῇ βασιλίδι βουλευσαμένη ἐπε-
νόει τοιάδε. ἦν τῷ Ἰωάννῃ θυγάτηρ Εὐφημία, δόξαν μὲν ἐπὶ
σωφροσύνῃ πολλὴν ἔχουσα, νέα δὲ κομιδῇ, καὶ ἀπ' αὐτοῦ λίαν*
D *εὐάλωτος, ἣν δὴ ὁ πατὴρ ὑπερηγάπα, ἐπεὶ καὶ μόνης αὐτῆς
ἐγεγόνει πατήρ. ταύτην ἡ Ἀντωνίνα τιθασεύουσα ἐς ἡμέρας συ-
χνὰς προσποιήσασθαί τε ἅτε φίλην ἐνδελεχέστατα ἴσχυσε καὶ τῶν
αὐτῇ ἀπορρήτων μεταδιδόναι οὐκ ἀπηξίου. καί ποτε αὐτῆς οἱ
μόνης ἐν τῷ δωματίῳ παρούσης ὀδύρεσθαι τύχας τὰς παρούσας
ἐπλάσσετο, ὅτι δὴ Βελισάριος εὐρυτέραν ποιησάμενος τὴν Ῥω-
μαίων ἀρχὴν πλείονι μέτρῳ ἢ πρότερον οὖσα ἐτύγχανε, βασιλεῖς
τε δορυαλώτους δύο καὶ πλούτου τοσοῦτόν τι χρῆμα ἐς Βυζάν-
τιον ἀγαγών, ἀχαρίστου Ἰουστινιανοῦ ἔτυχε· τά τε ἄλλα ὡς οὐ
δικαίαν οὖσαν τὴν πολιτείαν διέβαλλε. περιχαρὴς δὲ τῷ λόγῳ γε-
νομένη ἡ Εὐφημία (δέει γὰρ τῷ ἐκ τῆς βασιλίδος καὶ αὐτῇ τῇ
παρούσῃ ἀρχῇ ἤχθετο) „Καὶ τοῦδε μέντοι, ὦ φιλτάτη," ἔφη,*
P 77 *„ὑμεῖς αἴτιοι, ὅτι δὴ παρὸν ὑμῖν τῇ δυνάμει οὐ βούλεσθε χρῆ-
σθαι". ὑπολαβοῦσα δὲ ἡ Ἀντωνίνα „Οὐ γὰρ οἷοί τε ἐσμέν, ὦ
θύγατερ," εἶπεν, „ἐν στρατοπέδῳ νεωτέροις ἐγχειρεῖν πράγμασιν,
ἢν μὴ τοῦ ἔργου ξυνεπιλάβωνται ἡμῖν τῶν ἔνδον τινές· ἀλλ' εἴ-
περ ὁ σὸς πατὴρ ἤθελε, ῥᾷστα ἂν ἐς τὴν πρᾶξιν καθιστάμενοι*

7. *τιθασεύουσα*] Vulgo *τιθασσεύουσα*. 10. *δωματίῳ*] „*δώματι* Reg." Malt. 20. *ἐγχειρεῖν*] *ἐγχωρεῖν* AH: illud Hm.

Proficiscens uxorem Byzantii reliquit. Haec vero mortalium omnium maxime idonea ad connectendos dolos, ex quibus nemo se explicaret, ut gratificaretur Augustae, hanc artem excogitavit. Erat Ioanni filia, cui nomen Euphemiae: modestiae illa quidem laude conspicua; sed adolescentula et ea re captu facilis: unice dilecta patri, quippe unigena. Huic Antonina per dies multos blandimenta dedit, et amicitiae simulatione eam sibi devinxit penitus, eo progressa, ut arcanorum iam participem faceret. Aliquando cum ea in cubiculo agens remotis arbitris, coepit, ficte scilicet, praesentem rerum conditionem deplorare, et queri inprimis quod Belisarius post prolatum a se longe Rom. imperium, post captos advectosque Byzantium cum tot spoliis atque opibus Reges duos, ingratum Iustinianum experiretur: alia tum multa in publicae administrationis iniquitatem subiecit. Eiusmodi rerum mentione delectata Euphemia (nam et ipsa praesentem dominatum molestissime ferebat propter oblatum ab Augusta metum) *Atqui*, inquit, *charissima, huius mali caus*… *in vobis stat, qui cum imperii vires habeatis in manibus, non vultis uti*… Cui Antonina, *Nihil nos*, ait, *o filia, nihil aggredi foris, nec res nova*… *in castris moliri possumus, nisi hic domi sint, qui sociam manum coepti*… *admoveant. At si vellet pater tuus in rem una incumbere, quidqui*…

ὅσα ἦν τῷ θεῷ βουλομένῳ ἐπράσσομεν". ἀκούσασα ταῦτα Εὐφημία προθύμως μὲν ὑπίσχετο ἐπιτελῆ ἔσεσθαι, ἀπαλλαγεῖσα δὲ ἐνθένδε τὸ πρᾶγμα ἐπὶ τὸν πατέρα εὐθὺς ἤνεγκε. καὶ ὃς τῷ λόγῳ ἡσθεὶς (ταύτην γάρ οἱ ὁδὸν ἔς τε τὰ μαντεῖα καὶ τὴν βασιλείαν ὑπετόπαζε φέρειν τὴν πρᾶξιν) εὐθὺς μελλήσει οὐδεμιᾷ ὡμολόγησε, B πράσσειν τε τὴν παῖδα ἐκέλευσε τῇ ὑστεραίᾳ ὅπως ἐς λόγους τῇ Ἀντωνίνῃ αὐτὸς ξυμμίξῃ καὶ τὰ πιστὰ δοίη. μαθοῦσα δὲ Ἀντωνίνα τὴν Ἰωάννου γνώμην καὶ ὡς ἀπωτάτω τὸν ἄνθρωπον τῆς τοῦ ἀληθοῦς ἀπαγαγεῖν ἐννοίας ἐθέλουσα νῦν μὲν ἔφη οἱ ξυγγενέσθαι αὐτὸν ἀξύμφορον εἶναι, μή τις ὑποψία μεταξὺ ἐπιγενομένη διακωλῦσαι τὰ πρασσόμενα ἱκανὴ εἴη· μέλλειν δὲ αὐτίκα δὴ μάλα ἐς τὴν ἕω παρὰ Βελισάριον στέλλεσθαι. ἐπειδὰν οὖν ἐκ H 44 Βυζαντίου ἀπαλλαγεῖσα ἐν τῷ προαστείῳ γένηται (ὃ Ῥουφινιαναὶ μὲν ὀνομάζεται, Βελισαρίου δὲ ἴδιον ἐτύγχανεν ὄν) ἐνταῦθα τὸν Ἰωάννην ὡς ἀσπασόμενόν τε καὶ προπέμψοντα ἥκειν, καὶ τούς τε λόγους περὶ τῶν ὅλων ποιήσασθαι καὶ τὰ πιστὰ λαβεῖν C τε καὶ δοῦναι. ταῦτα εἰποῦσα, εὖ τε τῷ Ἰωάννῃ εἰπεῖν ἔδοξε καὶ ἡμέρα τακτὴ ἐπὶ τῇ πράξει διώριστο. ἥ τε βασιλὶς τὸν πάντα λόγον παρὰ τῆς Ἀντωνίνης ἀκούσασα ἐπῄνει μὲν τὰ βεβουλευμένα, ἐγκελευομένη δὲ πολλῷ ἔτι μᾶλλον ἐς τὴν προθυμίαν ἐνῆγεν.

Ἐπειδή τε ἡ κυρία παρῆν, ἀσπασαμένη μὲν ἡ Ἀντωνίνα τὴν βασιλίδα ἐκ τῆς πόλεως ἀπηλλάσσετο, ἔν τε Ῥουφινιαναῖς ἐγένετο, ὡς τῇ ὑστεραίᾳ τῆς ἐπὶ τὴν ἕω ὁδοῦ ἀρξομένη, οὗ δὴ καὶ Ἰωάννης τὰ ξυγκείμενα ἐπιτελέσων ἐς νύκτα ἦλθεν. ἡ δὲ βασιλὶς

esset Deo visum, nullo conficeremus negotio. His Euphemia auditis prompto animo recipit operam suam minime defuturam: mox digressa, rem patri aperit. Ille dictis mirifice captus, cum sibi viam eo pacto ad vaticiniorum exitum atque imperium muniri existimaret, illicet assensus est, filiaeque iniunxit daret operam ut ipse postridie cum Antonina colloqueretur, quo posset coram fidem suam obstringere. De Ioannis consilio facta certior Antonina, eumque a cognitione veri quam longissime abducere cupiens, haec retulit: in praesenti quidem congressum id habere periculi, ne qua interveniret suspicio, quae inceptum everteret: sed propediem se in Orientem ituram ad Belisarium: ubi igitur profecta Byzantio in suburbanum Belisarii praetorium, cui nomen est Rufinianum, divertisset, eo ipsum oportere accedere, salutationis et honorariae deductionis obtentu: ibi se de re tota inter se collaturos ac fidem daturos mutuam. Probata hac Ioanni sententia, certa dicitur dies. Ubi technae seriem Augusta ab ipsamet Antonina accepit, non laudavit modo, sed stimulos etiam subdidit ad perficienda alacriter cogitata.

Condicto die, posteaquam Augustam Antonina salutavisset, egressa ex urbe sic Rufinianum petiit, quasi postridie coeptura inde iter in Orientem: eodem Ioannes ut conventa praestaret de nocte se contulit. Cuius

διαβάλλουσα πρὸς τὸν αὐτῆς ἄνδρα τὰ πρὸς Ἰωάννου ἐπὶ τῇ τυ-
D ραννίδι πρασσόμενα, Ναρσῆν τε τὸν εὐνοῦχον καὶ Μάρκελλον
τὸν τῶν ἐν παλατίῳ φυλακῶν ἄρχοντα ἐς Ῥουφινιανὰς ξὺν στρα-
τιώταις πολλοῖς ἔπεμψεν, ἐφ' ᾧ διερευνησάμενοι τὰ πρασσόμενα,
ἢν τὸν Ἰωάννην πράγμασι νεωτέροις ἐγχειροῦντα εὑρήσωσι, κτεί-
ναντες τὸν ἄνθρωπον εὐθὺς ἐπανήξουσι. καὶ οἱ μὲν ἐπὶ τῷ ἔργῳ
τούτῳ ἐστέλλοντο. φασὶ δὲ βασιλέα τῶν ποιουμένων αἰσθόμενον
τῶν τινα Ἰωάννῃ ἐπιτηδείων παρ' αὐτὸν πέμψαι, ἀπειροῦντα
αὐτῷ μηδαμῇ τῇ Ἀντωνίνῃ ἐντυχεῖν λάθρα. Ἰωάννης δὲ (χρῆν
γάρ αὐτῷ γενέσθαι κακῶς) τὴν βασιλέως ὑποθήκην ἐν ἀλογίᾳ 1
πεποιημένος ἀμφὶ νύκτα μέσην τῇ Ἀντωνίνῃ ξυνέμιξεν, αἱμασιᾶς
πού τινος ἄγχιστα, ἧς δὴ ὄπισθεν καθίσασα ἐτύγχανε τοὺς ἀμφὶ
P 78 Ναρσῆν τε καὶ Μάρκελλον, ὅπως τῶν λεγομένων ἀκούσειαν. ἐν-
ταῦθα Ἰωάννης μὲν ἀφυλάκτῳ στόματι τὰ ἐς τὴν ἐπίθεσιν ὡμο-
λόγει τε καὶ ὅρκοις δεινοτάτοις ἀπισχυρίζετο, Ναρσῆς δὲ αὐτῷ 1
καὶ Μάρκελλος ἐκ τοῦ αἰφνιδίου ἐπίστησαν. θορύβου δέ, ὡς τὸ
εἰκός, γενομένου οἱ τοῦ Ἰωάννου δορυφόροι (ἄγχιστα γάρ πη ἑστή-
κεσαν) παρ' αὐτὸν αὐτίκα ἐγένοντο. καὶ αὐτῶν τις Μάρκελλον,
οὐκ εἰδὼς ὅστις ποτὲ ἦν, ξίφει ἔπληξεν, οὕτω τε Ἰωάννης δια-
φυγεῖν ξὺν αὐτοῖς ἴσχυσεν, ἔς τε τὴν πόλιν κατὰ τάχος ἀφίκετο. 1
καὶ εἰ μὲν εὐθὺς ἐλθεῖν παρὰ τὸν βασιλέα ἐθάρσησεν, οἶμαι ἄν,
οὐδὲν ἐπεπόνθει πρὸς αὐτοῦ ἄχαρι· νῦν δὲ καταφυγὼν ἐς τὸ

1. αὐτῆς] αὐτῆς P. 5. εὑρήσωσι] εὑρήσουσι L. 18. αὐτῶν] L. αὐτὸν P.

machinas ad invadendam tyrannidem paratas cum Augusta marito in[...] casset, Narsetem Eunuchum et Marcellum custodiis Palatinis Praefect[...] cum valida militum manu in Rufinianum misit, mandavitque ut quae agerentur explorarent, ac si Ioannem res novas movere deprehender[...] mactarent hominem, redirentque e vestigio. Abiere illi, facturi iu[...] Simul Imperator quid in Ioannem cuderetur cognovit, ad eum fert[...] familiaribus ipsius quemdam submisisse, qui clandestinum cum Anto[...] congressum dissuaderet. Verum Ioannes, cui a Deo decretum erat [...] tium, in postremis habens Augusti monitum, circiter mediam noctem Antonina colloquium instituit proxime sepem, post quam illa Narset[...] Marcellum, ut quae dicerentur exciperent, disposuerat. Illic Io[...] dum ore incauto operam ad labefactandum Augustum suam pollicet[...] fidem gravissimis iuramentis astringit, in eum Narses et Marcell[...] ruunt. Facto autem, ut fieri necesse erat, strepitu excitati, qui procul constiterant, Ioannis satellites, ad ipsum extemplo con[...] Tunc quidam Marcellum, ignarus quis ille esset, gladio saucia[...] cum suis elapsus Ioannes in urbem se recepit praecipiti fuga: [...] recta ad Imperatorem ausus esset intendere seque illi offerre, non quin ei impune abire per ipsum licuisset. Iam vero in templum

ἱερὸν δέδωκα τῇ βασιλίδι κατ' ἐξουσίαν τῇ ἐς αὐτὸν ἐπιβουλῇ χρῆσθαι. B

Τότε μὲν οὖν ἐξ ὑπάρχων ἰδιώτης γενόμενος ἐς ἕτερον ἐνθένδε ἀναστὰς ἐκομίσθη, ὅπερ ἐν τῷ προαστείῳ Κυζίκου πόλεως ἵδρυται, Ἀρτάκην καλοῦσι Κυζικηνοὶ τὸ προάστειον. ἔνθα ἱερεὺς γενόμενος ἑκουσίως Πέτρον ἑαυτὸν μετωνόμασεν, οὐκ ἐπίσκοπον μέντοι, ἀλλ' ὅνπερ καλεῖν πρεσβύτερον νενομίκασιν. ὁ δὲ ἱερουργεῖν οὐχ ἥκιστα ἤθελεν, ὡς μή ποτε αὐτῷ ἐμπόδιον εἴη ἐς τὰς ἀρχὰς αὖθις ἰέναι· τῶν γὰρ ἐλπίδων μεθίεσθαι οὐδαμῇ ἤθελε. τὰ δὲ χρήματα ἐς τὸ δημόσιον ἀνάγραπτα εὐθὺς γέγονεν. ὧν δὴ αὐτῷ μοῖραν βασιλεὺς πολλὴν ἠφίει· ἔτι γὰρ τῇ ἐς τὸν αὐτὸν φειδοῖ εἴχετο. ἐνταῦθα παρῆν τῷ Ἰωάννῃ, ἀφροντιστήσαντι μὲν C κινδύνων ἁπάντων, χρήματα δὲ περιβεβλημένῳ μεγάλα, ὅσα τε αὐτὸς ἐτύγχανε κρύψας καὶ ὅσα βασιλέως γνώμῃ παρ' αὐτῷ ἔμεινε, τρυφᾶν τε κατ' ἐξουσίαν καὶ τὰ παρόντα ἡγεῖσθαι λογισμῷ σώφρονι εὐδαίμονα εἶναι. διὸ δὴ καὶ πάντες Ῥωμαῖοι ἐπὶ τῷ ἀνθρώπῳ ἀτεχνῶς ἤχθοντο, ὅτι δὴ πονηρότατος γεγονὼς δαιμόνων ἁπάντων βίον παρὰ τὴν ἀξίαν εὐδαιμονέστερον ἢ πρότερον ἔχοι. ἀλλ' ὁ θεός, οἶμαι, οὐκ ἤνεγκεν ἐς τοῦτο τὴν τίσιν Ἰωάννῃ ἀποκεκρίσθαι, ἐπὶ μέγα τε αὐτῷ τὴν κόλασιν ἐξηρτύετο. ἐγίνετο δὲ ὧδε.

6. ἑκουσίως AH. ἀκουσίως P ex coniectura Alemanni ad Anecd. p. 7. (93. ed. Malt.) 19. ἔχοι] ἔχοι^{s} L, s a m. sec.

giens, spatium Augustae ac potestatem reliquit explendi in se conċepti odii.

Quo tempore e Praefectura in ordinem deiectus privatae vitae, ex aede sacra, cui se commiserat, ad alteram in suburbio Cyziceno, quod appellant Artacen, positam deportatus est. Ibi nomen Petri induit, Sacerdos invite factus, non utique Episcopus, sed Presbyter, ut vulgo vocant. At numquam sacris voluit operari, ne sibi reditum ad civiles dignitates praecluderet: neque enim ut spes insanas abiiceret induci poterat. Continuo publicata sunt eius bona: quorum tamen partem haud exiguam Augustus ipsi remisit, eum adhuc indulgenter habens. In eo secessu Ioannes metu vacuus, grandique vallatus pecunia partim a se abdita, partim benignitate Principis concessa, habebat unde lautissime viveret, ac si eius conditionem non cupiditatis, sed rationis modo metiaris, beatus erat. Romanis universis indignationem movebat commodior multo quam antea vita hominis, qui improbitate Daemones omnes superabat. Non tulit, opinor, Deus, ut poenarum eius hic esset finis: ad graviora ipsum reservabat supplicia, quae nefarius hoc modo luit.

D Ἦν τις ἐν Κυζίκῳ ἐπίσκοπος Εὐσέβιος ὄνομα, χαλεπὸς ἅπασι τοῖς ἐντυγχάνουσιν, Ἰωάννου οὐδέν τι ἧσσον· τοῦτον Κυζικηνοὶ βασιλεῖ διαβάλλοντες ἐς δίκην ἐκάλουν. ἐπεὶ δὲ οὐδὲν ἤνυον, δυνάμει αὐτοὺς περιελθόντος Εὐσεβίου πολλῇ, ξυμφρονήσαντες νεανίαι τινὲς ἐν τῇ Κυζίκου ἀγορᾷ κτείνουσιν. ἐτύγχανε δὲ Ἰωάννης τῷ Εὐσεβίῳ διάφορος γεγονὼς μάλιστα, καὶ ἀπ᾽ αὐτοῦ ἡ τῆς ἐπιβουλῆς ὑποψία ἐς αὐτὸν ἦλθε. στέλλονται τοίνυν H 45 ἐκ βουλῆς ἄνδρες διερευνησόμενοι τὸ μίασμα τοῦτο· οἳ δὴ τὸν Ἰωάννην πρῶτα μὲν ἐν δεσμωτηρίῳ καθεῖρξαν, ἔπειτα δὲ ἄνδρα P 79 ὕπαρχον δυνατὸν οὕτω γενόμενον, ἐς πατρικίους δὲ ἀναγραφέντα καὶ ἐς τῶν ὑπάτων ἀναβεβηκότα τὸν δίφρον, οὗ μεῖζον εἶναι οὐδὲν ἔν γε τῇ Ῥωμαίων πολιτείᾳ δοκεῖ, ἔστησάν τε γυμνὸν, ἅτε ληστήν τινα ἢ λωποδύτην, καὶ ξαίνοντες κατὰ τοῦ νώτου πολλὰς εἰπεῖν τὰ βεβιωμένα ἠνάγκαζον. καὶ τοῦ μὲν Εὐσεβίου φόνου αἴτιος Ἰωάννης οὐ λίαν ἐξελήλεγκτο, ἐῴκει μέντοι ἡ τοῦ θεοῦ δίκη ποινὰς αὐτὸν τῆς οἰκουμένης ἐσπραττομένη. ἔπειτα δὲ τὰ χρήματα πάντα ἀφελόμενοι γυμνὸν ἐς τὴν ναῦν εἰσεβίβασαν, ἱμάτιον ἓν, καὶ τοῦτο τραχὺ κομιδῆ, ἀμπεχόμενον, ὀβολῶν ὠνηB θὲν ὀλίγων τινῶν, οἵ τε αὐτὸν παραπέμποντες ὅπη ἂν ἡ ναῦς ὁρμισθείη ἐκέλευον ἄρτον ἢ ὀβολοὺς ἐκ τῶν προσπιπτόντων αἰτεῖσθαι. οὕτω τε πτωχεύων πανταχόθι τῆς πορείας τῆς Αἰγύπτου ἐς τὴν Ἀντινόου κομίζεται. καὶ τρίτον τοῦτο ἔτος αὐτὸν ἐνταῦθα

2. ἐντυγχάνουσιν L. ἐντυγχάνουσι P. 15. ἐξελήλεγκτο] ἐξελήλεκτο HL. 16. οἰκουμένης A correctus: οἰκονομίας a pr. m.

Erat Cyzici Episcopus Eusebius, homo omnibus, in quos incidebat, non minus importunus quam Ioannes. Eius nomen ad Imperatorem Cyziceni detulerant: sed cum nihil proficerent adversus opes et gratiam, qua ipsos circumveniebat Eusebius, conspirarunt iuvenes aliquot, eumque in foro Cyziceno interfecerunt. Odio capitali Ioannes ab Eusebio dissidebat: quamobrem in ipsum collata est machinationis suspicio. Missi ex Senatu qui de scelere inquirerent, primum quidem Ioannem in vincula coniecerunt: deinde nudum non secus ac latronem aut grassatorem iussere sisti, virum, qui et Praetorii Praefecturam gesserat, qui Patriciorum ordini fuerat ascriptus, qui ad sellam consularem, qua nihil maius in Rep. Romana videtur esse, ascenderat. Hic ille secto verberibus dorso, anteactam vitam exponere coactus est. Ac necis quidem Eusebii auctorem ipsum extitisse non ita liquebat: verum divina iustitia ab eo vexati terrarum orbis poenas exigere videbatur. Omnibus demum facultatibus atque adeo vestibus exutum, et una admodum togula eaque oppido aspera ac paucis empta obolis contectum imposuere in navim. Qui autem ipsum ducebant, quocumque appellerent, in terram expositum ab obviis panem aut obolos petere subigebant. Ita per Aegyptum, quacumque transiit, mendicans Antinoopolin venit, iamque anni sunt tres cum

καθείρξαντες τηροῦσιν. ὁ δὲ, καίπερ ἐν τοιούτοις γεγονὼς πάθεσιν, οὐδὲ τὴν τῆς βασιλείας ἐλπίδα μεθῆκεν, ἀλλὰ καὶ Ἀλεξανδρέων τινὰς, ἅτε τῷ δημοσίῳ χρυσίον ὀφείλοντας, διαβαλεῖν ἔγνω. Ἰωάννην μὲν οὖν τὸν Καππαδόκην δέκα ἐνιαυτοῖς ὕστερον αὕτη τῶν πεπολιτευμένων κατέλαβε τίσις.

κϛʹ. Τότε δὲ βασιλεὺς στρατηγόν τε τῆς ἑῴας αὖθις Βελισάριον C κατεστήσατο καὶ ἐς Λιβύην πέμψας τὴν χώραν ἔσχεν, ὥσπερ ἐν τοῖς ὄπισθεν λελέξεται λόγοις. ὅπερ ἐπεὶ ἔς τε Χοσρόην καὶ Πέρσας ἦλθε, δεινῶς ἤσχαλλον, καὶ αὐτοῖς τὴν εἰρήνην ἐς Ῥωμαίους πεποιημένοις μετέμελεν ἤδη, ὅτι δὴ αὐτοῖς τὴν δύναμιν ἐπὶ μέγα χωρεῖν ᾔσθοντο. πέμψας τε ὁ Χοσρόης ἐς Βυζάντιον πρέσβεις, ξυγχαίρειν τε Ἰουστινιανῷ τῷ βασιλεῖ ἔφασκε καὶ τὸ μέρος λαβεῖν ξὺν γέλωτι δῆθεν τῶν ἐκ Λιβύης λαφύρων ἠξίου, ὅτι δὴ οὐκ ἄν ποτε Βανδίλων τῷ πολέμῳ περιέσεσθαι ἴσχυσεν, εἰ D μὴ αὐτῷ Πέρσαι ἐσπείσαντο. τότε μὲν οὖν Χοσρόην Ἰουστινιανὸς χρήμασι δωρησάμενος τοὺς πρέσβεις οὐκ εἰς μακρὰν ἀπεπέμψατο.

Ἐν δὲ πόλει Δάρας τοιόνδε τι ξυνέβη γενέσθαι. Ἰωάννης τις ἦν ἐνταῦθα ἐν καταλόγῳ τεταγμένος πεζῶν· οὗτος οὐχ ἁπάντων P 80 οἱ ξυμφρονούντων στρατιωτῶν, ἀλλ' ὀλίγων τινῶν, τυραννίδι ἐπιθέμενος τὴν πόλιν ἔσχεν. ἔν τε παλατίῳ καθήμενος, ὥσπερ ἐν ἀκροπόλει, τὴν τυραννίδα ἐκρατύνετο ἡμέρᾳ ἑκάστῃ. καὶ εἰ μὴ Πέρσας ἔχεσθαι εἰρήνης εἰς τοὺς Ῥωμαίους τηνικαῦτα

9. ἦλθε L. ἦλθεν P. 18. ἁπάντων] τῶν add. L.

Ibi in carcere asservatur. Ac ne in tanta quidem calamitate deposuit spem imperii: quin ausus est nuper Alexandrinos nonnullos de pecunia, quam aerario debebant, interpellare. Sic igitur Ioannem Cappadocem decimo magistratus anno poena corripuit, eorum vindex, quae in rei administratione publicae commiserat.

26. Post compressam seditionem Augustus Magistrum militum per Orientem iterum creavit Belisarium; eundem misit in Africam, et hanc per ipsum recepit: uti postea in propriis ea de re libris dicemus. Horum successuum fama tam acriter Chosroem Persasque pupugit, ut ipsos pacis poeniteret cum Romanis compositae, quorum opes magno iam opere auctas intelligebant. Tamen Chosroes Legatos destinavit Byzantium, et Iustiniano Aug. victoriam gratulari se dicens, per iocum partem spoliorum Libycorum petiit, vel eo sibi nomine debitam, quod nisi pacem cum ipso Persae pepigissent, nunquam potuisset Vandalos debellare. Tunc Iustinianus pecunia donavit Chosroem, et Legatos eius remisit brevi.

In urbe vero Dara res contigit eiuscemodi. Ibi Ioannes quidam agebat in peditum numero. Iste militum aliquot manum (plerique enim extra coniurationem erant) cum sibi applicuisset, tyrannidem affectans, urbem occupavit. Palatium in primis pro arce habens dominatum sibi in dies magis ac magis asserebat. Profecto nisi Persae tunc temporis in pace mansissent nobiscum inita, inde Romana res vulnus accepisset im-

ξυνέβη, ἀνήκεστα ἂν ἐνθένδε Ῥωμαίοις ἐγεγόνει κακά. νῦν δὲ τοῦτο ἐκώλυσε φθάσασα, ὥσπερ μοι ἐῤῥήθη, ἡ ξύμβασις. ἡμέρᾳ δὲ ἀπὸ τῆς τυραννίδος τετάρτῃ ξυμφρονήσαντες στρατιῶται, γνώμῃ Μάμαντός τε τοῦ τῆς πόλεως ἱερέως καὶ Ἀναστασίου τῶν δοκίμων τινὸς πολιτῶν, εἰς τὸ παλάτιον μεσημβρίας ἀκμα-
B ζούσης ἀνέβησαν, κρύψας ἕκαστος ὑπὸ τῷ ἱματίῳ ξιφίδιον. καὶ πρῶτα μὲν ἐν τῇ μεταύλῳ θύρᾳ τῶν δορυφόρων εὑρόντες ὀλίγους τινὰς εὐθὺς ἔκτειναν, ἔπειτα δὲ καὶ εἰς τὸν ἀνδρῶνα ἐσβάντες τοῦ τυράννου ἥπτοντο· τινὲς δέ φασιν οὐ τοὺς στρατιώτας αὐτὸ πρώτους ἐργάσασθαι, ἀλλ' αὐτῶν ἔτι μελλόντων τε ἐν τῇ μεταύλῳ καὶ κατωῤῥωδηκότων τὸν κίνδυνον, τῶν τινα ἀλλαντοπωλῶν ξὺν αὐτοῖς ὄντα ἐσπηδῆσαί τε ξὺν τῇ κοπίδι καὶ τῷ Ἰωάννῃ ἐντυχόντα ἀπροσδοκήτως παῖσαι. καὶ τὸν οὐ πληγέντα μὲν καιρίαν πληγὴν, ξὺν θορύβῳ δὲ πολλῷ φεύγοντα, ἐς τούτους δὴ τοὺς στρατιώτας ἐμπεσεῖν
C ἄφνω. οὕτω τε τοῦ ἀνθρώπου αὐτοὺς ἁψαμένους πῦρ μὲν αὐτίκα τῷ παλατίῳ ὑφάψαντας καῦσαι, ὡς μή τις ἐλπὶς ἐνθένδε ἀπολειφθείη τοῖς τὰ νεώτερα πράγματα πράσσουσιν, αὐτὸν δὲ ἐς τὸ δεσμωτήριον ἀπαγαγόντας δῆσαι. καὶ αὐτῶν τινα δείσαντα μὴ οἱ στρατιῶται περιεῖναι τὸν τύραννον γνόντες πράγματα τῇ πόλει αὖθις παράσχωνται, κτεῖναί τε τὸν Ἰωάννην, καὶ τούτῳ δὴ τῷ τρόπῳ τὴν ταραχὴν παῦσαι. τὰ μὲν οὖν ἀμφὶ ταύτῃ τῇ τυραννίδι τῇδε ἐχώρησεν.

2. ἐρρήθη] ἐῤῥέθη P. 7. μεταύλῳ L. μεσαύλῳ P. 10. ἐργα-σασθαι] εἰργάσθαι L. Quod ex Reg. affert Maltretus.

medicabile: sed ante sancita, ut dixi, concordia illud avertit. Quar demum a tyrannide incepta die conspirarunt inter se milites, et de se tentia Mamantis, qui civitatis antistes erat, atque Anastasii civis pri rii ad palatium ascenderunt ipso meridie: abditam sub veste si quisque gestabat. Ac primum cum pro ianua inter aulam utramque dia paucos satellites offendissent, confecere illico: deinde andronem gressi tyranno manus iniecere. Tradunt nonnulli primam huius noris laudem non deberi militibus, sed fartori cuidam ipsis perm qui, dum hi metu cunctarentur ad ianuam, intro cum cultro culi insiluerit, deque improviso percusserit Ioannem obvium: hunc vero minime letali accepta cum magna perturbatione fugisse, ac praete nionem incidisse in milites; illoque ab his correpto, mox palati censum, ut rerum novarum cupidis nulla praesidii spes reliqua abductum deinde Ioannem in carcerem vinctumque: tandem a q interfectum, verito scilicet ne milites, si audirent tyrannum vive gotium denuo civitati facesserent: atque ita compressum fuisse Hunc illa tyrannis cursum, hunc exitum habuit.

EPITOME LIBRI I. P 81 V 277

DE BELLO PERSICO.

E BIBLIOTH. PHOTII, COD. LXIII.

INTERPRETE ANDREA SCHOTTO, E SOC. IESU.

α'. Ἀνεγνώσθη Προκοπίου τοῦ ῥήτορος ἱστορικὸν ἐν βιβλίοις ὀκτώ. ἱστορεῖ δὲ τὰ ἐπὶ Ἰουστινιανοῦ συνενεχθέντα πρός τε Πέρσας Ῥωμαίοις καὶ πρὸς Βανδίλους καὶ Γότθους, ἃ Βελισάριος στρατηγῶν διεπράξατο μάλιστα· ᾧ καὶ τὰ πολλὰ ὁ ῥήτωρ συνὼν τὴν ἱστορίαν ἐξ ὧν ὄψει παρείληφε συνεγράψατο.

β'. Ἐν μὲν οὖν τῷ πρώτῳ βιβλίῳ διέξεισιν ὡς ἀποβιοὺς Ἀρκάδιος ὁ Ῥωμαίων βασιλεὺς Θεοδοσίῳ τῷ παιδὶ Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα κηδεμόνα κατέλιπεν ἐν ταῖς διαθήκαις, ὁ δὲ ταύτας δεξάμενος ἐπετρόπευσε τοῦ παιδὸς σωφρόνως καὶ Θεοδοσίῳ τὴν βασιλείαν διεσώσατο. εἶτα Οὐαραράνης τὸν Ἰσδιγέρδην B τελευτήσαντα διαδεξάμενος ἐστράτευσεν ἐπὶ Ῥωμαίους· Ἀνατολίου δὲ τοῦ τῆς ἑῴας στρατηγοῦ παρὰ τοῦ Θεοδοσίου εἰς Πέρσας

3. Βελισάριος] Βελισσάριος P.

1. Leguntur Procopii rhetoris historiarum libri octo. Narrat quae sub Iustiniano Imperatore Romani cum Persis, Vandalis ac Gotthis gesserunt, ductu potissimum Belisarii, belli Imperatoris, cum quo rhetor hic diu multumque familiariter versatus, quae oculis spectaverat, memoriae mandavit.

2. Primo itaque libro isthaec commemorat. Arcadius Rom. Imperator vita functus Theodosio filio tutorem Isdigerdem Regem Persarum testamenti tabulis reliquit. Quibus ille tabulis acceptis, puerum liberaliter eduxit, regnumque illi sartum tectum servavit. Inde Vararanes, Isdigerda mortuo, succedens, contra Romanos bellum movit. Verum Anato-

ἐπὶ πρεσβείᾳ σταλέντος Οὐαραράνης ὁ Περσῶν βασιλεὺς τὴν πρεσβείαν δεξάμενος ὑπέστρεψε σπονδὰς θέμενος.

γʹ. Εἶτα Περόζης ὁ Περσῶν βασιλεὺς, Ἰσδιγέρδην ἄλλον τὸν Οὐαραράνου παῖδα διαδεξάμενος, ἐπολέμησε πρὸς Οὔννους, ἔθνος οὕτω καλουμένους Ἐφθαλίτας, οὓς καὶ λευκοὺς καλοῦσι· λευκοὶ γάρ εἰσι καὶ οὐκ ἄμφορφοι τὰς ὄψεις, οὐδ' ὅμοιοι τοῖς ἄλλοις Οὔννοις· οὔτε γὰρ νομαδικοί εἰσιν οὔτε ἄγριοι, ἀλλὰ πο-
C λιτείᾳ τε νομίμῳ χρῶνται καὶ ὑπὸ σφῶν βασιλέα τάττονται. προσοικοῦσι δὲ πρὸς βορρᾶν ἄνεμον Πέρσαις· διὸ καὶ ὁροθεσίων ἕνεκα ἐπὶ τοὺς Ἐφθαλίτας Περόζης ἐστράτευσεν. ἀλλὰ τὸ μὲν πρῶτον δυσχωρίαις περιπεσὼν ἐκ προνοίας τῶν Ἐφθαλιτῶν, αἰσχρῶς καὶ μόλις σπονδὰς θέμενος ὑπέστρεψε. προσεκύνησε γὰρ ἅτε κύριον τὸν βασιλέα τῶν Ἐφθαλιτῶν, καὶ μήποτε ἐπιστρατεύειν διομοσάμενος ἀπηλλάγη.

δʹ. Παρασπονδήσας δὲ ὕστερον καὶ ἐπιστρατεύσας ἀκλεῶς ἅμα τῷ παντὶ στρατῷ διεφθάρη, τάφροις τισὶ καὶ διώρυξι περιπεσὼν διεσκευασμένοις, τέταρτον καὶ εἰκοστὸν τῆς βασιλείας αὐτοῦ
P 82 ἐλαύνων ἐνιαυτόν. ἐν ᾧ καὶ τὸν πολυθρύλητον μάργαρον, ὅσπερ ἐξ ὠτὸς τοῦ δεξιοῦ Περόζου ἀπεκρέματο, συνέβη ἀφανισθῆναι.

18. πολυθρύλητον Bess. (h. e. codex Bessarioneus) πολυθρύλλητον P. *ibid.* Scholion, ὅτι οἱ μαργαρῖται καὶ μάργαροι λέγονται καὶ μαργαρίδαι. εὕρηται γὰρ ὁ μάργαρος παρά τε Προκοπίῳ τῷ ῥήτορι καὶ ἄλλοις ἀξιολόγοις, τὸ δὲ μαργαρίδαι παρά τε Πραξαγόρᾳ ἰωνίζοντι ἐν τῇ περὶ τὸν μέγαν Κωνσταντῖνον δευτέρᾳ ἱστορίᾳ καὶ παρ' ἄλλοις. οἱ δὲ μαργαρῖται σύνηθες καὶ πολὺ ἐν τῇ χρήσει.

lio, duce Orientis, ad Persas in legationem a Theodosio misso, Vararanes Persarum Rex legatione audita, domum icto foedere revertit.

3. Post haec Perozes Persarum Rex Isdigerdam alterum Vararanae filium excipiens, iis Hunnis bellum intulit, qui Ephthalitae et Candidi nominantur. Sunt enim albi coloris: utque egregia specie, sic et caeteris Hunnis dissimiles. Neque Numidarum ritu vagantur, vel agrestes sunt: sed civilem inter ipsos societatem legibus tuentur, Regibusque suis subiiciuntur. Hi ad Boream Persis finitimi sunt. Quamobrem etiam finium terminorumque causa in Ephthalitas Perozes exercitum duxit. Sed Ephthalitarum vafricie, ad iniqua primum loca delatus, ignominiose et vix salutem pactus, rediit. Adorans enim tanquam dominum Ephthalitarum Regem, et nunquam postea bellum se moturum iureiurando confirmans, evasit.

3. Rupto tamen ille postea foedere, ductisque iterum copiis, foede simul cum omni exercitu periit, fossis quibusdam ac puteis ab hoste comparatis haustus, cum quartum et vicesimum regnaret annum. Quando et celebratus ille unio, quem dextera gestabat aure, periit.

ε'. Εἶτα μετὰ Περόζην ὁ νεώτατος υἱὸς Καβάδης ὡς ἐβασίλευσεν, ὅπως τε παρανομῶν εἰς τὸ τῆς λήθης φρούριον ὑπ' αὐτῶν Περσῶν ἐνετέθη.

ς'. Ὅπως τε λαθὼν διὰ τῆς γυναικὸς εἰς τοὺς Ἐφθαλίτας ἀπέδρα, καὶ ὅπως ἐκεῖσε κηδεύσας, στρατῷ μεγάλῳ Ἐφθαλιτῶν ἐπὶ Πέρσας ἐλάσας, ἀμαχητὶ τὴν ἀρχὴν ἀνεκτήσατο, καὶ Βλάσιν τὸν Περόζου ἀδελφὸν ἀντ' αὐτοῦ βασιλεύσαντα ἔρημον λαβὼν τῶν ἀμυνομένων ἐξετύφλωσε, ζέον ἔλαιον τοῖς ὀφθαλμοῖς ἠνεῳγμένοις B ἐπεγχέας· τρόπῳ γὰρ τῷδε Πέρσαι τυφλοῦσιν. τά τε περὶ Πακουρίου τοῦ Περσῶν βασιλέως καὶ Ἀρσάκου Ἀρμενίων, τῆς τε τῶν ἐπαοιδῶν ὑποθήκης κατὰ Ἀρσάκου τῷ Πακουρίῳ γεγενημένης, εἰ μὴ μῦθος ταῦτα, συνέθετο.

ζ'. Ὅτι Καβάδης ὁ προειρημένος ὀφλὼν Ἐφθαλίταις χρήματα Ἀναστάσιον βασιλέα ᾐτεῖτό οἱ δανεῖσαι, τοῦ δὲ μὴ δόντος, ἄνευ ἄλλης αἰτίας ἀθρόον πολλὰ τῆς Ἀρμενίας κατέδραμε καὶ Ἀμίδαν ἐπολιόρκει, ἀπορήσας δὲ ἀνεχώρει. ἀναχωροῦντι δὲ ἡ τῶν ἑταιρίδων γυναικῶν αἰσχροπραγμοσύνη αἰτία τῆς ὑποστροφῆς C κατέστη, καὶ πολιορκήσας θυμῷ καὶ ὀργῇ Καβάδης τήν τε πόλιν V 278 κατὰ κράτος ἔσχε καὶ τοὺς ἐν αὐτῇ ἠνδραποδίσατο. ὕστερον δὲ πολλοὺς τῶν αἰχμαλώτων ἀφῆκε προῖκα, οὓς καὶ Ἀναστάσιος ἐς τὰ μάλιστα ἐφιλοφρονήσατο.

2. τε Bess. δὲ P. 6. βλάσιν Bess. Βλάσην P. 8. ἠνεφγμένοις Bess. ἀνεφγμένοις P. 13. ὀφλὼν] ὄφλων P.

5. Dehinc post Perozen Cabades, minimus natu filius, regnum excepit. Is violatarum legum reus factus, in custodiam, cui *Lethes* nomen, ab ipsis Persis missus est.

6. Uxoris tandem fraude dilapsus, ad Ephthalitas confugit: quorum cum ingentem collegisset exercitum, quem in Persas duxit, regnum sine pugna recuperavit, et Blasen Perozi fratrem iam tum pro se regnantem, desertum a suis captumque, oleo ferventi in oculos misso (sic enim Persis solenne est) excaecavit. Quae insuper Pacurium inter Persarum Regem et Arsacen Armeniorum contigerunt, deque Magorum consilio Pacurio contra Arsacen dato, nisi fabulosa haec sunt, scripsit auctor.

7. Idem ille Cabades Ephthalitis ingenti aere obstrictus, ab Anastasio Imp. pecuniam mutuam postulavit. Quam ubi non impetravit, nulla alia de causa repentina incursione bonam Armeniae partem vastavit, Amidamque obsedit. Dum vero ab ea, potiundae spe amissa, recedit, foedum meretricularum spectaculum iterandae obsidionis causam praebuit. Ira igitur ac furore percitus Cabades in obsidione perdurans, urbem vi expugnat, civesque servos esse iubet. Postea tamen plerosque captivos gratis domum remisit: quos et Anastasius omni est benevolentiae genere complexus.

η'. Ὅτι πολιορκουμένην Ἄμιδαν μαθὼν Ἀναστάσιος στρατεύματος πλῆθος λίαν κατὰ Περσῶν ἔστειλε, στρατηγοὺς ἐπιστήσας Ἀρεόβινδόν τε τῆς ἑῴας στρατηγόν, ὃς ἦν Ὀλυβρίου κηδεστής, τοῦ μικρῷ πρόσθεν τῆς ἑσπέρας βασιλεύσαντος, Κέλερά τε τὸν μάγιστρον Πατρίκιόν τε τὸν Φρύγα καὶ Ὑπάτιον τὸν
D οἰκεῖον ἀδελφιδοῦν. οὗτοι μὲν οὖν στρατηγοὶ τέσσαρες, συνῆν δὲ αὐτοῖς καὶ Ἰουστῖνος ὁ μετὰ Ἀναστάσιον βασιλεύσας, ἄλλοι τε πολλοὶ καὶ ἀγαθοὶ τὰ πολέμια. στράτευμα γὰρ τοιοῦτον οὔποτε ἐπὶ Πέρσας Ῥωμαίοις φασὶ ξυστῆναι. ἀλλ' ὑστερησάντων ἡ πόλις ἑάλω, καὶ οὐχ ἅμα Καβάδῃ πολεμήσαντες, ἀλλὰ χωρὶς ἕκαστοι, ἀκλεῶς ἀπηλλάγησαν, πολλοὺς τῶν οἰκείων ἀποβαλόντες.

θ'. Ὕστερον δὲ ἐς Ἄμιδαν ἀφικόμενοι ἐπολιόρκουν τὴν πόλιν· χρονοτριβούντων δὲ οἱ ἐντὸς Πέρσαι, ἤδη δὲ καὶ ἀπορούμενοι, ἐς σπονδὰς Ῥωμαίοις ἔτεσιν ἑπτὰ συνέβησαν, Κέλερος μὲν ὑπὲρ Ῥωμαίων, Ἀσπευέδου δὲ ἀντὶ Περσῶν αὐτὰς ποιησαμένων.

P 83 ι'. Ὅτι τὸ Κιλίκων ὄρος ὁ Ταῦρος ἀμείβει μὲν τὰ πρῶτα Καππαδόκας καὶ Ἀρμενίους καὶ τῶν Περσαρμενίων τὴν γῆν, εἶτα Ἀλβανοὺς καὶ Ἴβηρας, καὶ ὅσα ἄλλα αὐτόνομα ἔθνη καὶ Πέρσαις κατήκοα ταύτῃ ᾤκηνται. ὑπερβάντι δὲ τοὺς Ἰβήρων ὅρους ἀτραπός ἐστιν ἐν στενοχωρίᾳ πολλῇ ἐπὶ σταδίους πεντήκοντα.

3. ὀλυβρίου Bess. Ὀλυμβρίου P. 7. βασιλεύσας Bess. βασιλεὺς P.
22. πεντήκοντα Bess. ξ' P.

8. Cognito vero Amidam obsideri, ingentes admodum adversus Persas Anastasius copias misit, creatis ducibus Areobindo Orientis Duce, qui Olybrii, eius qui paulo ante in Occidente imperaverat, gener erat: Celere item Magistro: Patricio quoque Phryge, et Hypatio cognato patruele. Ad quatuor autem hosce duces accesserunt et Iustinus, qui Anastasii imperium excepit, aliique plurimi bello praestantes viri. Exercitum tantum nunquam a Romanis in Persas missum ferunt. At dum moram cunctando nectunt, capta civitas est. Neque simul omnes cum Cabade conserta manu conflixerunt; sed seorsim singuli turpiter victi, multis suorum desideratis, discesserunt.

9. Tandem tamen ductis ad Amidam copiis, urbem cinxerunt, diuque haerentes Romani Persas inclusos et rerum inopia laborantes ad septem annorum inducias compulerunt, auctoribus Celere Romano, et Aspeuede Persa.

10. Taurus Cilicum mons per Cappadocas primum et Armenios sese extendit ac terram, quos vocant, Persarmeniorum. Dehinc per Albanos porrigitur, et Iberos, et quascumque alias sui iuris gentes, quae Persis dicto audientes iis in locis habitant. Praetergresso vero Iberorum fines, semita quaedam occurrit angustissima, stadiis fere sexaginta

ἐξικνουμένη, αὕτη τε ἡ ἀτραπὸς ἐς ἀπότομόν τινα καὶ ὅλως ἄβατον τελευτᾷ χῶρον· δίοδος γὰρ οὐδεμία φαίνεται, πλήν γε δὴ ὅτι ὥσπερ τινὰ χειροποίητον πυλίδα ἐνταῦθα ἡ φύσις ἐξεῦρεν, ἣ Κασπία ἐκ παλαιοῦ ἐκλήθη. τὸ δὲ ἐνθένδε πεδία τέ ἐστιν ἱπ- B
πήλατα καὶ ὑδάτων πολλῶν ἀτέχνως ἔμπλεα, καὶ χώρα πολλὴ ἱππόβοτός τε καὶ ἄλλως ὑπτία, οὗ δὴ τὰ Οὔννων ἔθνη σχεδόν τι πάντα ἵδρυται ἄχρι ἐς τὴν Μαιῶτιν διήκοντα λίμνην. οὗτοι δὴ ἢν μὲν διὰ τῆς πυλίδος, ἧς ἄρτι ἐμνήσθην, ἴωσιν ἐς τὰ Περσῶν καὶ Ῥωμαίων ἤθη, ἀκραιφνέσι τοῖς ἵπποις ἵενται· μόνοις γὰρ τοῖς εἰρημένοις πεντήκοντα σταδίοις τῆς δυσχωρίας ταλαιπωροῦνται, οἵπερ ἐς τοὺς Ἰβηρίας ὅρους, ὥσπερ ἐρρήθη, διήκουσιν· ἐπ' ἄλλας δέ τινας ἐξόδους ἰόντες πόνῳ τε πολλῷ καὶ μόλις εἰς τὰ Περσῶν καὶ Ῥωμαίων ἤθη παραγίνονται. ὅπερ ἐπειδὴ ὁ Φιλίππου Ἀλέξανδρος κατενόησε, πύλας τε ἐν χώρῳ τῷ εἰρημένῳ ἐτεκτήνατο καὶ φυλακτήριον κατεστήσατο. τοῦτο C
ἐν ταῖς Ἀναστασίου ἡμέραις Ἀμβαζούκης κατεῖχεν, Οὖννος μὲν τὸ γένος, Ῥωμαίοις δὲ καὶ Ἀναστασίῳ φίλος, ὃς καὶ ἐνεχείριζεν Ἀναστασίῳ τὰς πύλας. ὁ δὲ τῆς μὲν προθυμίας ἀπεδέχετο, οὐκ ἀνεδέχετο δὲ τὴν φροντίδα. Καβάδης δὲ τελευτήσαντος Ἀμβαζούκου ἐβιάσατο τοὺς παῖδας καὶ τὰς πύλας ἔσχεν. Ἀναστάσιος δὲ, ἐπεὶ αἱ πρὸς Καβάδην ἐγένοντο σπονδαὶ, πόλιν ἐδείματο ἐν χωρίῳ Δαρᾶς ἐχυρὰν Περσῶν οὐκ ἐθελόντων, καὶ ἑτέραν πόλιν

5. ἀτέχνως Bess. ἀτεχνῶς P. 9. ἵενται] ἴενται P. 10. πεντήκοντα Bess. ἑξήκοντα P. 11. ἐς Bess. εἰς P. 22. δαρᾶς ἐχυρὰν Bess. Δαῤῥᾶς καὶ ἀγχοῦ P.

producta, quae in abruptum quemdam penitusque invium desinit locum: ubi neque transitus apparet ullus, praeterquam porta tamquam manu constructa, ibidem a natura constituta, quae *Caspia* antiquitus dicta. Ultra eam portam campi sunt equitationi accommodi et nativis aquis referti, ac regio multa equis pascendis et plana: ubi Hunnorum fere gentes omnes habitant, usque ad Maeotidem pertinentes paludem. Hi si quando per Caspiam portam, cuius modo memini, in Persarum et Romanorum regionem tendunt, integris equis quam incitatissimo cursu feruntur. Nam sexaginta his dumtaxat, stadiis, quae, ut diximus, ad Iberiae fines pertingunt, cum loci difficultate conflictantur: cum tamen per alios quosdam exitus profecti, magno labore aegre aliquando in Persarum ac Romanorum oram perveniant. Quod ubi Alexander Philippi filius animadvertit, portas in dicto loco exaedificavit, praesidioque ibidem relicto munivit. Id munimentum Anastasii Imp. temporibus Ambazuces tenuit, domo Hunnus, Romanorum et Anastasii amicus, qui et Portas illas eidem principi tradidit. Ille benevolentiam quidem suscepit; at loci curam non item. Itaque Cabades, mortuo Ambazuce, deiectis per vim eius liberis, portas occupavit. Anastasius pactis cum Cabade induciis urbem [*de suo nomine*] aedificavit in regione Daras prope limites regni

D ἐν Ἀρμενίοις ἐγγυτάτω τῶν Περσαρμενίας ὁρίων, ἥτις πρὶν ἐκαλεῖτο Θεοδοσιούπολις, ἅτε Θεοδοσίου πόλεως αὐτῇ ἀξίωμα ἀντὶ κώμης περιθεμένου.

ια'. Ὅτι Ἀναστασίου τελευτήσαντος, καίτοι πολλῶν ὄντων τῶν πρὸς γένους ἀξίων τῆς βασιλείας, πάντων ταύτης ἀπεληλαμένων Ἰουστῖνος τὴν ἀρχὴν διεδέξατο· πρὸς ὃν Καβάδης Χοσρόῃ τῷ νεωτάτῳ παιδὶ τὴν βασιλείαν μέλλων ἀσφαλῶς καταλιπεῖν, γράμματα ἔγραψεν υἱοποιηθῆναι αὐτῷ τὸν Χοσρόην αἰτούμενος. Ἰουστῖνος δὲ περιχαρὴς ἐδέξατο τὴν αἴτησιν, ἀλλά γε δὴ καὶ Ἰουστινιανὸς ὁ ἀνεψιὸς ἤδη ἐπίδοξος ὢν τὴν βασιλείαν ἐκδέξασθαι. ἀλλὰ Πρόκλου τοῦ κοιαίστορος ταῖς συμβουλαῖς
P 84 μετέμελε τὰ δόξαντα, καὶ Χοσρόης ἐσποιητὸς υἱὸς Ἰουστίνῳ οὐκ
V 279 ἐγένετο. τὸν γὰρ υἱὸν ἔφασκε καὶ κληρονόμον εἶναι τῆς πατρῴας ἀρχῆς νόμιμον. ἐπὶ δὲ τοὺς περὶ Χοσρόην λόγους καὶ τὴν εἰρήνην Περσῶν μὲν Σεόσης, ὁ Καβάδην σώσας πάλαι, καὶ Βεόδης ἐστάλησαν, Ῥωμαίων δὲ Ῥουφῖνος καὶ Ὑπάτιος. καὶ Βεόδης μὲν Σεόσην Πέρσαις ἐνδιαβαλὼν ἀναιρεθῆναι πεποίηκε, Ῥουφῖνος δὲ Ὑπάτιον εἰς βασιλέα διαβαλὼν παραλυθῆναι τῆς ἀρχῆς παρεσκεύασεν.

ιβ'. Ὅτι μεταξὺ Βοσπόρου καὶ Χερσῶνος, αἳ διέχουσιν ἀλλήλων ὁδὸν ἡμερῶν εἴκοσι, τὰ ἐν μέσῳ Οὐννικὰ ἔθνη, αὐτόνομα ὄντα πρότερον, Ἰουστίνῳ κατήκοα γέγονεν. ἡ δὲ Χερσὼν

5. γένους Bess. γένος P. 7. ἀσφαλῶς καταλιπεῖν Bess. καταλιπεῖν ἀσφαλῶς P. 9. περιχαρὴς Bess. περιχαρῶς P. ibid. ἀλλά] ἄλλα P. 11. κοιαίστορος] κυέστορος Bess. 12. ἰουστίνῳ Bess. Ἰουστίνου P. 16. 17. βεόδης Bess. Βεώδης P.

Persarum, qui repugnarunt: alteram item in Armenia, proxime ad Persarmeniae fines, quae prius Theodosiopolis dicta, quod Theodosius Imp. urbis dignitatem ignobili vico attribuisset.

11. Anastasio vita functo, quamvis multi generis claritate imperio digni reperirentur, caeteris repulsam passis, Iustinus succedit. Ad quem Cabades, quo filio natu minimo Chosroae regnum tuto relinqueret, literas dedit, adoptari ab ipso Chosroen postulans. Iustinus postulantis votum lubenter accepit, ut et Iustinianus sororis eius filius, qui regni haeres sperabatur. Sed Procli Quaestoris consiliis sententiam mutarunt, neque a Iustino Chosroes est adoptatus. Legibus enim filios bonorum patris successores suosque haeredes existere aiebat. Hinc pro Chosroe et pace a Persis Seoses, qui Cabadem pridem servarat, et Beodes; a Romanis vero Rufinus et Hypatius legati missi. Et Beodes quidem Seosen apud Persas calumniatus, vita privandum curavit. Rufinus vero Hypatium apud Imperatorem insimulando, magistratu deiecit.

12. Quod inter Bosporum et Chersonem dierum viginti interiacet spatium, Hunni incolunt: qui suis olim legibus degentes, in Iustini nuper-

ἐσχάτη τῆς Ῥωμαϊκῆς ὑπῆρχε γῆς. προσεχώρησαν δὲ καὶ Ἴβηρες B Ἰουστίνῳ ἅμα Γουργένῃ τῷ σφῶν ἡγεμόνι ὑπὸ Περσῶν ταλαιπωρούμενοι· καὶ ὑπὲρ αὐτῶν Ῥωμαίοις καὶ Πέρσαις ἠρέθη πόλεμος. Ὅτι ἔτι ζῶν Ἰουστῖνος Ἰουστινιανὸν κοινωνὸν τῆς βασιλείας ἐποιήσατο, τελευτήσαντος δὲ τοῦ θείου ἐς μόνον Ἰουστινιανὸν τὰ τῆς ἀρχῆς περιελήλυθε. Βελισάριος δὲ καὶ Σίττας δορυφόρω ἤστην Ἰουστινιανοῦ ἔτι στρατηγοῦντος. ὑπὸ δὲ Ἰουστίνου τῶν ἐν Δάρας καταλόγων Βελισάριος ἄρχων κατέστη, ὅτε καὶ Προκόπιος ὁ συγγραφεὺς σύμβουλος αὐτῷ ἡρέθη.

ιγ'. Μοναρχήσαντος δὲ Ἰουστινιανοῦ Βελισάριος τῆς ἕω στρατηγὸς καταστὰς ἐπὶ Πέρσας στρατεύειν ἐτέτακτο. Καβάδης C δὲ Περόζην ἄνδρα Πέρσην, Μιρράνην δὲ τὸ ἀξίωμα, τοῦ οἰκείου στρατοῦ ἡγεμόνα κατεστήσατο. καὶ ἄμφω τὰ στρατεύματα περὶ Δάρας ἐστρατοπεδεύσαντο. καὶ Περόζης Βελισαρίῳ ἐδήλου ἐν παρασκευῇ τὸ ἐν πόλει βαλανεῖον ἔχειν· βούλεσθαι γὰρ αὐτὸν λούσασθαι τῇ ὑστεραίᾳ. διὸ δὴ Ῥωμαῖοι τὰ ἐς τὴν συμβολὴν κρατερῶς ἐξηρτύοντο. παρατάξεως δὲ γενομένης ἑκατέρου στρατεύματος Ἀνδρέας τις Βυζάντιος παιδοτρίβης καὶ παλαίστρας ἐν Βυζαντίῳ προεστηκώς, ὃς δὴ καὶ ἐν τοῖς τοῦ Βούζου τοῦ συστρατηγοῦντος Βελισαρίῳ οἰκείοις ἐτύγχανεν, ἅτε τοῦ Βούζου σώματος ἐν βαλανείῳ ἐπιμελούμενος, οὗτος προκλήσεως ἐς μονομαχίαν γε- D

2. γουργένῃ Bess. Γουργογένει P. 3. ἠρέθη] ἠρέθη Bess. ἤρθη Bekkerus. 6. Βελισάριος] Βελισσάριος P hic et paullo post. ibid. σίττας Bess. Σίτας P. 8. δάρας Bess. hic et infra. Δαρᾶς P. 12. μιρράνην Bess. Μηράνην P. 16. ὑστεραίᾳ ἔφη P. ἔφη om. Bess.

potestatem venerunt: ut iam Cherson Romani terminus imperii esset. Accesserunt et Iberi Iustino Imp. una cum Gurgene eorum duce, a Persis male tractati. Qua de causa Romanos inter et Persas bellum exarsit. Vivens etiamnum Iustinus in societatem imperii adscivit Iustinianum, qui mortuo avunculo solus imperio potitus est. Belisarius et Sittas praetoriani milites fuerunt quo tempore Iustinianus copias ducebat. A Iustino vero militibus in Daras praefectus Belisarius datus est; cum et Procopius hic scriptor a consiliis illi additus.

13. Imperante post solo Iustiniano, Dux Orientis creatus Belisarius in Persas movere iussus est. Cabades Perozen genere Persam, dignitate Meranem, exercitui suo praefecit. Cum autem uterque exercitum circa Daras haberet, Belisario Perozes denuntiavit paratum sibi in urbe balneum haberet: lavare enim postero die velle. Quamobrem Romani ad pugnam fortiter se compararunt. In acie dein utriusque exercitu constituto, Andreas quidam Byzantius, gymnasticis exercitationibus atque palaestrae Byzantii praefectus, qui et Buzae, militum cum Belisario tribuno, domesticus haerebat, Buzae corpus in balneo curare solitus; cum

γενημένης λαθὼν ἅπαντας δεύτερον μονομαχήσας ἐνίκησε, καὶ ἀρξαμένου τοῦ πολέμου διελύθησαν.

ιδ'. Ὕστερον δὲ πάλιν συστάντος αὐτοῖς πολέμου πολλῷ καθυπέρτεροι Ῥωμαῖοι ἐγένοντο καὶ Περσῶν πολὺς ἐρρύη φόνος, καὶ ἀπ' αὐτοῦ οὐκ ἔτι ἤθελον ἐκ τοῦ εὐθέος μάχην διενεγκεῖν ἐς Ῥωμαίους· ἔφοδοι δὲ ἐξ ἐπιδρομῆς ἀμφοτέροις ἐγίνοντο.

ιε'. Ὅτι Καβάδης ἄλλο στράτευμα ἐς Ἀρμενίαν τὴν Ῥωμαίοις κατήκοον ἔπεμψεν, ὃ δὴ στράτευμα Περσαρμενίων καὶ Σαυνιτῶν καὶ Σαβίρων ἦν· τούτῳ τῷ στρατῷ Μερμερόης ἡγεῖτο.
P 85 Δωρόθεος δὲ ὁ Ἀρμενίας στρατηγὸς καὶ Σίττας, ὃς παντὸς ἐφειστήκει τοῦδε τοῦ Ῥωμαϊκοῦ στρατεύματος, συμβαλόντες τοῖς πολεμίοις ὀλίγοι πολὺ πλειόνων ἐκράτησαν· ἐξ οὗ δὴ καὶ ἐπ' οἴκου οἱ τῇδε Πέρσαι ἀνεχώρησαν. τότε καὶ ἄλλα μὲν Περσικὰ χωρία Ῥωμαῖοι κατέσχον, κατέσχον δὲ καὶ τὸ Φαράγγιον καλούμενον, ὅθεν δὴ καὶ τὸν χρυσὸν Πέρσαι ὀρύσσοντες βασιλεῖ φέρουσι. καὶ Τζάνοι δὲ οἱ πάλαι Σάνοι καλούμενοι αὐτόνομοι ὄντες καὶ λῃστρικώτερον τοὺς πλησιοχώρους κατατρέχοντες, ὑπὸ Σίττα καταστρατηγηθέντες εἰς τὸ ἡμέτερόν τε μεταβληθέντες Χριστιανοὶ γεγόνασι καὶ κατήκοοι Ῥωμαίοις ὡς καὶ ἐς λόγους στρατοῦ Ῥωμαϊκοῦ κατατάττεσθαι.

6. ἐς ῥωμαίους Bess. Ῥωμαίοις P. 9. σαβίρων Bess. Σαβήρων P. 10. Σίττας] Σίτας P. 13. οἱ τῇδε Bess. οἱ om. P. 16. σάνοι Bess. Σαῦνοι P. Conf. p. 77, 13. 17. τοὺς πλησιοχώρους Bess. τοῖς πλησιοχώροις P.

ad singulare certamen provocatum esset, ignotus omnibus, bis depugnando victor evasit: coeptumque praelium finierunt.

14. Post iterum commisso inter eos praelio, Romani longe superiores evaserunt, cum ingenti Persarum clade. Quo factum est ut cum Romanis exinde iusto praelio dimicare detrectarint: incursiones tamen utrinque factae.

15. Cabades alterum in Armeniam Romanis subditam exercitum misit, qui ex Persarmenis, et Saunitis, et Saberis constabat. His Mermeroes copiis praefectus. Dorotheus vero Armeniae Dux, et Sittas, qui et toti huic Romano exercitui praefuit, manu cum hoste conserta, pauci maiores longe copias superarunt: unde et domum Persae fugerunt. Hac occasione Romani cum alia Persicae regionis occuparunt loca, tum Pharangium, quod vocant, ceperunt, unde aurum Persae effodientes Regi pendunt. Zani vero, *Sauni* antiquitus appellati, liberi et latronum ritu vicina populantes loca, Sitta duce victi, in ius nostrum ditionemque concedentes, Christiani facti sunt, et Romanis parent; ut etiam in horum castris una permisti militarint.

ιζ'. Ὅτι Καβάδης ἄμφω τῶν στρατευμάτων αὐτοῦ ἡττη- B θέντων ἐν ἀπορίᾳ ἦν, Ἀλαμούνδαρος δὲ ὁ τῶν παρὰ Πέρσαις Σαρακηνῶν βασιλεὺς, ἀνὴρ ὢν δεινὸς τὰ πολέμια καὶ δραστήριος, ὃς ἐς γόνυ τὰ Ῥωμαίων ἔκλινε πράγματα ἔτεσι πεντήκοντα, οὗτος ὑπέθετο Καβάδῃ ἐς Ἀντιόχειαν τότε ἀφύλακτον οὖσαν καὶ τὰ ταύτῃ χωρία ἐσβαλεῖν.

ιη'. Γνοὺς δὲ Βελισάριος κατὰ τάχος ὑπηντίαζε, στράτευμα Ἰσαύρων καὶ Ἀρέθαν τὸν τῶν παρὰ Ῥωμαίοις Σαρακηνῶν V 280 βασιλέα ἅμα τοῦ οἰκείου συνεπαγόμενος λαοῦ. Ἀλαμούνδαρος C δὲ καὶ Ἀζαρέθης ὀρρωδήσας ἐπ' οἶκον ἀπεχώρει· καὶ Βελισάριος εἵπετο, οὔτι ἐς χεῖρας ἐλθεῖν προαιρούμενος, τὴν δίωξιν δὲ σχηματιζόμενος. ἀλλὰ τό γε πλῆθος ἐλοιδορεῖτο αὐτῷ, πρῶτον μὲν οὐκ εἰς τὸ ἐμφανὲς, ἐπεὶ δὲ ἐμφανῶς ἐκάκιζον, ἄκων συγκροτεῖ τὸν πόλεμον. καὶ τὰ μὲν πρῶτα πιπτόντων ἑκατέρωθεν ἀγχώμαλος ἡ μάχη ἐγένετο, ἔπειτα δὲ τραπέντος τοῦ περὶ Ἀρέθαν λαοῦ καὶ τῶν Ἰσαύρων κατὰ κράτος ἐνίκων Πέρσαι. καὶ εἰ μὴ ἀπὸ τοῦ ἵππου καταβὰς Βελισάριος τοῖς καταλελειμμένοις συνετάττετο καὶ D ἠμύνετο, ἅπαντες ἂν διεφθάρησαν. Ἀζαρέθης μέντοι ὁ Περσῶν στρατηγὸς ὑποστρέψας πρὸς Καβάδην οὐκ ἀπώνατο τῆς νίκης· πολλοὺς γὰρ ἦν καὶ αὐτὸς ἀποβαλὼν ἐν τῇ μάχῃ, εἰ καὶ

4. ὃς add. Bess. 6. ταύτῃ Bekkerus ex apographo Stephani. ταύτης P. 7. Βελισάριος] Βελισσάριος P hic et paullo post. 9. τοῦ οἰκείου — λαοῦ Bess. τῷ οἰκείῳ — λαῷ P. 11. οὔτι Bess. οὔτε P. 13. ἐμφανῶς Bess. φανερῶς P. 16. κατὰ κράτος ἐνίκων Πέρσαι Bess. ἐνίκων Πέρσαι κατακράτος P. 19. πρὸς Bess. εἰς P.

17. Cabades amisso utroque exercitu, animi pendebat. Sed Alamundarus Persicorum Saracenorum Rex, vir bello acer ac strenuus, res Romanorum valde infregit annis quinquaginta. Hic Cabadi suggessit Antiochiam praesidio nudatam finitimaque invaderet.

18. Belisarius, re cognita, quam maturrime occurrit, eductis Isaurorum copiis, et Aretha Romanarum partium Saracenorum Rege, qui suam ipse gentem ductabat. Alamundarus vero et Azarethes metu perculsus retro domum se recepit. Et Belisarius pone sequebatur, non tam cum hoste manus conserere cupidus, quam ut eum insequi se fingeret. Donec multis vulgi convitiis primum quidem clam, deinde etiam palam lacessitus, invitus ad pugnam descendit. Cadentibus initio multis utrinque ac caesis, anceps diu pugna fuit. Versis dehinc in fugam Arethae copiis atque Isauris, a Persis summa virtute pugnantibus victoria stetit: ut nisi ex equo ad pedes Belisarius desiliisset, ac reliquis sese adiungendo auxilium attulisset, debellatum eo die esset, caesique ad unum omnes internecione fuissent. Attamen Azarethes Persarum dux domum ad Cabadem reversus, victoriae fructum non tulit. Suorum enim multos

πολὺ πλείους τῶν ἀντιπάλων διεφθάρησαν· διὸ ἐν τοῖς ἀτίμοις ἐτέλει.

κα΄. Ὅτι Βελισάριον ὁ βασιλεὺς εἰς Βυζάντιον μετακαλεσάμενος, ἐφ᾽ ᾧ ἐπὶ Βανδίλους στρατεύσειε, Σίτταν φυλάξοντα P 86 τὴν ἑῴαν ἀπέστειλεν, ἐν ᾧ καὶ Πέρσαι κατὰ Ῥωμαίων ἐσβάλλουσι. καὶ Καβάδου τελευτήσαντος ὁ παῖς Χοσρόης τὴν βασιλείαν ἐκδέχεται.

κβ΄. Ῥουφῖνος δὲ καὶ Ἀλέξανδρος καὶ Θωμᾶς σὺν Ἑρμογένει παρὰ Χοσρόην παραγίνονται ἐπὶ πρεσβείαν· οἷς τὴν εἰρήνην ἀπέραντον ἔφησε θέσθαι, δέκα καὶ ἑκατὸν κεντηναρίοις. ἀλλὰ τότε μὲν ἄπρακτοι διελύθησαν, ὕστερον δὲ τὴν ἀπέραντον εἰρήνην ἐσπείσαντο, ἕκτον ἤδη ἔτος τὴν βασιλείαν Ἰουστινιανοῦ ἔχοντος. καὶ Ῥωμαῖοι μὲν τά τε χρήματα καὶ τὸ Φαράγγιον καὶ Βῶλον τὸ φρούριον Πέρσαις παρέδοσαν, Πέρσαι δὲ Ῥωμαίοις τά τε Λαζικῆς ὅρια καὶ Δάγαριν, ἄνδρα ἀγαθὸν τὰ πολέμια, ἀντ᾽ αὐτοῦ ἕτερον κεκομισμένοι οὐκ ἀφανῆ ἄνδρα.

B κγ΄. Εὐθὺς μέντοι ἑκατέρῳ βασιλεῖ ἐπιβουλὴν ξυνηνέχθη γενέσθαι πρὸς τῶν ὑπηκόων. καὶ Χοσρόην μὲν ἅτε θορυβώδη καὶ ἄτακτον ὁ Περσῶν μισήσας λεώς, Καβάδην τὸν Ζάμου τοῦ ἀδελφοῦ παῖδα βασιλέα σφίσιν ἐβουλεύσαντο στήσασθαι. ἀλλὰ

4. βανδίλους Bess. Βανδάλους P. ibid. Σίτταν] Σίταν P. 15. δάγαριν Bess. Δαγάρην P. 16. δὲ καὶ ἕτερον P. δὲ καὶ om. Bess. 19. λεὼς Bess. λαὸς P.

in praelio amiserat; licet adversariorum plures cecidissent. Quamobrem inhonoratis adnumeratus est.

21. Evocat Constantinopolim Iustinianus Imp. Belisarium, ut inde in Vandalos expeditionem suscipiat; Orientique custodem Sittam imposuit. Hisce temporibus et Persae cum Romanis concurrerunt, et Cabade mortuo, filius Chosroes regni habenas suscepit.

22. Missi ergo ad eum legati Rufinus, Alexander, Thomas et Hermogenes, quibus pacem velle se facere dixit perpetuam, si modo darent centenaria centum ac decem. Verum re tum infecta discesserunt: nec nisi postea constituta pactaque pax illa perpetua, imperante sextum iam annum Iustiniano. Per eam Romani pecunias, Pharangium, et Bolum arcem Persis reddiderunt: et hi vicissim Romanis Lazorum in finibus oppida, et Dagarem virum bello strenuum, recepto pro eo et altero non ignobili viro, remiserunt.

23. Mox utrique Imperatori structae insidiae a subditis. Chosroen quidem ut turbulenti intemperantisque ingenii virum Persae invisum cum haberent, Cabaden, Zamae fratris eius filium, Regem sibi facere con-

γνοὺς ὁ Χοσρόης Ζάμην τε τὸν ἀδελφὸν καὶ τοὺς ἄλλους ἀδελφοὺς ἅμα τῶν μετασχόντων τῆς βουλῆς ἀνελὼν τὴν στάσιν ἔπαυσε. Καβάδης δὲ ὁ Ζάμου, κομιδῇ νέος ὤν, προνοίᾳ Χαναράγγου τοῦ Ἀδεργουδουνβάδου διέφυγε τὸν θάνατον. καὶ ὁ Χαναράγγης ὕστερον διὰ τοῦτο ὑπὸ Χοσρόου ἀνῄρηται.

κδ'. Ἰουστινιανῷ δὲ ὁ δῆμος ἐπιβουλεύων Ὑπάτιον ἄκοντα, τὸν Ἀναστασίου τοῦ βεβασιλευκότος ἀδελφιδοῦν, βασιλέα σφῶν ἀνηγόρευσαν, ἀρξάμενοι τῆς ἐπιβουλῆς καὶ τῆς στάσεως C ἀπὸ τῆς ἐν τοῖς ἱπποδρομίοις ἔριδος. βασιλεὺς δὲ Ἰουστινιανὸς Βελισαρίῳ τε καὶ Μούνδῳ τοῖς στρατηγοῖς χρώμενος, τόν τε Ὑπάτιον καθεῖλε καὶ πολλοὺς τῶν στασιωτῶν ἀνεῖλεν, ἄχρι καὶ ἐς τρεῖς μυριάδας τοῦ ἀναιρεθέντος λαοῦ συντελοῦντος. συνέπραττον δὲ τῷ βασιλεῖ Βοραΐδης καὶ Ἰοῦστος, οἱ αὐτοῦ ἀνεψιοί.

κε'. Ἐν αὐτῷ δὲ τῷ λόγῳ περὶ Τριβωνιανοῦ τοῦ ἐκ Παμφυλίας ἕλκοντος τὸ γένος διέξεισιν, ὃς τὴν τοῦ κοιαίστωρος διεῖπεν ἀρχήν, περί τε τῆς φιλοχρηματίας καὶ τῆς ἄλλης αἱμυλίας. καὶ περὶ Ἰωάννου τοῦ ἐπάρχου τοῦ ἐκ Καππαδοκῶν τῆς τε πανουργίας καὶ ἀπληστίας καὶ μέθης καὶ τῆς ὕλλης κακότητος· ὅπως τε Ἀντωνίνα ἡ τοῦ Βελισαρίου γυνὴ δι' Εὐφημίας τῆς αὐ- D τοῦ θυγατρὸς φρεναπατήσασα Ἰωάννην ἐπίβουλον ἔδειξε βασι-

3. τῶν μετασχόντων Bess. τοῖς μετασχοῦσι P. 3. Ζάμου] ζαμοῦ Bess. 4. Ἀδεργουδουνβάδου] ἀδέργου δουβάνδου Bess. Ἀδεργουδουνάντου P. 5. ὕστερον διὰ τοῦτο Bess. διὰ τοῦτο ὕστερον P. 6. Ἰουστινιανῷ] ἰουστινιανὸν Bess. 10. Βελισαρίῳ] Βελισσαρίῳ P et infra Βελισσαρίου. 15. τοῦ κοιαίστωρος] κυαίστορος Bess. omisso τοῦ.

stituunt. Quo cognito Chosroes Zamen fratrem reliquosque germanos et coniurationis socios necat. Sic tranquillata res est, quiesque data. Cabades tamen filius admodum adolescens prudentia Chanarangi Adergudunbadi caedem effugit: quo nomine hic postea a Chosroe est interfectus.

24. Iustiniano quoque Imp. plebs insidias comparavit, creato Imperatore (tametsi repugnaret) Hypatio Anastasii eius, qui imperarat, patruele: nata seditione ortoque tumultu e contentione ludorum Circensium. Caesar itaque Iustinianus Belisario et Mundo Ducibus usus, Hypatium occidit, multosque coniurationis huius socios sustulit: plane ut civium tunc ad triginta millia occubuerint. Imperatori suppetias afferebant Boraides et Iustus, Iustiniani fratris filii.

25. In eo ipso libro narrat de Triboniano: qui e Pamphylia genus duxit, et Quaestoris munus obiit, deque avaritia eiusdem ac blandiloquentia. De Ioanne item Cappadoce Praefecto Praetorio, deque eius vafricia, inexplebili cupiditate, ebrietate, aliisque vitiis. Ut Antonina Belisarii coniux per Euphemiam filiam eius callide Ioannem circumvene-

λέως, ὅπως τε ὕστερον Εὐσεβίου τοῦ ἐπισκόπου Κυζίκου ἐξ ἐπιβουλῆς ἀναιρεθέντος, συνεργὸς ὑπονοηθεὶς τοῦ μιάσματος, ᾐκίσθη τὸ σῶμα καὶ ἀκλεῶς ἐξορίᾳ πικρᾷ καὶ τελευταίᾳ παρεδόθη.

3. ἀκλεῶς Bess. ἀνηλεῶς P.

rit, et insidias struere patefecerit. Utque demum Eusebio Cyzici Episcopo ex insidiis occiso, impii sceleris consors habitus, corpore quaestionibus cruciato, inclementer tandem ac severe proscriptus sit.

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ P 87 V 281 H 86

ΙΣΤΟΡΙΩΝ ΤΗΣ Α΄ ΤΕΤΡΑΔΟΣ Η Β΄.

ΠΡΟΚΟΠΙΟΥ — Β΄.] *Προκοπίου Καισαρέως ἱστοριῶν ἡ δευτέρα* A. *ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ ΤΗΣ ΠΡΩΤΗΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Β΄.* P.

PROCOPII CAESARIENSIS

HISTORIARUM TETRADIS I.

LIBER II.

ARGUMENTUM.

EX EDITIONE MALTRETI.

Alamundarus impulsu Chosrois dat belli causam, mota in Aretham lite de Strata. Regionis situs et infelicitas. Quid pro se pars utraque diceret. Strategii et Summi sententiae. De Iustiniano queritur Chosroes. (Cap. 1.) *Vittigis Gotthorum rex ad Chosroem legatos mittit. Eorum oratio. Maxima belli causa invidia.* (2.) *Res Armeniae. Symeonis caedes. Amazaspem de sententia Iustiniani occidit Acacius et Armeniam obtinet. Huius mores et mors. Sittae, viri bello egregii, interitus. Busis in Ioannem Arsacidem perfidia. Bassaces aliique Arsacidae Chosroem adeunt. Eorum oratio. Bellum Persae in Romanos decernunt.* (3.) *Cometes oritur. Hunni erumpunt et foede Europam populantur. Iustinianus Chosroem a bello per literas dehortatur.* (4.) *Quandonam et qua ingressus Chosroes in fines Rom. Circesium castellum prae metu, urbem Zenobiam per contemptum renuit oppugnare. Ad urbem Sura capit omen ex equo. Surenorum Episcopum fallit. Urbe dolo potitus, eam exscindit. Euphemiam captivam ducit uxorem. Agit cum Sergiopolitano Episcopo de captivorum redemptione.* (5.) *Militare Magisterium Orientis bifariam divisum. Busis oratio ad Hieropolitanos. Germanus a patruo suo Iustiniano mittitur Antiochiam. Eius consilium. Megan Beroeensem Episcopum ad Chosroem Antiocheni legant. Chosroes pecuniam imperat Hieropolitanis, et accipit.* (6.) *Beroeae situs. Paciscuntur cives. Urbs capitur, excepta arce, ac pene tota incenditur. Megas Antiochiam reversus nihil proficit. Ephraemius Patriarcha et Germanus in Ciliciam concedunt. Redit Beroeam Megas, ex-*

postulatque cum Chosroe. Utriusque orationes. (7.) *Petit Chosroes Antiochiam, et obsidet. Antiochenae plebis insolentia. Muros oppugnat Chosroes. Obsessorum imprudentia. Ducum ac militum fuga cum strage civium. Persae muros ascendunt, seque in mediam urbem inferunt. Antiocheni adolescentes strenui. Accit Legatos Chosroes. Oratio Zaberganis. Civium strages. Amor pudicitiae.* (8.) *Oratio Chosrois ad legatos Rom. Eiusdem ingenium et mores. Auctoris iudicium de Fortuna. Urbis direptio et incendium.* (9.) *Antiochena calamitas ostento praenuntiata. Auctoris sententia de divino consilio. Templum suburbanum D. Iuliani non incenditur legatorum gratia. Eorum oratio ad Chosroem: huius querelae. Altercatio. Pacis compositio Romanis ignominiosa.* (10.) *Chosroes Seleuciam divertit: in mari lavat: Soli sacrificat. Cogitat Apameam. Daphnen suburbium visit: lucum ac fontes miratur: Nymphis sacrificat. Templum Michaelis Archangeli incenditur. Segmentum Crucis Christi Apameae servatur. Miraculum. Thomas Antistes prodit obviam Chosroi. Huius perfidia. Favet in Circo Prasinis, quia Iustinianus Venetis favebat. Persam stupratorem morte afficit.* (11.) *Chosroes pecuniam imperat Chalcidensibus. Euphratem traiicit. De obsidenda Edessa cogitat. Augarus Toparcha olim Augusto Imp. carissimus. Mira narratio. Soli natalis amor ingens. Egregia Circensium definitio. Elogium Iesu Dei filii. Eius epistola ad Augarum in portis Edessae exscripta. Inane Chosrois adversus urbem illam consilium.* (12.) *Iustinianus ad Chosroem scribit et ratas habet pacis conditiones. Edessenorum mira benignitas in captivos Antiochenos. Carrheni cur accepti Chosroi. Constantinam sibi vindicat Chosroes. Cabadi dextera monstranti Edessam dicunt Magi felix urbi omen ab ipso datum. Baradotus Episcopus sanctus Cabadem placat. Chosroes Daram frustra obsidet.* (13.) *Chosroantiochiam captivis Antiochenis Chosroes condit. Urbis illius iura. Anastasii principatu lucus Daphnes vento erutus. Sub Iustino horrendus terrae motus Antiochiae. Revocatus ex Italia Belisarius bello Persico praeficitur. Eum sequuntur Gotthi. Byzantii subsistit Vittigis.* (14.) *Origo belli Lazici. Lazorum Reges insignia ab Imperatore Rom. accipere soliti. Petrus Dux avarissimus. Ioannes Tzibus monopolium Petrae instituit. Legatorum Lazorum ad Chosroem oratio. Chosroes cum ipsis deliberat.* (15.) *Mittit Belisarius exploratores in Persidem. Darae deliberat cum Ducibus Romanis. Saracenorum idololatrarum mos.* (16.) *Chosroes in Lazicam pervenit, et a Gubaze Lazorum Rege adoratur. Ad urbem Petram male habiti Persae. Petrae situs. Ea potitur Chosroes.* (17.) *Belisarius Nisibin petit. Eius ad Duces Romanos oratio. Persae Nabede duce in Romanos erumpunt. Confligitur.* (18.) *Belisarius Sisauranum castellum obsidet. Duces Romanos alloquitur. Aretham in Assyriam incurrere iubet. Castellum capit. Persas dedititios mittit Byzantium. Fraus Arethae. Romana castra febribus vastantur. Ioannis oratio ad Belisarium. Chosrois in Persidem et Belisarii Byzantium reditus.* (19.) *Tertia Chosrois expeditio in Romanos. Eius saevitia in Candidum Sergiopolitanum Antistitem. Frustra Sergiopolin tentat. Cogitat Palaestinam, ut diripiat Hierosolyma. Belisarius veredis vectus in Orientem redit. Iustus Iustiniani a fratre nepos eum invitat Hierapolin. Belisarius Duces Hierapoli morantes elicit ad oppidum Europum.* (20.) *Abandanem Chosroes ad Belisarium legat. Belisarii cautio et apparatus. Adolius Silentiarius. Legatum Belisarius excipit. Abandanes reditum suadet Chosroi. Huius sollicitudo. Euphratem traiicit. Cum Belisario per internuntios agit. Elogium Belisarii. Chosroes Callinicum capit. Armenii in fidem Rom. redeunt. Belisarius Byzantium revocatur, in Italiam profecturus.* (21.) *Pestilentia gravissima. Eius causa, Deus. Orta in Aegypto ubique grassatur. Spectra Daemonum multis oblata. Ab illis percussos pestis corripiebat. Quam varie invase-*

rit homines. Affectus eius diversissimi. (22.) *Quam saeve grassata pestis Byzantii. Pia providentia Iustiniani Imp. ac Theodori Referendarii. Urbis facies miserabilis.* (23.) *Ardabiganis Pyreum clarissimum. Ignis a Persis cultus, idem cum Vesta. Constantianus et Sergius legati Rom. ad Chosroem. Eudubius Episcopus Persarmeniae. Valerianum Magistrum mil. in Armenia adit. Iubet Iustinianus irruptionem fieri in Persarmeniam. Cogitur Rom. exercitus, in quo Martinus Mag. mil. per Orientem, aliique Duces.* (24.) *Dubios Persarmeniae regio. Catholicus. Anglonem Nabedes munit. Romanorum imprudentia. Malc hostem invadunt. Turpiter vincuntur. Erulorum mos. Romanorum fuga.* (25.) *Quarta Chosrois expeditio non tam in Romanos, quam in Deum Christianorum. Edessam obsidet. Primus conflictus bene Romanis cedit. Edessenis pecuniam Chosroes imperat. Aggerem extruit. Romanorum eruptio. Ciliciis protecti qui Aggestam moliuntur. Stephanus medicus ad Chosroem legatus. Irrita de pace colloquia.* (26.) *Edessenorum cuniculus ad hostilem aggerem, qui tandem igni corrumpitur. Semel atque iterum a muro repulsi Persae. Frustra de pace agitur. Acerrimus conflictus. Edessenorum mirabilis fortitudo. Solvit Chosroes obsidionem.* (27.) *Iusti et Peranii obitus. Marcellus et Constantianus subrogati. Cum Chosroe de pace agitur. Fiunt induciae. Alamundarus Arethae filium bello captum Veneri immolat. De Lazica consilium Chosrois. Legatus Isdigunas urbem Daram occupare astu nititur. Byzantii a Iustiniano honorificentius accipitur quam Legati conditio postulat.* (28.) *Aedificare vult Chosroes classem in Lazica. Materies fulmine deflagrat. Gubazes Lazorum Rex petitus insidiis, fidem Iustiniani implorat. Romani Petram obsident. Regionum illarum situs, populi, et urbes. Gubazis providentia. Dagisthaei Romanorum Ducis imprudentia ad Clisuras. Petra oppugnatur.* (29.) *Mermeroes cum Persarum exercitu Petram properat. Obsessi Persae quo redacti. Mermeroes e Clisuris Romanos deturbat. Dagisthaeus solvit obsidionem. Quid Petrae actum a Mermeroe. Huius reditus. Gubazis Lazorum Regis constantia. Mermerois consilium. Persarum clades. Mortua Theodora Aug. Ioannem Cappadocem ab exilio revocat Imperator. Praedictionis ridendus exitus.* (30.)

αʹ. Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον ὁ Χοσρόης μαθὼν ὡς καὶ Ἰταλίαν Βελισάριος Ἰουστινιανῷ βασιλεῖ προσποιεῖν ἤρξατο, οὐκέτι κατέχειν οἷός τε ἦν τὴν διάνοιαν, ἀλλὰ σκήψεις ἐπινοεῖν ἤθελεν, ὅπως δὴ λόγῳ τινὶ εὐπρεπεῖ τὰς σπονδὰς λύσειεν. ὑπὲρ ὧν κοινο- P 88 λογησάμενος Ἀλαμουνδάρῳ ἐκέλευεν αὐτὸν ξυμπορίζεσθαι πολέμου αἰτίας. ὁ δὲ Ἀρέθᾳ ἐπικαλέσας ὅτι αὐτὸν περὶ γῆς ὁρίων βιάζοιτο, ἐς χεῖράς τε αὐτῷ ἐκσπόνδως ἦλθε καὶ γῆν τὴν Ῥωμαίων ἐπὶ ταύτῃ τῇ σκήψει καταθεῖν ἤρξατο. ἔφασκέ τε ὡς αὐτὸς οὐ λύει τὰς Περσῶν τε καὶ Ῥωμαίων σπονδὰς, ἐπεὶ αὐτὸν ἐς ταύτας οὐδέτεροι ἐσεγράψαντο. καὶ ἦν δὲ οὕτως. οὐ γάρ τις πώποτε Σαρακηνῶν λόγος ἐν σπονδαῖς γέγονεν, ἅτε ξυνεχομένων τῷ Περσῶν τε καὶ Ῥωμαίων ὀνόματι. αὕτη δὲ ἡ χώρα, ἣ δὴ πρὸς ἑκατέρων τότε Σαρακηνῶν ἀντελέγετο, Στράτα μὲν κέκληται, Παλμύρας δὲ πόλεως πρὸς νότον ἄνεμον τέτραπται, δέν- B δρον μὲν ἢ τι τῶν ἐν τοῖς ληίοις ἀγαθῶν οὐδαμῇ φέρουσα (ἡλιόκαυστος γὰρ ὑπερφυῶς ἐστι), προβάτων δέ τισιν ἐκ παλαιοῦ ἀνειμένη νομαῖς. Ἀρέθας μὲν οὖν Ῥωμαίων ἰσχυρίζετο εἶναι τὸν χῶρον, τῷ τε ὀνόματι τεκμηριούμενος, οὗ δὴ πρὸς πάντων ἄνωθεν ἔτυχε (Στράτα γὰρ ἡ ἐστρωμένη ὁδὸς τῇ Λατίνων καλεῖται φωνῇ) καὶ μαρτυρίαις παλαιοτάτων ἀνδρῶν χρώμενος. Ἀλα-

4. εὐπρεπεῖ] εὐτρεπεῖ H. 7. ἐκσπόνδως P et HL in marg. ἐν σπονδαῖς AHL. 12. τῷ — ὀνόματι A quod ex Reg. affert Malt. τῶν — ὀνόμασιν P. τῶν — ὀνόματα H. 15. ἡλιόκαυστος] ἡλιόκαυτος H. 19. ἔτυχε] ἔσχε L: illud Lm. „ἔσχε Reg.“ Malt.

1. Haud multo post certior factus Chosroes Italiam quoque a Belisario in Iustiniani Aug. ditionem coepisse redigi, non potuit ultra tenere animum: sed studium contulit ad excogitandos praetextus, ut pacem solveret aliquo honesto nomine. Qua de re cum Alamundaro collocutus, illum ad praebendas belli causas induxit. Is vero litem orsus, et questus quod ab Aretha suis finibus excluderetur, cum ipso manum conseruit, rupto foedere, eoque obtentu Romanum agrum incursare coepit; negans peccare se contra pacem Persas inter et Romanos compositam, cui a neutris ascriptus nominatim fuisset. Ita sane habebat: in foederis instrumento nulla umquam facta mentio Saracenorum: ut qui Persarum ac Romanorum nominibus includantur. Porro illa regio, de qua tunc lis inter utramque gentem Saracenicam fuit, Strata dicitur, et ab urbe Palmyra ad austrum vergit, arboribus nuda plane ac frugibus prae aestu nimio, quo torretur, et iampridem pascendis ovibus destinata. Hanc ad Romanos pertinere Arethas et coniectura nominis, quod ab antiquiori memoria apud omnes obtinuit (viam enim lapidibus munitam Latini *Stratam* appellant) et vetustissimorum virorum testimoniis affirmabat. Ex adverso

μούνδαρος δὲ φιλονεικεῖν μὲν ὑπὲρ τοῦ ὀνόματος ἥκιστα ἐδικαίου, μισθοὺς δέ οἱ τοῦ ἐνταῦθα νομοῦ ἐκ παλαιοῦ ἔφασκε τοὺς τὰ πρόβατα κεκτημένους διδόναι. διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς Στρατηγίῳ τε πατρικίῳ ἀνδρὶ καὶ τῶν βασιλικῶν θησαυρῶν ἄρχοντι, ἄλλως δὲ ξυνετῷ καὶ εὐπατρίδῃ, ἔτι μέντοι καὶ Σούμμῳ [C] τῶν ἐν Παλαιστίνῃ στρατιωτῶν ἡγησαμένῳ, τὴν τῶν ἀντιλεγομένων ἐπέτρεψε δίαιταν. ὁ δὲ Σοῦμμος Ἰουλιανοῦ ἀδελφὸς ἦν, ὃς ὀλίγῳ ἔμπροσθεν ἐς Αἰθίοπάς τε καὶ Ὁμηρίτας ἐπρέσβευσε. καὶ αὐτοῖν ἅτερος μέν, Σοῦμμος, μὴ χρῆναι Ῥωμαίους κατα- [V 282] προΐεσθαι τὴν χώραν ἠξίου, Στρατήγιος δὲ βασιλέως ἐδεῖτο μὴ χώρας τινὸς ἕνεκα βραχείας τε καὶ ὡς ἥκιστα λόγου ἀξίας, ἀλλὰ ἀγόνου τε καὶ ἀκάρπου παντάπασιν οὔσης, Πέρσαις πολεμησείουσι σκήψεις τοῦ πολέμου χαρίζεσθαι· βασιλεὺς μὲν Ἰουστινιανὸς ταῦτα ἐν βουλῇ ἐποιεῖτο, καὶ χρόνος πολὺς ταύτῃ δὴ τῇ διαίτῃ ἐτρίβη.

Χοσρόης δὲ ὁ Περσῶν βασιλεὺς λελύσθαι πρὸς Ἰουστινια- [D] νοῦ τὰς σπονδὰς ἔφασκε, πολλὴν ἐπιβουλὴν ἐς οἶκον τὸν αὐτοῦ ἄρτι ἐνδειξαμένου, οἷς δὴ ἑταιρίζεσθαι Ἀλαμούνδαρον ἐν σπονδαῖς ἐνεχείρησε. Σοῦμμον γὰρ ἔναγχος ἐπὶ διαίτῃ δῆθεν τῷ λόγῳ παρ' αὐτὸν ἥκοντα, ἐπαγγελίαις αὐτὸν περιελθεῖν μεγάλων χρημάτων, ἐφ' ᾧ προσχωρήσει Ῥωμαίοις, γράμματά τε προΐσχετο, ἃ δὴ πρὸς Ἀλαμούνδαρον ἐν σπονδαῖς ὑπὲρ τούτων Ἰουστινιανὸς βασιλεὺς ἔγραψε. καὶ πρὸς Οὔννων δέ τινας ἰσχυρίζετο αὐτὸν

1. φιλονεικεῖν] φιλονικεῖν L. 5. εὐπατρίδῃ] εὐπατρίδι P.
11. λόγου] [τοῦ] λόγου H. 14. ταύτῃ δὴ HL. δὴ om. P.

Alamundarus non contendendum de voce, sibique a pecuariis mercedes pascui regionis illius repensas olim dicebat. Quocirca Iustinianus Aug. arbitrium controversiae permisit Strategio Patricio et Imperatoriae gazae Praefecto, viro cum primis prudenti et nobili; Summo item, qui Dux fuerat Palaestinae, fraterque erat Iuliani paulo ante legatione functi apud Aethiopes et Homeritas. Atque id quidem eorum alter (Summum dico) pugnabat, regionem illam a Romanis minime deseri oportere: contra rogabat Augustum Strategius, ne prurientibus in bellum Persis praetextum ullum praeberet, agri cupiditate angusti et contemnendi, immo etiam sterilis omnino atque infelicis. Longas habuit consultationes Iustinianus, in eaque re per arbitros transigenda plurimum est temporis tritum.

Chosroes autem Persarum Rex Iustiniano obiiciebat violatam pacem recenti in domum suam nec obscura molitione, quod, dum vigeret pax, ad se Alamundarum sollicitasset per Summum, qui ipsius animum, ut ad Romanos descisceret, grandis pecuniae pollicitationibus tentasset nuper, cum illum adiisset per speciem litis arbitrario iudicio resolvendae. Literas allegabat a Iustiniano de re illa scriptas in pace ad Alamundarum; itemque alteras ad quosdam Hunnos, quibus illos hortatus esset, ut facta

ἐπιστολὴν πέμψαι, ἐγκελευομένην αὐτοῖς ἐσβαλεῖν τε ἐς τὴν Περ-
σῶν γῆν καὶ τοῖς ἐκείνῃ χωρίοις ἐπὶ πλεῖστον λυμήνασθαι. ἣν
H 47 P 89 δή οἱ τοὺς Οὔννους αὐτοὺς ἔφασκεν ἐγχειρίσαι ἐς ὄψιν ἐλθόντας.
ταῦτα μὲν Χοσρόης ἐπικαλῶν Ῥωμαίοις τὰς σπονδὰς λύειν διε-
νοεῖτο. εἰ μέντοι ταῦτα λέγοντί οἱ ἀληθίζεσθαι ξυνέβαινεν, οὐκ
ἔχω εἰπεῖν.

B β'. Ἐν τούτῳ δὲ Οὐίττιγις, ὁ τῶν Γότθων ἡγούμενος,
ἤδη τῷ πολέμῳ κεκακωμένος, πρέσβεις δύο παρ' αὐτὸν ἔπεμψεν,
ἀναπείσοντας ἐπὶ Ῥωμαίους στρατεύεσθαι, οὐ Γότθους μέντοι,
ὅπως μὴ κατάδηλοι αὐτόθεν γινόμενοι ξυγχέωσι τὰ πρασσόμενα,
ἀλλὰ Λιγούρους ἱερεῖς, χρήμασιν ἁδροῖς ἐς ταύτην ἠγμένους τὴν
πρᾶξιν. ὧν ἅτερος μὲν (ὅσπερ ἀξιώτερος ἔδοξεν εἶναι, δόκη-
σίν τε καὶ ὄνομα ἐπισκόπου περιβεβλημένος οὐδὲν αὐτῷ προσῆ-
κον) ἐς τὴν πρεσβείαν καθίστατο, ὁ δὲ δὴ ἕτερος αὐτῷ ὑπηρε-
τῶν εἵπετο. ὁδῷ τε ἰόντες ἐς τὰ ἐπὶ τῆς Θρᾴκης χωρία ἑταιρί-
ζονταί τινα ἐνθένδε Σύρας τε καὶ τῆς Ἑλληνίδος φωνῆς ἑρμηνέα
C σφίσιν ἐσόμενον, ἅπαντάς τε Ῥωμαίους λαθόντες ἐς τὰ Περσῶν
ἤθη ἀφίκοντο. ἅτε γὰρ ἐν σπονδαῖς καθεστῶτες οὐκ ἐς τὸ ἀκρι-
βὲς ταύτῃ ἐφύλασσον. Χοσρόου δὲ ἐς ὄψιν ἐλθόντες ἔλεξαν
τοιάδε „Τοὺς μὲν ἄλλους ἅπαντας, ὦ βασιλεῦ, πρέσβεις τῶν
αὐτοῖς ἕνεκα ξυμφόρων ἐκ τοῦ ἐπὶ πλεῖστον ξυμβαίνει ἐς τὴν
πρεσβείαν καθίστασθαι, ἡμᾶς δὲ Οὐίττιγις ὁ Γότθων τε καὶ Ἰτα-
λιωτῶν βασιλεὺς ἔπεμψε τοὺς λόγους ὑπὲρ τῆς σῆς ποιησομένους

15. ἐς om. L. 19. δὲ] τε L.

in Persidem irruptione vastitatem late inferrent. Quam epistolam dicebat se ab Hunnis ipsis, a quibus conventus fuerat, accepisse. Ita Chosroes disturbare pacem quaerebat, ea Romanis obiiciens, quae an vere et sine mendacio diceret, asseverare non possum.

2. Interea Vittigis, cui Gotthi parebant, variis iam affectus cladibus, ad Chosroem binos, qui illi expeditionem in Romanos suaderent, legatos misit, non Gotthos natione, ne primore specie agniti rem turbarent; sed Ligures sacerdotes pecunia ad id magua inductos: quorum alter, qui spectabilior videbatur esse, seque Episcopum habitu et nomine mentiebatur, princeps erat legationis; alter ipsum tanquam minister assectabatur. Hi profecti in Thraciam, sibi quemdam ex indigenis adiunxerunt, Syriacae Graecaeque linguae futurum ipsis interpretem. Demum in Persidem pervenere, insciis Romanis omnibus; qui indiligentius, ut fit pacis tempore, oras illas custodiebant. Sic autem allocuti sunt Chosroem, ad conspectum eius admissi. *Plerumque fit, o Rex, oratores ut caeteri legationem obeant suae suorumque utilitatis gratia. At nos eo consilio Vittigis Gotthorum Italiaeque Rex misit, ut apud te regni causam agamus tui. Tu ipsum coram hic praesentem cogita hac uti voce. Si quis*

ἀρχῆς· καὶ αὐτὸν νόμιζε παρόντα σοι τανῦν φθέγγεσθαι τάδε. εἴ τίς σε, ὦ βασιλεῦ, ξυνελὼν φαίη τήν τε σὴν βασιλείαν καὶ πάντας ἀνθρώπους Ἰουστινιανῷ προίεσθαι, ὀρθῶς ἂν εἴποι. ὁ μὲν γὰρ νεωτεροποιός τε ὢν φύσει καὶ τῶν οὐδ᾽ ὁπωστιοῦν αὐτῷ προσηκόντων ἐρῶν, μένειν τε οὐ δυνάμενος ἐν τοῖς καθεστῶσι, γῆν μὲν ἅπασαν ξυλλαβεῖν ἐπεθύμησεν, ἑκάστην δὲ ἀρχὴν περι- D
βαλέσθαι ἐν σπουδῇ ἔσχεν. εἶτα (οὐδὲ γὰρ Πέρσας κατὰ μόνας ἐγχειρεῖν ἴσχυεν οὐδὲ Περσῶν οἱ ἀντιστατούντων οἷός τε ἦν ἐπ᾽ ἄλλους ἰέναι) σὲ μὲν τῷ τῆς εἰρήνης παραπετάσματι ἐξαπατᾶν ἔγνω, τοὺς δὲ λοιποὺς βιαζόμενος μεγάλας δυνάμεις ἐπὶ τῇ σῇ ἀρχῇ ἑταιρίζεσθαι. Βανδίλων μὲν οὖν ἤδη καθελὼν τὴν βασιλείαν καὶ Μαυρουσίους καταστρεψάμενος, Γότθων αὐτῷ φιλίας ὀνόματι ἐκποδὼν ἱσταμένων, χρήματά τε μεγάλα καὶ σώματα πολλὰ ἐπαγόμενος ἐφ᾽ ἡμᾶς ἥκει. ἔνδηλος δέ ἐστιν, ἢν καὶ Γότθους παντάπασιν ἐξελεῖν δύνηται, ὡς ξὺν ἡμῖν τε καὶ τοῖς ἤδη δεδουλωμένοις ἐπὶ Πέρσας στρατεύσει, οὔτε τὸ τῆς φιλίας ἐννοῶν ὄνομα οὔτε τι τῶν ὀμωμοσμένων ἐρυθριῶν. ἕως οὖν ἔτι σοι λείπεται τῆς σωτηρίας ἐλπὶς, μήτε ἡμᾶς ἐργάσῃ κακὸν περαι- P 90
τέρω μηδὲν μήτε αὐτὸς πάθῃς, ἀλλ᾽ ὅρα μὲν ἐν τοῖς ἡμετέροις V 283
κακοῖς ὅσα ὀλίγῳ ὕστερον ξυμβήσεται Πέρσαις, ἐνθυμοῦ δὲ ὡς Ῥωμαῖοι τῇ σῇ βασιλείᾳ εὔνοι μὲν οὐκ ἂν ποτε εἶεν, δυνάμει δὲ κρείσσους γενόμενοι οὐδὲν μελλήσουσι τὸ ἐς Πέρσας ἔχθος ἐνδεί-

8. ἴσχυεν] „ἔσχεν Reg.“ Malt. ἴσχεν HmL. 16. στρατεύσει] στρατεύσειν HL. ibid. οὔτε — οὔτε] οὐδὲ — οὐδέ P. 17. ὀμωμοσμένων (sic) A. ὀμωσμένων P. 18. τῆς] τις L. ibid. μήτε — μήτε] μηδὲ — μηδὲ P.

Omnia uno verbo complexus, te regnum pariter tuum, o Rex, ac mortales universos Iustiniani potestati permittere dixerit, nae is recte. Nam ille, ut homo est novator et alieni appetentissimus natura, qui nec sciat stare pactis et constitutis; cum Orbi terrarum universo inhiat, tum singula asserere sibi regna contendit. Itaque, quoniam nec Persas potuit seorsum aggredi, nec caeteros, repugnantibus Persis, invadere; te pacis obtentu ludificari, dumque alias gentes vi subigit, magnas adversus imperium tuum copias comparare sibi decrevit. Iam certe, postquam regnum excidit Vandalorum ac Mauros perdomuit, Gotthis, ne ipsi se opponerent, amicitiae nomine summotis, iam, inquam, pecunia ac milite instructissimus nos adoritur. Quod si Gotthicum quoque regnum everterit, procul dubio nos caeterosque, qui iugum iam accepere, armabit in Persas, et ad bellum ducet, nullam habens rationem nominis amicitiae, nec iusiurandum erubescens. Dum igitur spes adhuc tibi salutis restat, absiste nobis damnum inferre, nec ipse cape: sed in malis nostris ea prospice, quae Persis impendent: idque tecum reputa, nunquam bene affectos in regnum tuum Romanos fore, nec dilaturos, ubi viribus superiores evaserint, odium in Per-

κνυσθαι. ἐν δέοντι τοίνυν τῇ ἐξουσίᾳ χρῆσαι, μὴ παυσαμένην ἐπιζητήσῃς. λωφήσασα γὰρ ἡ τῶν καιρῶν ἀκμὴ ἐπανιέναι οὐδαμῶς πέφυκεν. ἄμεινον δὲ προτερήσαντα ἐν τῷ ἀσφαλεῖ εἶναι ἢ
B τῶν καιρῶν ὑστερηκότα τὰ πάντα αἰσχρότατα πρὸς τῶν πολεμίων παθεῖν."

Ταῦτα ἐπεὶ Χοσρόης ἤκουσεν, εὖ τέ οἱ παραινεῖν Οὐίττιγις ἔδοξε καὶ λύειν τὰς σπονδὰς ἔτι μᾶλλον ἐν σπουδῇ εἶχε. φθόνῳ γὰρ ἐς Ἰουστινιανὸν βασιλέα ἐχόμενος λογίζεσθαι ὡς ἥκιστα ἔγνω, ὅτι δὴ πρὸς ἀνδρῶν Ἰουστινιανῷ βασιλεῖ δυσμενῶν μάλιστα οἱ λόγοι ἐς αὐτὸν γένοιντο. ἀλλὰ τῷ βούλεσθαι ἐς τὸ πεισθῆναι αὐτόμολος ἦλθεν. ὃ δὴ καὶ ἐς τοὺς Ἀρμενίων τε καὶ Λαζῶν λόγους ὀλίγῳ ὕστερον ἔδρασεν ἅπερ μοι αὐτίκα μάλα λε-
C λέξεται. καίτοι τοιαῦτα Ἰουστινιανῷ ἐπεκάλουν ἐγκλήματα, ἃ βασιλεῖ γενναίῳ εἰκότως ἂν ἐγκώμια εἴη, ὅτι δὴ τὴν βασιλείαν τὴν αὐτοῦ μείζω τε ποιῆσαι καὶ πολλῷ ἐπιφανεστέραν ἐν σπουδῇ ἔχοι. ταῦτα γὰρ καὶ Κύρῳ ἄν τις ἐπενέγκοι τῷ Περσῶν βασιλεῖ καὶ Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ἀλλὰ γὰρ φθόνῳ τὸ δίκαιον οὐδαμῇ εἴωθε ξυνοικίζεσθαι. διὰ ταῦτα μὲν Χοσρόης τὰς σπονδὰς λύειν διενοεῖτο.

D γ'. Ἐν τούτῳ δὲ καὶ ἄλλο τι γενέσθαι τοιόνδε ξυνέβη. Συμεώνης ἐκεῖνος, ὁ τὸ Φαράγγιον Ῥωμαίοις ἐνδούς, Ἰουστινιανὸν βασιλέα πείθει, ἔτι τοῦ πολέμου ἀκμάζοντος, κώμαις αὐ-
H 48 τόν τισιν ἀνδρῶν Ἀρμενίων δωρήσασθαι. κύριός τε τῶν χωρίων

2. ἐπιζητήσῃς] ἐπιζητήσας H: illud Hm. 15. αὐτοῦ] αὑτοῦ P. 18. Χοσρόης] ὁ χοσρόης L.

sas conceptum effundere. Ergo opportune data utere facultate, ne postea subtractam requiras. Reverti nequit clapsa semel occasio. Praestat autem ea antecapta esse in tuto, quam per segnitiem seram amissa indignissimis modis omnibus ab hoste haberi.

His Chosroes auditis, et Vittigis probata admonitione, pacem convellere multo acrius cupiebat. Etenim Iustiniano Aug. invidens, non cogitabat haec in illum ab inimicis iactari, nec iudicio, sed voluntate fidem iis habebat ultro; quemadmodum et paulo post habuit Armeniorum Lazorumque orationibus: ut quamprimum exponam. At illi in Iustiniano reprehendebant, quae in generoso Imperatore laudanda sunt: nempe studium, quo proferebat Imperii fines et splendorem augebat. Cuiusmodi sane crimina Cyro Persarum Regi et Alexandro Macedoni inferre quis posset. Verumenimvero non una solent Iustitia et Invidia habitare. His demum causis ad solvendam pacem Chosroes impellebatur.

3. Sub idem tempus res, quam hic subiiciam, contigit. Symeones ille, qui Pharangium Romanis dedidit, quo tempore bellum adhuc flagrabat, a Iustiniano Aug. vicos impetraverat aliquot, qui ad quosdam Armenios pertinebant. Eorum autem dominium cum esset adeptus, ab an-

γενόμενος πρὸς τῶν αὐτὰ πάλαι κεκτημένων ἐξ ἐπιβουλῆς θνήσκει. ἐξειργασμένου δὲ τοῦ κακοῦ οἱ τοῦ φόνου ἀρχηγοὶ φεύγουσιν ἐς τὰ Περσῶν ἤθη. ἀδελφὼ δὲ ἤστην δύο Περόζου παῖδε. βασιλεὺς δὲ ταῦτα ἀκούσας, τάς τε κώμας Ἀμαζάσπῃ παραδίδωσι τῷ Συμεώνου ἀδελφιδῷ καὶ ἄρχοντα κατεστήσατο Ἀρμενίοις αὐτόν. τοῦτον τὸν Ἀμαζάσπην, προϊόντος τοῦ χρόνου, Ἰουστινιανῷ βασιλεῖ τῶν τις ἐπιτηδείων διέβαλλεν, Ἀκάκιος ὄνομα, κακουργεῖν τε ἐς Ἀρμενίους καὶ βουλεύεσθαι Πέρσαις ἐνδοῦναι P 91 Θεοδοσιούπολίν τε καὶ ἄλλα ἄττα πολίσματα. ταῦτα εἰπὼν γνώμῃ βασιλέως Ἀκάκιος τὸν Ἀμαζάσπην δόλῳ ἔκτεινε, καὶ τὴν Ἀρμενίων ἀρχὴν δόντος βασιλέως ἔσχεν αὐτός. πονηρὸς δὲ ὢν φύσει ἔσχε καθ' ὅ τι τὰ τῆς ψυχῆς ἤθη ἐνδείξοιτο. γέγονεν οὖν ἐς τοὺς ἀρχομένους ὠμότατος ἀνθρώπων ἁπάντων. τά τε γὰρ χρήματα ἐληίζετο οὐδενὶ λόγῳ καὶ φόρου αὐτοῖς ὑπαγωγὴν οὔποτε οὖσαν ἐς κεντηνάρια τέσσαρα ἔταξεν. Ἀρμένιοι δὲ (φέρειν γὰρ οὐκέτι αὐτὸν οἷοί τε ἦσαν) κτείνουσί τε ξυμφρονήσαντες τὸν Ἀκάκιον καὶ ἐς τὸ Φαράγγιον καταφεύγουσι.

Διὸ δὴ Σίτταν ἐπ' αὐτοὺς ἐκ Βυζαντίου βασιλεὺς ἔπεμψεν. B ἐνταῦθα γὰρ ὁ Σίττας διέτριβεν, ἐπειδὴ Ῥωμαίοις ἐγένοντο αἱ πρὸς Πέρσας σπονδαί. ὃς δὴ ἐπ' Ἀρμενίους ἐλθὼν τὰ μὲν πρῶτα ἐς τὸν πόλεμον ὀκνηρῶς ᾔει, τιθασεύειν μέντοι καὶ ἐπὶ τὰ πρότερα ἤθη ἀντικαθιστάναι τοὺς ἀνθρώπους ἠπείγετο, πει-

4. Ἀμαζάσπῃ] ἀμαζάσπει H et infra ἀμαζάσπιν. 5. ἀρμενίοις A. Ἀρμενίας P. 21. τιθασεύειν] Vulgo τιθασσεύειν.

quis possessoribus ex insidiis occisus est. Patrata caede, fugerunt in Persidem eius auctores, duo germani fratres, Perozis filii. Re audita, Amazaspi Symeonis ex sorore nepoti vicos Augustus concessit, eundemque praefecit Armeniae. Processerat tempus, cum Acacius apud Iustinianum Aug. cui familiaris erat, criminatus est Amazaspem, ab eo vexari dicens Armenios et agitari consilium prodendi Persis Theodosiopolin atque alia quaedam oppida. Sua functus delatione, dolo ipsum peremit de sententia Imperatoris; a quo etiam Armeniae praepositus fuit. Verum homo ad flagitia natus, eo gradum hunc honoris obtinuit, ut latentes animi mores clarius patefaceret. Mortalium fuit omnium in subditos crudelissimus. Nam illos de nihilo depeculabatur, et tributo quadringentorum pondo auri oneraverat inaudito. Tandem Armenii, cum iam Acacium ferre non possent, conflata conspiratione eum tollunt e medio, seque recipiunt in Pharangium.

Eo Sittam Augustus misit Byzantio: in urbe enim Sittas ab illo tempore degebat, quo pacem cum Persis Romani fecerant. Is ubi in Armeniam pervenit, in bellum remisse instituit initio, enitens ipsos delinire, et in pristinas sedes reducere, hoc promisso, persuasurum se Principi,

θειν βασιλέα ὑποσχόμενος ἀφεῖναι αὐτοῖς τὴν καινὴν τοῦ φόρου
ἀπαγωγήν. ἐπεὶ δὲ αὐτὸν βασιλεὺς τῆς μελλήσεως πολλὰ ὀνειδί-
ζων ἐκάκιζεν, ἡγμένος ταῖς Ἀδολίου διαβολαῖς τοῦ Ἀκακίου παι-
V 284 δός, ἐνταῦθα ἤδη ὁ Σίττας τὰ ἐς τὴν ξυμβολὴν ἐξηρτύετο. καὶ
πρῶτον μὲν ὑποσχέσεσι πολλῶν ἀγαθῶν ἀναπείθειν τε καὶ ἑταιρί-
ζεσθαι αὐτῶν τινας ἐνεχείρησεν, ὅπως αὐτῷ ῥάων τε καὶ ἀπονω-
C τέρα ἡ ἐς τοὺς λοιποὺς ἐπικράτησις γένοιτο. καί οἱ τὸ τῶν Ἀπε-
τιανῶν καλουμένων γένος, μέγα τε ὂν καὶ πολυάνθρωπον, προσ-
χωρεῖν ἤθελε. πέμψαντές τε παρὰ τὸν Σίτταν ἐν γράμμασιν
ἐδέοντο διδόναι τὰ πιστὰ σφίσιν, ὅτι δή, ἢν τῷ ἔργῳ τοὺς ὁμο-
γενεῖς ἀπολιπόντες ἥξωσιν ἐς τὴν Ῥωμαίων παράταξιν, κακῶν
παντάπασιν ἀπαθεῖς μείνωσι, τὰ σφέτερα αὐτῶν ἔχοντες. ὁ δὲ
αὐτοῖς ἄσμενός τε γράψας ἐν βιβλιδίῳ, καθάπερ ἐδέοντο, τὰ
πιστὰ ἔδωκε, καὶ τὸ γράμμα κατασημηνάμενος ἐς αὐτοὺς ἔπεμψε.
θαρσῶν τε ὡς δι' αὐτῶν ἀμαχητὶ τοῦ πολέμου κρατήσει, τῷ
παντὶ στρατῷ ἐς χωρίον Οἰνοχαλάκων ᾔει, ἔνθα τοὺς Ἀρμενίους
D ἐστρατοπεδεῦσθαι ξυνέβαινε. τύχῃ δέ τινι οἱ τὸ βιβλίον ἔχοντες
ἑτέρᾳ ἰόντες ὁδῷ Ἀπετιανοῖς ἐντυχεῖν οὐδαμῇ ἴσχυσαν. μοῖρα
μέντοι τοῦ Ῥωμαίων στρατοῦ ὀλίγοις τισὶν αὐτῶν ἐντυχόντες, οὐκ
εἰδότες τε τὰ ξυγκείμενα, ὡς πολεμίοις ἐχρήσαντο. καὶ αὐτὸς
Σίττας ἐν σπηλαίῳ που παῖδάς τε αὐτῶν καὶ γυναῖκας λαβὼν
ἔκτεινεν, ἢ τὸ γεγονὸς οὐ ξυνιεὶς ἢ δι' ὀργῆς Ἀπετιανοὺς ἔχων,
ὅτι οἱ, καθάπερ ξυνέκειτο, οὐ προσεχώρουν.

6. ἐνεχείρησεν] ἀνεχώρησεν Hm. 7. ἐς A. εἰς P. ibid. Ἀπετιανῶν] *Aspetiani* RV hic et infra. 13. βιβλιδίῳ] βιβλίῳ L. 18. Ἀπετιανοῖς] ἀπεστιανοῖς L. 21. Σίττας] ἰοὺ ἰοὺ τί πέπονθας σίττα, margo A.

ut eos nova tributi pensione levaret. At postquam eius cunctationem Augustus calumniis Adolii filii Acacii inductus gravi notavit exprobratione, se ad praelium accinxit: prius tamen amplis pollicitationibus ad se pertrahere nonnullos sibique adiungere tentavit, quo facilius reliquos expugnaret. Iamque Apetiani, magna ac frequens natio, deditionem facere constituerant, et per legatos fidem a Sitta petierant scripto testatam, si reipsa a popularibus suis ad aciem Romanam transirent, sua se possessuros incolumes; ac libenter ille, quemadmodum postulabant, fidem iis dederat mandatam scripto, literasque obsignatas miserat; quin etiam ipsorum opera victoriam absque praelio sibi spondens cum exercitu universo accesserat Oenochalacos, ubi castra habebant Armenii: sed accidit ut tabellarii diversam ingressi viam ab Apetianis deerraverint. Praeterea pars Romani exercitus nacta ex eorum numero aliquot, et conventorum ignara, ipsos pro hostibus habuit. Denique Sittas ipse liberos illorum et coniuges in quadam spelunca deprehensos trucidavit, sive inscius quinam essent, sive iratus Apetianis, quod ad se, ut convenerat, non transfugerent.

Οἱ δὲ θυμῷ ἤδη ἐχόμενοι ξὺν τοῖς ἄλλοις ἅπασιν ὡς ἐς μάχην ἐτάξαντο. ἅτε δὲ ἐν δυσχωρίαις χαλεπαῖς τε καὶ κρημνώδεσιν ἑκάτεροι ὄντες οὐκ ἐν ἑνὶ χώρῳ ἐμάχοντο, ἀλλὰ διασκεδαννύμενοι ἔν τε ὑπωρείαις καὶ φάραγξι. τετύχηκεν οὖν τῶν Ἀρμενίων ὀλίγους τινὰς καὶ Σίτταν τῶν ἑπομένων οὐ πολλοὺς ἔχοντα ἀλλήλων πη ἄγχιστα ἰέναι, φάραγγος σφίσι τινὸς μεταξὺ οὔσης. P 92 ἱππεῖς δὲ ἦσαν ἑκάτεροι. ὁ μὲν οὖν Σίττας, ὀλίγων οἱ ἑπισπομένων, ἐπὶ τοὺς ἐναντίους τὴν φάραγγα διαβὰς ἤλαυνεν, Ἀρμένιοι δὲ ὀπίσω ὑποχωρήσαντες ἔστησαν, καὶ ὁ Σίττας οὐκέτι ἐδίωκεν, ἀλλ' αὐτοῦ ἔμενεν. ἄφνω δέ τις τοῦ Ῥωμαίων στρατοῦ, Ἔρουλος γένος, δίωξιν ἐπὶ τοὺς πολεμίους πεποιημένος, ἐνθένδε τε ξὺν θυμῷ ἀπελαύνων παρὰ τοὺς ἀμφὶ τὸν Σίτταν ἦλθεν. ἐτύγχανε δὲ ὁ Σίττας ἐς τὸ ἔδαφος τὸ δόρυ ἐρείσας· ὃ δὴ ὁ τοῦ Ἐρούλου ἵππος ἐπιπεσὼν ξὺν πολλῇ ῥύμῃ κατέαξε. τόν τε στρατηγὸν τοῦτο ἠνίασεν ἐς τὰ μάλιστα, καὶ αὐτὸν τῶν τις Ἀρμενίων ἰδὼν ἔγνω τε καὶ Σίτταν αὐτὸν τοῖς ἄλλοις ἅπασιν ἰσχυρίζετο εἶναι. ξυνέβαινε γάρ οἱ ἐν τῇ κεφαλῇ κράνος οὐκ εἶναι. διὸ δὴ τοὺς πο- B λεμίους οὐκ ἔλαθε ξὺν ὀλίγοις τισὶν ἐνταῦθα ἥκων. Σίττας μὲν οὖν, ἐπεὶ ταῦτα τοῦ Ἀρμενίου ἤκουσε λέγοντος καὶ τὸ δόρυ, ὥσπερ ἐρρήθη, οἱ ἀποκαυλισθὲν ἐς τὴν γῆν ἔκειτο, σπασάμενος H 41 τὸ ξίφος τὴν φάραγγα διαβαίνειν εὐθὺς ἐνεχείρησεν. οἱ δὲ πολέμιοι σπουδῇ πολλῇ ἐπ' αὐτὸν ἤλαυνον, καί τις αὐτὸν καταλαβὼν

4. ὑπωρείαις] ὑπωρίαις H. 6. ἰέναι] εἶναι Pm. 11. Ἔρουλος] Legebatur Ἔλουρος et infra Ἐλούρου. Correxi ex RV. Idem vitium infra p. 138 d. et in Menandri Excerptis p. 285, 7. ubi correxit Niebuhrius. Apud Procopium recte alibi Ἔρουλοι: vide indicem. 20. ἐρρήθη] ἐῤῥέθη P. 21. οἱ] Vulgo οἱ.

Illi iam animis exasperati, cum caeteris omnibus ad pugnam sese composuere. Et quoniam confragosa regio deruptaque praecipitiis erat, non uno in loco uterque exercitus, sed sparsi in clivis et vallibus manipuli decertabant. Tum forte globus Armeniorum, et Sittas parva suorum stipatus manu, equites utrique, provecti contra se invicem proxime sunt; sic tamen ut vallis interiaceret: quam Sittas cum paucis transgressus, equum in hostes egit. Ubi vero referentes pedem Armenii substiterunt, cursum et ipse reprimens in vestigiis haesit. Ecce quidam e Rom. exercitu, natione Elurus, facta in hostem incursione, ad Sittam, qui hastam solo infixerat, recurrit ardens. Illam Eluri equus magno ruens impetu confregit: unde gravissimum dolorem animo cepit Magister militum: quem conspicatus quidam Armenius, ut agnovit, sociis asseverat hunc esse Sittam. Forte enim galea caput nudaverat: quo facto hostibus ipse prodidit se illuc venisse, et quidem paucis comitatum. Ea dicentem Armenium simul audiit, quia fracta, ut dixi, hasta humi iacebat,

ἐν τῇ φάραγγι ξίφει ἐς ἄκραν κεφαλὴν ἔτυψε πληγῇ ἐγκαρσίᾳ. καὶ τὸ μὲν βρέγμα ὅλον ἀφείλετο, τοῦ δὲ ὀστέου ὁ σίδηρος οὐδαμῇ ἥψατο. καὶ ὁ μὲν Σίττας ἔτι μᾶλλον ἢ πρότερον πρόσω ἤλαυνεν, Ἀρταβάνης δὲ Ἰωάννου παῖς Ἀρσακίδης ὄπισθεν ἐπιπεσὼν C *καὶ παίσας τῷ δόρατι ἔκτεινεν. οὕτω τε ὁ Σίττας ἐξ ἀνθρώπων ἠφάνιστο οὐδενὶ λόγῳ, ἀναξίως τῆς τε ἀρετῆς καὶ τῶν ἐς τοὺς πολεμίους ἀεὶ πεπραγμένων, ἀνὴρ τό τε σῶμα ἐς ἄγαν καλὸς γεγονὼς καὶ ἀγαθὸς τὰ πολέμια, στρατηγὸς δὲ ἄριστος τῶν καθ' αὐτὸν οὐδενὸς ἥσσων. τινὲς δέ φασι τὸν Σίτταν οὐ πρὸς τοῦ Ἀρταβάνου ἀπολωλέναι, ἀλλὰ Σολομῶνα, λίαν ἐν Ἀρμενίοις ἀφανῆ ἄνδρα, τὸν ἄνθρωπον διαχρήσασθαι.*

Τελευτήσαντος δὲ Σίττα Βούζην βασιλεὺς ἐπὶ τοὺς Ἀρμενίους ἐκέλευεν ἰέναι· ὃς ἐπεὶ ἀγχιστά που ἐγένετο, ἔπεμψε πρὸς αὐτοὺς βασιλεῖ τε καταλλάξειν Ἀρμενίους ὑποσχόμενος ἅπαντας καὶ ὑπὲρ τούτων ἐς λόγους οἱ ἐλθεῖν ἀξιῶν τῶν δοκίμων τινάς. D *οἱ μὲν οὖν ἄλλοι οὔτε πιστεύειν τῷ Βούζῃ εἶχον οὔτε τοὺς λόγους ἐνδέχεσθαι τοὺς αὐτοῦ ἤθελον. ἦν δέ τις αὐτῷ μάλιστα φίλος ἀνὴρ Ἀρσακίδης, Ἰωάννης τοὔνομα, Ἀρταβάνου πατήρ, ὃς δὴ τῷ Βούζῃ τότε ἅτε φίλῳ θαρσήσας ξύν τε Βασσάκῃ τῷ κηδεστῇ καὶ ἄλλοις τισὶ παρ' αὐτὸν ἦλθεν· οἳ δὴ ἐν χωρίῳ γενόμενοί τε καὶ αὐλισθέντες, ἔνθα τῷ Βούζῃ τῇ ὑστεραίᾳ ἐντυχεῖν ἔμελλον,* V 285 *ᾔσθοντο ἐς κύκλωσιν πρὸς τοῦ Ῥωμαίων στρατοῦ ἥκοντες. πολλὰ*

5. τε A. δὲ P. 13. ἐκέλευεν L. ἐκέλευσεν P. 15. τῶν δοκίμων] τοὺς δοκίμους L. 16. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 19. ἅτε om. L.

educto gladio iterum transire vallem aggreditur. Advolant hostes: atque unus ipsum assecutus in valle obliquo ictu verticem percutit demetitque sinciput, osse minime violato acie ferri. Porro Sittas pergebat, equum citans velocius; sed irruens a tergo Artabanes filius Ioannis Arsacides, illum transfixit hasta atque confecit. Ita Sittas temere periit, fato sublatus parum digno virtute sua et rebus in hostes semper praeclare gestis: vir eximia corporis forma praeditus, et cum bellica fortitudine, tum imperandi peritia nemini aetatis suae secundus. Non desunt qui illum dicant non Artabanis manu, sed Solomonis, Armeni ignobilissimi, cecidisse.

Extincto Sitta, Buzem in Armeniam destinat Imperator. Ille iam loco proximus, in quo erant rebelles, pollicetur per internuntios se apud Principem Armenios omnes restituturum in gratiam, et ad colloquium optimates invitat. Plerisque Buzi diffidentibus ac respuentibus ipsius dicta, Artabanis pater Ioannes Arsacides, Buzi amicissimus, huic tanquam amico fidens, ad eum se contulit cum genero suo Bassace aliisque nonnullis. Postquam eo venerunt, sibique sedem optarunt ad nocturnam quietem, ubi postridie cum Buze acturi erant; se in Rom. exercitum delapsos,

μὲν οὖν τὸν Ἰωάννην Βασσάκης ὁ γαμβρὸς ἐλιπάρει δρασμοῦ ἔχε-
σθαι. ἐπεὶ δὲ αὐτὸν πείθειν οὐκ εἶχε, μόνον ἐνταῦθα καταλι-
πὼν ξὺν τοῖς ἄλλοις ἅπασι λαθὼν τοὺς Ῥωμαίους, ὁδῷ τῇ αὐτῇ
ὀπίσω ἀπήλαυνε. Βούζης τε τὸν Ἰωάννην μόνον εὑρὼν ἔκτεινε,
καὶ ἀπ᾽ αὐτοῦ οὔτε τινα ἐλπίδα ἐς Ῥωμαίους Ἀρμένιοι ξυμβάσεως P 93
πέρι τὸ λοιπὸν ἔχοντες οὔτε βασιλέα τῷ πολέμῳ ὑπεραίρειν οἷοί τε
ὄντες παρὰ τὸν Περσῶν βασιλέα ἦλθον, Βασσάκου σφίσιν ἡγου-
μένου, δραστηρίου ἀνδρός. ὧν τότε οἱ πρῶτοι Χοσρόῃ ἐς ὄψιν
ἐλθόντες ἔλεξαν τοιάδε „Εἰσὶ μὲν ἡμῶν πολλοὶ Ἀρσακίδαι, ὦ
δέσποτα, ἐκείνου Ἀρσάκου ἀπόγονοι, ὃς δὴ οὔτε τῆς Πάρθων
βασιλείας ἀλλότριος ἐτύγχανεν ὤν, ἡνίκα ὑπὸ Πάρθοις ἔκειτο τὰ
Περσῶν πράγματα, καὶ βασιλεὺς ἐπιφανὴς γέγονε τῶν καθ᾽ αὐ-
τὸν οὐδενὸς ἥσσων. πάρεσμεν δὲ τανῦν εἰς ὑμᾶς ἅπαντες δοῦλοί
τε καὶ δραπέται γεγενημένοι, οὐχ ἑκούσιοι μέντοι, ἀλλ᾽ ἠναγκα-
σμένοι ὡς μάλιστα, τῷ μὲν φαινομένῳ ὑπὸ τῆς Ῥωμαίων ἀρχῆς, B
τῷ δὲ ἀληθεῖ λόγῳ ὑπὸ σῆς, ὦ βασιλεῦ, γνώμης. εἴπερ ὁ τὴν
ἰσχὺν τοῖς ἀδικεῖν βουλομένοις διδοὺς αὐτὸς ἂν φέροιτο καὶ τὴν
αἰτίαν τῶν ἔργων δικαίως. εἰρήσεται δὲ μικρὸν ἄνωθεν ὅπως δὴ
ἅπασι παρακολουθεῖν τοῖς πεπραγμένοις δυνήσεσθε. Ἀρσάκης
γὰρ ὁ τῶν προγόνων τῶν ἡμετέρων βασιλεὺς ὕστατος ἐξέστη τῆς
ἀρχῆς τῆς αὐτοῦ Θεοδοσίῳ τῷ Ῥωμαίων αὐτοκράτορι ἑκών γε
εἶναι, ἐφ᾽ ᾧ δὴ ἅπαντες οἱ κατὰ γένος αὐτῷ μέλλοντες πάντα

4. βούζης τε L. Βούζης δὲ P. 5. οὔτε — οὔτε] οὐδέ — οὐδὲ P. 6. πέρι] περὶ P. 7. ἦλθον] ἦλθεν L. 19. δυνήσεσθε] δυνή-σησθε LHm. 21. αὐτοῦ] αὑτοῦ P.

Iam circumveniri sensere. Hic Ioannem regare etiam atque etiam Bassaces gener ut fugae se commendaret: sed frustra. Quare obstinatum ibi solum relinquens, eadem via cum sociis rediit, clam Romanis. Buzes Ioannem solum nactus, eum occidit. Tunc Armenii spe omni deposita reconciliandae cum Romanis gratiae, cum nequirent superiores armis esse Augusto; duce Bassace viro strenuo Regem Persarum adeunt. Intromissi ad Chosroem eorum principes, verba in hunc fere modum fecerunt. *Arsacidae quidem hic sunt, Domine, non pauci e nostro numero: scilicet Arsacis illius nepotes, qui non erat sanguine alienus Parthorum Regibus, quando his Persae suberant, et quo Regem ipsius aetas nullum tulit illustriorem. Nunc vero in conspectum venimus vestrum, servi omnes, et quidem fugitivi: conditionem istam non amplexi sponte; sed subire coacti, vi, ut quidem apparet, dominationis Romanae; reapse autem voluntate, Rex, tua: si quidem in eum, qui iniuriam inferre volentibus vires praebet, conferri, quae illi perpetrant, iure possunt. Atque ut animo comprehensa res tota teneatur, paulo altius repetemus. Arsaces, is qui Rex fuit postremus e maioribus nostris, Theodosio Rom. Imp. regno suo cessit ultro hac lege, ut omni deinceps aevo quicunque ipsum propinquitate continge-*

τὸν αἰῶνα προσήκειν τά τε ἄλλα βιοτεύσουσι κατ' ἐξουσίαν καὶ
φόρου ὑποτελεῖς οὐδαμῇ ἔσονται. καὶ διεσωσάμεθα τὰ ξυγκεί-
μενα, ἕως ὑμεῖς ταύτας πεποίησθε τὰς διαβοήτους σπονδάς, ἅς
C δὴ κοινόν τινα ὄλεθρον καλῶν τις, οἰόμεθα, οὐκ ἂν ἁμάρτοι. φί-
λων τε γὰρ καὶ πολεμίων τὸ ἐντεῦθεν ἀφροντιστήσας ἅπαντα ξυν-
έχεέ τε καὶ ξυνετάραξε τὰ ἀνθρώπεια ὁ σός, ὦ βασιλεῦ, τῷ λόγῳ
μὲν φίλος, ἔργῳ δὲ δυσμενής. ὅπερ καὶ αὐτὸς οὐκ εἰς μακρὰν
εἴσῃ, ἐπειδὰν τάχιστα τοὺς ἑσπερίους οἷός τε ᾖ παντάπασι κατα-
στρέψασθαι. τί γὰρ τῶν πρότερον ἀπειρημένων οὐκ ἔπραξεν;
ἢ τί οὐκ ἐκίνησε τῶν εὖ καθεστώτων; οὐχ ἡμῖν μὲν φόρου ἀπα-
γωγὴν ἔταξεν οὐ πρότερον οὖσαν, καὶ Τζάνους τοὺς ὁμόρους ἡμῖν
αὐτονόμους ὄντας δεδούλωται, τῷ δὲ βασιλεῖ τῶν ἀθλίων Λαζῶν
ἄρχοντα Ῥωμαῖον ἐπέστησε; πρᾶγμα οὔτε τῇ φύσει τῶν πραγμά-
D των ξυμβαῖνον οὔτε λόγῳ ῥᾴδιον ἑρμηνεύεσθαι. οὐ Βοσπορίταις
μὲν τοῖς Οὔννων κατηκόοις στρατηγοὺς ἔπεμψε καὶ τὴν πόλιν
προσεποιήσατο οὐδὲν αὐτῷ προσῆκον, ὁμαιχμίαν δὲ πεποίηται
H 50 πρὸς τὰς τῶν Αἰθιόπων ἀρχάς, ὧν καὶ ἀνήκοοι τὸ παράπαν Ῥω-
μαῖοι ἐτύγχανον ὄντες; ἀλλὰ καὶ Ὁμηρίτας τε καὶ θάλασσαν τὴν
ἐρυθρὰν περιβέβληται καὶ τὸν φοινικῶνα προστίθησι τῇ Ῥωμαίων
ἀρχῇ. ἀφίεμεν γὰρ λέγειν τὰ Λιβύων τε καὶ Ἰταλῶν πάθη. ἡ
γῆ τὸν ἄνθρωπον οὐ χωρεῖ ξύμπασα· μικρόν ἐστιν αὐτῷ πάντων
ὁμοῦ τῶν ἀνθρώπων κρατεῖν. ὃ δὲ καὶ τὸν αἰθέρα περισκοπεῖ

1. βιοτεύσουσι] βιωτεύσουσι P. 11. Τζάνους] ζάνους L. Zanos RV. 13. ἐπέστησε] ἐπέστησεν L.

rent, cum in caeteris rebus viverent ad arbitrium suum, tum omnium omnino vectigalium immunes forent. Quibus pactis sua vis constitit, donec pacem illam fecistis adeo decantatam; quam, nostra quidem sententia, communem pestem haud male quis appellarit. Ex eo tempore nulla amicorum iuxta hostiumque habita ratione, humana omnia miscuit perturbavitque tuus ille, o Rex, verbo amicus, re infensissimus inimicus: qualem ipse brevi cognosces, simul ac perdomuerit Occidentem. Quid enim ex iis, quae praevetita fuerant, non admisit? quid de rite sancitis non movit? Annon tributum nobis novum, Tzanis finitimis, cum essent liberi, servitutem imposuit? et, quae indignitas est naturae rerum contraria nec verbis facile explicabilis, Ducem Romanum praeposuit miserorum Lazorum Regi? Nonne Ducibus missis ad Bosporitas, Hunnis subditos, ditioni suae urbem adiecit, in quam nihil habebat iuris, ac belli societatem coiit cum principibus Aethiopum, quos Romani ne nomine quidem norant. Quid quod et Homeritas, et mare Rubrum potentia sua complexus est, Romanoque Imperio Palmetum adiunxit. Silentio clades Africae atque Italiae praetermittimus. Tellus hominem universa non capit, eique parum est cunctis mortalibus dominari. Coelum etiam circumspectat, et in alium Orbem ali-

καὶ τοὺς ὑπὲρ τὸν ὠκεανὸν διερευνᾶται μυχούς, ἄλλην αὐτῷ τινα
οἰκουμένην περιποιεῖσθαι βουλόμενος. τί οὖν ἔτι, ὦ βασιλεῦ,
μέλλεις; τί δὲ τὴν κάκιστα ἀπολουμένην εἰρήνην αἰσχύνῃ, ὅπως P 94
δηλαδὴ σε ὑστάτην ποιήσηται βρῶσιν τῶν ἄλλων ἁπάντων; εἰ
μὲν ἐστί σοι βουλομένῳ μαθεῖν ὁποῖός τις ἂν Ἰουστινιανὸς ἐς τοὺς
αὐτῷ εἴκοντας γένοιτο, ἐγγύθεν σοι τὸ παράδειγμα παρ' ἡμῶν
αὐτῶν ἐστι καὶ τῶν ταλαιπώρων Λαζῶν· εἰ δέ, ὅπως ποτὲ εἴωθε
τοῖς τε ἀγνῶσι καὶ τοῖς οὐδ' ὁτιοῦν ἠδικηκόσι χρῆσθαι, Βανδί-
λους τε καὶ Γότθους καὶ Μαυρουσίους διαλογίζου. τό τε δὴ κε-
φάλαιον οὔπω λέλεκται. οὐκ Ἀλαμούνδαρον μὲν ἐν σπονδαῖς
τὸν σόν, ὦ κράτιστε βασιλεῦ, δοῦλον ἀπάτῃ τε περιελθεῖν καὶ
βασιλείας ἀποστῆσαι τῆς σῆς ἔργον πεποίηται, Οὔννους δὲ τοὺς
οὐδαμόθεν αὐτῷ γνωρίμους ἐπὶ τοῖς σοῖς ἔναγχος ἑταιρίζεσθαι B
πράγμασιν ἐν σπουδῇ ἔσχε; καίτοι πρᾶξις ἀτοπωτέρα ταύτης οὐ
γέγονεν ἐκ τοῦ παντὸς χρόνου. ἐπειδὴ γὰρ ᾔσθετο, οἶμαι, εἰς
πέρας αὐτῷ ὅσον οὔπω ἀφίξεσθαι τὴν τῶν ἑσπερίων καταστροφήν,
τοὺς ἑῴους ἤδη μετελθεῖν ὑμᾶς ἐγκεχείρηκεν, ἐπεὶ καὶ μόνον ἀπο-
λέλειπται αὐτῷ ἐς ἀγῶνα τὸ Περσῶν κράτος. ἡ μὲν οὖν εἰρήνη
τὸ ἐκείνου μέρος ἤδη σοι λέλυται, καὶ σπονδαῖς αὐτὸς πέρας ταῖς
ἀπεράντοις ἐπέθηκε. λύουσι γὰρ τὴν εἰρήνην οὐχ οἳ ἂν ἐν ὅπλοις V 286
γένοιντο πρῶτοι, ἀλλ' οἳ ἂν ἐπιβουλεύοντες ἐν σπονδαῖς τοῖς πέ-
λας ἁλοῖεν. τὸ γὰρ ἔγκλημα τῷ ἐγκεχειρηκότι, κἂν ἀπῇ τὸ κα- C

3. μέλλεις] μέλεις A. 5. τις om. L. 6. εἴκοντας LPm. ἥκοντας P. obtemperantes RV. 8. ἀγνῶσι] ἄλλοις L, qui proxima usque ad παντὸς χρόνου om. 11. τὸν σὸν] ταῖς σαῖς A. 18. αὐτῷ Pm. αὐτῶν P.

Tantam cupiditatem extendens reductos trans Oceanum sinus scrutatur. Quid igitur, o Rex, adhuc differs? Cur pacem illam perditissimam colis, postremus omnium devorandus? Si vis discere qualem se suis praebeat clientibus Iustinianus; vicinum in nobis Lazisque infelicibus exemplum habes, ideo docearis; si quaeris quomodo externos, a quibus nullam accepit iniuriam, tractare soleat; in Vandalos, Gotthos, Mauros animum intende. Nondum tamen caput attigimus. Quid non egit post confectam pacem ut Alamundarum servum tuum, Rex optime, fraude circumveniret, et a regno tuo defectione abstraheret? quid nuper, ut sibi in perniciem tuam Hunnos coniungeret nullo usu cognitos? Qua molitione insolentior nulla post homines natos extitit. Enimvero ubi, credo, animadvertit brevi debellatum iri in Occidente, iam ad vos, qui Orientem tenetis, convertit impetum: quoniam nullum modo regnum, praeter Persicum, superest, quod bello petat. Itaque pax, quod ad ipsum attinet, tibi nunc soluta est, et quae in tempus infinitum pacta fuerat, huic ille iam finem dedit. Pacem enim rescindunt non qui arma capiunt primi; sed qui pacis tempore in aliqua adversus vicinos machinatione deprehenduntur. Nam quisquis aggressus est

τορθοῦν, πέπρακται. ὅπη ποτὲ δὲ ὁ πόλεμος χωρήσει παντί που δῆλον. οὐ γὰρ οἱ τὰς αἰτίας τῷ πολέμῳ παρασχόμενοι, ἀλλ' οἱ τοὺς παρασχομένους αὐτὰς ἀμυνόμενοι, κρατεῖν ἀεὶ τῶν πολεμίων εἰώθασιν. οὐ μὴν οὐδὲ ἐξ ἀντιπάλου ἡμῖν τῆς δυνάμεως ὁ ἀγὼν ἔσται. Ῥωμαίοις γὰρ τῶν τε στρατιωτῶν πλείστους πρὸς ταῖς τῆς οἰκουμένης ἐσχατιαῖς ξυμβαίνει εἶναι καὶ δυοῖν στρατηγοῖν, οἵπερ αὐτοῖς ἄριστοι ἦσαν, τὸν ἕτερον μὲν Σίτταν κτείναντες ἥκομεν, Βελισάριον δὲ οὔποτε Ἰουστινιανὸς τὸ λοιπὸν ὄψεται.
D οὗπερ ἐκεῖνος ὀλιγωρήσας μεμένηκε πρὸς ταῖς ἡλίου δυσμαῖς, αὐτὸς ἔχων τὸ Ἰταλῶν κράτος. ὥστε σοὶ ἐπὶ τοὺς πολεμίους ἰόντι ἀπαντήσει τῶν πάντων οὐδείς, ἕξεις δὲ καὶ ἡμᾶς εὐνοίᾳ τε, ὡς τὸ εἰκός, καὶ χωρίων ἐμπειρίᾳ πολλῇ τῷ σῷ στρατῷ ἐξηγουμένους.“ ταῦτα ἐπεὶ Χοσρόης ἤκουσεν, ἥσθη τε καὶ ξυγκαλέσας εἴ τι ἐν Πέρσαις καθαρὸν ἦν ἐς πάντας ἐξήνεγκεν ἅ τε Οὐίττιγις ἔγραψε καὶ ὅσα οἱ Ἀρμένιοι εἶπον, ἀμφί τε τῷ πρακτέῳ βουλὴν ἔθηκεν. ἔνθα δὴ ἐλέχθησαν μὲν γνῶμαι πολλαὶ ἐφ' ἑκάτερα φέρουσαι, τέλος δὲ πολεμητέα σφίσιν ἅμα ἦρι ἀρχομένῳ ἐπὶ Ῥωμαίους ἔδοξεν εἶναι. ἦν γὰρ τοῦ ἔτους μετόπωρον, τρίτον καὶ δέκατον ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος. οὐ μέντοι Ῥωμαῖοι τοῦτο ὑπώπτευον, οὐδὲ δὴ Πέρσας λύσειν ποτὲ τὰς ἀπεράντους καλουμένας σπονδὰς ᾤοντο, καίπερ Χοσρόην ἀκούσαντες τῷ τε σφῶν αὐτῶν βασιλεῖ ἐγκαλεῖν οἷς

14. εἴ τι ἐν Πέρσαις — ἐξήνεγκε] Suidas s. v. καθαρῶς.
16. μὲν om. L.

scelus, optato licet successu careat, iam id patravit. Quem autem habiturum sit bellum exitum, nemini obscurum est. Neque enim qui belli causas praebent ac semina iaciunt, victoria potiri solent; sed qui belli auctores improbos ulciscuntur. At neque aequo Marte congredi hostis nobiscum poterit: siquidem copiarum partem maximam in extremo Orbe Romani habent, et Ducum praestantissimorum, qui ipsis erant omnino duo, alterum, nimirum Sittam, recentissime interfecimus: Belisarium vero visurus nunquam est Iustinianus; quem ille floccipendens, restitit in Occidente, regno Italiae occupato. Quare in hostes vadenti tibi nemo unus omnium occurret: nobis autem et benevolis, ut par est, et locorum peritissimis viae ducibus uti poteris. Ea Chosroes oratione audita cum voluptate, deinde convocatis qui inter Persas eminebant, tum quae scripserat Vittigis, tum quae Armenii dixerant plane exposuit, et quid opus facto esset instituit quaerere. Multis in utramque partem prolatis sententiis, denique placuit inferre primo vere Romanis arma. Erat autumnus, agebatque annum imperii Iustinianus XIII. Romani certe nihil tale suspicabantur, et quamquam Imperatorem suum audiverant urgeri querelis Chosrois de prosperis eius in Occidente successibus expostulantis, et quae supra commemo-

εὐημέρησεν ἐν ταῖς τοῦ ἡλίου δυσμαῖς καὶ τὰ ἐγκλήματα ἐπιφέρειν ταῦτα, ὧν ἄρτι ἐμνήσθην.

δ'. Τότε καὶ ὁ κομήτης ἀστὴρ ἐφάνη, τὰ μὲν πρῶτα P 95 *ὅσον εὐμήκης ἀνὴρ μάλιστα, ὕστερον δὲ καὶ πολλῷ μείζων. καὶ αὐτοῦ τὸ μὲν πέρας πρὸς δύοντα ἥλιον, ἡ δὲ ἀρχὴ πρὸς ἀνίσχοντα ἦν, αὐτῷ δὲ τῷ ἡλίῳ ὄπισθεν εἵπετο. ὁ μὲν γὰρ ἐν αἰγοκέρῳ ἦν, αὐτὸς δὲ ἐν τοξότῃ. καὶ αὐτὸν οἱ μέν τινες ἐκάλουν ξιφίαν, ὅτι δὴ ἐπιμήκης τε ἦν καὶ λίαν ὀξεῖαν τὴν ἀρχὴν εἶχεν, οἱ δὲ πωγωνίαν, ἡμέρας τε πλείους ἢ τεσσαράκοντα ἐφάνη. οἱ μὲν οὖν ταῦτα σοφοὶ ἀλλήλοις ὡς ἥκιστα ὁμολογοῦντες ἄλλος ἄλλα προὔλεγον πρὸς τούτου δὴ τοῦ ἀστέρος σημαίνεσθαι· ἐγὼ δὲ ὅσα γενέσθαι ξυνηνέχθη γράφων δίδωμι ἑκάστῳ τοῖς ἀποβεβηκόσι τεκμηριοῦσθαι ᾗ βούλοιτο. μέγα μὲν εὐθὺς στράτευμα* B *Οὐννικὸν, διαβάντες ποταμὸν Ἴστρον, ξυμπάσῃ Εὐρώπῃ ἐπέσκηψαν, γεγονὸς μὲν πολλάκις ἤδη, τοσαῦτα δὲ τὸ πλῆθος κακὰ ἢ τοιοῦτα τὸ μέγεθος οὐκ ἐνεγκὸν πώποτε τοῖς ταύτῃ ἀνθρώποις. ἐκ κόλπου γὰρ τοῦ Ἰονίου οἱ βάρβαροι οὗτοι ἅπαντα ἐφεξῆς ἐληίσαντο μέχρι ἐς τὰ Βυζαντίου προάστεια. καὶ φρούρια μὲν δύο καὶ τριάκοντα ἐν Ἰλλυριοῖς εἷλον, πόλιν δὲ τὴν Κασσάνδρειαν κατεστρέψαντο βίᾳ (ἣν οἱ παλαιοὶ Ποτίδαιαν ἐκάλουν, ὅσα γε ἡμᾶς εἰδέναι) οὐ τειχομαχήσαντες πρότερον. καὶ τά τε χρήματα ἔχοντες αἰχμαλώτων τε μυριάδας δύο καὶ δέκα ἀπαγό-* C

14. *Ἴστρον*] *ἴστρον* HL. 16. *ἢ*] *ἤτοι* L. 17. *Ἰονίου*] *ἰονείου* L. ibid. *ἅπαντα* L. *ἅπαντες* P. *ἅπαντας* Pm. 22. *ἀπαγόμενοι*] *ἐπαγόμενοι* HL.

gravi obiicientis; tamen Persas perpetuam, quam appellant, pacem minime rupturos putabant.

4. Eodem tempore Cometes apparuit; initio aequalis longitudine procero homini, deinde multo maior evasit. Eius cauda Occasum, caput Ortum spectabat. Sagittario subiectus positum in Capricorno solem subsequebatur. Eum alii xiphian, quod esset oblongus et mucrone praeacuto inciperet; alii pogonian appellabant. Dies amplius XL. effulsit. Ac variis inter se scissi sententiis viri docti, alius aliud eo sidere portendi praedicebant. Ego vero satis habens scribere quaecunque postea acciderunt, cuique coniecturam inde ad libitum faciendam relinquo. Igitur continuo Hunnorum ingens exercitus traiecto Istro Europae universae incubuit. Id quidem antea saepe factum: at nec tot unquam nec tantae in has oras invectae fuerant calamitates. Etenim ab Ionio sinu ad ipsa Byzantii suburbia continenti cursu omnia populati Barbari, castella in Illyrico XXXII. ceperunt: urbem Casandriam, dictam olim, quantum intelligere possumus, Potidaeam, vi occuparunt, antea soliti murorum oppugnationibus abstinere, et cum opulenta praeda captivorumque centum ac viginti millibus domum omnes obsistente nemine remigrarunt. Post-

*μενοι ἐπ' οἴκου ἅπαντες ἀνεχώρησαν, οὐδενὸς σφίσιν ἐναντιώμα-
τος ἀπαντήσαντος. χρόνῳ δὲ τῷ ὑστέρῳ πολλάκις ἐνταῦθα γε-
νόμενοι ἀνήκεστα ἐς Ῥωμαίους δεινὰ ἔδρασαν. οἳ δὴ καὶ ἐν
Χερρονήσῳ τειχομαχήσαντες, βιασάμενοί τε τοὺς ἐκ τοῦ τείχους
ἀμυνομένους καὶ διὰ τοῦ τῆς θαλάσσης ῥοθίου τὸν περίβολον
ὑπερβάντες, ὃς πρὸς κόλπῳ τῷ μέλανι καλουμένῳ ἐστὶν, οὕτω
τε ἐντὸς τῶν μακρῶν τειχῶν γεγενημένοι καὶ τοῖς ἐν Χερρονήσῳ
Ῥωμαίοις ἀπροσδόκητοι ἐπιπεσόντες, ἔκτεινάν τε πολλοὺς καὶ*
D *ἠνδραπόδισαν σχεδὸν ἅπαντας. ὀλίγοι δέ τινες καὶ διαβάντες
τὸν μεταξὺ Σηστοῦ τε καὶ Ἀβύδου πορθμὸν, λῃσάμενοί τε τὰ
ἐπὶ τῆς Ἀσίας χωρία καὶ αὖθις ἐς Χερρόνησον ἀναστρέψαντες,
ξὺν τῷ ἄλλῳ στρατῷ καὶ πάσῃ τῇ λείᾳ ἐπ' οἴκου ἀπεκομίσθησαν.*
V 287 *ἐν ἑτέρᾳ τε εἰσβολῇ τούς τε Ἰλλυριοὺς καὶ Θεσσαλοὺς λῃσάμενοι
τειχομαχεῖν μὲν ἐνεχείρησαν ἐν Θερμοπύλαις, τῶν δὲ ἐν τοῖς τεί-
χεσι φρουρῶν καρτερώτατα ἀμυνομένων διερευνώμενοι τὰς πε-
ριόδους παρὰ δόξαν τὴν ἀτραπὸν εὗρον ἣ φέρει εἰς τὸ ὄρος ὃ*
P 96 *ταύτῃ ἀνέχει. οὕτω τε σχεδὸν ἅπαντας Ἕλληνας, πλὴν Πελο-
ποννησίων, διεργασάμενοι ἀπεχώρησαν. Πέρσαι δὲ οὐ πολλῷ
ὕστερον τὰς σπονδὰς λύσαντες ἔργα Ῥωμαίους τοὺς ἑῴους εἰργά-
σαντο ἅπερ ἐγὼ αὐτίκα μάλα δηλώσω. Βελισάριος τῶν Γότθων
τε καὶ Ἰταλιωτῶν βασιλέα Οὐίττιγιν καθελὼν ζῶντα ἐς Βυζάν-
τιον ἤνεγκεν. ὅπως δὲ ὁ Περσῶν στρατὸς ἐς γῆν τὴν Ῥωμαίων
ἐσέβαλεν, ἐρῶν ἔρχομαι.*

16. *παρὰ δόξαν*] *παρὰ* om. L. 17. *Πελοποννησίων*] *πελοποννησίων* L.

modum etiam crebris eruptionibus Romanos attriverunt. In Chersoneso murum adorti, qui ad Sinum Melanem extructus est, eum qua mari alluitur superaverunt, deiectis propugnatoribus: itaque Muros longos transgressi, facto in Romanos Chersonesi incolas nec opinato impetu, multos vita, reliquos fere omnes libertate privarunt. Nonnulli freto, quod inter Sestum et Abydum est, transito, populati sunt Asiam, revectique in Chersonesum, cum reliquo exercitu cunctaque praeda patriam repetierunt. Altera irruptione Illyrico Thessaliaque vastatis, cum ad Thermopylas manum oppugnandis moenibus admovissent, a custodibus fortissime repulsi, dum viarum anfractus explorant, praeter opinionem invenere tramitem, quo in montem illic eminentem evaditur. Hinc Graecis pene universis, praeter Peloponnesios, deletis remearunt. Persae autem rupta non multo post pace, in Romanos Orientales ea patrarunt, quae mox narrabo. Belisarius Vittigin Gotthorum atque Italiae Regem evertit opibus, vivumque asportavit Byzantium. Iam vero ad dicendum accedo, uti Persarum exercitus in Rom. Imperium irruperit.

Ἡνίκα Χοσρόου πολεμησείοντος Ἰουστινιανὸς βασιλεὺς ᾔσθετο, παραίνεσίν τε ποιεῖσθαί τινα καὶ τῆς ἐγχειρήσεως αὐτὸν ἀπαγαγεῖν ἤθελεν. ἐτύγχανε δέ τις ἐς Βυζάντιον ἥκων ἐκ Δάρας πόλεως, Ἀναστάσιος ὄνομα, δόξαν ἐπὶ ξυνέσει ἔχων, ὃς καὶ τὴν ἐν Δάρας ἔναγχος γενομένην τυραννίδα κατελελύκει. τοῦτον οὖν B τὸν Ἀναστάσιον παρὰ Χοσρόην Ἰουστινιανὸς βασιλεὺς ἔπεμψε γράμματα γράψας· ἐδήλου δὲ ἡ γραφὴ τάδε „Ξυνετῶν μὲν ἀνθρώπων ἐστὶ καὶ οἷς τὰ ἐς τὸ θεῖον ἱκανῶς ἤσκηται πολέμου φυομένας αἰτίας, ἄλλως τε καὶ πρὸς ἄνδρας τὰ μάλιστα φίλους, σθένει παντὶ ἀποτέμνεσθαι· ἀξυνέτων δὲ καὶ τὰ τοῦ θεοῦ σφίσεν αὐτοῖς ῥᾷστα ποθουμένων πολέμια μάχης τε καὶ ταραχῆς ἀφορμὰς οὐδαμῆ οὔσας ἐπιτεχνᾶσθαι. εἰρήνην μὲν οὖν καταλύσασιν εἰς πόλεμον ἰέναι οὐδὲν πρᾶγμά ἐστιν, ἐπεὶ τῶν ἐπιτηδευμάτων τὰ πονηρότατα καὶ τοῖς τῶν ἀνθρώπων ἀτιμοτάτοις εὔκολα τίθεσθαι ἡ τῶν πραγμάτων νενόμικε φύσις. πόλεμον δὲ κατὰ γνώμην διαθεμένῳ αὖθις ἐπὶ τὴν εἰρήνην χωρεῖν ἀνθρώπῳ C οἶμαι οὐ ῥᾴδιον εἶναι. καίτοι σὺ μὲν ἡμῖν γράμματα οὐκ ἐπίτηδες γεγραμμένα ἐπικαλεῖς, ταῦτά τε γνώμῃ αὐτονόμῳ τανῦν ἑρμηνεύειν ἐσπούδακας, οὐχ ᾗπερ ἡμεῖς διανοηθέντες γεγράφαμεν, ἀλλ' ᾗ σοι τὰ βεβουλευμένα ἐπιτελεῖν οὐκ ἄνευ τινὸς παραπετάσματος ἐφιεμένῳ ξυνοίσειν δοκεῖ. ἡμῖν δὲ πάρεστιν Ἀλαμούνδαρον δεικνύναι τὸν σὸν γῆν ἔναγχος καταδραμόντα τὴν ἡμε-

5. κατελελύκει] καταλελύκει L. 16. διαθέμενος L, ω a m. sec.
20. ἐπιτελεῖν] ἐπιμελεῖν LPm.

Ubi cognovit Iustinianus Chosroem bellum cupere, statuit commovere illum et a suscepto abducere. Tunc Dara Byzantium venerat Anastasius commendatae prudentiae vir, qui Darae nuper exortam tyrannidem sustulerat. Hunc Iustinianus Aug. ad Chosroem cum literis misit in hanc sententiam scriptis. *Hominum est cordatorum et impense colentium supremum Numen, belli, praesertim adversus viros amicissimos, pullulantia semina viribus omnibus resecare. Rursus insipientium est ac temere quaerentium bellare cum Deo, inanes causas confingere pugnandi turbandique omnia. Nullo certe negotio possunt foedifragi se in bellum coniicere; quandoquidem ita natura comparatum est, ut vel abiectissimis hominibus via facilis ad studia perversissima pateat: verum qui ex animi sententia bellum semel ingressus fuerit, ei reditum ad pacem non ita facilem esse puto. Tu quidem nobis literas obiicis; quas candide et simpliciter scriptas, arbitratu tuo in eam interpretari sententiam studuisti, non quae scribentibus nobis fuit in mente, sed quam existimas tibi profuturam quaerenti sub aliquo obtentu perficere deliberata. At nos a tuo illo Alamundaro, qui nuper in fines nostros incurrit, commissa pacis tempore atrocia possumus proferre facinora, capta oppida, direptas opes,*

τέραν ἔργα ἐν σπονδαῖς διαπεπρᾶχθαι ἀνήκιστα, χωρίων ἁλώ-
σεις, χρημάτων ἁρπαγάς, ἀνθρώπων φόνους τε καὶ ἀνδραπο-
δισμοὺς τοσούτων τὸ πλῆθος, ὑπὲρ ὧν σε οὐκ αἰτιᾶσθαι ἡμᾶς,
ἀλλ' ἀπολογεῖσθαι δεήσει. τὰ γὰρ τῶν ἠδικηκότων ἐγκλήματα
D αἱ πράξεις, οὐχ αἱ διάνοιαι, δηλοῦσι τοῖς πέλας. ἀλλὰ καὶ τού-
των τοιούτων ὄντων ἡμεῖς μὲν ἔχεσθαι καὶ ὣς τῆς εἰρήνης ἐγνώ-
καμεν, σὲ δὲ πολεμησείοντα ἐπὶ Ῥωμαίους ἀκούομεν ἀναπλάτ-
τειν αἰτίας οὐδαμόθεν ἡμῖν προσηκούσας. εἰκότως· οἱ μὲν γὰρ
τὰ παρόντα περιστέλλειν ἐν σπουδῇ ἔχοντες καὶ σφόδρα ἐγκειμέ-
H 52 νας ἀποσείονται τὰς ἐπὶ τοὺς φίλους αἰτίας, οὓς δὲ ὁ τῆς φιλίας
οὐκ ἀρέσκει θεσμός, καὶ τὰς οὐκ οὔσας ἐφίενται πορίζεσθαι σκή-
ψεις. ἀλλὰ ταῦτα μὲν οὐδὲ τοῖς τυχοῦσιν ἀνθρώποις, μή τί γε
δὴ βασιλεῦσι, πρέπειν ἂν δόξειε. σὺ δὲ τούτων ἀφέμενος σκό-
πει μὲν τὸ μέτρον τῶν ἑκατέρωθεν κατὰ τὸν πόλεμον ἀπολουμέ-
νων καὶ τίς ἂν εἴη τῶν ξυμπεσουμένων τὴν αἰτίαν φέρεσθαι δί-
P 97 καιος, λογίζου δὲ τοὺς ὅρκους, οὓς διομοσάμενός τε καὶ τὰ χρή-
ματα κομισάμενος, εἶτα ἀτιμάσας οὐ δέον τέχναις τισὶν ἢ σο-
φίσμασι παραγαγεῖν οὐκ ἂν δύναιο· τὸ γὰρ θεῖον κρεῖσσον ἢ ἐξα-
πατᾶσθαι πέφυκε πρὸς πάντων ἀνθρώπων." ταῦτα ἐπεὶ ὁ Χοσ-
ρόης ἀπενεχθέντα εἶδεν, ἐν μὲν τῷ αὐτίκα οὔτε τι ἀπεκρίνατο
οὔτε τὸν Ἀναστάσιον ἀπεπέμψατο, ἀλλ' αὐτοῦ μένειν ἠνάγκαζεν.
B ε'. Ἐπειδὴ δὲ ὁ μὲν χειμὼν ἤδη ὑπέληγε, τρίτον δὲ καὶ
V 288 δέκατον ἔτος ἐτελεύτα Ἰουστινιανῷ βασιλεῖ τὴν αὐτοκράτορα ἀρ-

13. δόξειε] δόξειεν L. 20. εἶδεν L. οἶδεν P.

tot homines sublatos ferro, tot in servitutem abductos: quae sunt eiusmodi, ut excusare te potius debeas quam nos accusare: siquidem iniquorum iniurias vicinis produnt non cogitata, sed facta. Quae quamvis ita se habeant, nihilominus tamen decrevimus in pace stare; te vero belli cum Romanis gerendi libidine instinctum causas comminisci audimus, quae sine iniuria nobis ascribi nequeunt. Nimirum quibus cordi est rerum praesens tranquillitas, illi de amicis querendi et ab iis dissidendi causas, etiam gravissimas, amoliuntur: secus quibus pacifica displicet amicitiae coagmentatio, in futilibus toti sunt praetextibus comparandis. Verum haec ne plebeios quidem homines videntur decere, nedum Reges. Praeterea animo collige perituros magno utrinque numero dum bellum desaeviet, et in quem culpa futurae calamitatis conferenda iure sit vide. Tecum etiam iusiurandum perpende, quod a te datum, ac deinde, etiam post acceptam pecuniam, inique spretum non potes technis argutiisque eludere. Sapientior profecto Deus est, quam ut sibi a mortalibus imponi sinat. Cum has literas sibi oblatas legisset, nihil subinde rescripsit, nec remisit Anastasium; sed invitum detinuit.

5. Iam exacto cum hyeme anno imperii Iustiniani Aug. XIII. Chosroes Cabadis filius magno instructus exercitu in Rom. fines primo vere

χὴν ἔχοντι, Χοσρόης ὁ Καβάδου ἐς γῆν τὴν Ῥωμαίων ἅμα ἦρι ἀρχομένῳ στρατῷ μεγάλῳ ἐσέβαλε, τήν τε ἀπέραντον καλουμένην εἰρήνην λαμπρῶς ἔλυεν. ᾔει δὲ οὐ κατὰ τὴν μέσην τῶν ποταμῶν χώραν, ἀλλὰ τὸν Εὐφράτην ἐν δεξιᾷ ἔχων. ἔστι δε τοῦ ποταμοῦ ἐπὶ θάτερα Ῥωμαίων φρούριον ἔσχατον, ὃ Κιρκήσιον ἐπικαλεῖται, ἐχυρὸν ἐς τὰ μάλιστα ὄν, ἐπεὶ Ἀβόρρας μὲν ποταμὸς μέγας ἐνταῦθα τὰς ἐκβολὰς ἔχων τῷ Εὐφράτῃ ἀναμίγνυται, τὸ δὲ φρούριον τοῦτο πρὸς αὐτῇ που τῇ γωνίᾳ κεῖται, ἣν δὴ τοῖν C ποταμοῖν ἡ μῖξις ποιεῖται. καὶ τεῖχος δὲ ἄλλο μακρὸν τοῦ φρουρίου ἐκτὸς χώραν τὴν μεταξὺ ποταμοῦ ἑκατέρου ἀπολαμβάνον τρίγωνον ἐνταῦθα ἀμφὶ τὸ Κιρκήσιον ἐπιτελεῖ σχῆμα. διὸ δὴ ὁ Χοσρόης οὔτε φρουρίου ἐθέλων οὕτω δὴ ἐχυροῦ ἀποπειρᾶσθαι οὔτε διαβαίνειν ποταμὸν Εὐφράτην διανοούμενος, ἀλλ᾽ ἐπὶ Σύρους τε καὶ Κίλικας ἰέναι, οὐδὲν διαμελλήσας, ἐπίπροσθεν τὸν στρατὸν ἤλαυνε, τριῶν τε σχεδόν τι ὁδὸν ἡμερῶν εὐζώνῳ ἀνδρὶ παρὰ τοῦ Εὐφράτου τὴν ὄχθην ἀνύσας πόλει Ζηνοβίᾳ ἐπιτυγχάνει· ἣν ἡ Ζηνοβία ποτὲ δειμαμένη τὴν ἐπωνυμίαν τῇ πόλει, ὡς D τὸ εἰκὸς, ἔδωκεν. ἦν δὲ ἡ Ζηνοβία Ὀδονάθου γυνὴ, τῶν ἐκείνῃ Σαρακηνῶν ἄρχοντος, οἳ Ῥωμαίοις ἔνσπονδοι ἐκ παλαιοῦ ἦσαν. οὗτος ὁ Ὀδονάθης ἀνεσώσατο Ῥωμαίοις τὴν ἑῴαν ἀρχὴν ὑπὸ Μήδοις γεγενημένην. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἄνω χρόνοις γεγένηται. Χοσρόης δὲ τότε ἄγχιστά που τῆς Ζηνοβίας ἥκων, ἐπειδὴ τὸ χωρίον οὔτε ἀξιόλογον ἔμαθεν εἶναι καὶ τὴν χώραν κα-

2. ἀπέραντον] ἀπέρατον Suidas s. v. ἀπέρατον. 10. ἀπολαμβάνον] „ἀπολαμβάνοντος Reg.“ Malt. 14. τε L. δὲ P. 21. Μήδοις] μήδους L.

irrupit, pacem perpetuam aperte solvens. Non iter fecit per Mesopotamiam; sed habens a dextra Euphratem, in cuius ripa ulteriori situm est Circesium, ultimum Romanorum castellum, sane munitissimum. Sunt enim hic fauces, per quas Euphrati illabitur Aborrhas, magnus fluvius: ad angulum autem, quem confluens efficit, positum est castellum; idque longo protegitur muro, qui interceptum utroque flumine spatium ita claudit, ut circa Circesium formam triangularem absolvat. Castellum adeo munitum cum nollet tentare Chosroes, neque haberet in animo transire Euphratem, sed Syriam ac Ciliciam petere, nulla interposita mora copias porro egit. Viae tantum ferme emensus secundum ripam Euphratis, quantum triduo vir expeditus conficiat, Zenobiam urbem attigit, sic a Zenobia, quae ipsam condidit, merito appellatam. Fuit autem Zenobia uxor Odonathis Regis Saracenorum in eo tractu degentium, qui veteri foedere coniuncti Romanis erat: et hic ille fuit Odonathes, qui Imperium Orientale Romanis asseruit, devictum a Medis. At haec olim gesta: iam vero Chosroes Zenobiam accedens, postquam intellexit nullius esse

*τενόησεν ἀοίκητόν τε καὶ πάντων ἀγαθῶν ἔρημον οὖσαν, δείσας
μή πως ὁ χρόνος ἐνταῦθα τριβεὶς πράξεσι μεγάλαις ἐπ᾿ οὐδενὶ ἔρ-
γῳ ἐμπόδιος εἴη, ἀπεπειράσατο μὲν τὸ χωρίον ὁμολογίᾳ ἑλεῖν.
P 98 ὡς δὲ οὐδὲν προὐχώρει, πρόσω κατὰ τάχος τὸν στρατὸν ἤλαυνεν.*

*Ὁδόν τε αὖθις τοσαύτην ἀνύσας ἀφίκετο ἐς πόλιν Σούρων,
πρὸς τῷ Εὐφράτῃ ποταμῷ οὖσαν, ἧς δὴ ἀγχοτάτω γενόμενος
ἔστη. ἐνταῦθα δὲ τῷ ἵππῳ ξυνέβη, ἐφ᾿ οὗ ὁ Χοσρόης ἐκάθητο,
χρεμετίσαι τε καὶ τῷ ποδὶ τὸ ἔδαφος κρούειν. ὃ δὴ οἱ μάγοι
ξυμβαλόντες ἁλώσεσθαι τὸ χωρίον ἀπέφαινον. ὁ δὲ στρατοπε-
δευσάμενος ἐπὶ τὸν περίβολον ὡς τειχομαχήσων τὸ στράτευμα
ἐπῆγεν. ἐτύγχανε δέ τις ὄνομα Ἀρσάκης, Ἀρμένιος δὴ γένος,
τῶν ἐνταῦθα στρατιωτῶν ἄρχων, ὃς τοὺς στρατιώτας ἐς τὰς
ἐπάλξεις ἀναβιβάσας, ἐνθένδε τε μαχόμενος ἰσχυρότατα καὶ πολ-
λοὺς τῶν πολεμίων κτείνας, τοξεύματι βληθεὶς ἐτελεύτησε. καὶ
B Πέρσαι μὲν τότε (ἦν γὰρ τῆς ἡμέρας ὀψὲ) ὡς αὖθις τῇ ὑστεραίᾳ
τειχομαχήσοντες ἐπὶ τὸ στρατόπεδον ᾖεσαν, Ῥωμαῖοι δὲ ἀπο-
γνόντες, ἅτε τετελευτηκότος σφίσι τοῦ ἄρχοντος, ἱκέται διενο-
οῦντο Χοσρόου γενέσθαι. τῇ οὖν ἐπιούσῃ ἡμέρᾳ τὸν τῆς πό-
λεως ἐπίσκοπον δεησόμενόν τε καὶ τὸ χωρίον ἐξαιτησόμενον ἔπεμ-
ψαν, ὃς τῶν ὑπηρετῶν τινας ἐπαγόμενος, ὄρνις τε φέροντας
καὶ οἶνον καὶ καθαροὺς ἄρτους, παρὰ Χοσρόην ἀφίκετο, ἐς δὲ τὸ*

5. *Σούρων*] *σύραν* AH. *Surenorum civitatem* RV. Unde Hoeschelius *Σουρηνῶν*. 7. ὁ *Χοσρόης* HL. ὁ om. P. 8. ὃ om. L. 11. *δὴ*] *δὲ* H: illud Hm. 16. *τειχομαχήσοντες*] *τειχομαχήσαντες* L. 17. *σφίσι* L. *σφίσιν* P.

momenti oppidum, ac regionem inhabitabilem bonisque omnibus vacuam animadvertit; veritus ne consumpti ibi temporis iactura post lusam stulte operam impedimentum afferret inceptis magnis, potiri oppido deditione tentavit. Ut vidit se frustra esse, exercitum iussit festine progredi.

Cum tantumdem itineris confecisset, Sura pervenit: quae urbs ad Euphratem est sita. Ac proxime forte constiterat, cum equus, cui insidebat, hinnitu edito, solum pede plausit: quod Magi coniectura interpretati, urbem captum iri pronuntiarunt: tum Rex castris positis, exercitum ad muros oppugnandos promovit. Mox praesidii praefectus Arsaces, natione Armenius, militibus ad murorum pinnas iussis conscendere, inde fortissime depugnans, non sine hostium strage, sagitta ictus interiit. Iam diei vesper aderat, ideoque in castra receperunt se Persae, integraturi postridie oppugnationem. Interea Romani, quorum spes cum Duce occiderat, ad Chosroem adire supplices cogitabant. Sequenti die suum Episcopum allegarunt civitatis deprecatorem: qui ministris aves, vinum ac similagineos panes ferentibus comitatus, ubi venit ad Chosroem, humi sese abiiciens lacrymansque supplicavit, parceret misellis

ἔδαφος κάθῆκεν αὐτὸν καὶ δεδακρυμένος ἱκέτευε φείδεσθαι ἀν-
θρώπων οἰκτρῶν καὶ πόλεως Ῥωμαίοις μὲν ἀτιμοτάτης, Πέρσαις
δὲ ἐν οὐδενὶ λόγῳ οὔτε τὰ πρότερα γεγενημένης οὔτε ὕστερόν ποτε
ἐσομένης· λύτρα τέ οἱ τοὺς Σουρηνοὺς δώσειν σφῶν τε αὐτῶν C
καὶ πόλεως ἧσπερ οἰκοῦσιν ἐπαξίως ὑπέσχετο. Χοσρόης δὲ Σου- H 53
ρηνοῖς μὲν χαλεπῶς εἶχεν, ὅτι δὴ αὐτῷ πρῶτοι περιπεπτωκότες V 289
Ῥωμαίων ἁπάντων οὔτε τῇ πόλει ἐδέξαντο ἐθελούσιοι, ἀλλὰ καὶ
ἀνταίρειν οἱ ὅπλα τολμήσαντες πολύν τινα δοκίμων Περσῶν ὅμι-
λον ἔκτειναν. τὴν μέντοι ὀργὴν οὐκ ἐξήνεγκεν, ἀλλ' ὑπὸ τῷ
προσώπῳ ἀκριβῶς ἔκρυψεν, ὅπως τὴν κόλασιν ἐς Σουρηνοὺς
ποιησάμενος φοβερόν τε Ῥωμαίοις αὐτὸν καὶ ἄμαχόν τινα κατα-
στήσηται. οὕτω γάρ οἱ προσχωρήσειν οὐδενὶ πόνῳ ὑπετόπαζε
τοὺς ἐν ποσὶν ἀεὶ γενησομένους. διὸ δὴ ξὺν φιλοφροσύνῃ πολλῇ
τὸν ἐπίσκοπον ἐξανέστησε, καὶ τὰ δῶρα δεξάμενος παρείχετό
τινα δόκησιν ὡς ἀμφὶ τοῖς Σουρηνῶν λύτροις αὐτίκα κοινολογησό- D
μενος Περσῶν τοῖς λογίμοις εὖ τὴν δέησιν διαθήσεται. οὕτω τε
ξὺν τοῖς ἑπομένοις τὸν ἐπίσκοπον ἀπεπέμψατο, οὐδεμίαν τῆς
ἐπιβουλῆς αἴσθησιν ἔχοντα, καί οἱ τῶν ἐν Πέρσαις δοκίμων τινὰς
παραπομποὺς ἐσομένους δῆθεν τῷ λόγῳ ξυνέπεμψεν. οὓς δὴ
λάθρα ἐκέλευε μὲν ἰέναι ξὺν αὐτῷ ἄχρι ἐς τὸ τεῖχος, παρηγο-
ροῦντας καί τισιν ἀγαθαῖς ἐπαίροντας ἐλπίσιν, ὥστε αὐτὸν καὶ

1. αὐτὸν] αὑτὸν L. 4. λύτρα] λῦτρα L. 7. οὔτε] Fort. οὐδὲ.
11. αὐτὸν H. αὑτὸν P. ibid. καταστήσηται] καταστήσεται L.
15. τοῖς — λύτροις] τὰ — λύτρα Lm. ibid. κοινολογησόμενος HL. κοινολογησάμενος P. 16. τε L. δὲ P.

homunculis et urbi Romanis despicatissimae, neque a Persis ullo antea numero habitae, neque umquam habendae postea: spopondit etiam Surenos redemptionis pretium pro modo suo suaeque urbis conditione persoluturos. At Chosroes Surenis graviter offensus erat, quod, cum primi Romanorum essent, in quos incidisset, adeo non accepissent ultro in urbem, ut arma ausi contra tollere, quamplurimos Persarum nobilium peremissent. Iram tamen non prae se tulit; sed diligenter texit oris blanda specie, ut capta in loco de Surenis poena, formidabilem se Romanis atque invictum exhiberet, id se consecuturum ratus, ut obvii quique deditionem primo aditu facerent. Quare Episcopum erexit perhumaniter, et acceptis muneribus hanc illi opinionem iniecit, ratam fore petitionem statim ut sermonem cum Persis primariis de redemptionis pretio contulisset. Itaque Episcopum structae fraudis ignarum cum asseclis remisit, adiunctis etiam, in speciem scilicet, deductoribus e Persica nobilitate nonnullis, quibus clam imperaverat ut eum recreantes alloquio ac bona spe efferentes ad moenia usque comitarentur: quo fieret, ut qui essent in urbe cum ipsum tum eius omnes assectatores laetos vacuosque metu

τοὺς ξὺν αὐτῷ ἅπαντας χαίροντάς τε καὶ οὐδὲν δεδιότως τοῦ ἔν-
δον ὀφθῆναι. ἐπειδὰν δὲ οἱ φύλακες ἀνακλίναντες τὴν πυλίδα
τῆς πόλεως αὐτοὺς μέλλωσι δέχεσθαι, λίθον τινὰ ἢ ξύλον τοῦ τε
οὐδοῦ καὶ τῆς θύρας μεταξὺ ῥίψαντας οὐ ξυγχωρεῖν ἐπιτίθεσθαι,
P 99 ἀλλὰ καὶ αὐτοὺς τοῖς ἐπιθεῖναι βουλομένοις χρόνον δή τινα ἐμ-
ποδὼν ἵστασθαι· οὐκ ἐς μακρὰν γὰρ αὐτοῖς τὸν στρατὸν ἕψε-
σθαι. ταῦτα τοῖς ἀνδράσιν ὁ Χοσρόης ἐντειλάμενος ἐν παρα-
σκευῇ τὸν στρατὸν ἐποιεῖτο, δρόμῳ τε χωρεῖν ἐπὶ τὴν πόλιν,
ὅταν αὐτὸς σημήνῃ, ἐκέλευεν. ἐπεὶ δὲ ἄγχιστα τοῦ περιβόλου
ἐγένοντο, οἱ μὲν Πέρσαι τὸν ἐπίσκοπον ἀσπασάμενοι ἐκτὸς ἔμε-
νον, οἱ δὲ Σουρηνοὶ περιχαρῆ τὸν ἄνδρα ὁρῶντες γενόμενον ξὺν
τιμῇ τε πολλῇ προπεμπόμενον πρὸς τῶν πολεμίων, ἀφροντιστή-
σαντες δυσκόλων ἁπάντων τήν τε πυλίδα ὅλην ἀνέῳγον καὶ τὸν
ἱερέα ξὺν τοῖς ἑπομένοις κροτοῦντές τε καὶ πολλὰ εὐφημοῦντες
ἐδέξαντο. ἐπεί τε ἅπαντες εἴσω ἐγένοντο, τὴν μὲν πυλίδα ὡς
ἐπιθήσοντες οἱ φύλακες ὤθουν, οἱ δὲ Πέρσαι λίθον, ὃς αὐτοῖς
παρεσκεύαστο, ἐν μέσῳ ἐρρίπτουν. οἵ τε φύλακες ἔτι μᾶλλον
B ὠθοῦντές τε καὶ βιαζόμενοι ἐξικνεῖσθαι τῇ πυλίδι ἐς τὸν οὐδὸν
οὐδαμῇ ἴσχυον. οὐ μὴν οὐδὲ ἀνοιγνύναι αὐτὴν αὖθις ἐτόλμων,
ἐπεὶ πρὸς τῶν πολεμίων αὐτὴν ἔχεσθαι ᾔσθοντο. τινὲς δὲ οὐ λί-
θον, ἀλλὰ ξύλον Πέρσας ἐς τὴν πυλίδα φασὶν ἐμβεβλῆσθαι.
οὔπω δὲ Σουρηνῶν σχεδόν τι τῆς ἐπιβουλῆς ᾐσθημένων, παρῆν
τε τῷ παντὶ ὁ Χοσρόης στρατῷ καὶ τὴν πυλίδα οἱ βάρβαροι βια-

τες

1. χαίροντας] χαίροντας L. *ibid.* τε om. L. 14. κροτοῦντες L. κρατοῦντες P. 22. ᾐσθημένων] αἰσθημένων L. 23. τε HL. δὲ P.

viderent: ubi vero custodes reserata porta pararent illos excipere, ipsi lapide lignove aliquo inter limen ac fores immisso occludi non sinerent, et obdere volentibus aliquandiu obniterentur: mox enim affore dixit exercitum. Cum eos Chosroes instruxisset hisce mandatis, accinxit agmina, iussitque ad urbem concurrere dato signo. Ut proxime muros ventum est, Persae quidem salutato Episcopo stetere foris; Sureni vero cumulatum gaudio virum et ab hostibus perhonorifice deductum conspicientes, difficultatum omnium securi, totas pandunt fores, Praesulemque cum comitatu amplexibus et acclamationibus faustis excipiunt. Cunctis demum ingressis, custodes impellunt valvas, ut claudant: protinus Persae paratum lapidem interiiciunt. Valvas illi obnixius impellere maioremque adhibere vim: at eas neque applicare limini poterant, neque audebant recludere, sentientes portam ab hostibus obsideri, cui quidam non lapidem a Persis, sed lignum inditum fuisse perhibent. Malignum astum Sureni nondum fere deprehenderant, quando adfuit cum universo exercitu Chosroes, ac portam Barbari impressione aperuerunt, mox et vi occuparunt.

σάμενοι ἀνεπέτασαν, δι' ὀλίγου τε κατὰ κράτος ἥλω. εὐθὺς μὲν οὖν θυμῷ ὁ Χοσρόης ἐχόμενος τάς τε οἰκίας ἐληίσατο καὶ τῶν ἀνθρώπων πολλοὺς μὲν κτείνας, τοὺς δὲ λοιποὺς ἅπαντας ἐν ἀνδραπόδων ποιησάμενος λόγῳ πυρπολήσας τε ξύμπασαν τὴν πόλιν ἐς ἔδαφος καθεῖλεν. οὕτω τε τὸν Ἀναστάσιον ἀπεπέμψατο, Ἰουστινιανῷ βασιλεῖ ἀπαγγέλλειν κελεύσας ὅποι ποτὲ γῆς Χοσρόην τὸν Καβάδου ἀπολιπὼν εἴη.

Μετὰ δὲ, εἴτε φιλανθρωπίᾳ εἴτε φιλοχρηματίᾳ ἐχόμενος, C τῇ γυναικὶ χαριζόμενος, ἣν δὴ ἐνθένδε δορυάλωτον ἐξελὼν, Εὐφημίαν ὄνομα, γυναῖκα γαμετὴν ἐποιήσατο, ἔρωτα ἐξαίσιον αὐτῆς ἐρασθεὶς (ἦν γὰρ τὴν ὄψιν εὐπρεπὴς μάλιστα) δρᾶν τι ἀγαθὸν ὁ Χοσρόης τοὺς Σουρηνοὺς ἔγνω. καὶ πέμψας ἐς Σεργιούπολιν, τὴν Ῥωμαίων κατήκοον, ἣ Σεργίου ἐπιφανοῦς ἁγίου ἐπώνυμός ἐστι, πόλεως τῆς ἁλούσης ἓξ καὶ εἴκοσι καὶ ἑκατὸν σταδίοις διέχουσα, κειμένη δὲ αὐτῆς πρὸς ἄνεμον νότον ἐν τῷ βαρβαρικῷ καλουμένῳ πεδίῳ, Κάνδιδον τὸν ταύτῃ ἐπίσκοπον κεντηναρίων δυοῖν δισχιλίους τε καὶ μυρίους ὄντας ὠνεῖσθαι τοὺς αἰχμαλώτους ἐκέλευεν. ὁ δὲ (χρήματα γάρ οἱ οὐκ ἔφασκεν εἶναι) τὴν πρᾶξιν ἄντικρυς ἀνεδύετο. διὸ δὴ αὐτὸν ὁ Χοσρόης ἐν βι- D βλιδίῳ τὴν ὁμολογίαν ἀφέντα τοῦ δώσειν χρόνῳ τῷ ὑστέρῳ τὰ χρήματα οὕτω δι' ὀλίγων χρημάτων πρίασθαι ἀνδράποδα το- H 54 σαῦτα τὸ πλῆθος Κάνδιδος κατὰ ταῦτα ἐποίει, καὶ τὸ μὲν χρυ-

7. Καβάδου] Καβάδην Suidas s. v. ὅποι. 12. Σεργιούπολιν] Σεργίου πόλιν P. 15. κειμένη APm. κειμένης P. 17. δυοῖν] δυεῖν L. 19. διὸ δὴ] ἤθελεν addit Pm. συνεχώρησεν aut simile verbum ante οὕτω inserebat Hoeschelius.

Continuo furibundus Chosroes, direptis domibus, civium multis morte, caeteris servitute mulctatis, urbem flamma funditus delevit, aequavitque solo. Tum denique Anastasium remisit, Iustiniano Aug. renuntiare iussum, ubi terrarum Chosroem Cabadis filium reliquisset.

Post tamen sive humanitate, sive avaritia ductus, aut forte in feminae gratiam (Euphemiae nomen erat) quam e captivis sibi legerat ac iunxerat matrimonio, eius incredibili amore flagrans ob eximiam ipsius formam, statuit beneficium aliquod in Surenos conferre. Ergo mittit Sergiopolin, quae urbs ditionis Romanae a Sergio illustri Divo nomen accepit, et ab urbe capta stadiis CXXVI. abest, in Barbarico, quem vocant, campo ad austrum sita: mittit, inquam, qui a Candido urbis Antistite auri pondo CC. petant in pretium redemptionis XII. M. captivorum. Recusavit aperte Candidus, pecuniae causatus inopiam. Chosroi placuit, ut simul ac sponsionem solvendae postea pecuniae misisset tabulis consignatam, captivorum multitudinem tantam tantulo pretio reciperet. Conditionem accepit Candidus, gravissimoque interposito iureiurando, se in-

σίον ὡμολόγησεν ἐνιαυτοῦ δώσειν, ὅρκους δεινοτάτους ὀμωμοκὼς, ζημίαν δέ οἱ διώρισεν αὐτῷ ταύτην, ἣν μὴ διδοίη χρόνῳ τῷ ξυγκειμένῳ τὰ χρήματα, διπλάσια μὲν αὐτὰ δώσειν, αὐτὸν
P 100 δὲ μηκέτι εἶναι ἱερέα, ἅτε τὰ ὁμωμοσμένα ἠλογηκότα. ταῦτα
V 290 Κάνδιδος ἐν γραμματείῳ γράψας τοὺς Σουρηνοὺς ἅπαντας ἔλαβεν. ὧν ὀλίγοι μέν τινες διεβίωσαν, οἱ δὲ πλεῖστοι ἀντέχειν τῇ ξυμπεσούσῃ ταλαιπωρίᾳ οὐχ οἷοί τε ὄντες ὀλίγῳ ὕστερον διεφθάρησαν. διαπεπραγμένος ταῦτα Χοσρόης πρόσω ἐπῆγε τὸ στράτευμα.

B ς'. Ἐτύγχανε δὲ ὀλίγῳ ἔμπροσθεν βασιλεὺς ἀρχὴν τῆς ἕω τὴν στρατηγίδα διελὼν δίχα, καὶ τὰ μὲν ἄχρι ἐς ποταμὸν Εὐφράτην ἐς τὸ Βελισαρίου ἀπολιπὼν ὄνομα, ὃς ξύμπασαν τὴν ἀρχὴν τὰ πρότερα εἶχε, τὰ δὲ ἐνθένδε μέχρι τῶν Περσικῶν ὁρίων τῷ Βούζῃ ἐπιτρέψας, ὃν δὴ ἁπάσης ἐπιμέλεσθαι τῆς ἑῴας ἀρχῆς, ἕως Βελισάριος ἐξ Ἰταλίας ἐπανήκοι, ἐκέλευε. διὸ δὴ ὁ Βούζης ἅπαντα τὸν στρατὸν ἑπόμενον ἔχων τὰ μὲν πρῶτα ἐπὶ τῆς Ἱεραπόλεως ἔμενεν· ἐπεὶ δὲ τὰ ξυμπεσόντα Σουρηνοῖς ἔμαθε, ξυγκαλέσας τοὺς τῶν Ἱεραπολιτῶν πρώτους ἔλεξε τοιάδε „Οἷς μὲν ἐξ ἀντιπάλου τῆς δυνάμεως πρὸς τοὺς ἐπιόντας ὁ ἀγών ἐστιν, εἰς
C χεῖρας τοῖς πολεμίοις ἐκ τοῦ εὐθέος καθίστασθαι οὐδὲν ἀπεικὸς, οἷς δὲ τῶν ἐναντίων πολλῷ τῷ διαλλάσσοντι καταδεεστέροις ξυμβαίνει εἶναι, μηχαναῖς τισι τοὺς πολεμίους περιελθεῖν μᾶλλον

5. γραμματείῳ] γραμματίῳ L. ibid. ἔλαβεν] ἔλεγεν L. ἔλυσεν Lm.
17. Ἱεραπόλεως] Scribebatur Ἱερᾶς πόλεως hic et p. 101 d. 102 d.
20. εὐθέος Pm. εὐθέως P.

tra annum repensurum aurum promisit. Hanc vero sibi ipse mulctam praestituit; si condicto tempore pecuniam non exolveret, daturum se duplam, et tanquam iuramenti contemptorem, cessurum Episcopatu. Scripto tradita cautione, Surenos omnes Candidus recepit: quorum admodum pauci vitam produxerunt: plerique aerumnis fracti quas toleraverant, paulo post fato functi sunt. His Chosroes transactis, copias ulterius duxit.

6. Non ita pridem bifariam Imperator diviserat militare Magisterium Orientis, et ea parte, quae ad fluvium usque Euphratem pertinet, absenti Belisario, qui integrum gerebat antea Magisterium, relicta, ut eius nomine regeretur; altera, quae inde ad regni Persici fines patet, Buzi commissa; huic eidem universi Orientalis imperii curam ad Belisarii ex Italia reditum demandarat. Quamobrem Buzes secum omnes copias habens, initio quidem Hierapoli morabatur; ubi vero quae contigerant Surenis accepit, Hierapoleos optimatibus convocatis, orationem hanc habuit. *Eos quidem aperte cum hoste congredi nihil vetat, qui aequo Marte pugnare possunt: at quibus copiae sunt multo minores quam adversariis, illos dolo uti praestat, quam adire manifestum discrimen, in-*

ξυνοίσει ἢ ἐκ τοῦ ἐμφανοῦς ἀντιτασσομένοις ἐς κίνδυνόν τινα προὖπτον ἰέναι. ἡλίκος μὲν οὖν ἐστιν ὁ Χοσρόου στρατὸς ἀκούετε δήπου. ἢν δὲ αὐτὸς μὲν πολιορκίᾳ ἡμᾶς ἐξελεῖν βούληται, ἡμεῖς δὲ ἀπὸ τοῦ τείχους τὸν πόλεμον διενέγκωμεν, ἡμᾶς μὲν τὰ ἐπιτήδεια λείψειν εἰκὸς, Πέρσας δὲ ἅπαντα ἐκ τῆς ἡμετέρας, οὐδενὸς ἀντιστατοῦντος, κομίζεσθαι. ταύτῃ τε τῆς πολιορκίας μηκυνομένης οὐδὲ διαρκέσειν τὸν περίβολον ταῖς τῶν πολεμίων ἐπιβουλαῖς οἶμαι, ὃν δὴ ἐπιμαχώτατον πολλαχόσε τετύχηκεν εἶναι, καί τι Ῥωμαίοις τῶν ἀνηκέστων ξυμβήσεσθαι. ἢν δέ γε D μοίρᾳ μέν τινι τοῦ στρατοῦ τὸ τῆς πόλεως φυλάξωμεν τεῖχος, οἱ δὲ λοιποὶ τὰς ἀμφὶ τὴν πόλιν ὑπωρείας καταλάβωσιν, ἐνθένδε καταθέοντες πῇ μὲν τὸ τῶν ἐναντίων στρατόπεδον, πῇ δὲ τοὺς τῶν ἐπιτηδείων ἕνεκα στελλομένους ἀναγκάσουσι Χοσρόην αὐτίκα δὴ μάλα λύσαντα τὴν προσεδρείαν τὴν ἀναχώρησιν δι᾽ ὀλίγου ποιήσασθαι, οὔτε τὰς προσβολὰς ἀδεέστερον ἐπάγειν τῷ περιβόλῳ παντελῶς ἔχοντα οὔτε τι τῶν ἀναγκαίων στρατῷ τοσούτῳ πορίζεσθαι. τοσαῦτα ὁ Βούζης εἰπὼν λέγειν μὲν τὰ ξύμφορα ἔδοξεν, ἔπραξε δὲ τῶν δεόντων οὐδέν. ἀπολέξας γάρ εἴ τι ἐν τῷ Ῥωμαίων στρατῷ δόκιμον ἦν, ἀπιὼν ᾤχετο. καὶ ὅποι ποτὲ P 101 γῆς ἐτύγχανεν οὔτε τις τῶν ἐν Ἱεραπόλει Ῥωμαίων οὔτε ὁ τῶν πολεμίων στρατὸς μαθεῖν ἴσχυσε. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

2. ἀκούετε APm. ἀκούεται P. 6. ἀντιστατοῦντος] Legebatur ἀντιστρατοῦντος. Conf. p. 103 b. 8. ἐπιβουλαῖς] ἐπιβολαῖς Pm. De Aedif. p. 39 d. τὰς ἐνθένδε τῶν πολεμίων ἐπιβουλὰς ἀπεκρούσατο. et p. 45 d. τὴν Ἱεράπολιν, ἥπερ ἁπασῶν πρώτη τῶν τῇδε πόλεων τυγχάνει οὖσα, λαβὼν ἀποκειμένην τοῖς ἐπιβουλεύειν ἐθέλουσι. p. 47 a. περίβολος — πλείοσιν ἐπιβουλαῖς ὑποκείμενος. 12. πῇ — πῇ] πῆ — πῆ P. 20. οὔτε — οὔτε] οὐδέ — οὐδὲ P.

structam aciem palam opponendo. Certe auditis quantus sit Persarum exercitus: qui si nos obsidione expugnare voluerit, nec velimus ipsi, nisi e moenibus bellum gerere, apparet cibaria nobis defore, dum Persae copiosissimos commeatus ex agris nostris repugnante nemine convectabunt. Ac si duret obsidio, impressionibus hostium non sufficiet, ut opinor, multis in locis infirmissimus murus, et Romani gravem aliquam calamitatem accipient. Sin urbis moenia pars copiarum custodiat, ac caeteri clivos circumpositos occupent; crebris inde tum in castra hostilia, tum in turmas ad parandum commeatum emissas incursionibus, Chosroem profecto cogent soluta actutum obsidione sese recipere: quando nec muros oppugnare sine metu periculi, nec tanto exercitui necessaria poterit comparare. Ex re quidem haec Buzes, ut visum est, dixit; sed ex re nihil fecit. Delecto enim sibi exercitus Romani flore, abiit: nec deinde cuiquam Romanorum, qui substiterant Hierapoli, neque hostibus constare potuit, ubi tandem terrarum esset. Eo loco res ibi erant.

*Βασιλεὺς δὲ Ἰουστινιανὸς πυθόμενος τὴν Περσῶν ἔφοδον
Γερμανὸν μὲν εὐθὺς τὸν ἀνεψιὸν τὸν αὐτοῦ ξὺν θορύβῳ πολλῷ
τριακοσίους ἑπομένους ἔχοντα ἔπεμψε, στρατὸν δέ οἱ οὐκ ἐς μα-
κρὰν ὑπέσχετο πολὺν ἔψεσθαι. ἔς τε Ἀντιόχειαν ὁ Γερμανὸς
ἀφικόμενος περιῆλθε τὸν περίβολον ἅπαν κύκλῳ, καὶ αὐτοῦ ἐχυ-
ρὰ μὲν ὄντα τὰ πολλὰ ηὕρισκε (τά τε γὰρ ἐν τῷ ὁμαλεῖ ποταμὸς
Ὀρόντης παραρρεῖ ξύμπαντα τοῖς ἐπιοῦσιν ἄπορα ἐργαζόμενος
καὶ τὰ ἐν τῷ ἀνάντει χωρίοις κρημνώδεσιν ἀνεχόμενα ἐσβατὰ τοῖς*
B *πολεμίοις ὡς ἥκιστα ἦν), ἐν δὲ τῇ ἄκρᾳ γενόμενος, ἣν δὴ Ὀρο-
κασιάδα καλεῖν οἱ ταύτῃ ἄνθρωποι νενομίκασιν, ἐπιμαχώτατον
κατενόησεν ὃν τὸ κατ' αὐτὴν τεῖχος. πέτρα γὰρ τυγχάνει τις
ἐνταῦθά πη οὖσα, εὖρους μὲν ἐπὶ πλεῖστον ἱκανῶς ἔχουσα, ὕψος
δὲ ὀλίγῳ τοῦ περιβόλου ἐλασσουμένη. ἐκέλευεν οὖν ἢ τὴν πέ-
τραν ἀποτεμνομένους βαθύν τινα βόθρον ἀμφὶ τὸ τεῖχος ἐργάζε-*
H 55 *σθαι, μή τις ἐνθένδε ἀναβησόμενος ἐπὶ τὸν περίβολον ἴοι, ἢ
πύργον μέγαν τινὰ δειμαμένους ἐνταῦθα τὴν ἀπ' αὐτοῦ οἰκοδο-
μίαν ἐνάψαι τῷ τῆς πόλεως τείχει. ἀλλὰ τοῖς τῶν οἰκοδομιῶν
ἀρχιτέκτοσι ποιητέα τούτων ἐδόκει οὐδέτερα εἶναι. οὔτε γὰρ ἐν*
V 291 *χρόνῳ βραχεῖ ἐπιτελῆ ἔσεσθαι οὕτως ἐγκειμένης τῆς τῶν πολε-*
C *μίων ἐφόδου, ἀρχόμενοί τε τοῦ ἔργου τούτου καὶ οὐκ ἐς πέρας
αὐτοῦ ἐξικνούμενοι οὐκ ἄλλο οὐδὲν ἢ τοῖς πολεμίοις ἐνδείξονται
ὅπη ποτὲ τοῦ τείχους σφίσι πολεμητέα εἴη. Γερμανὸς δὲ ταύτης*

2. αὐτοῦ] αὑτοῦ P. 5. ἅπαν] ἅπαντα Pm. 6. ἐν om. L. ibid. ὁμαλεῖ] ἴσ. ὁμαλῷ Hm. Frustra. 12. πη οὖσα] ποιοῦσα L. 21. ἄλλο] ἀλλ' L.

Simul ac nuntium de adventu Persarum audiit Iustinianus Aug. Germanum fratris sui filium raptim atque turbate mittit trecentis militibus stipatum, subsecuturas pollicens multas legiones. Ille ubi Antiochiam pervenit, muros omnes obiit inspexitque, ac munitos maximam partem invenit. Nam quidquid in plano est, fluvius Orontes alluit, transitum ubique negans invadentibus: quod autem in acclivi surgit, cum sit praecipitiis impositum, ab hoste superari ascensu nequit. At in vertice, quem indigenae Orocasiadem vocant, murum animadvertit esse maxime expugnabilem, ob viciniam rupis, cuius latitudo iusta est maiori ex parte, altitudo muro paulo inferior. Itaque imperavit, vel exciso scopulo fossam altam muro praeducerent, ne quis inde ascenderet; vel magnam ibi turrim extruerent, continuoque aedificio connecterent urbis moenibus. Sed visum est architectis neutri manum operi admovendam: neque enim spatio brevi temporis absolutum iri, adventante iam hoste ac tam prope posito: quod si opus inchoarent nec perficerent, hostibus se indicaturos quam in partem muri inferenda sit oppugnatio. Ex eo deiectus consilio Germanus, principio aliquid spei ponebat in exercitu,

δὴ τῆς ἐννοίας σφαλεὶς τὰ μὲν πρῶτα στρατὸν ἐκ Βυζαντίου καραδοκῶν ἐλπίδα τινὰ ἐπ' αὐτῷ εἶχεν. ἐπεὶ δὲ χρόνου τριβέντος συχνοῦ οὔτε τις στρατὸς ἐκ βασιλέως ἀφίκετο οὔτε ὅτι ἀφίξεται ἐπίδοξος ἦν, ἐς δέος ἦλθε μὴ ὁ Χοσρόης πυθόμενος βασιλέως ἀνεψιὸν ἐνταῦθα εἶναι, προυργιαίτερον ἄλλου ὁτουοῦν ποιήσηται Ἀντιόχειάν τε καὶ αὐτὸν ἐξελεῖν, καὶ ἀπ' αὐτοῦ τῶν ἄλλων ἁπάντων ἀφέμενος παντὶ τῷ στρατῷ ἐπ' αὐτὴν ἴοι. ταῦτα καὶ Ἀντιοχεῦσιν ἐν νῷ ἔχουσι βουλήν τε ὑπὲρ τούτων πεποιημένοις D ἀναγκαιότατον ἔδοξε χρήματα προεμένοις Χοσρόῃ οὕτω κίνδυνον τὸν παρόντα διαφυγεῖν.

Μέγαν τοίνυν, τὸν Βεροίας ἐπίσκοπον, ἄνδρα ξυνετὸν (ἐπιχωριάζων γὰρ αὐτοῖς ἐτύγχανε τότε) Χοσρόου δεησόμενον πέμπουσιν, ὃς δὴ ἐνθένδε σταλεὶς καταλαμβάνει τὸν Μήδων στρατὸν Ἱεραπόλεως οὐ μακρὰν ἄποθεν. Χοσρόῃ τε ἐς ὄψιν ἥκων πολλὰ ἐλιπάρει ἀνθρώπους οἰκτεῖραι, οἳ οὔτε τι ἐς αὐτὸν ἥμαρτον οὔτε τῇ Περσῶν στρατιᾷ οἷοί τε ἀντιτείνειν εἰσί. πρέπειν γὰρ ἀνδρὶ βασιλεῖ πάντων ἥκιστα τοῖς ὑποχωροῦσι καὶ οὐδαμῇ ἐθέλουσιν ἀντιτάσσεσθαι ἐπεμβαίνειν τε καὶ βιάζεσθαι, ἐπεὶ οὐδὲ τῶν νῦν δρωμένων βασιλικόν τι οὐδὲ γενναῖον αὐτῷ ἐργα- P 102 σθείη, ὅτι δὴ οὐ παρασχόμενος τῷ Ῥωμαίων βασιλεῖ βουλῆς τινα χρόνον, ὥστε ἢ τὴν εἰρήνην κρατύνασθαι, ὅπῃ ἂν ἑκατέρῳ δοκοίη, ἢ τὰ ἐς τὸν πόλεμον ἐκ συνθήκης, ὡς τὸ εἰκός, ἐξαρ-

12. χοσρόου L. Χοσρόην P. 14. Ἱεραπόλεως] Scribebatur Ἱερᾶς πόλεως. 21. ὅπῃ L. ὅποι P.

quem cupide Byzantio expectabat. At multo inutiliter consumpto tempore, cum nullae ab Augusto copiae venirent, nec venturas esset opinio; vereri coepit ne Chosroes, si Augusti ex fratre nepotem Antiochiae morari sciret, rebus id omnibus praevertendum censeret, ut caperet ipsum cum urbe, atque exin relictis caeteris, exercitum universum eo traduceret. Idem sentientes Antiocheni, deliberatione habita, nihil prius faciendum iudicarunt, quam ut missa Chosroi pecunia praesens discrimen amolirentur.

Igitur Megan Episcopum Beroeensem, singulari prudentia virum, tum agentem Antiochiae, deprecatorem destinant ad Chosroem. Profectus ille ex urbe, prope Hierapolin exercitum Medorum offendit: ubi ad Chosrois conspectum admissus, eum enixe obsecravit, *miseresceret hominum, qui in ipsum nihil unquam peccassent, nec resistere possent Persarum armis: neminem decere minus quam Regem, cedentibus nec repugnare volentibus insilire ac vim inferre: ex iis quae tunc ageret, nec regium quidquam esse nec generosum, propterea quod Rom. Imperatori nihil dedisset spatii ad capiendum consilium aut pacis firmandae ex utriusque sententia, aut belli ex composito, ut consentaneum fuerat, ad-*

τύεσθαι, ἀλλ' οὕτως ἀνεπισκέπτως ἐπὶ Ῥωμαίους ἐν ὅπλοις ἔλθοι, οὔπω τοῦ σφετέρου βασιλέως ἐπισταμένου τὰ παρόντα σφίσι. ταῦτα ὁ Χοσρόης ἀκούσας λόγῳ ξυνετῷ τὸν τρόπον ῥυθμίζεσθαι ὑπὸ ἀμαθίας οὐδαμῶς ἴσχυσεν, ἀλλ' ἔτι μᾶλλον τὴν διάνοιαν ἢ πρότερον ἤρθη. Σύρους τε οὖν ἠπείλησε καταστρέ-
B ψασθαι καὶ Κίλικας πάντας, καί οἱ τὸν Μέγαν ἕπεσθαι κελεύσας ἐς τὴν Ἱεράπολιν ἐπῆγε τὸ στράτευμα. οὗ δὴ ἀφικόμενός τε καὶ ἐνστρατοπεδευσάμενος, ἐπειδὴ τόν τε περίβολον ἐχυρὸν ὄντα εἶδε καὶ στρατιωτῶν ἔμαθε φυλακτήριον διαρκῶς ἔχειν, χρήματα τοὺς Ἱεραπολίτας ᾔτει, Παῦλον ἑρμηνέα παρ' αὐτοὺς πέμψας. ὁ δὲ Παῦλος οὗτος ἐτέθραπτό τε ἐν γῇ τῇ Ῥωμαίων καὶ ἐς γραμματιστοῦ παρ' Ἀντιοχεῦσιν ἐφοίτησεν, ἐλέγετο δὲ καὶ Ῥωμαῖος γένος τὸ ἐξ ἀρχῆς εἶναι. οἱ δὲ μάλιστα μὲν καὶ ὡς ἀμφὶ τῷ
C περιβόλῳ δειμαίνοντες, χώραν περιβεβλημένῳ πολλὴν μέχρι ἐς τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει, ἔπειτα δὲ καὶ τὴν γῆν ἀδῄωτον ἔχειν ἐθέλοντες, ὡμολόγησαν ἀργύρου σταθμὰ δισχίλια δώσειν. τότε δὴ ὁ Μέγας, ὑπὲρ τῶν ἑῴων ἁπάντων Χοσρόην ἱκετεύων οὐκέτι ἀνίει, ἕως αὐτῷ ὁ Χοσρόης ὡμολόγησε δέκα τε χρυσοῦ κεντηνάρια λήψεσθαι καὶ πάσης ἀπαλλαγήσεσθαι τῆς Ῥωμαίων ἀρχῆς.

5. τὴν διάνοιαν L. τὴν ἄνοιαν P. εἰς τὴν ἄνοιαν Pm. ibid. καταστρέψασθαι] καταστρέψεσθαι Pm. 7. ἐς τὴν] εἰς τὴν L. ibid. Ἱεράπολιν] Scribebatur Ἱερὰν πόλιν. Conf. ad p. 100 b. Ἱεράπολιν apud Photium infra p. 172 c. 11. ἐς Suidas s. v. γραμματιστής. εἰς P. 13. γένος om. L. 16. ἀργύρου] ἀργυρίου Suidas s. v. ἀδῄωτον et L a m. sec. Sic p. 108 a. sed ἀργύρου p. 113 b. 115 a. 121 d. 18. ὡμολόγησεν A.

ornandi; sed improvise Romanos armatus invaderet, nihildum sciente ipsorum principe quem in locum res eorum deductae essent. His Chosroes auditis non potuit prae insolentia animum moderatum sapienti oratione mentiri; sed impotentiori captus amentia, Syriam se totam Ciliciamque subacturum minatus est: tum voluit ut sequeretur Megas ducentem se copias Hierapolin. Quo cum pervenisset, ac metatus castra, muros vidisset validos, urbemque idoneo munitam esse praesidio accepisset; Hierapolitanis per interpretem Paulum pecuniam imperavit. Educatus hic Paulus fuerat inter Romanos, et Antiochiae ludum literarium frequentaverat, Romanus, ut ferebatur, origine. At cives, quoniam muro, qui magnum spatium ad montem usque proximum amplectitur, timebant maxime, et ab agris suis vastitatem avertere cupiebant, argenti libras bis mille pacti sunt. Tunc Megas Chosroi pro Oriente universo supplicare non destitit, donec evicit, ut auri pondo acceptis mille Romano se imperio penitus excessurum sponderet.

ζ΄. Οὕτω μὲν οὖν ἐκείνῃ τῇ ἡμέρᾳ ὅ τε Μέγας ἐνθένδε D
ἀπαλλαγεὶς τὴν ἐπὶ τοὺς Ἀντιοχέας ἤλαυνε καὶ ὁ Χοσρόης τὰ λύ-
τρα λαβὼν ἐς Βέροιαν ᾔει. Βέροια δὲ Ἀντιοχείας μὲν καὶ Ἱερα-
πόλεως μεταξὺ κεῖται, δυοῖν δὲ ἡμερῶν ὁδῷ εὐζώνῳ ἀνδρὶ ἑκατέ-
ρας διέχει. ὁ μὲν οὖν Μέγας ξὺν ὀλίγοις τισὶ πορευόμενος ὀξύ-
τερον ᾔει, ὁ δὲ Περσῶν στρατὸς μοῖραν ἀεὶ τὴν ἡμίσειαν τῆς
ὁδοῦ ἤνυεν. τετάρτῃ δὲ ἡμέρᾳ ὁ μὲν ἐς Ἀντιόχειαν, οἱ δὲ εἰς
τὸ Βεροίας προάστειον ἦλθον. καὶ χρήματα Χοσρόης τοὺς Βε-
ροιαίους τὸν Παῦλον στείλας εὐθὺς ἔπραττεν, οὐχ ὅσα πρὸς τῶν V 292
Ἱεραπολιτῶν ἔλαβε μόνον, ἀλλὰ καὶ τούτων διπλάσια, ἐπεὶ τὸ
τεῖχος αὐτῆς ἐπιμαχώτατον ὂν πολλαχῇ εἶδε. Βεροιαῖοι δὲ (θαρ- P 103
ρεῖν γὰρ ἐπὶ τῷ περιβόλῳ οὐδαμῇ εἶχον) ξὺν προθυμίᾳ μὲν ὑπε- H 56
δέξαντο ἅπαντα δώσειν, δισχίλια δὲ δόντες ἀργύρου σταθμὰ,
τὰ λειπόμενα διδόναι οὐκ ἔφασαν οἷοί τε εἶναι. ἐγκειμένου τε
σφίσι διὰ ταῦτα Χοσρόου, νυκτὸς ἐπιλαβούσης ἐς τὸ φρούριον
ἅπαντες, ὃ ἐν τῇ ἀκροπόλει ἐστὶ, κατέφυγον ξὺν τοῖς στρατιώ-
ταις, οἳ δὴ ἐνταῦθα ἐπὶ φυλακῇ ἐτετάχατο. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ
ἐστέλλοντο μὲν πρὸς Χοσρόου ἐς τὴν πόλιν τινὲς ἐφ᾽ ᾧ τὰ χρή-
ματα λήψονται, οἱ δὲ ἄγχιστά πῃ τοῦ περιβόλου γενόμενοι κε-
κλεισμένας τὰς πύλας ἁπάσας εὗρον. ἀνθρώπων δὲ οὐδενὶ ἐντυ-
χεῖν ἔχοντες, τῷ βασιλεῖ τὰ παρόντα σφίσιν ἀνήγγελλον, καὶ ὃς B
τῷ τείχει κλίμακας ἐπιθέντας ἀποπειρᾶσθαι τῆς ἀνόδου ἐκέλευεν,

3. Ἱεραπόλεως] Scribebatur Ἱερᾶς πόλεως. 4. δυοῖν] δυεῖν P. 8. Βεροιαίους] βεροιαίας A. 11. αὐτῆς] αὐτοῖς Pm. 13. ἀργύρου] Legebatur ἀργυρίου. 20. ἀνθρώπων A. ἀνθρώπῳ P. 21. ἀνήγγελλον L. ἀνήγγελον P.

7. Eo ipso die profectus Megas, celeriter Antiochiam iter intendit: Chosroes pecunia, qua se Hierapolis redemit, accepta, Beroeam perrexit. Urbs haec inter Antiochiam et Hierapolin sita, eo ab utraque intervallo pariter distat, quod biduo percurrat expeditus viator. Porro Megas paucis comitatus maiora itinera faciebat: dimidio semper minora Persarum exercitus. Itaque die quarto ille Antiochiam, hi Beroeae suburbium attigerunt. Ac pecuniam statim Chosroes a Beroeensibus per Paulum exegit, non modo quantam Hierapolitani dederant, sed altero etiam tanto maiorem; posteaquam moenia multis in locis facillime expugnari posse animadvertit. In quibus Beroeenses cum fiduciae nihil haberent, quidvis prompte prolixeque polliciti sunt. Verum datis librarum argenti duobus millibus, negarunt se esse solvendo quod erat reliquum. Cum autem nihilo secius instaret Chosroes, sequenti nocte in castellum culmini urbis impositum recepere se omnes cum militari praesidio. Postero die a Chosroe missi ad urbem qui pecuniam acciperent, et ad murum progressi, portas omnes offendunt clausas, ac neminem nacti, Regi quo in statu sit res exponunt. Mox ille scalis muro

οἱ δὲ κατὰ ταῦτα ἐποίουν. οὐδενός τε σφίσιν ἀντιστατοῦντος, ἐντὸς τοῦ περιβόλου γενόμενοι τὰς μὲν πύλας κατ' ἐξουσίαν ἀνέῳγον, ἐδέχοντο δὲ τῇ πόλει τόν τε στρατὸν ἅπαντα καὶ Χοσρόην αὐτόν. θυμῷ τε πολλῷ ὁ βασιλεὺς ἤδη ἐχόμενος τὴν πόλιν ὀλίγου δέοντος ἐνέπρησεν ἅπασαν. ἐς δὲ τὴν ἀκρόπολιν ἀναβὰς ἐπὶ τὸ φρούριον τειχομαχεῖν ἔγνω. ἐνταῦθα οἱ μὲν Ῥωμαίων στρατιῶται καρτερῶς ἀμυνόμενοι τῶν πολεμίων τινὰς ἔκτεινον, τῷ δὲ Χοσρόῃ εὐτύχημα μέγα τῷ τῶν πολιορκουμένων ἀξυνέτῳ ξυν-
C έβη γενέσθαι, οἳ δὴ οὐ μόνοι ἐς τὸ φρούριον τοῦτο, ἀλλὰ ξύν τε τοῖς ἵπποις καὶ ζῴοις τοῖς ἄλλοις κατέφυγον, ταύτῃ τε τῇ σμικρολογίᾳ καταστρατηγηθέντες εἰς κίνδυνον ἦλθον. μιᾶς γὰρ οὔσης ἐνταῦθα πηγῆς, ἵππων τε καὶ ἡμιόνων καὶ ζῴων ἑτέρων οὐ δέον αὐτὴν ἐκπεπωκότων, ἀποξηρανθῆναι τὸ ὕδωρ ξυνέβη. Βεροιαίοις μὲν τὰ πράγματα ὧδέ πη εἶχον.

Ὁ δὲ Μέγας εἰς Ἀντιόχειαν ἀφικόμενος, ἀναγγείλας τε ὅσα οἱ πρὸς Χοσρόην ξυνέκειτο, ἔργῳ ταῦτα ἐπιτελεῖν οὐδαμῇ ἔπειθεν. ἐτύγχανε γὰρ Ἰουστινιανὸς βασιλεὺς Ἰωάννην τε τὸν Ῥουφίνου καὶ Ἰουλιανὸν τὸν τῶν ἀπορρήτων γραμματέα πρέσβεις παρὰ Χοσρόην στείλας. ἀσηκρῆτις καλοῦσι τοῦτο τὸ ἀξίωμα Ῥωμαῖοι·
D σήκρητα γὰρ καλεῖν τὰ ἀπόρρητα νενομίκασιν. οἳ δὴ ἐς Ἀντιόχειαν ἀφικόμενοι ἔμενον. Ἰουλιανός τε, τῶν πρέσβεων ἅτερος,

1. ἀντιστατοῦντος L. ἀντιστρατοῦντος P. Conf. p. 100 c. 4. θυμῷ — πολλῷ A corr.: θυμοῦ — πολλοῦ pr. 8. ἀξυνέτῳ] οὐ ξυνέτῳ (sic) L. 11. μιᾶς — ἀποξηρανθῆναι] Excerpsit Suidas s. v. δέον. 15. ἀναγγείλας] ἀγγείλας L. 19. ἀσηκρῆτις L et Suidas s. v. γραμματεύς. ἀσηκρήτης P.

applicitis, tentare ascensum iubet. Morem ii gerunt, nec se adversum ferente quoquam, muros occupant: tum libere portas reserant, et exercitum cum ipso Chosroe in urbem admittunt: quam ille pene totam incendit, ira correptus. Ubi vero ad urbis verticem evasit, et castellum coepit oppugnare, Persas quidem aliquot Romani milites, acerrimi propugnatores, interemerunt; nihilominus secundos ei successus attulit obsessorum imprudentia, qui in castellum cum equis aliisque pecudibus sese commiserant. Quo amore rerum nihili sordido victi, in discrimen summum venere. Nam qui unus ibi erat fonticulus, ab equis, mulis, aliisque ebibitus animantibus, cum minime oporteret, exaruit. Eo redactae erant res Beroeensium.

Interea Megas, cum pervenisset Antiochiam, et quas cum Chosroe fecerat pactiones proposuisset, ut in rem conferrentur suadere non poterat. Etenim legatos Chosroi Iustinianus Aug. miserat Ioannem Rufini filium et Iulianum arcanorum scribam (Romani ea dignitate insignem dicunt esse *A secretis*: quo nomine arcana vocant) iique cum Antiochiam venissent, ibi constiterant. Ac Iulianus quidem diserte prohibuit, ne quis

διαῤῥήδην ἅπασιν ἀπεῖπε χρήματα μὴ διδόναι τοῖς πολεμίοις, μηδὲ τὰς βασιλέως ὠνεῖσθαι πόλεις, ἀλλὰ καὶ τῷ Γερμανῷ διέβαλλε τὸν ἀρχιερέα Ἐφραίμιον, ἅτε τῷ Χοσρόῃ ἐνδοῦναι τὴν πόλιν ἐν σπουδῇ ἔχοντα. διὸ δὴ ὁ Μέγας ἄπρακτος ἀνεχώρησεν. Ἐφραίμιος, ὁ τῆς Ἀντιοχείας ἐπίσκοπος, δείσας τὴν Περσῶν ἔφοδον ἐς Κίλικας ἦλθεν. οὗ δὴ καὶ Γερμανὸς ἀφίκετο οὐ πολλῷ ὕστερον, ὀλίγους μέν τινας ἐπαγόμενος, τοὺς δὲ πλείστους ἐνταῦθα ἐάσας.

Ὁ Μέγας δὲ κατὰ τάχος ἐς Βέροιαν ἥκων περιώδυνός τε τοῖς ξυμπεσοῦσι γενόμενος ᾐτιᾶτο Χοσρόην εἰργάσθαι Βεροιαίους ἀνόσια ἔργα, ὅτι δὴ αὐτὸν μὲν ἐς Ἀντιόχειαν ὡς ἐπὶ ταῖς σπονδαῖς στείλειε, τῶν δὲ πολιτῶν οὐδὲν τὸ παράπαν ἠδικηκότων [P 104] τά τε χρήματα ἐληίσατο καὶ ἠνάγκασε σφᾶς αὐτοὺς ἐν τούτῳ δὴ τῷ φρουρίῳ καθεῖρξαι, οὕτω τε τὴν πόλιν ἐμπρήσας ἐς τὸ ἔδαφος οὐ δέον καθεῖλε. πρὸς ταῦτα ὁ Χοσρόης ἀπεκρίνατο ὧδε „Τούτων μέντοι, ὦ ἑταῖρε, αὐτὸς αἴτιος, ἐνταῦθα ἀναγκάσας ἡμᾶς διατρῖψαι· οὐ γὰρ ἐν τῷ τεταγμένῳ καιρῷ, ἀλλὰ κατὰ πολὺ τούτου γε ὑστερήσας τανῦν ἀφῖξαι. τῶν δὲ σῶν πολιτῶν τὴν ἀτοπίαν τί ἂν τις ἐπὶ πλεῖστον, ὦ βέλτιστε, μακρολογοίη; οἵ γε τακτὸν ἡμῖν ὡμολογηκότες ἀργύριον δώσειν ὑπὲρ τῆς σφῶν αὐτῶν σωτηρίας, οὔπω καὶ νῦν ἐπιτελεῖν οἴονται δεῖν τὰ ξυγκείμενα, ἀλλ' ἀναίδην οὕτω χωρίου ἰσχύϊ θαρσήσαντες περιορῶσιν [B] ἡμᾶς ὡς μάλιστα ἠναγκασμένους ἐς φρουρίου πολιορκίαν, ὡς

5. Ἐφραίμιος] Adde τε vel δέ. 22. οὕτω] οὕτως L.

daret hosti pecuniam, ab eoque emeret Augusti urbes. Immo vero Ephraemium Pontificem eo nomine apud Germanum insimulavit, quod Chosroi tradere civitatem studeret. His de causis re Megas infecta rediit: Ephraemius Antiochiae Episcopus Persarum adventu territus in Ciliciam concessit: quo etiam paulo post Germanus cum exiguo comitatu pervenit, relicto in urbe maximo suorum numero.

Reversus propere Beroeam Megas, ex iis, quae acciderant, gravissimum dolorem cepit, et cum Chosroe iniuriam expostulavit Beroeensibus illatam per summum scelus, quod cum Antiochiam ipsum misisset pacis causa, ut videbatur, interea ab insontibus civibus extorsisset pecuniam, iisque adactis in castellum se ipsos compingere, urbem contra ius fasque incensam aequasset solo. Ad haec ita Chosroes. *Atqui tu, amice, causam huius calamitatis sustines, quod longiori nos hic mora tenueris. Neque enim dicto die, sed magno intervallo iam solum advenis. Cur vero quisquam, praeclare vir, pluribus tibi explicet tuorum civium insolentiam? qui certam argenti summam nobis pro salute sua polliciti, necdum implenda putent pacta conventa; sed loco munito freti despectent nos impuden-*

ὁρᾷς δήπου, καθίστασθαι. οὓς γε δὴ ἔγωγε ξὺν θεοῖς ἐλπίδα
ἔχω ὀλίγῳ ὕστερον τίσασθαι, καὶ Περσῶν τῶν μοι οὐ δέον πρὸ
τοῦδε τοῦ τείχους ἀπολωλότων τὴν κόλασιν ἐς τοὺς αἰτίους ἐπιτε-
λέσειν.“ ὁ μὲν Χοσρόης τοσαῦτα εἶπεν, ὁ Μέγας δὲ ἀμείβε-
ται ὧδε „Εἰ μὲν, ὅτι βασιλεὺς, ἀνθρώποις οἰκτροῖς τε καὶ ἀτι-
V 298 μοτάτοις ταῦτα ἐπικαλεῖς, σκοπήσειεν ἄν τις, ἀνάγκη μηδὲν
H 57 ἀντιλέγοντα τοῖς εἰρημένοις ὁμολογεῖν· τῇ γὰρ ἐξουσίᾳ τῇ ἄλλῃ
καὶ τὸ τῷ λόγῳ κρατεῖν ἕπεσθαι πέφυκεν· ἢν δέ τῳ ἐξῇ τἄλλα
C ἀποσεισαμένῳ τὸν ἀληθῆ λόγον ἑλέσθαι, οὐδὲν ἂν ἡμῖν, ὦ βασι-
λεῦ, δικαίως ἐπικαλεῖν ἔχοις· ὅπως δὲ, ἅπαντα ἀκούσῃ πρᾴως.
ἐγὼ μὲν γὰρ, ἐπειδὴ ἅπερ Ἀντιοχεῦσιν ἐπήγγειλες, δηλώσων ἐστά-
λην, ἑβδομαῖός σοι ἐς ὄψιν ἥκων (οὗ τί ἂν γενέσθαι δύναιτο
θᾶσσον;) ταῦτά σοι ἐξειργασμένα εἰς πατρίδα τὴν ἐμὴν εὗρον.
οἱ δὲ δὴ πάντων ἤδη τῶν τιμιωτάτων ἐκστάντες, εἶτα ἐς τὸν περὶ
ψυχῆς ἀγῶνα καθίστανται μόνον, κρείσσους, οἶμαι, γεγενημέ-
νοι ἢ σοί τι τὸ λοιπὸν τῶν χρημάτων εἰσφέρειν. τὸ γὰρ ἐκτιννύ-
ναι τι τῶν οὐ παρόντων, ἀνθρώπῳ ἂν οὐδεμία μηχανὴ γένοιτο.
πάλαι δὲ τοῖς ἀνθρώποις εὖ τε καὶ καλῶς διώρισται τὰ τῶν πραγ-
μάτων ὀνόματα· ἐν οἷς καὶ τόδε ἐστὶν, ἀγνωμοσύνης κεχωρίσθαι
D ἀσθένειαν. ἡ μὲν γὰρ τρόπου ἀκολασίᾳ ἐς τὸ ἀντιτείνειν χω-
ροῦσα μισεῖσθαι, ὡς τὸ εἰκὸς, εἴωθεν, ἡ δὲ τῷ τῆς ὑπουργίας

2. δέον] δέον, τῶν H et a m. sec. L. δεόντων Hm et L.
6. ἐπικαλεῖς] ἐπικαλεῖ A. 10. ἔχοις] ἔχεις H: illud Hm.
11. ἐπήγγειλες] ἐπήγγελες A. 12. ἑβδομαῖος] τριταῖος Lm.
ibid. ἐς L. εἰς P. 17. οὐδεμία μηχανὴ] οὐδαμιᾷ μηχανῇ Hm.

ter, arcem, ut vides, obsidere coactos. Quos ego, Diis faventibus, brevi me ulturum, ac poenas iniquae caedis Persarum, qui sub his moenibus occubuerunt, ex auctoribus sumpturum confido. Haec locuto Chosroi Megas in hunc modum respondit. *Si quis, dum misera ac vilissima capita his criminibus oneras, Regem te esse attendat; eum certe nihil obloqui, et dictis concedere necesse est. Sic enim est comparatum, ut regiam illam potestatem imperium etiam orationis sequatur. At si cui liceat, omissis caeteris, veritatem in dicendo unam et rationem amplecti, nihil erit, o Rex, quod iure nobis obiicias: tantum benigne audi, quomodo se res tota habuerit. Antiochiam profectus ut mandata tua denuntiarem, iamque die septimo ad te redux (quo quid celerius fieri potuit?) haec in patriam a te meam perpetrata inveni. Cunctis amissis opibus cives pro vita iam una dimicant: postquam illos, opinor, maiori necessitatis vi ipse vallasti, quam ut pervincas, ut residuum quid pecuniae tibi pendant. Nam quod quis non habet, id ut solvat adigi vi nulla potest. Recte omnino sapienterque rerum nomina distinxit antiquitas. Quo in genere istum est: contumaciam ab egestate et impotentia diversam esse. Atque ut contumacia dum proterve resistit, in se odium merito concitat; sic egestas ob*

ἀδυνάτῳ ἐς ταὐτὸ τοῦτο ἐκφερομένη ἐλεεῖσθαι ἱκανῶς πέφυκεν. ἔασον τοίνυν ἡμᾶς ἅπαντα, ὦ βασιλεῦ, κληρωσαμένους τὰ χείριστα τοῦτο γοῦν φέρεσθαι παραμύθιον, τὸ μὴ δοκεῖν τῶν ξυμπεπτωκότων ἡμῖν αὐτοῖς αἰτίοις γενέσθαι. καὶ χρήματα μέν σοι ὅλα, ὅσα λαβὼν ἔχεις, διαρκεῖν οἶδα, μὴ τῷ σῷ ταῦτα σταθμώμενος ἀξιώματι, ἀλλὰ τὴν Βεροιαίων σκοπῶν δύναμιν. περαιτέρω δὲ ἡμᾶς βιάζου μηδέν, μή ποτε δόξῃς οἷς ἐγκεχείρηκας ἀδύνατος εἶναι· τὸ γὰρ ὑπερβάλλον ἀεὶ τῷ ἀμηχάνῳ τετίμηται· τὸ δὲ μὴ τοῖς ἀδυνάτοις ἐγχειρεῖν κράτιστον. ταῦτα μὲν οὖν μοι ἀπολελογήσθω ἐν τῷ παραυτίκα ὑπὲρ ἀνδρῶν τῶνδε. ἢν δέ γε τοῖς ταλαιπώροις ξυγγενέσθαι δυνατὸς εἴην, ἔχοιμι ἄν τι καὶ ἄλλο τῶν νῦν με λεληθότων εἰπεῖν.“ τοσαῦτα τὸν Μέγαν εἰπόντα ὁ P 105 Χοσρόης ἐς τὴν ἀκρόπολιν ἀφῆκεν ἰέναι. ὃς δὴ ἐνταῦθά τε γενόμενος καὶ τὰ ξυμπεσόντα ἀμφὶ τῇ πηγῇ μαθὼν ἅπαντα, δεδακρυμένος τε παρὰ Χοσρόην αὖθις ἀφίκετο. καὶ πρηνὴς κείμενος οὐδὲν μὲν Βεροιαίοις ἰσχυρίζετο ἀπολελεῖφθαι τῶν πάντων χρημάτων, μόνα δέ οἱ τῶν ἀνθρώπων ἱκέτευε χαριεῖσθαι τὰ σώματα. ταῖς τε τοῦ ἀνδρὸς ὀλοφύρσεσιν ὁ Χοσρόης ἠγμένος τὴν δέησιν ἐπιτελῆ ἐποιεῖτο, καὶ διομοσάμενος ἅπασι τοῖς ἐν ἀκροπόλει τὰ πιστὰ ἔδωκε. Βεροιαῖοι δὲ παρὰ τοσοῦτον κινδύνου ἐλθόντες ἀπέλιπόν τε τὴν ἀκρόπολιν ἀπαθεῖς κακοῦ καὶ ἀπιόντες ᾤχοντο ὡς ἕκαστός πῃ ἐβούλετο. τῶν δὲ στρατιωτῶν ὀλίγοι μὲν

4. αὐτοῖς αἰτίοις] αὐτοὺς αἰτίους Hm. 16. ἀπολελεῖφθαι] ὑπολελεῖφθαι Suidas s. v. ἰσχυρίζετο. 18. ὀλοφύρσεσιν] ὀλοφύρεσιν L.

id repugnans, quia imperata praestare nequit, facile misericordiam movet. Igitur nobis, o Rex, unum hoc sortis deterrimae solatium relinque; ut ne eorum, quae nobis contigere, auctores ipsi extitisse videamur. Tibi satis esse puta quodcunque argenti accepisti, non id tua dignitate ponderans, sed Beroeensium facultate: et absiste urgere nos; ne tuas forte vires coepto impares tuo esse ostendas. Solet enim conatus insanior mulctari frustratione: optimum autem nihil aggredi quod non possis perficere. Haec in praesenti habui quae pro civibus dicerem: quod si mihi copia cum infelicibus illis agendi fiat; ex iis, quae me nunc latent, novum aliquid afferam. His Megas dictis a Chosroe dimissus se ad arcem contulit: ubi quid fonti accidisset audivit, ad Chosroem redit effundens lacrimas: pronus accidit: reliquum Beroeensibus nihil pecuniae factum omni asseveratione affirmat, oratque suppliciter, ut sibi condonentur, quae sola restant, eorum capita. Eius lamentis permotus Chosroes, precibus annuit, ac fidem omnibus, qui in arce erant, iureiurando firmatam dedit. In tantum discrimen deducti Beroeenses, ex arce incolumes egressi sunt, et alius alio, quo libuit, demigrarunt. Eos pauci

B αὐτοῖς τινες εἵποντο, οἱ δὲ πλεῖστοι ἐθελούσιοι παρὰ Χοσρόην
αὐτόμολοι ἦλθον, ἐπικαλοῦντες ὅτι δὴ τὰς συντάξεις χρόνου μακροῦ σφίσι τὸ δημόσιον ὤφλε, καὶ ξὺν αὐτῷ ὕστερον ἐς τὰ Περσῶν ἤθη ἐχώρησαν.

C η'. Ὁ Χοσρόης δὲ (καὶ γάρ οἱ Μέγας χρήματα ἔφασκεν οὐδαμῇ πεπεικέναι Ἀντιοχέας φέρειν) παντὶ τῷ στρατῷ ἐπ' αὐτοὺς ᾔει. Ἀντιοχέων δὲ τινὲς μὲν ἐνθένδε ξὺν τοῖς χρήμασιν ἐξαναστάντες ἔφευγον ὡς ἕκαστός πῃ ἐδύνατο. ταὐτὸ δὲ τοῦτο διενοοῦντο καὶ οἱ λοιποὶ ξύμπαντες, εἰ μὴ μεταξὺ ἥκοντες οἱ τῶν ἐν Λιβάνῳ στρατιωτῶν ἄρχοντες, Θεόκτιστός τε καὶ Μολάτζης, ξὺν ἑξακισχιλίοις ἀνδράσιν ἐλπίσι τε αὐτοὺς ἐπιρρώσαντες διεκώλυσαν. οὗ δὴ οὐ πολλῷ ὕστερον καὶ τὸ Περσῶν στράτευμα ἦλθεν. ἐνταῦθά τε διεσκηνημένοι ἐστρατοπεδεύσαντο ἅπαντες,
D πρός τε Ὀρόντῃ τῷ ποταμῷ καὶ αὐτοῦ οὐ πολλῷ ἄποθεν. Χοσ-
V 294 ρόης τε Παῦλον παρὰ τὸν περίβολον στείλας τοὺς Ἀντιοχέας χρήματα ᾔτει, δέκα χρυσοῦ κεντηναρίων ἀπαλλαγήσεσθαι ἐνθένδε, ἔνδηλός τε ἦν καὶ τούτων ἐλάσσω ἐπὶ τῇ ἀναχωρήσει ληψόμενος. καὶ τότε μὲν ἥκοντες παρὰ τὸν Χοσρόην οἱ πρέσβεις, εἰπόντες τε ἀμφὶ τῇ διαλύσει τῆς εἰρήνης πολλὰ καὶ πρὸς ἐκείνου ἀκούσαντες ἀνεχώρησαν. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ τῶν Ἀντιοχέων ὁ δῆμος (εἰσὶ γὰρ οὐ κατεσπουδασμένοι, ἀλλὰ γελοίοις τε καὶ ἀταξίᾳ ἱκανῶς ἔχονται) πολλὰ ἐς τὸν Χοσρόην ὕβριζόν τε ἀπὸ τῶν ἐπάλξεων καὶ ξὺν γέλωτι ἀκόσμῳ ἐτώθαζον· καὶ Παῦλον τοῦ περιβόλου

2. ἐπικαλοῦντες] μεμφόμενοι Suidas s. v. σύνταξις. 10. Μολάτζης] *Malazes* RV. 22. ἐς τὸν — ἐτώθαζον] Suidas s. v. ἐτώθαζον.

secuti sunt milites: plerique de aerario conquerentes quod sibi iamdiu deberentur stipendia, ultro ad Chosroem et cum eo postmodum in Persidem concesserunt.

8. Inde Chosroes Antiochiam cum exercitu universo petere instituit: quoniam retulerat Megas induci cives non potuisse ut pecuniam darent. Nonnulli iam urbe excesserant, et suas secum asportantes opes, sese alio, utut licebat, receperant. Ac fugam omnes meditabantur, et vero etiam arripuissent, nisi hoc interim spatio Theoctistus et Molatzes, qui praesidiis Libani praeerant, cum militum senis millibus advenissent, speque optima firmando labantes animos, cohibuissent. Adfuerunt subinde Persae, fixisque tentoriis ad fluvium Orontem et in vicinia metati sunt. Chosroes misso ad muros Paulo, eius ore pecuniam imperavit Antiochenis, soluturum se obsidionem recipiens, si modo penderent auri mille pondo: quanquam haud obscurum erat illum minori contentum pretio abiturum. Tum adiere ipsum legati, et cum eo de pace rupta diu collocuti, redierunt. Postera die Antiochena plebs, ut est genus hominum leve et scurrilibus iocis ac petulantiae mire deditum, e murorum pinnis

ἐγγὺς ἥκοντά παραινοῦντά τε χρημάτων ὀλίγων σφᾶς τε αὐτοὺς P 106 καὶ τὴν πόλιν ὠνεῖσθαι ὀλίγου ἐδέησαν τοξεύσαντες κτεῖναι, εἰ μὴ προϊδὼν ἐφυλάξατο. διὸ δὴ ζέων τῷ θυμῷ ὁ Χοσρόης τειχομαχεῖν ἔγνω.

Τῇ οὖν ὑστεραίᾳ ἐπαγαγὼν ἅπαντας Πέρσας ἐπὶ τὸ τεῖχος H 58 ἄλλους μὲν ἄλλῃ προσβάλλειν τοῦ ποταμοῦ ἐκέλευεν, αὐτὸς δὲ τοὺς πλείστους τε καὶ ἀρίστους ἔχων κατὰ τὴν ἄκραν προσέβαλλε. ταύτῃ γάρ, ὥς μοι ἔμπροσθεν ἐρρήθη, ἐπιμαχώτατος ὁ περίβολος ἦν. ἐνταῦθα Ῥωμαῖοι (στενοτάτη γὰρ ἡ οἰκοδομία ἐτύγχανεν οὖσα, ἐφ᾽ ἧς ἱστάμενοι πολεμεῖν ἔμελλον) ἐπενόησαν τάδε. δοκοὺς μακρὰς ἐς ἀλλήλους ξυνδέοντες μεταξὺ τῶν πύργων ἐκρέμων, οὕτω τε πολλῷ εὐρυτέρας δὴ ταύτας τὰς χώρας ἐποίουν, B ὅπως ἔτι πλείους ἐνθένδε ἀμύνεσθαι τοὺς τειχομαχοῦντας οἷοί τε ὦσιν. οἱ μὲν οὖν Πέρσαι ἰσχυρότατα ἐγκείμενοι πανταχόθεν τὰ τοξεύματα συχνὰ ἔπεμπον, ἄλλως τε καὶ κατὰ τὴν τῆς ἄκρας ὑπερβολήν. οἱ δὲ Ῥωμαῖοι ἠμύνοντο δυνάμει πάσῃ, οὐ στρατιῶται μόνον, ἀλλὰ καὶ τοῦ δήμου εὐτολμότατοι νεανίαι πολλοί. ἐδόκουν δὲ οἱ τειχομαχοῦντες ἐνταῦθα ἐς τὴν μάχην ἐκ τοῦ ἀντιπάλου τοῖς πολεμίοις καθίστασθαι. ἡ γὰρ πέτρα, εὐρεῖά τις καὶ ὑψηλὴ οὖσα καὶ ὥσπερ ἀντιτεταγμένη τῷ περιβόλῳ, καθάπερ ἐφ᾽ ὁμαλοῦ εἶναι τὴν ξυμβολὴν ἐποίει. καὶ εἰ μέν τις ἐθάρσησε τοῦ Ῥωμαίων στρατοῦ ξὺν τριακοσίοις ἔξω τε γενέσθαι τοῦ περιβόλου

2. ἐδέησαν τοξεύσαντες L. ἐδεήσαντο ξεύσαντες H: unde Hoeschelius coniiciebat λεύσαντες, quod recepit P. 8. ἐρρήθη] ἐῤῥέθη P. 11. ἐκρέμων] ἐκρέμνων L.

crebra in Chosroem dicteria convitiaque insolenti cum risu iecit, ac Paulum sub moenibus hortantem ut auro modico se atque urbem redimeret, tantum non obruisset lapidibus, nisi is provide sibi cavisset. Quamobrem ira ardens Chosroes muros oppugnare constituit.

Ergo postridie Persis omnibus ad muros accitis, eorum partem ad fluvium huc atque illuc inferre iussit oppugnationem: ipse cum maiori numero, et quidem fortissimorum, adortus est murum, qui erat in urbis vertice, atque, ut monui supra, facile poterat expugnari. Hic Romani, quoniam aedificii, ex quo dimicaturi erant, angustiis maxime premebantur, isto usi invento fuerant. Oblongas trabes colligatas apte suspenderant in turrium interstitio, eaque arte spatia illa laxaverant, ut numerosior inde manus oppugnatores arcere posset. Iam Persae acerrime instantes, densas undique sagittas mittebant, praesertim vero in montis culmine: Romani viribus omnibus propugnabant, non modo milites, sed multi etiam e populo adolescentes animosissimi. Ibi autem qui moenia oppugnabant, certare ex aequo cum hostibus videbantur. Nam rupes, quam obtinebant, cum lata editaque esset ac veluti muro opposita, id praestabat, ut quasi in plano confligerent. At si quis e Rom. exercitu

C καὶ τὴν πέτραν ἐκείνην προτερήσας καταλαβεῖν, ἐνθένδε τοὺς ἐπιόντας ἀμύνασθαι, οὐκ ἄν ποτε, οἶμαι, πρὸς τῶν πολεμίων ἐς κίνδυνόν τινα ἡ πόλις ἦλθεν. οὐ γὰρ εἶχον ὅθεν ὁρμώμενοι τειχομαχοῖεν οἱ βάρβαροι, κατὰ κορυφὴν ἔκ τε τῆς πέτρας καὶ ἀπὸ τοῦ τείχους βαλλόμενοι· νῦν δὲ (καὶ γὰρ ἔδει Ἀντιοχίας τούτῳ τῷ Μήδων στρατῷ ἀπολέσθαι) οὐδενὶ τοῦτο ἐς ἔννοιαν ἦλθε. τῶν μὲν οὖν Περσῶν, ἅτε Χοσρόου παρόντος σφίσι καὶ κραυγῇ ἐγκελευομένου μεγάλῃ, ὑπὲρ δύναμιν βιαζομένων, καὶ οὐδένα τοῖς ἐναντίοις ἐνδιδόντων καιρὸν, ὥστε διασκοπεῖσθαι ἢ φυλάσσεσθαι τὰς τοξευμάτων βολὰς, τῶν δὲ Ῥωμαίων ἔτι μᾶλλον πλήθει τε πολλῷ καὶ θορύβῳ ἀμυνομένων, οὐκ ἐνεγκοῦσαι τὸ
D ἄχθος αἱ σχοῖνοι, αἷς αἱ δοκοὶ ξυνδεδέατο, διεῤῥάγησαν ἐκ τοῦ αἰφνιδίου καὶ ξὺν ταῖς δοκοῖς ἅπαντες ὅσοι αὐταῖς ἐφεστήκεσαν ἐς τὸ ἔδαφος ἐξέπεσον πατάγῳ πολλῷ. οὗ δὴ αἰσθόμενοι καὶ ἄλλοι Ῥωμαίων, οἳ ἐκ πύργων τῶν ἐχομένων ἐμάχοντο, καὶ ξυμβάλλειν μὲν τὸ γεγονὸς οὐδαμῇ ἔχοντες, διεφθάρθαι δὲ ταύτῃ τὸ τεῖχος οἰόμενοι ἐς φυγὴν ὥρμηντο. τοῦ μὲν οὖν δήμου νεανίαι πολλοὶ, ὅσοι τὰ πρότερα πρός γε ἀλλήλους στασιάζειν ἐν τοῖς ἱπποδρομίοις εἰώθεσαν, ἐπειδὴ ἀπὸ τοῦ περιβόλου κατέβησαν, οὐ-
P 107 δαμῇ ἔφευγον, ἀλλ' αὐτοῦ ἔμενον· οἱ δὲ στρατιῶται ξύν τε Θεοκτίστῳ καὶ Μολάτζῃ εὐθὺς ἐπὶ τοὺς ἵππους ἀναθορόντες, οἳ δὴ ἐνταῦθά πῃ παρεσκευασμένοι ἐτύγχανον, ἐπὶ τὰς πύλας ἀπήλαυνον, Βούζην αὐτοῖς ἐπιθρυλοῦντες ξὺν στρατῷ ἥκειν, ἐθέλειν τε

23. ἐπιθρυλοῦντες A. ἐπιθρυλλοῦντες P.

cum trecentis viris ante egredi, et illa occupata rupe, inde ausus esset repellere accedentes, fuisset urbs, meo quidem iudicio, ab hostili periculo plane tuta. Neque enim locum Barbari, unde in moenia darent impetum, habuissent, desuper hinc e saxo, illinc e muro telis petiti. Verum hoc nemini in mentem venit: scilicet certum exitium Antiochiam manebat, ab illo Persarum exercitu inferendum: qui dum Regis praesentia, hortatibus, clamoribus incensi supra vires vim faciunt, nec vitandi tela aut etiam praevidendi ullum dant spatium hostibus; hi contra dum conferti, magis quidem ac magis, sed tumultuose resistunt, non sufficientes ponderi funes, quibus connexae trabes erant, repente rumpuntur. Quicunque trabibus superstabant, earum ruinam secuti, ad solum cum ingenti fragore corruunt. Quo ab iis audito, qui e turribus proximis depugnabant, cum quid rei esset diiudicare non possent, murum ea parte convulsum rati, se in fugam dederunt. Postquam e muro descensum est, adolescentes e populo plurimi, qui antea in factiones Circenses divisi contendere solebant, non fugerunt, sed constantes haeserunt in vestigiis: milites vero cum Theoctisto ac Molatze, equis illico, qui praesto aderant, conscensis, cursum ad portas intenderunt, spargentes in vulgus adesse Buzem cum copiis; velle se quamprimum illas in urbem accipere,

κατὰ τάχος δέξασθαι μὲν αὐτοὺς τῇ πόλει, ξὺν αὐτοῖς δὲ τοὺς πολεμίους ἀμύνασθαι. ἐνταῦθα τῶν Ἀντιοχέων πολλοὶ μὲν ἄνδρες, γυναῖκες δὲ πᾶσαι ξὺν τοῖς παιδίοις, ἐπὶ τὰς πύλας δρόμῳ πολλῷ ᾔεσαν· εἶτα πρὸς τῶν ἵππων ὠθούμενοι ἅτε ἐν στενοχωρίᾳ πολλῇ ἔπιπτον. οἱ δὲ στρατιῶται τῶν ἐν ποσὶν οὐδενὸς τὸ παράπαν φειδόμενοι ἔτι μᾶλλον ἢ πρότερον ὕπερθεν τῶν κειμένων ἅπαντες ἤλαυνον, γέγονέ τε φόνος ἐνταῦθα πολὺς ἄλλως τε καὶ κατὰ τὰς πύλας αὐτάς.

Οἱ δὲ Πέρσαι, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, κλίμακας B V 295
ἐπιθέντες ἐπὶ τὸ τεῖχος οὐδενὶ πόνῳ ἀνέβαινον. ἔν τε ταῖς ἐπάλξεσι κατὰ τάχος γενόμενοι χρόνον τινὰ καταβαίνειν οὐδαμῇ ἤθελον, ἀλλὰ διασκοπουμένοις τε καὶ ἀπορουμένοις ἐῴκεσαν· ἐμοὶ μὲν δοκεῖ, προλοχίζεσθαι τὰς δυσχωρίας ἐνέδραις τισὶ τῶν πολεμίων ὑποτοπάζοντες. τὰ γὰρ ἐντὸς τοῦ περιβόλου ἀπὸ τῆς ἄκρας εὐθὺς κατιόντι λοιπὸν ἀοίκητος χώρα ἐπὶ πλεῖστόν ἐστι. πέτραι δὲ ὑψηλαὶ ἀνέχουσιν ἐνταῦθα καὶ τόποι κρημνώδεις. ἔνιοι δέ φασι Χοσρόου γνώμῃ γεγονέναι ἐνταῦθα τὴν μέλλησιν Πέρσαις. ἐπειδὴ γὰρ τήν τε δυσχωρίαν κατενόησε καὶ τοὺς στρατιώτας φεύγοντας εἶδεν, ἔδεισε μή τινι ἀνάγκῃ ἐκ τῆς ὑπαγωγῆς ἀνα- C
στρέψαντες πράγματα σφίσι παράσχωνται, ἐμπόδιοί τε γένωνται, H 59
ἂν οὕτω τύχοι, πόλιν ἑλεῖν ἀρχαίαν τε καὶ λόγου ἀξίαν καὶ πρώτην Ῥωμαίοις οὖσαν τῶν κατὰ τὴν ἕω πασῶν πόλεων, πλούτῳ τε καὶ μεγέθει καὶ πολυανθρωπίᾳ καὶ κάλλει καὶ τῇ ἄλλῃ εὐδαιμο-

6. ὕπερθεν] ὕπερθε L. 17. ἐνταῦθα om. L.

hostemque iunctis viribus propulsare. Exciti his Antiocheni, ad portas viri non pauci et foeminae pleraeque omnes cum pueris concurrunt: viarum angustiis arctati ab equis truduntur, sternuntur, teruntur, militibus obvio parcentibus nemini, et citatius superiacentium corpora equos agentibus. Hic multa, maxime ad portas, edita strages.

Persae muro scalis nemine prohibente admotis nullo ascenderunt negotio, cumque ad pinnas celeriter evasissent, inde aliquandiu recusarunt descendere, explorantibus ac dubitantibus similes, atque, ut equidem interpretor, ab hoste positas in locis confragosis insidias suspicantes. Nam intra muros continuo declivis est a montis cacumine locus, et late vacat, saxis arduis ac praecipitiis horridus. Sunt qui Persas ibi moram de sententia Chosrois fecisse memorent. Postquam enim aspreta illa et militum fugam perspexit, veritus est ne si viam convertere cogerentur, negotium Persis ac forte impedimentum afferrent, quominus urbem antiquam atque spectandam, et civitatum omnium, quae in Oriente Romanis parent, opibus, magnitudine, civium frequentia, pulchritudine, caeterisque rebus, quibus florere possunt, facile principem obtineret. Prae hoc

νίᾳ. οὗ δή, περὶ ἐλάσσονος τἆλλα ποιούμενος ἅπαντα, ἤθελε
τοῖς Ῥωμαίων στρατιώταις καιρὸν ἐνδιδόναι, ὥστε κατ' ἐξουσίαν
τῇ φυγῇ χρῆσθαι. διὸ δὴ καὶ ταῖς χερσὶ τοῖς φεύγουσι Πέρσαι
σημαίνοντες ἐνεκελεύοντο φεύγειν ὡς τάχιστα. οἱ μὲν οὖν στρα-
τιῶται Ῥωμαίων ξὺν τοῖς ἄλλοις ἄρχουσιν ἀπιόντες ᾤχοντο ἅπαν-
D τες διὰ πύλης, ἣ ἐπὶ Δάφνην ἄγει τὸ τῶν Ἀντιοχέων προάστειον.
ταύτης γὰρ μόνης, τῶν ἄλλων κατειλημμένων, ἀπέσχοντο Πέρ-
σαι· τοῦ δὲ δήμου ὀλίγοι τινὲς ξὺν τοῖς στρατιώταις διέφυγον.
ἐπεὶ δὲ Πέρσαι ἅπαντας τοὺς Ῥωμαίων στρατιώτας εἶδον πρόσω
χωρήσαντας, καταβάντες ἀπὸ τῆς ἄκρας ἐν μέσῃ πόλει ἐγένοντο.
ἐνταῦθα δὲ αὐτοῖς τῶν Ἀντιοχέων νεανίαι πολλοὶ ἐς χεῖρας ἐλθόν-
τες τὰ πρῶτα καθυπέρτεροι ἔδοξαν τῇ ξυμβολῇ εἶναι. ἦσαν δὲ
αὐτῶν τινὲς μὲν ὁπλῖται, οἱ δὲ πλεῖστοι γυμνοὶ καὶ λίθων βολαῖς
χρώμενοι μόναις. ὠσάμενοι δὲ τοὺς πολεμίους ἐπαιάνιζόν τε
καὶ Ἰουστινιανὸν βασιλέα καλλίνικον, ἅτε νενικηκότες, ἀνέκραγον.

Ἐν τούτῳ δὲ Χοσρόης ἐν πύργῳ τῷ κατὰ τὴν ἄκραν καθή-
P 108 μενος τοὺς πρέσβεις ἐθέλων τι εἰπεῖν μετεπέμψατο. καὶ αὐτῶν
τῶν τις ἀρχόντων, ὁ Ζαβεργάνης, οἰόμενος ξυμβάσεως πέρι
βούλεσθαι τοῖς πρέσβεσιν ἐς λόγους ἰέναι, ἐς ὄψιν τε τῷ βασιλεῖ
κατὰ τάχος ἦλθε καὶ ἔλεξεν ὧδε ,,Οὐχὶ ταὐτά μοι δοκεῖς, ὦ
δέσποτα, Ῥωμαίοις ἀμφὶ τῇ τούτων σωτηρίᾳ γινώσκειν. οἱ μὲν
γὰρ καὶ πρὸ τοῦ κινδύνου ὑβρίζουσιν ἐς τὴν βασιλείαν τὴν σὴν
καὶ ἡσσημένοι τολμῶσί τε τὰ ἀμήχανα καὶ δρῶσι τοὺς Πέρσας

4. ἐνεκελεύοντο] ,,ἀνεκελεύοντο Reg." Malt. 22. τοῦ κινδύνου] ,,τῶν κινδύνων Reg." Malt.

in postremis habens alia quaevis Chosroes, Romano militi fugam permittere voluit, ad quam maturandam Persae iactatione manuum incitabant. Itaque cum Ducibus Romani milites exiere omnes per eam portam, quae Daphnen (id suburbium est Antiochiae) ducit: hac enim unam Persae liberam, caeteris occupatis, reliquerant. E populo aufugere nonnulli cum militibus: quos Persae ubi longius provectos viderunt, descendentes e montis fastigio, intulerunt se in mediam urbem. Hic adolescentum Antiochenorum examen cum hoste manum ita conseruit, ut vincere initio videretur. Armati quidam, plerique inermes erant, ac lapidibus solum utebantur: iam tamen Persas repulerant, et paeana canentes Iustinianum Aug. tanquam victores callinicum proclamabant.

Interea Chosroes in turri sedens summo monti imposita, et in animo habens quippiam legatis dicere, eos acciri iubet. Tum unus e ducibus Zaberganes, ratus velle Regem cum Legatis pacta componere, ipsum protinus adit, itaque affatur. *Mihi non videris, Domine, idem cum Romanis sentire et statuere de ipsorum salute. Nam et ante Martis discrimen contumeliosi in Maiestatem tuam fuerunt, et victi iam nihil non supra vires audent, atque in Persas implacabiliter furunt, quasi verean-*

ἀνήκεστα ἔργα, ὥσπερ δεδιότες μή τις αὐτοῖς παρὰ σοὶ φιλανθρωπίας λελείψεται λόγος· σὺ δὲ τούς τε σώζεσθαι οὐκ ἀξιοῦντας ἐλεεῖν βούλει καὶ φείδεσθαι τῶν οὐδαμῆ ἐθελόντων ἐσπούδακας. B
οἱ δὲ προλοχίσαντες ἐν ἁλούσῃ πόλει τοὺς νενικηκότας ἐνέδραις τισὶ διαφθείρουσι, καίπερ ἁπάντων αὐτοῖς πάλαι πεφευγότων στρατιωτῶν." ταῦτα ὁ Χοσρόης ἀκούσας, τῶν ἀρίστων πολλοὺς ἐπ' αὐτοὺς ἔπεμψεν, οἳ οὐκ ἐς μακρὰν ἐπανήκοντες οὐδὲν ξυμβῆναι φλαῦρον ἀπήγγελον. ἤδη γὰρ Ἀντιοχέας Πέρσαι βιασάμενοι πλήθει ἐτρέψαντο, καὶ γέγονε φόνος ἐνταῦθα πολύς. οἱ γὰρ Πέρσαι οὐδεμιᾶς ἡλικίας φειδόμενοι τοὺς ἐν ποσὶν ἅπαντας ἡβηδὸν ἔκτεινον. τότε φασὶ γυναῖκας τῶν ἐπιφανῶν ἐν Ἀντιοχεῦσι δύο γενέσθαι μὲν ἔξω τοῦ περιβόλου, αἰσθομένας δὲ ὡς C
ὑπὸ τοῖς πολεμίοις γενήσονται (πανταχόσε γὰρ ἤδη περιιόντας καθεωρῶντο) δρόμῳ μὲν παρὰ τὸν ποταμὸν Ὀρόντην ἐλθεῖν, φοβουμένας δὲ μή τι σφᾶς ἐς τὸ σῶμα ὑβρίσωσι Πέρσαι, ταῖς τε καλύπτραις ἐγκαλυψαμένας τὰ πρόσωπα, καὶ ἐς τὸ τοῦ ποταμοῦ ῥεῦμα ἐμπεσούσας ἀφανισθῆναι. οὕτω πᾶσα κακοῦ τοὺς Ἀντιοχέας ἰδέα ἔσχεν.

θʹ. Ἐνταῦθα ὁ Χοσρόης τοῖς πρέσβεσιν ἔλεξε τοιάδε V 296 D
„Οὐκ ἔξω τοῦ ἀληθοῦς τὸν παλαιὸν λόγον οἴομαι εἶναι, ὅτι δὴ οὐκ ἀκραιφνῆ τὰ ἀγαθὰ ὁ θεός, ἀλλὰ κεραννύων αὐτὰ τοῖς κακοῖς εἶτα τοῖς ἀνθρώποις παρέχεται. καὶ δι' αὐτὸ οὐδὲ τὸ γελᾶν ἄκλαυστον ἔχομεν, παραπέπηγε δέ τις ἀεὶ τοῖς μὲν εὐτυχήμασι

11. ἐν] ἐν om. AH. 22. οὐδὲ] οὔτε P.

tur ne quem sibi apud te locum reliquum faciant implorandae benignitatis tuae. Tu vero servari renuentium misereri vis, ac veniam refugientibus parcere studes. At illi praesidiariis omnibus fuga dudum elapsis, in urbe capta occuparunt insidias, unde victoribus perniciem afferunt. Talibus auditis Chosroes contra illos manum validam lectissimorum destinat: qui brevi reversi salva omnia nuntiarunt. Iam enim superiores numero Persae Antiochenos fuderant. Strages fuit maxima: nulli enim parcentes aetati Persae, obvios quosque, quocunque in gradu aevi fuerint, trucidarunt. Quo tempore geminas illustrium Antiochiae civium uxores ferunt urbe egressas cum in manus hostium, quos iam ubique circumcursantes videbant, venturas se intelligerent, et ab iis metuerent turpem in corpora sua vim, ad fluvium Orontem cucurrisse, vultus obnupsisse flammeolis, et in profluentem praecipites periisse. Ita Antiochia genus omne calamitatis accepit.

9. Tum accitis legatis Chosroes si verba fecit. *Verum est, mea quidem sententia, vetus illud verbum, quo fertur, bona Deum non pura, sed malis mista largiri mortalibus. Hinc fit ut lacrimosum habeamus risum, et adhaerescat semper faustis eventibus infaustum aliquid, ac vo-*

συμφορὰ, ταῖς δὲ ἡδοναῖς λύπη, οὐκ ἐῶσαί τινα γνησίας ποτὲ τῆς δεδομένης εὐημερίας ἀπόνασθαι. πόλιν γὰρ τήνδε, ἀξιολογωτάτην ἐς τὰ μάλιστα λεγομένην τε καὶ οὖσαν ἐν γῇ τῇ Ῥωμαίων, ἀπονώτατα μὲν ἑλεῖν ἴσχυσα, τοῦ θεοῦ αὐτοσχεδιάσαντος ἡμῖν, ὡς ὁρᾶτε, δήπου τὴν νίκην. φόνον μέντοι ἀνθρώπων ὁρῶντί μοι τοσούτων τὸ πλῆθος, αἵματί τε πολλῷ βεβαπτισμένον τὸ τρόπαιον, οὐδεμία τῆς ἀπὸ τῆς πράξεως ἡδονῆς γέγονεν αἴ-
P 109 *σθησις. καὶ τῶνδε οἱ ταλαίπωροι Ἀντιοχεῖς αἴτιοι, οἵ γε τειχομαχοῦντας μὲν οὐχ οἷοί τε γεγόνασι Πέρσας ἀπώσασθαι, πρὸς δὲ νενικηκότας ἤδη καὶ αὐτοβοεὶ τὴν πόλιν ἑλόντας θράσει θανατῶντες ἀλογίστῳ ζυγομαχεῖν ἔγνωσαν. πάντες μὲν οὖν οἱ Περσῶν δόκιμοι πολλὰ ἐνοχλοῦντες σαγηνεῦσαί τέ με τὴν πόλιν ἠξίουν καὶ ξύμπαντας διαφθεῖραι τοὺς ἡλωκότας, ἐγὼ δὲ τοὺς φεύγον-*
H 60 *τας ἐκέλευον εἰς τὴν ὑπαγωγὴν μᾶλλον ὁρμᾶν, ὅπως ὅτι τάχιστα σώζοιντο. τὸ γὰρ ἐπεμβαίνειν τοῖς ἡλωκόσιν οὐχ ὅσιον." τοσαῦτα μὲν ὁ Χοσρόης τερατευόμενός τε καὶ διαθρυπτόμενος τοῖς πρέσβεσιν εἶπεν, οὐκ ἔλαθε μέντοι αὐτοὺς ὅτων ἕνεκα τὸν καιρὸν φεύγουσι τοῖς Ῥωμαίοις ἐνδοίη.*

B *Ἦν γὰρ δεινότατος ἀνθρώπων ἁπάντων τὰ μὲν οὐκ ὄντα εἰπεῖν, τὰ δὲ ἀληθῆ ἐπικρύψασθαι, καὶ ὧν αὐτὸς ἐξημάρτανε τὰς αἰτίας τοῖς ἠδικημένοις ἐπενεγκεῖν· ἔτι δὲ ὁμολογῆσαι μὲν ἕτοιμος ἅπαντα καὶ ὅρκῳ τὴν ὁμολογίαν πιστώσασθαι, λίαν δὲ τῶν ἔναγχος αὐτῷ ξυγκειμένων τε καὶ ὁμωμοσμένων ἑτοιμότερος*

7. τῆς L. τις P.

luptatibus aegritudo, quae neminem sincera laetitia vitaeque felicitate perfrui sinat. Ego sane urbem et fama et reipsa in Romano Imperio nobilissimam cepi facillime, a Deo nempe concessa nobis victoria, ut cernitis, extemporali. Verumenimvero tot hominum caedem et in multo demersum sanguine trophaeum spectanti mihi, nullum voluptatis sensum gesta res attulit. Huius autem calamitatis causa in miseros Antiochenos refundenda est: qui Persis oppugnatoribus propellendis impares, cum iisdem iam victoribus ac primo impetu potitis urbe, decreverunt contendere, ultro in mortem ruentes malesana audacia. Qua irritati nobiles Persae permoleste instabant, ut civitatem indagine cingerem, captosque addicerem internecioni. Ego vero fugientes, ut quamprimum incolumes evaderent, ad celerandum gradum incitabam; cum nefas esse ducerem captis crudeliter insultare. **Ea Chosroes prodigioso mendacio dolorem fingens, fracta voce legatis dixit; quos non latebat cur fugiendi spatium Romanis dedisset.**

Ille et vana loqui, et celare verum, suaque crimina in eos, quos inique oppresserat, transferre mortalium omnium callebat. Nihil non prompte prolixeque pollicebatur, et iuramento faciebat promissi fidem: at rursus idem pacta conventa, iurataque nudiustertius, multo promptius

ἐς λήθην ἀφῖχθαι, καὶ χρημάτων μὲν ἕνεκεν ἐπὶ πᾶν ἄγος καθεῖναι τὴν ψυχὴν ἄοκνος, τῷ δὲ προσώπῳ σχηματίζεσθαι τὴν εὐλάβειαν ἀτεχνῶς ἔμπειρος, ἀφοσιοῦσθαί τε τῷ λόγῳ τὴν πρᾶξιν. ὃς καὶ Σουρηνούς, πρότερον οὐδὲν τὸ παράπαν ἠδικηκότας, δόλῳ τε περιελθὼν καὶ τρόπῳ ἀπολέσας τῷ εἰρημένῳ, ἐπειδὴ γυναῖκα κοσμίαν τε καὶ οὐκ ἀφανῆ ἁλισκομένης τῆς πόλεως εἶδεν ἐκ C χειρὸς μὲν τῆς ἀριστερᾶς πρός του τῶν βαρβάρων ἑλκομένην ξὺν πολλῇ βίᾳ, παιδίον δέ, ὅπερ αὐτῇ ἄρτι τοῦ τιτθοῦ ἀπαλλαγέν, ἀφεῖναι μὲν οὐ βουλομένην, ἕλκουσαν δὲ θατέρᾳ χειρὶ ἐμπεπτωκὸς ἐς τὸ ἔδαφος, ἐπεί οἱ ξυντρέχειν οὐχ οἷόν τε ἦν τοῦτον δὴ τὸν βίαιον δρόμον, τὸν οἰκεῖον κἀνταῦθα ἐνδέδεικται τρόπον. φασὶ γὰρ αὐτὸν στενάξαντα δῆθεν τῷ λόγῳ, δόκησίν τε ὡς εἴη δεδακρυμένος παρεχόμενον τοῖς τότε παροῦσιν ἄλλοις τε καὶ Ἀναστασίῳ τῷ πρεσβευτῇ εὔξασθαι τὸν θεὸν τίσασθαι τὸν τῶν γεγονότων κακῶν αἴτιον. Ἰουστινιανὸν δὲ τὸν Ῥωμαίων αὐτοκράτορα παραδηλοῦν ἤθελεν, ἐξεπιστάμενος ὅτι δὴ αὐτὸς αἰτιώτατος ἁπάντων εἴη. τοσαύτῃ χρώμενος φύσεως ἀτοπίᾳ Χοσρόης D βασιλεύς τε Περσῶν γέγονε (Ζάμου τὸν ὀφθαλμὸν τοῦ δαιμονίου πηρώσαντος, ὅσπερ τῷ χρόνῳ τὰ πρωτεῖα ἐς τὴν βασιλείαν ἐφέρετο μετά γε τὸν Καόσην, ὅνπερ οὐδενὶ λόγῳ ἐμίσει Καβάδης) καὶ πόνῳ οὐδενὶ τῶν οἱ ἐπαναστάντων ἐκράτησε, κακά τε Ῥωμαίους ὅσα ἐβούλευσεν εὐπετῶς ἔδρασε. βουλομένη γάρ τινα μέγαν ἀεὶ ποιεῖν ἡ τύχη πράσσει τοῖς καθήκουσι χρόνοις τὰ δό-

2. ἄοκνος A. ἀόκνως P.

obliterabat. Pecuniae causa animum facile proiiciebat in quodvis piaculi genus; cum tamen vultum larva religionis indueret, ac facinus lingua scientissime detestaretur. Surenis, a quibus nulla affectus iniuria fuerat, perfide circumscriptis, et male, ut supra narratum est, perditis, ubi modestam neque obscuro loco natam matronam vidit, urbe capta, violenter sinistra trahi a quodam barbaro, dum ipsa puellum ab ubere recentem nolens dimittere, humi lapsum extentumque altera manu traheret, quoniam aequis passibus tam rapidum sequi cursum minime poterat; ingenium hic suum ostendit. Etenim verba gemitibus, utique fictis, interscindens, et cum aliis multis, qui aderant, tum Anastasio legato speciem praebens illacrimantis, Deum ultorem fertur precatus auctori malorum eiusmodi. Iustinianum Rom. Imperatorem designabat; quamvis probe sciret omnium causam in se maxime residere. Adeo perversa indole praeditus Chosroes Persarum regnum obtinuit; cum Zamem fors mala orbasset oculo, alioquin aetatis praerogativa ad regiam dignitatem venturum post Caosem, quem Cabades immeritissimo oderat. Nullo etiam labore rebelles perdomuit, nec mali quidquam meditatus est in Romanos, quod non intulerit ipsis facile. Nimirum quoties vult Fortuna quempiam ad summa evehere, statuto idoneoque tempore perficit cogita-

ξαντα, οὐδενὸς τῇ ῥύμῃ τῆς βουλήσεως ἀντιστατοῦντος, οὔτε
τὸ τοῦ ἀνδρὸς διασκοπουμένη ἀξίωμα οὔτε ὅπως μὴ γένηταί τι τῶν
P 110 οὐ δεόντων λογιζομένη, οὐδὲ ὅτι βλασφημήσουσιν ἐς αὐτὴν διὰ
ταῦτα πολλοὶ τὸ γεγονὸς αὐτῇ παρὰ τὴν ἀξίαν τοῦ τῆς χάριτος
τετυχηκότος χλευάζοντες οὐδὲ ἄλλο τῶν πάντων οὐδὲν ἐν νῷ
ποιουμένη, ἢν τὸ δόξαν αὐτῇ περαίνοιτο μόνον. ἀλλὰ ταῦτα
μὲν ὅπῃ τῷ θεῷ φίλον ἐχέτω.

V 297 Χοσρόης δὲ τὸ μὲν στράτευμα τῶν Ἀντιοχέων τοὺς περιόν-
τας ζωγρεῖν καὶ ἀνδραποδίζειν ἐκέλευε καὶ τὰ χρήματα πάντα ληΐ-
ζεσθαι, αὐτὸς δὲ ξὺν τοῖς πρέσβεσιν ἐς τὸ ἱερὸν ἀπὸ τῆς ἄκρας
κατέβαινεν, ὅπερ ἐκκλησίαν καλοῦσιν. ἐνταῦθα κειμήλια χρυ-
B σοῦ τε καὶ ἀργύρου τοσαῦτα τὸ πλῆθος ὁ Χοσρόης εὗρεν ὥστε
τῆς λείας οὐδὲν ὅτι μὴ τὰ κειμήλια ταῦτα λαβὼν πλούτου τι μέ-
γεθος περιβεβλημένος ἀπιὼν ᾤχετο. καὶ μάρμαρά τε πολλὰ καὶ
θαυμαστὰ ἐνθένδε ἀφελὼν ἔξω τοῦ περιβόλου ἐκέλευε κατατίθε-
σθαι, ὅπως καὶ ταῦτα ἐς τὰ Περσῶν ἤθη κομίσωνται. ταῦτα
διαπεπραγμένος ξύμπασαν τὴν πόλιν ἐμπρῆσαι Πέρσαις ἐπέ-
στελλε. καὶ αὐτοῦ οἱ πρέσβεις ἐδέοντο τῆς ἐκκλησίας ἀπέχεσθαι
μόνης, ἧς τὰ λύτρα κεκομισμένος διαρκῶς εἴη. ὁ δὲ τοῦτο τοῖς
πρέσβεσι συγκεχωρηκὼς τἄλλα καίειν ἐκέλευε πάντα, ὀλίγους τέ
τινας αὐτόθι ἀπολιπὼν τοὺς τὴν πόλιν ἐμπρήσοντας αὐτὸς ξὺν
τοῖς ἄλλοις ἅπασιν ἐς τὸ στρατόπεδον ἀπεχώρησεν, οὗ καὶ πρό-
τερον διεσκηνημένοι ἐτύγχανον.

16. κομίσωνται L. κομίσονται P. 19. „κεκομισμένος Reg." Malt. κομισάμενος P.

ta: nullum obicem patiente voluntatis illius vi: non attendit hominis meritum: non laborat ne quid fiat absurdius: non curat maledicta, quibus ipsam plerique figent, ridentes collatam erga indignum gratiam: denique nullius rei rationem habet, dummodo propositum assequatur. Verum haec deo permittamus.

Porro edixit exercitui Chosroes, ut Antiochenos, quicunque supererant, servarent vivos, et in servitutem redigerent: eorum etiam fortunas omnes ad praedam proposuit. Tum ex arce in templum quod vocant ecclesiam, cum legatis descendit: ubi aureae argenteaeque supellectilis vim tantam nactus est, ut quamvis praeter illam nihil aliud sibi legerit e manubiis; magno tamen opere ditatus exierit. Plurima quoque marmora exquisitissima inde deripi, extraque urbem reponi iussit, in Persidem avehenda. His peractis, totius civitatis incendium Persis imperat. Quamquam rogantibus legatis, ut uni admodum ecclesiae parceret, pro cuius redemptione sat magnum pretium iam accepisset, annuit: caetera flammis addixit; ac relictis in urbe incendiariis, cum caeteris Persis omnibus in castra, ubi prius tetenderant, se recepit.

ι'. Τούτου τοῦ πάθους χρόνῳ τινὶ πρότερον τέρας ὁ θεὸς C ἐνδειξάμενος τοῖς ταύτῃ ᾠκημένοις ἐσήμηνε τὰ ἐσόμενα. τῶν γὰρ στρατιωτῶν, οἵπερ ἐνταῦθα ἐκ παλαιοῦ ἵδρυντο, τὰ σημεῖα πρότερον ἑστῶτα πρὸς δύοντά που τὸν ἥλιον, ἀπὸ ταὐτομάτου στραφέντα πρὸς ἀνίσχοντα ἥλιον ἔστησαν, ἐς τάξιν τε αὖθις ἐπανῆκον τὴν προτέραν οὐδενὸς ἁψαμένου. ταῦτα οἱ στρατιῶται ἄλλοις τε πολλοῖς ἄγχιστά που παροῦσι καὶ τῷ χορηγῷ τῆς τοῦ στρατοπέδου δαπάνης ἔδειξαν, ἔτι τῶν σημείων κραδαινομένων. ἦν δὲ οὗτος ἀνήρ, Τατιανὸς ὄνομα, ξυνετὸς μάλιστα, ἐκ Μό- H 61 ψου ἑστίας ὁρμώμενος. ἀλλ' οὐδ' ὣς ἔγνωσαν οἱ τὸ τέρας τοῦτο ἰδόντες ὡς δὴ ἐκ βασιλέως τοῦ ἑσπερίου ἐπὶ τὸν ἑῷον τὸ τοῦ χωρίου ἀφίξεται κράτος, ὅπως δηλαδὴ διαφυγεῖν μηδεμιᾷ μηχανῇ δύνωνται οὗσπερ ἔδει ταῦτα, ἅπερ ξυνηνέχθη, παθεῖν. ἐγὼ δὲ ἰλιγγιῶ πάθος τοσοῦτο γράφων τε καὶ παραπέμπων ἐς μνήμην τῷ μέλλοντι χρόνῳ, καὶ οὐκ ἔχω εἰδέναι τί ποτε ἄρα βουλομένῳ τῷ P 111 θεῷ εἴη πράγματα μὲν ἀνδρὸς ἢ χωρίου του ἐς ὕψος ἐπαίρειν, αὖθις δὲ ῥίπτειν τε αὐτὰ καὶ ἀφανίζειν ἐξ οὐδεμιᾶς ἡμῖν φαινομένης αἰτίας. αὐτῷ γὰρ οὐ θέμις εἰπεῖν μὴ οὐχὶ ἅπαντα κατὰ λόγον ἀεὶ γίγνεσθαι, ὃς δὴ καὶ Ἀντιόχειαν τότε ὑπέστη ἐς τὸ ἔδαφος πρὸς ἀνδρὸς ἀνοσιωτάτου καταφερομένην ἰδεῖν, ἧς τό τε κάλλος καὶ τὸ ἐς ἅπαντα μεγαλοπρεπὲς οὐδὲ νῦν ἀποκρύπτεσθαι παντάπασιν ἔσχεν. ἡ μὲν οὖν ἐκκλησία καθαιρεθείσης τῆς πόλεως ἐλείφθη μόνη, πόνῳ τε καὶ προνοίᾳ Περσῶν, οἷς τὸ ἔργον ἐπέκειτο τοῦτο. ἐλείφθησαν δὲ καὶ ἀμφὶ τὸ λεγόμενον κεραταῖον B

10. Istius calamitatis signum aliquanto ante dederat Deus, et loci incolas praemonuerat hoc ostento. Fixa ad occasum spectabant signa militaria praesidii veteris, cum repente ad ortum se ipsa verterunt steteruntque: ac rursus tangente nemine ad pristinum situm redierunt. Quod milites tum multis aliis astantibus, tum Tatiano Mopsuesteno, Quaestori castrensi et singulari prudentia viro, ostenderunt, tremiscentibus adhuc signis. At nec sic quidem vel ipsi huius portenti testes possessionem urbis ab Occidentis Imperatore ad Orientis Regem transituram intellexerunt; ut illi videlicet, quos ea mala, quae postea contigerunt, manebant, effugere minime possent. Ego vero in tanta describenda calamitate et posteritatis memoriae transmittenda, quadam veluti vertigine corripior, nec videre queo quid sibi velit Deus, cum vel hominis vel urbis cuiuspiam res nunc ad caelum extollit; nunc solo affligit et abolet nullam ob causam compertam nobis. Compertam aio. Absit enim procul impium verbum, non omnia semper ab eo cum causa fieri. Tunc certe Antiochiam, cuius decus et absoluta magnificentia etiamnum latere omnino nequeunt, a scelestissimo viro dirutam videre sustinuit. Caeterum ex urbis excidio, Persarum, quibus demandatum id fuerat, labore ac providentia, sola Ecclesia superfuit. Quod vero circa Cerataeum domus pluri-

οἰκίαι πολλαί, οὐκ ἐκ προνοίας ἀνθρώπων τινός, ἀλλ' ἐπεὶ ἔκειντό που πρὸς ἐσχάτοις τῆς πόλεως, ἑτέρας αὐταῖς οὐδεμιᾶς τινος οἰκοδομίας ξυναπτομένης, τὸ πῦρ ἐπ' αὐτὰς ἐξικνεῖσθαι οὐδαμῇ ἴσχυσεν. ἐνέπρησάν τε καὶ τὰ ἐκτὸς τοῦ περιβόλου οἱ βάρβαροι, πλὴν τοῦ ἱεροῦ, ὅπερ Ἰουλιανῷ ἀνεῖται ἁγίῳ, καὶ τῶν οἰκιῶν, αἳ δὴ ἀμφὶ τὸ ἱερὸν τοῦτο τυγχάνουσιν οὖσαι. τοὺς γὰρ πρέσβεις ἐνταῦθα καταλῦσαι ξυνέπεσε. τοῦ μέντοι περιβόλου παντάπασιν ἀπέσχοντο Πέρσαι.

C Ὀλίγῳ δὲ ὕστερον ἥκοντες αὖθις παρὰ τὸν Χοσρόην οἱ πρέσβεις ἔλεξαν ὧδε „Εἰ μὴ πρὸς παρόντα σέ, ὦ βασιλεῦ, οἱ λόγοι ἐγίνοντο, οὐκ ἄν ποτε ᾠόμεθα Χοσρόην τὸν Καβάδου ἐς γῆν τὴν Ῥωμαίων ἐν ὅπλοις ἥκειν, ἀτιμάσαντα μὲν τοὺς διομωμοσμένους σοι ἔναγχος ὅρκους, ὃ τῶν ἐν ἀνθρώποις ἁπάντων ὕστατόν τε καὶ ἐχυρώτατον εἶναι δοκεῖ τῆς ἐς ἀλλήλους πίστεώς τε καὶ ἀληθείας ἐνέχυρον, διαλύσαντα δὲ τὰς σπονδάς, ὧν ἡ
V 298 ἐλπὶς ἀπολέλειπται μόνη τοῖς διὰ τὴν ἐν πολέμῳ κακοπραγίαν οὐκ ἐν τῷ ἀσφαλεῖ βιοτεύουσιν. οὐ γὰρ ἄλλο οὐδὲν τὸ τοιοῦτον εἴ-
D ποι τις ἂν εἶναι ἢ τῶν ἀνθρώπων τὴν δίαιταν ἐς τὴν τῶν θηρίων μεταβεβλῆσθαι. ἐν γὰρ τῷ μηδαμῇ σπένδεσθαι τὸ πολεμεῖν ἀπέραντα λελείψεται πάντας, πόλεμος δὲ ὁ πέρας οὐκ ἔχων ἐξοικίζειν τῆς φύσεως τοὺς αὐτῷ χρωμένους ἐς ἀεὶ πέφυκεν. τί δὲ καὶ βουλόμενος πρὸς τὸν σὸν ἀδελφὸν ὀλίγῳ πρότερον γέγραφας ὡς αὐτὸς εἴη τοῦ λελύσθαι τὰς σπονδὰς αἴτιος; ἢ δῆλον ὅτι ὁμο-

3. ἐπ' om. HL. 17. βιοτεύουσιν L. βιωτεύουσιν P.

mae servatae sunt, non hominum cura id factum est; sed commodo earum situ in extrema urbis regione; ubi sic ab aedificiis caeteris avulsae erant, ut ad illas flamma pervadere non potuerit. Incenderunt etiam Barbari quidquid extra muros positum erat, praeterquam templum D. Iuliano sacrum ac circumstructas aedes, propterea quod legati ibi hospitabantur: muris autem Persae nihil nocuerunt.

Haud multo post legati Chosroem iterum convenere, itaque affati sunt. *Nisi te ipsum alloqueremur coram, o Rex, nunquam putaremus Chosroem Cabadis filium armis infensum fines Romanorum ingressum esse, calcata religione nuperi iuramenti, quod summum inter homines sanctissimumque habetur fidei mutuae ac veritatis pignus; ruptaque pace, in qua una spes reliqua eorum est, quorum vitam offensiones belli perturbant. Id vero nihil esse aliud merito quisquam dixerit, quam cultum et victum humanum cum ferino mutare. Sublato enim foedere, mortalibus immortale bellum supererit. Bellum autem, quod finem non capit, eos, a quibus geritur, semper eiicit naturae finibus. Quid sibi vult tua illa ad fratrem tuum recens epistola, qua ipsi causam scissae pacis ascribis? Te sane*

λογῶν κακόν τι καμμέγεθες τὴν τῶν σπονδῶν εἶναι λύσιν. εἰ μὲν οὖν ἐκεῖνος οὐδὲν ἥμαρτεν, οὐ δικαίως τανῦν ἐφ᾽ ἡμᾶς ἥκεις, εἰ δέ τι τοιοῦτον τῷ ἀδελφῷ τῷ σῷ εἰργάσθαι ξυμβαίνει, ἀλλὰ καὶ σοὶ μέχρι τούτου γε καὶ μὴ περαιτέρω διαπεπράχθω τὸ ἔγκλημα, ὅπως αὐτὸς κρείσσων εἶναι δοκῇς. ὁ γὰρ ἐν τοῖς κακοῖς ἐλασσούμενος, οὗτος ἂν ἐν τοῖς ἀμείνοσι νικῴη δικαίως. καίτοι ἡμεῖς ἐξεπιστάμεθα Ἰουστινιανὸν βασιλέα μηδεπώποτε τῆς εἰρήνης ἀπ᾽ ἐναντίας ἐληλυθέναι, καὶ σοῦ δεόμεθα μὴ τοιαῦτα ἐργάσασθαι Ῥωμαίους κακά, ἐξ ὧν Πέρσαις μὲν ὄνησις οὐδεμία ἔσται, σὺ δὲ τοῦτο κερδανεῖς μόνον, ἀνήκεστα ἔργα τοὺς ἄρτι σοι σπεισαμένους οὐ δέον εἰργάσθαι."

Οἱ μὲν οὖν πρέσβεις τοσαῦτα εἶπον. Χοσρόης δὲ ταῦτα P 112
ἀκούσας ἰσχυρίζετο μὲν τὰς σπονδὰς πρὸς Ἰουστινιανοῦ τοῦ βασιλέως λελύσθαι· καὶ τὰς αἰτίας κατέλεγεν ἅσπερ ἐκεῖνος παρέσχετο, τὰς μέν τινας καὶ λόγου ἀξίας, τὰς δὲ φαύλας τε καὶ οὐδενὶ λόγῳ ξυμπεπλασμένας· μάλιστα δὲ αὐτοῦ τὰς ἐπιστολὰς τοῦ πολέμου αἰτιωτάτας ἠξίου δεικνύναι πρός τε Ἀλαμούνδαρον καὶ Οὔννους αὐτῷ γεγραμμένας, καθάπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη. ἄνδρα μέντοι Ῥωμαῖον ἐς τὴν Περσῶν γῆν ἐσβεβληκέναι ἢ πολέμια ἔργα ἐνδείξασθαι οὔτε λέγειν εἶχεν οὔτε δεικνύναι. οἱ μέντοι πρέσβεις πῇ μὲν τὰς αἰτίας οὐκ ἐς Ἰουστι- B
νιανὸν ἀνέφερον, ἀλλ᾽ ἐς τῶν ὑπουργηκότων τινάς, πῇ δὲ ὡς οὐχ οὕτω γεγονότων ἐπελαμβάνοντο τῶν εἰρημένων. τέλος δὲ χρή-

5. δοκῇς] δοκεῖς P. 8. ἀπεναντίας (nam sic P)] ἀπεναντίως L corr. 13. ἰουστινιανοῦ βασιλέως A. Ἰουστινιανὸν βασιλέα P. 19. ἐρρήθη] ἐῤῥέθη P. 21. πὴ — πὴ] πῆ — πῆ P.

fateri demonstrat immane quoddam esse malum pacem dissolvere. Caeterum si ille nihil peccavit, iam iniuria nos invadis. Sin aliquid in te tuus commisit frater: huc usque, nec longius procedant querelae tuae, ut eo superior videaris. Nam iure palmam in bonis referet, qui concedit in malis. Quanquam nobis exploratum est Iustinianum Aug. numquam contra pacem venisse. Tu vero, quod te oramus, noli Romanos iis damnis afficere, unde nullus in Persas fructus, et lucrum in te hoc unum redundat, ut recenti foedere tibi iunctis gravissima detrimenta, contra quam fas est, afferas.

Haec legati: quibus auditis Chosroes pacem ab Imp. Iustiniano violatam asseveravit, et praebitas belli causas recensuit: quarum nonnullae momenti alicuius erant, aliae futiles inanissimeque confictae. In primis placuit praecipuum belli fontem, nimirum literas, proferre, quas, ut supra monui, ad Alamundarum Hunnosque scripserat Iustinianus: at neminem Romanorum, qui in Persidem incurrisset vel edidisset hostilia, nec nominare potuit, nec producere. Quas causas legati partim a Iustiniano in quosdam rei administros publicae conferebant, partim falsi argue-

ματα μὲν οἱ πολλὰ ὁ Χοσρόης ἠξίου διδόναι Ῥωμαίους, παρῄνει δὲ μὴ τὰ χρήματα ἐν τῷ παραυτίκα μόνον παρεχομένους τὴν εἰρήνην ἐθέλειν ἐς τὸν πάντα αἰῶνα κρατύνασθαι. τὴν γὰρ ἐπὶ H 62 *χρήμασι γινομένην ἀνθρώποις φιλίαν ἀναλισκομένοις ἐκ τοῦ ἐπὶ πλεῖστον ξυνδαπανᾶσθαι τοῖς χρήμασι. δεῖν τοίνυν Ῥωμαίους τακτόν τι φέρειν ἐπέτειον Πέρσαις. „Οὕτω γὰρ αὐτοῖς“ ἔφη „τὴν* C *εἰρήνην Πέρσαι βέβαιον ἕξουσι, τάς τε Κασπίας αὐτοὶ φυλάσσοντες πύλας καὶ οὐκέτι αὐτοῖς ἀχθόμενοι διὰ πόλιν Δάρας, ὑπὲρ ὧν ἔμμισθοι καὶ αὐτοὶ ἐς ἀεὶ ἔσονται.“ „Οὐκοῦν“ οἱ πρέσβεις ἔφασαν „ὑποτελεῖς Πέρσαι βούλονται Ῥωμαίους ἐς φόρου ἀπαγωγὴν ἔχειν.“ „Οὔ, ἀλλὰ στρατιώτας οἰκείους“ εἶπεν „ἕξουσι τὸ λοιπὸν Πέρσας Ῥωμαῖοι, μισθὸν τῆς ὑπουργίας αὐτοῖς χορηγοῦντες ῥητόν· ἐπεὶ καὶ Οὔννων τισὶ καὶ Σαρακηνοῖς ἐπέτειον χορηγεῖτε χρυσόν, οὐ φόρου αὐτοῖς ὑποτελεῖς ὄντες, ἀλλ' ὅπως ἀδῄωτον γῆν τὴν ὑμετέραν φυλάξωσιν ἐς τὸν πάντα αἰῶνα.“ τοιαῦτα Χοσ-* D *ρόης τε καὶ οἱ πρέσβεις πολλὰ πρὸς ἀλλήλους διαλεχθέντες ξυνέβησαν ὕστερον ἐφ' ᾧ Χοσρόην ἐν μὲν τῷ παραυτίκα κεντηνάρια πεντήκοντα πρὸς Ῥωμαίων λαβόντα, πέντε δὲ ἄλλων φερομένων ἐπέτειον ἐς τὸν πάντα αἰῶνα δασμὸν, μηδὲν αὐτοὺς ἐργάσασθαι περαιτέρω κακὸν, ἀλλ' αὐτὸν μὲν ὁμήρους ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ παρὰ τῶν πρέσβεων κεκομισμένον τὴν ἀποπορείαν παντὶ τῷ στρατῷ ἐς τὰ πάτρια ἤδη ποιήσασθαι, ἐνταῦθα δὲ πρέσβεις παρὰ βασιλέως Ἰουστινιανοῦ στελλομένους τὰς ἀμφὶ τῇ εἰρήνῃ ξυνθήκας ἐν βεβαίῳ τὸ λοιπὸν θέσθαι.*

11. οὖ A. οὐκ P.

bant. Demum Chosroes grandem a Romanis pecuniam petiit, illosque admonuit ne apud se statuerent semel penso in praesens auro aeternam pacem sancire: iunctas enim pecunia amicitias plerumque, dum illa sumptu hauritur, cum ea pariter minui atque absumi: itaque oportere Romanos certum quotannis auri modum pensitare. *Hoc namque pacto*, aiebat, *Persae cum Romanis pacem habebunt stabilem: Portas Caspias custodient, et succensere desinent ob conditam urbem Daram, quando pro his perpetuam mercedem accipient.* Legati contra: *Ergo Persae Romanos vectigales habere volunt.* Tum Chosroes, *Minime vero*, inquit: *sed proprii Romanorum milites erunt Persae in posterum, statam navatae operae mercedem ferentes, quandoquidem vel Hunnis quibusdam et Saracenis annuam summam erogatis, non quod eorum sitis stipendiarii, verum ut fines vestros ab hostili populatione innoxios usque custodiant.* His ultro citroque inter Chosroem et legatos disputatis, tandem convenit, ut Chosroes in praesentia quinque millia auri pondo, ac singulis annis quingenta a Romanis acciperet, neque ipsis noceret amplius; sed postquam legati dedissent promissi obsides, cum universo exercitu remigraret in patriam, ibique pacis conventa sancirent legati, quos Iustinianus Aug. destinasset.

ιαʹ. Τότε ὁ Χοσρόης ἐς Σελεύκειαν, πόλιν ἐπιθαλασσίαν, [P 113] Ἀντιοχείας τριάκοντα καὶ ἑκατὸν σταδίοις διέχουσαν διῆλθεν, [V 299] ἐνταῦθά τε Ῥωμαίων οὐδένα οὔτε εὑρὼν οὔτε λυμηνάμενος ἀπελούσατο μὲν ἔν τε τῆς θαλάσσης τῷ ὕδατι μόνος, θύσας τε τῷ ἡλίῳ καὶ οἷστισιν ἄλλοις ἐβούλετο, πολλά τε ἐπιθειάσας, ὀπίσω ἀπήλαυνεν. ἔς τε τὸ στρατόπεδον ἀφικόμενος ἐπιθυμίαν οἱ ἔφασκέ τινα εἶναι τὴν Ἀπαμέων πόλιν ἐν γειτόνων οὖσαν οὐκ ἄλλου του ἕνεκα ἢ ἱστορίας θεάσασθαι. ξυνεχώρουν τε οὐχ ἑκούσιοι [B] καὶ τοῦτο οἱ πρέσβεις, ἐφ᾿ ᾧ μέντοι αὐτὸν θεασάμενόν τε τὴν πόλιν καὶ ἀργύρου χιλίας κομισάμενον ἐνθένδε λίτρας οὐδέν τε ἄλλο λυμηνάμενον ἀπελαύνειν ὀπίσω. ἔνδηλος δὲ ἦν ὁ Χοσρόης τοῖς τε πρέσβεσι καὶ πᾶσι τοῖς ἄλλοις ὅτι δὴ ἐς τὴν Ἀπάμειαν τοῦδε ἕνεκα στέλλοιτο μόνον, ὅπως δή τινος σκήψεως οὐκ ἀξιολόγου λαβόμενος αὐτήν τε καὶ τὴν ἐκείνῃ χώραν ληίσηται. τότε μὲν οὖν ἐς Δάφνην ἀνέβη, τὸ Ἀντιοχείας προάστειον. ἔνθα δὴ τό τε ἄλσος ἐν θαύματι μεγάλῳ ἐποιήσατο καὶ τὰς τῶν ὑδά- [C] των πηγάς· ἄμφω γὰρ ἀξιοθέατα ἐπιεικῶς ἐστι. καὶ θύσας ταῖς νύμφαις ἀπιὼν ᾤχετο, ἄλλο μὲν οὐδὲν λυμηνάμενος, τοῦ δὲ ἀρχαγγέλου Μιχαὴλ τὸ ἱερὸν καύσας ξὺν ἑτέραις τισὶν οἰκίαις ἐξ αἰτίας τοιᾶσδε. Πέρσης ἀνὴρ ἵππῳ ὀχούμενος, ἔν τε τῷ Περσῶν στρατῷ δόκιμος καὶ Χοσρόῃ βασιλεῖ γνώριμος, ἐς χῶρον κρημνώδη, ἀμφὶ τὸν λεγόμενον τρητὸν, ἦλθε ξὺν ἑτέροις τισὶν, οὗ δὴ τοῦ ἀρχαγγέλου Μιχαὴλ νεώς ἐστιν, Εὐάριδος ἔρ-

2. διῆλθεν] ἀφίκετο Suidas s. v. διέχουσαν. 7. ἐν γειτόνων Pm. ἐκ γειτόνων P. 10. „ἀργύρου Reg.“ Malt. ἀργυρίου P.

11. Tunc divertit Chosroes Seleuciam: quae urbs maritima est, ac stadiis cxxx. Antiochia distat. Nullum ibi Romanum nactus, proinde neminem laesit: solus in mari lavit, et Solem ac deos alios, quoscunque voluit, sacrificiis veneratus, eosdemque precatus plurima, ad castra rediit. Hic velle se dixit Apameam urbem vicinam eo solum animo petere, ut illam viseret. Quod gravate eaque lege concesserunt legati, ut inspecta urbe, et acceptis mille argenti libris, rediret innoxius. Id vero legatis caeterisque perspectum erat, eo solum consilio proficisci Chosroem Apameam, ut praetextu levissimo, quicunque se offerret, arrepto, urbem diriperet, ac circumiectam regionem vastaret. Tum igitur Daphnen, quod est Antiochiae suburbium, ascendit: ubi res duas spectatu dignissimas, lucem scilicet ac fontes demiratus est, et postquam sacrificavit Nymphis, discessit, sarta et tecta relinquens omnia, praeter aedem Michaëlis archangeli ac domos aliquot, quas hanc ob causam incendit. Persa quidam eques, vir in exercitu clarissimus, adeoque ipsi Chosroi familiaris, cum aliis nonnullis praeruptum in locum venit, vicinum Treto, ut vocant; ubi templum est Michaelis archangeli, opus Eua-

HAVERFIELD LIBRARY
OF ANCIENT HISTORY
OXFORD

D γον. οὗτος ἀνὴρ τῶν τινα Ἀντιοχέων νεανίαν πεζόν τε καὶ μό-
νον κρυπτόμενον ἐνταῦθα ἰδὼν ἐδίωκε τῶν ἑτέρων χωρίς. ἦν δὲ
κρεοπώλης ὁ νεανίας, Ἀείμαχος ὄνομα. ὃς ἐπειδὴ καταλαμβά-
νεσθαι ἔμελλεν, ἐπιστραφεὶς ἐκ τοῦ αἰφνιδίου λίθῳ τὸν διώκοντα
βάλλει, ἐπιτυγχάνει τε τοῦ μετώπου ἐς τὴν παρὰ τὸ οὖς μήνιγγα.
καὶ ὁ μὲν ἐς τὸ ἔδαφος εὐθὺς ἔπεσεν, ὁ δὲ αὐτοῦ τὸν ἀκινάκην
σπασάμενος κτείνει τὸν ἄνδρα, σκυλεύσας τε αὐτοῦ κατ' ἐξου-
σίαν τά τε ὅπλα καὶ τὸν χρυσὸν ἅπαντα καὶ εἴ τι ἄλλο ἐτύγχανεν
ἀμπεχόμενος, ἐπί τε τὸν ἵππον ἀναθορὼν, πρόσω ἤλαυνεν. εἴτε
δὲ τύχῃ εἴτε χωρίων ἐμπειρίᾳ χρησάμενος, λαθεῖν τε τοὺς πολε-
P 114 μίους καὶ διαφυγεῖν παντελῶς ἴσχυσε. ταῦτα ὁ Χοσρόης μαθὼν
καὶ τοῖς ξυμπεσοῦσι περιαλγήσας τῶν οἱ ἑπομένων τινὰς καῦσαι
τὸν τοῦ ἀρχαγγέλου νεὼν, οὗ πρόσθεν ἐμνήσθην, ἐκέλευεν. οἱ
δὲ τοῦτον ἐκεῖνον εἶναι ἡγούμενοι, ξὺν ταῖς ἀμφ' αὐτὸν οἰκοδο-
μίαις ἐνέπρησαν, ἐπιτελεῖς τε πεποιῆσθαι τὰς Χοσρόου ἐντολὰς
ᾤοντο. ταῦτα μὲν δὴ οὕτως ἔσχε.

Χοσρόης δὲ παντὶ τῷ στρατῷ τὴν ἐπὶ Ἀπάμειαν ᾔει. ἔστι
δὲ ξύλον πηχυαῖον ἐν Ἀπαμείᾳ τοῦ σταυροῦ μέρος, ἐν ᾧ τὸν
Χριστὸν ἐν Ἱεροσολύμοις ποτὲ τὴν κόλασιν οὔτι ἀκούσιον ὑπο-
στῆναι ὡμολόγηται, κατὰ δὴ τὸν παλαιὸν χρόνον ἐνταῦθα πρὸς
B Σύρου ἀνδρὸς κομισθὲν λάθρα. καὶ αὐτὸ οἱ πάλαι ἄνθρωποι

2. „ἰδεὼν Reg.“ Malt. εὑρὼν P. adspiciens RV. 8. κρεοπώλης] Vulgo κρεωπώλης. 20. „ὡμολόγηται Reg.“ Malt. ὁμολογεῖται P.

ridis. Hic ille cum adolescentem Antiochenum offendisset peditem et latitantem solum, se abstraxit a sociis, ut terga dantem insequeretur. Lanius erat adolescens, eique nomen Aimacho: qui ut se iamiam teneri sensit, repente conversus, instantem percutit lapide, et fronti plagam adigit ad membranam usque cerebri iuxta aurem: mox humi stratum suo ipsum acinace conficit, nemineque interpellante armis, auro, vestibus spoliat: tum in equum insilit, quo provectus, sive fortuna, sive locorum peritia id consecutus est, ut lateret hostes atque incolumis elaberetur. Quae ubi Chosroes didicit, casum hunc aegerrime ferens, quibusdam e stipatoribus suis iniunxit, ut archangeli templum, cuius ante memini, igni corrumperent. Illi templum hoc, de quo Chosroi sermo, Daphnicum esse arbitrantes, illud cum structis in ambitu aedibus incenderunt, seque mandatis Chosrois perfunctos putarunt. Haec ita se habuere.

At Chosroes cum omnibus copiis Apameam contendit. Ea in urbe lignum cubitale visitur, segmentum illius crucis, in qua Christum Hierosolymis supplicium volentem ac lubentem subiisse publica confessione constat. Id Syrus quidam olim huc furtim detulit, ac cives prisci, cum fir-

φυλακτήριον μέγα σφίσι τε αὐτοῖς καὶ τῇ πόλει πιστεύοντες ἔσεσθαι θήκην αὐτοῦ ξυλίνην τινὰ πεποιημένοι κατέθεντο, ἣν δὴ H 63 χρυσῷ τε πολλῷ καὶ λίθοις ἐντίμοις ἐκόσμησαν, καὶ τρισὶ μὲν ἱερεῦσι παρέδοσαν, ἐφ᾽ ᾧ ξὺν πάσῃ ἀσφαλείᾳ φυλάξουσιν, ἐξάγοντες δὲ ἀνὰ πᾶν ἔτος πανδημεὶ ἐν ἡμέρᾳ προσκυνοῦσι μιᾷ. τότε οὖν ὁ τῶν Ἀπαμέων λεὼς, ἐπειδὴ τὸν Μήδων στρατὸν ἐπὶ σφᾶς ἐπύθοντο ἰέναι, ἐν δέει μεγάλῳ ἐγένοντο. Χοσρόην δὲ ἀκούοντες ὡς ἥκιστα ἀληθίζεσθαι καὶ παρὰ Θωμᾶν τὸν τῆς V 300 πόλεως ἀρχιερέα γενόμενοι ἐδέοντο τὸ τοῦ σταυροῦ ξύλον ἐπιδεῖξαι σφίσιν, ὅπως αὐτὸ ὕστατα προσκυνήσαντες τελευτήσωσιν. ὁ δὲ κατὰ ταῦτα ἐποίει. τότε δὴ θέαμα ξυνηνέχθη λόγου τε καὶ πίστεως κρεῖττον ἐνταῦθα γενέσθαι. τὸ μὲν γὰρ ξύλον ὁ ἱερεὺς C φέρων ἐδείκνυεν, ὕπερθεν δὲ αὐτοῦ σέλας πυρὸς ἐπεφέρετο καὶ τὸ κατ᾽ αὐτὸν τῆς ὀροφῆς μέρος φωτὶ πολλῷ ὑπὲρ τὸ εἰωθὸς κατελάμπετο. βαδίζοντός τε τοῦ ἱερέως πανταχῆ τοῦ νεὼ συμπροῄει τὸ σέλας, φυλάσσον ἀεὶ τὴν ὑπὲρ αὐτοῦ τῆς ὀροφῆς χώραν. ὁ μὲν οὖν τῶν Ἀπαμέων δῆμος ὑπὸ τῆς τοῦ θαύματος ἡδονῆς ἐθαμβεῖτό τε καὶ ἐγεγήθει καὶ ἔκλαιεν, ἤδη τε ἅπαντες ὑπὲρ τῆς σωτηρίας τὸ θαρσεῖν εἶχον. ὁ δὲ Θωμᾶς, ἐπειδὴ περιῆλθε τὸν νεὼν ἅπαντα, καταθέμενος ἐν τῇ θήκῃ τὸ τοῦ σταυροῦ ξύλον ἐκάλυψε, καὶ τὸ σέλας ἐκ τοῦ αἰφνιδίου ἐπέπαυτο. D μαθὼν δὲ τὸν τῶν πολεμίων στρατὸν ἄγχιστά που τῆς πόλεως ἥκειν, σπουδῇ πολλῇ παρὰ τὸν Χοσρόην ἀφίκετο. καὶ ὃς ἀνεπυνθάνετο τοῦ ἱερέως εἰ βουλομένοις τοῖς Ἀπαμεῦσιν εἴη ἀπὸ τοῦ περιβόλου ἀντιτάξασθαι τῷ Μήδων στρατῷ. ἀπεκρίνατο Θωμᾶς

unum sibi atque urbi praesidium fore persuasissimum haberent, in theca lignea auro multo gemmisque exornata repositum, ternis sacerdotibus quam tutissime asservandum tradidere. Certo quotannis die, eductum theca universus populus adorat. Iam vero Apamenses, ubi ad se venire Medorum exercitum audierunt, eo perterriti nuntio et fama perfidiae Chosrois, Thomam civitatis antistitem convenerunt, obsecrarantque ut crucis lignum exhiberet; quo ultimum adorato, aequiori animo morerentur. Illo postulatum implente, spectaculum ortum est, quod et orationem et fidem excedit. Lignum praeferenti monstrantique Praesuli imminebat igneum iubar, et camerae pars, cui suberat, insuetae lucis splendore magno emicabat. Simul autem cum Pontifice templum obeunte fulgor procedebat, in testudine locum obtinens, qui illi respondebat ad perpendiculum. Voluptate, quam hoc miraculum pariebat, defixus hiansque populus Apamensis prae gaudio flebat, iamque omnes certam capiebant salutis spem. Templo obito, thecae lignum reddidit Thomas atque obtexit, mox et iubar evanuit. Cum ei nuntiatum esset hostilem exercitum urbi appropinquare, magna celeritate prodivit obviam Chosroi: cui interroganti, decretumne esset Apamensibus Medorum exercitui e

οὐδὲν τοῖς ἀνθρώποις τοιοῦτο ἐς ἔννοιαν ἥκειν. „Οὐκοῦν“ ἔφη ὁ Χοσρόης „δέξασθέ με τῇ πόλει ξὺν ὀλίγοις τισὶ πάσαις ἀναπεπταμέναις ταῖς πύλαις.“ ὁ ἱερεὺς εἶπεν „Ἐπ᾽ αὐτὸ γὰρ δὴ παρακαλέσων τοῦτο ἀφῖγμαι.“ ὁ μὲν οὖν στρατὸς ἅπας ἐστρατοπεδεύσαντο διεσκηνημένοι πρὸ τοῦ περιβόλου.

Ὁ δὲ Χοσρόης ἄνδρας τῶν ἐν Πέρσαις ἀρίστων διακοσίους
P 115 ἀπολεξάμενος ἐς τὴν πόλιν εἰσήλασεν. ἐπεὶ δὲ γέγονεν εἴσω πυλῶν, ἐπελάθετο ἑκών γε εἶναι τῶν αὐτῷ τε καὶ τοῖς πρέσβεσι ξυγκειμένων, καὶ τὸν ἐπίσκοπον ἐκέλευε δοῦναι οὐ χίλια μόνον ἀργύρου σταθμὰ οὐδὲ τούτων δεκαπλάσια, ἀλλὰ τὰ κειμήλια ὅσα δὴ ἐνταῦθα ἔτυχε κείμενα, χρυσᾶ τε καὶ ἀργυρᾶ ξύμπαντα, μεγάλα ὑπερφυῶς ὄντα. οἶμαι δ᾽ ἂν αὐτὸν καὶ τὴν πόλιν ὅλην ἀνδραποδίσασθαί τε καὶ ληίσασθαι οὐκ ἂν ἀποκνῆσαι, εἰ μή τι θεῖον αὐτὸν ἐκ τοῦ ἐμφανοῦς διεκώλυσεν. οὕτως αὐτὸν ἥ τε φιλοχρηματία ἐξέπλησσε καὶ ἔστρεφεν αὐτοῦ τὴν διάνοιαν ἥ τῆς δόξης ἐπιθυμία. κλέος γάρ οἱ μέγα τοὺς τῶν πόλεων ἀνδραποδισμοὺς ᾤετο εἶναι, οὐδὲν τὸ παράπαν ποιούμενος εἰ σπονδάς τε καὶ ξυνθήκας ἠλογηκὼς τὰ τοιαῦτα ἐς τοὺς Ῥωμαίους ἐργάζεται.
B ταύτην τε Χοσρόου δηλώσει τὴν γνώμην ἅ τε ἀμφὶ πόλιν Δάρας ἐν ταύτῃ δὴ ἐνεχείρησε τῇ ἀποπορείᾳ, ἐν πάσῃ ἀλογίᾳ ποιησάμενος τὰ ξυγκείμενα, καὶ ἃ Καλλινικησίους ὀλίγῳ ὕστερον ἐν

5. „πρὸ Reg.“ Malt. πρὸς P. 10. ἀργύρου L. ἀργυρίου P. 12. ὅλην om. L. 15. ἔστρεφεν] ἔστρεψεν L. 20. ἐν] ἣν ἐν P ex coniectura Maltreti. *ibid.* ἐνεχείρησεν HmP. ἐνεχείρησαν HL. *ibid.* ἀποπορείᾳ Hoeschelius in annot. et P. ἀπορίᾳ L. ἀρίᾳ H.

muro repugnare? nihil tale civibus in mentem venisse respondit. *Ergo me*, inquit Chosroes, *cum exigua meorum manu in urbem portis omnibus passis accipite.* Tum Antistes, *Et ad hoc ipsum*, ait, *venio te invitatum.* Igitur fixis ad moenia tentoriis castrametatus est universus exercitus.

Sibi Chosroes ducentos viros Persarum bellicosissimos cum delegisset, in urbem introiit. Statim ut ingressus est, voluntaria oblivione pactionem contrivit, quam cum legatis fecerat, et ab Episcopo non modo libras argenti mille ac plus decuplo, sed quidquid etiam auri argentique facti in sacro thesauro, sane amplo, asservabatur, exegit: nec dubitasset, ut equidem sentio, civitatem integram captivitate afficere et expilare, nisi illum aperte divina manus tenuisset: adeo pecuniae gloriaeque cupiditas perculerat eius mentem, et a sua sede ac statu dimoverat. Etenim urbibus servitute iniuncta magnam parari sibi celebritatem nominis existimabat, nihil pensi habens pacem conventaque violare, dum talia in Romanos patraret. Hoc ingenium Chosrois manifestius etiam prodent tum ea quae ad urbem Daram (siquidem hanc in reditu nulla pactorum habita ratione tentavit) tum quae paulo post in Callinicenos

σπονδαῖς ἔδρασεν, ἅπερ μοι ἐν τοῖς ὄπισθε λελέξεται λόγοις. ἀλλ' ὁ θεός, ὥσπερ εἴρηται, Ἀπάμειαν διεσώσατο. ἐπεὶ δὲ τὰ κειμήλια ὁ Χοσρόης ξύμπαντα εἷλε καὶ αὐτὸν μεθύοντα ἤδη τῇ τῶν χρημάτων ἀφθονίᾳ ὁ Θωμᾶς εἶδε, τὸ τοῦ σταυροῦ ξύλον ξὺν τῇ θήκῃ ἐξενεγκὼν ἀνέῳγέ τε τὴν θήκην καὶ τὸ ξύλον ἐνδεικνύμενος „Ὦ κράτιστε βασιλεῦ" ἔφη „ταῦτά μοι ἀπολέλειπται μόνα ἐκ πάντων χρημάτων. θήκην μὲν οὖν τήνδε (χρυσῷ τε γὰρ κεκαλλώπισται καὶ λίθοις ἐντίμοις) φθόνος οὐδεὶς λαβόντα σε ξὺν τοῖς ἄλλοις ἅπασιν ἔχειν, τουτὶ δὲ τὸ ξύλον σωτήριόν τε ἡμῖν καὶ τίμιόν ἐστι, τοῦτο, ἱκετεύω σε καὶ δέομαι, δός μοι." C
ὁ μὲν ἱερεὺς τοσαῦτα εἶπε. ξυνεχώρει δὲ ὁ Χοσρόης καὶ τὴν δέησιν ἐπιτελῆ ἐποίει.

Μετὰ δὲ φιλοτιμίᾳ πολλῇ χρώμενος τόν τε δῆμον ἐς τὸ ἱπποδρόμιον ἀναβαίνειν ἐκέλευε καὶ τοὺς ἡνιόχους ἀγωνίζεσθαι τὰ εἰωθότα σφίσιν. οὗ δὴ καὶ αὐτὸς ἀναβὰς θεατὴς γενέσθαι τῶν ποιουμένων ἐν σπουδῇ ἐποιεῖτο. ἐπεὶ δὲ ἠκηκόει πολλῷ πρότερον Ἰουστινιανὸν βασιλέα χρώματος τοῦ Βενέτου, ὃ δὴ κυάνεόν ἐστιν, ἐκτόπως ἐρᾶν, ἀπ' ἐναντίας αὐτῷ κἀνταῦθα ἰέναι βουλόμενος ἤθελε τῷ πρασίνῳ τὴν νίκην ἁρμόσαι. οἱ μὲν οὖν ἡνίοχοι ἀπὸ βαλβίδων ἀρξάμενοι ἔργου εἴχοντο, τύχῃ δέ τις τῷ τὰ Βένετα ἐνδιδυσκομένῳ ἐγένετο παρελάσαντι ἐπίπροσθεν ἰέναι. εἵπετο δὲ αὐτῷ κατὰ τὰς αὐτὰς ἁματροχιὰς ὁ τὸ πράσινον ἀμπεχόμενος H 64
χρῶμα. ὅπερ ἐξεπίτηδες ὁ Χοσρόης γεγονέναι οἰόμενος ἠγανά- D

11. ὁ Χοσρόης] ὁ om. HL. 17. κυάνεον LPm. κυάναιον P.
22. ἁματροχιὰς] Vulgo ἅμα τροχιάς.

tempore induciarum admisit. Sed de his postea. Certe Deus, ut dictum est, Apameam servavit. Postea vero quam Chosroes thesaurum sacrum expilavit, ipsumque ingenti auri vi ebrium Thomas animadvertit, crucis lignum cum theca proferens, eam aperuit, et lignum ostendens, *Hae mihi tantum*, inquit, *Rex optime, modo opes supersunt. Quod ad thecam illam attinet, quando auro gemmisque ornata est, cum caeteris accipe; non invideo: istud vero lignum salutare nobis ac pretiosum est: id, quod te oro supplex, da mihi.* Sic locuto antistiti Chosroes annuit, ac ratam fecit petitionem.

Post amore popularis aurae incensus, populum in Circum ascendere et aurigas consueta certamina edere iubet. Eodem ipse ascendit, spectandi cupidus quae ibi fierent. Et quoniam Iustinianum Aug. colori Veneto, qui caeruleus est, incredibili studio favere didicerat, quo illi hic quoque adversaretur, victoriam prasino deferre constituit. Igitur coeptum a carceribus cursum agebant aurigae, cum forte praetervectus Venetus praeiit. Sequebatur prasinus impressam ab illo orbitam insistens. Quod ex composito fieri putans Chosroes, stomachatur, et minitabundus

κτει τε καὶ ξὺν ἀπειλῇ ἀνεβόα τὸν Καίσαρα προτερῆσαι τῶν ἄλ-
V 301 λων οὐ δέον, ἐκέλευέ τε τοὺς προτέρους ἰόντας ἵππους ἐπέχεσθαι,
ὅπως τὸ λοιπὸν κατόπισθεν γενόμενοι ἀγωνίζωνται· ἅπερ ἐπειδὴ
οὕτως ἐπέπρακτο ὥσπερ ἐκεῖνος ἐκέλευε, νικᾶν οὕτως ὅ τε Χοσ-
ρόης καὶ μέρος τὸ πράσινον ἔδοξεν. ἐνταῦθα τῶν τις Ἀπαμέων
P 116 Χοσρόῃ ἐς ὄψιν ἥκων ᾐτιᾶτο Πέρσην ἄνδρα ἐς τὴν οἰκίαν τὴν
αὐτοῦ ἀναβάντα τὴν παῖδα οὖσαν παρθένον βιάζεσθαι. ὁ δὲ
ταῦτα ἀκούσας καὶ τῷ θυμῷ ζέων ἄγεσθαι τὸν ἄνδρα ἐκέλευε.
καὶ ἐπεὶ παρῆν ἤδη, ἀνασκολοπισθῆναι αὐτὸν ἐν τῷ στρατοπέδῳ
ἐπέστελλε. γνοὺς δὲ ὁ δῆμος παντὶ σθένει ἀνέκραγον ἐξαίσιον
οἷον πρὸς τῆς τοῦ βασιλέως ὀργῆς τὸν ἄνθρωπον ἐξαιτούμενοι.
Χοσρόης δὲ ὡμολόγησε μὲν αὐτοῖς τὸν ἄνδρα ἀφήσειν, λάθρα δὲ
ἀνεσκολόπισεν οὐ πολλῷ ὕστερον. ταῦτα μὲν οὖν τῇδε διαπε-
πραγμένος παντὶ τῷ στρατῷ ὀπίσω ἀπήλαυνεν.

B ιβ'. Ἐπεὶ δὲ ἐς Χαλκίδα πόλιν ἀφίκετο, Βεροίας πόλεως
τέτρασι καὶ ὀγδοήκοντα σταδίοις διέχουσαν, αὖθις ἐς λήθην τι-
νὰ τῶν ξυγκειμένων ἦλθε, στρατοπεδευσάμενός τε τοῦ περιβόλου
οὐ μακρὰν ἄποθεν ἔπεμψε Παῦλον, ἀπειλήσοντα Χαλκιδεῦσι
πολιορκίᾳ τὴν πόλιν αἱρήσειν, εἰ μὴ τήν τε σωτηρίαν ὤνιον κτή-
σονται τὰ λύτρα διδόντες καὶ τοὺς στρατιώτας, ὅσους ἐνταῦθα
C ξυμβαίνει εἶναι, ξὺν τῷ ἡγεμόνι ἐκδοῖεν σφίσι. Χαλκιδεῖς δὲ ἐς
δέος μέγα πρὸς ἑκατέρου βασιλέως ἐμπεπτωκότες στρατιώτας μὲν

5. „ἔδοξεν Reg." Malt. ἔδοξαν P. 6. ἄνδρα] ἀδρία (sic) L. φθορέα Lm. 18. ἀπειλήσοντα Pm. ἀπειλήσαντα B. 19. εἰ μὴ — διδόντες] Suidas s. v. ὠνίους.

clamat primas concedi Caesari non oportere: tum praecurrentibus impe-rat equos sustineant, ut deinde a tergo relicti certent. Mos illi gestus: atque ita victoria Chosroi et factioni prasinae cessisse visa est. Ibi Chosrois vultum subiit civis Apamensis, ac de Persa quodam expostulavit, quod suam ingressus domum filiae suae virgini vim attulisset. Quo audito, ira ardens, ad se hominem rapi, adductumque suspendi in castris iubet. Re populus cognita, quam maximum potest clamorem tollit, et ab irato Rege sontem deprecatur. Promisit is quidem se illi facturum gratiam; eundem tamen haud multo post clam in crucem egit. His peractis in ea urbe, cum toto exercitu retro viam convertit.

12. Postquam urbem Chalcidem, Beroea stadiis LXXXIV. dissitam, attigit, denuo pactorum immemor castris non procul a muro positis, Paulum misit, ac per eum Chalcidensibus minatus est, obsessurum se urbem et expugnaturum, nisi aurum pro salute sua rependerent, et quidquid haberent militum, cum Duce traderent. Chalcidenses sibi hinc a Rege,

ἀπώμοσαν ὡς ἥκιστα ἐπιδημεῖν σφίσι, καίπερ ἄλλους τε καὶ Ἀδόναχον τὸν τῶν στρατιωτῶν ἄρχοντα κρύψαντες ἐν οἰκίσκοις τισὶν, ὅπως μὴ τοῖς πολεμίοις ἔνδηλοι ὦσι· χρυσοῦ δὲ κεντηνάρια δύο συλλέξαντες μόλις, ἐπεὶ πόλιν οὐ λίαν εὐδαίμονα ᾤκουν, τῷ τε Χοσρόῃ ζωάγρια δόντες τήν τε πόλιν καὶ σφᾶς αὐτοὺς διεσώσαντο. ἐνθένδε οὐκέτι ὁ Χοσρόης ἐβούλετο τὴν ἀποπορείαν ᾗπερ ἐληλύθει ποιήσασθαι, ἀλλ' Εὐφράτην τε ποταμὸν διαβῆναι καὶ χρήματα ὅτι πλεῖστα ἐκ Μεσοποταμίας ληΐζεσθαι. γέφυραν D
οὖν ζεύξας ἀμφὶ Ὀββάνης τὸ χωρίον, ὅπερ τοῦ ἐν Βαρβαλισσῷ φρουρίου τεσσαράκοντα σταδίους ἀπέχει, αὐτός τε διέβη καὶ παντὶ τῷ στρατῷ ὡς τάχιστα διαβαίνειν ἐπέστελλεν, ὑπειπὼν μὲν τὴν γέφυραν τρίτῃ ἡμέρᾳ λύσεσθαι, τάξας δὲ καὶ τὸν τῆς ἡμέρας καιρόν. καὶ ἐπεὶ παρῆν ἡ κυρία, τινὰς μὲν τοῦ στρατοῦ ἀπολελεῖφθαι μή πω διαβάντας ξυνέβαινεν, ὁ δὲ οὐδ' ὁτιοῦν ὑπολογισάμενος ἔπεμψε τοὺς τὴν γέφυραν διαλύσοντας. οἵ τε ἀπολειπόμενοι, ὡς ἕκαστός πῃ ἐδύνατο, εἰς τὰ πάτρια ἤδη ἀνέ- P 117
βαινον· τότε δὴ φιλοτιμία τις Χοσρόην ἐσῆλθε πόλιν Ἔδεσσαν ἐξελεῖν. ἐνῆγε γὰρ αὐτὸν ἐς τοῦτο Χριστιανῶν λόγος καὶ ἔδακνεν αὐτοῦ τὴν διάνοιαν, ὅτι δὴ ἀνάλωτον αὐτὴν ἰσχυρίζοντο εἶναι ἐξ αἰτίας τοιᾶσδε.

5. ζωάγρια] ζώγρια Suidas s. h. v. 6. ἐνθένδε] Vulgo ἐνθένδεν. ibid. ἐβούλετο] ἐβουλεύετο Suidas s. v. ἀποπορεία. 7. ποιήσασθαι L cum Suida. Vulgo ποιήσεσθαι. 9. Ὀββάνης] ὀβάνης L. 10. τεσσαράκοντα L. μ' P. 12. δὲ καὶ] καὶ om. L. 14. διαβάντας] διαβάτας L. 16. ἀπολειπόμενοι L. ἀπολιπόμενοι P. ibid. πῃ] ποι L. 17. Ἔδεσσαν Pm et Suidas s. v. ἐνῆγεν. Ἔδεσαν P.

Inde ab Imperatore timentes plurimum, iurato affirmant milites apud se nullos esse: quamquam erant, quos cum Adonacho Duce ne ab hoste deprehenderentur, in cellulas quasdam abdiderant. Demum auri pondo cc. vix, ut in urbe tenui, collectis, datoque Chosroi redemptionis pretio, se ac suam civitatem servarunt. Hinc noluit eadem Chosroes reverti via, qua venerat: sed placuit Euphratem traiicere, ut pecuniam quantam maximam posset e Mesopotamia corraderet. Itaque ponte fluvium iunxit ad Obbanen, qui locus stadiis XL. a Barbalissi castello distat. Transmissus Chosroes, copiis omnibus ut transitum maturarent edixit, denuntians se die tertio, cuius et horam praefiniit, pontem disturbaturum. Ubi adfuit dictus dies, milites, qui nondum transiissent, nonnulli forte supererant: ille nihilosecius misit, qui pontem revellerent. Hi residui, qua quisque potuit, patriam repetierunt. Tunc expugnandae Edessae cogitationem iniecit amor gloriae Chosroi. Ad hoc enim illum incitabat, urebatque ipsius animum vulgatus Christianorum sermo, inexpugnabilem esse eam urbem iactantium hac de causa.

Αὔγαρος ἦν τις ἐν τοῖς ἄνω χρόνοις Ἐδέσσης τοπάρχης
(οὕτω γὰρ τοὺς κατὰ ἔθνος βασιλεῖς τηνικαῦτα ἐκάλουν). ὁ δὲ
Αὔγαρος οὗτος ξυνετώτατος ἐγεγόνει τῶν κατ' αὐτὸν ἀνθρώπων
ἁπάντων, καὶ ἀπ' αὐτοῦ βασιλεῖ Αὐγούστῳ ἐς τὰ μάλιστα φί-
λος. ἔνσπονδος γὰρ Ῥωμαίοις εἶναι βουλόμενος ἐς Ῥώμην τε
ἀφίκετο, καὶ τῷ Αὐγούστῳ ἐς λόγους ἥκων οὕτω δὴ αὐτὸν τῆς
ξυνέσεως τῷ περιόντι ἐξέπληξεν ὥστε οὐκέτι αὐτοῦ μεθίεσθαι
B *Αὔγουστος τῆς ξυνουσίας ἐβούλετο, ἀλλ' ἦν τε αὐτοῦ τῆς ὁμι-*
λίας εὐθὺς διάπυρος ἐραστὴς καί, ἐπειδὰν ἐντύχοι, ἀπαλλάσ-
σεσθαι αὐτοῦ οὐδαμῆ ἤθελε. χρόνος οὖν αὐτῷ ἐν ταύτῃ δὴ συ-
χνὸς τῇ ἀποδημίᾳ ἐτρίβη. καί ποτε ἐς ἤθη πάτρια ἐθέλων ἰέναι
πείθειν τε τὸν Αὔγουστον μεθεῖναι αὐτὸν ὡς ἥκιστα ἔχων, ἐπε-
νόει τάδε. ἐστάλη μὲν ὡς κυνηγετήσων ἐς τὰ ἐπὶ Ῥώμης χωρία·
V 302 *μελέτην γὰρ περὶ ταῦτα κατεσπουδασμένην τινὰ ἐτύγχανεν ἔχων.*
περιιὼν δὲ χώραν πολλὴν συχνὰ τῶν ἐκείνῃ θηρίων ζῶντα ἐθήρα,
καὶ χοῦν ἐκ τῆς γῆς ξυναμησάμενος ἔφερεν ἐκ χώρας ἑκάστης·
οὕτω τε ἐπανῆκεν εἰς Ῥώμην, τόν τε χοῦν καὶ τὰ θηρία ἔχων.
C *ὁ μὲν οὖν Αὔγουστος ἐς τὸν ἱππόδρομον ἀναβὰς ἐκάθητο ᾗπερ*
εἰώθει, Αὔγαρος δέ οἱ ἐς ὄψιν ἥκων τήν τε γῆν καὶ τὰ θηρία
ἐπέδειξε, καταλέγων ἐκ ποίας ποτὲ χώρας ἥ τε γῆ ἑκάστη καὶ
τῶν θηρίων τίνα ποτὲ εἴη. ἔπειτα τὴν μὲν γῆν ἄλλην ἄλλῃ τοῦ
H 65 *ἱπποδρομίου ἐκέλευε θέσθαι, πάντα δὲ ἐς ταὐτὸ τὰ θηρία ξυνα-*

1. *Αὔγαρος*] Eusebius H. E. 1, 13. Hoeschel. *ibid.* Ἐδέσσης] Ἐδέσης P hic et infra constanter. Recte duplici sigma apud Eusebium. 10. ἐν om. L. 15. περιιὼν] περιὼν L.

Fuit olim Edessae toparcha (sic illis temporibus singularum gentium regulos appellabant) Augarus quidam, vir inter homines aetatis suae prudentissimus, ideoque in primis clarus Augusto Imperatori. Etenim Romam profectus est, icendi foederis gratia cum Romanis: ubi illum ad colloquium Augustus admisit, eximiam viri sapientiam adeo miratus est, ut statim cum eo familiarius agere vehementer cupierit, neque ipsum sit passus a quotidiano secum usu abduci. Certe abeundi veniam petenti abnuit: quo factum est, ut is a patria tunc abfuerit diutissime. Quam aliquando cum ardentius cogitaret, nec dimissionem ab Augusto impetrare posset, hanc artem excogitavit. In suburbanum agrum egressus ad venationem, in qua se peculiari studio exercuerat, magnum tractum obiit, ac vivas ibi cepit complures feras, unaque e singulis locis, in quibus agebant, effodit humum; quam cum feris deferens, Romam rediit. Ingressus autem Circum Augustus in suo consedit solio: tum in conspectum veniens Augarus, terram illi ac feras ostendit, et cuius quaeque terra agri, cuius quaeque fera naturae esset explicuit. Terram deinde aliam alibi disponi in Circo, et feras unum in locum

γαγόντας εἶτα ἀφεῖναι. οἱ μὲν οὖν ὑπηρέται κατὰ ταῦτα ἐποίουν. τὰ δὲ θηρία χωρὶς ἀλλήλων γενόμενα ἐς ἐκείνην ἐχώρει τὴν γῆν, ᾗ δὴ ἐκ τῆς χώρας ὅθεν εἴληπτο ἐτύγχανεν οὖσα. καὶ ὁ μὲν αὐτὸς ἐπὶ πλεῖστον τὰ ποιούμενα ἐς τὸ ἀκριβὲς ἔβλεπε, καὶ ἐθαύμαζέ γε ὅτι δὴ τοῖς ζῴοις ἡ φύσις ἀδίδακτος οὖσα ποθεινὴν ποιεῖται τὴν πάτριον γῆν. Αὔγαρος δὲ αὐτοῦ τῶν γονάτων ἐκ τοῦ αἰφνιδίου λαβόμενος „Ἐμὲ δὲ“ εἶπε „τίνα ποτὲ γνώμην ἔχειν, D *ὦ δέσποτα, οἴει, ᾧ γυνή τέ ἐστι καὶ παιδία καὶ βασιλεία βραχεῖα μὲν, ἀλλ' ἐν γῇ τῇ πατρῴᾳ;“ καὶ ὃς τῷ ἀληθεῖ τοῦ λόγου ἡσσηθείς τε καὶ βιασθεὶς ἀπιέναι τε ξυνεχώρει οὔτι ἑκούσιος καὶ προσαιτεῖσθαι ἐκέλευεν ὅτου ἂν δέηται. ἐπεὶ δὲ τούτου Αὔγαρος ἔτυχεν, Αὐγούστου ἐδεῖτο ἱπποδρόμιόν οἱ δείμασθαι ἐν πόλει Ἐδέσσῃ. ὁ δὲ ξυνεχώρει καὶ τοῦτο. οὕτω μὲν ἐκ Ῥώμης ἀπαλλαγεὶς Αὔγαρος ἐς Ἔδεσσαν ἦλθε. καὶ αὐτοῦ οἱ πολῖται ἀνεπυνθάνοντο εἴ τι φέρων ἀγαθὸν σφίσιν ἐκ βασιλέως Αὐγούστου ἥκοι. ὁ δὲ ἀποκρινάμενος Ἐδεσσηνοῖς ἐνεγκεῖν ἔφη λύπην τε ἀζήμιον καὶ χαρὰν ἀκερδῆ· τὴν τοῦ ἱπποδρομίου παραδηλῶν τύχην.*

Χρόνῳ δὲ ὕστερον πόρρω που ἡλικίας Αὔγαρος ἥκων νόσῳ P 118 *ποδάγρας χαλεπῆς τινος ὑπερφυῶς ἥλω. ταῖς γοῦν ὀδύναις ἀχθόμενος καὶ τῇ ἐνθένδε ἀκινησίᾳ ἐπὶ τοὺς ἰατροὺς τὸ πρᾶγμα ἦγεν. ἐκ πάσης τε γῆς ξυνέλεγε τοὺς περὶ ταῦτα σοφοὺς ἅπαντας. ὧν δὴ ὕστερον (οὐ γάρ οἱ ἄκεσίν τινα τοῦ κακοῦ ἐξευρεῖν ἴσχυον) ἀπέστη τε καὶ ἐς ἀμηχανίαν ἐμπεσὼν τύχας τὰς παρούσας ὠδύ-*

5. *γε* om. L. 19. *ποδάγρας*] *ποδάγρης* L.

coactas dimitti iubet. Parent famuli: mox aliae alio ferae discedere, et singulae adire terram, quae ex eodem, quo ipsae, agro delata fuerat. Rem diu ac diligenter contemplatus Augustus, demirabatur quod natura nullis praeceptis imbuta, amore soli natalis imbueret animantes. Illico Augarus genua ipsius prensans, *Me vero*, inquit, *domine*, *qua mente esse existimas? cui et uxor est, et liberi, et regnum, parvum id quidem, sed in patrio solo.* Ille dicti veritate pervictus atque adactus, abeundi potestatem, quamvis invitus, fecit, ac petere iussit quidquid opus haberet. Optati compos Augarus Augustum rogavit, ut sibi Edessae Circum extrueret. Quo etiam impetrato, Roma Edessam venit. Hic cives ex eo quaerere, quid boni ab Augusto Imp. sibi afferret? Quibus ille respondit afferre se *dolorem animi sine damno*, *et gaudium sine lucro*: innuens quae Circi natura esset atque conditio.

Deinde provectum longe aetate Augarum molestissima podagra corripuit: cuius dolores acutos et nusquam movendi se loco necessitatem aegerrime ferens, morbum consilio et curae medicorum permisit, convocatis ad id undique consultissimis quibusque illius artis. Sed iis postmodo, cum nihil remedii invenire possent, renuntiavit: tum nesciens quo

ρετο. ἐπὶ δὲ τὸν χρόνον ἐκεῖνον Ἰησοῦς ὁ τοῦ θεοῦ παῖς ἐν σώματι ὢν τοῖς ἐν Παλαιστίνῃ ἀνθρώποις ὡμίλει. τῷ τε μηδὲν τὸ παράπαν ἁμαρτεῖν πώποτε, ἀλλὰ καὶ τὰ ἀμήχανα ἐξεργάζεσθαι διαφανῶς ἐνδεικνύμενος ὅτι δὴ τοῦ θεοῦ παῖς ὡς ἀληθῶς εἴη· B (νεκρούς τε γὰρ καλῶν ἐξανίστη ὥσπερ ἐξ ὕπνου καὶ πηροῖς τοὺς ὀφθαλμοὺς οὕτω τεχθεῖσιν ἀνέῳγε, σώματός τε ὅλου λεύκας ἐκάθηρε καὶ ποδῶν πήρωσιν ἔλυσε, καὶ ὅσα ἄλλα ἰατροῖς πάθη ἀνίατα ὠνομασμένα ἐστί) ταῦτα ἀπαγγελλόντων Αὔγαρος τῶν ἐκ Παλαιστίνης ἐς τὴν Ἔδεσσαν ἐπιχωριαζόντων ἀκούσας ἐθάρσησέ τε καὶ γράμματα πρὸς τὸν Ἰησοῦν γράψας ἐδεῖτο αὐτοῦ ἀπαλλάσσεσθαι μὲν τῆς Ἰουδαίας καὶ τῶν ἐνταῦθα ἀγνωμόνων ἀνθρώπων, αὐτῷ δὲ τὸ λοιπὸν ξυμβιοτεύειν. ἐπεὶ ταῦτα ὁ Χριστὸς ἀπενεχθέντα εἶδεν, ἀντέγραψε πρὸς τὸν Αὔγαρον, ὡς μὲν οὐκ ἀφίξεται ἄντικρυς ἀπονεύων, τὴν δὲ ὑγίειαν τῷ γράμματι ὑποσχόμενος. φασὶ δὲ καὶ τοῦτο αὐτὸν ἐπειπεῖν, ὡς οὐδὲ ἡ πό- C λις ποτὲ βαρβάροις ἁλώσιμος ἔσται. τοῦτο τῆς ἐπιστολῆς τὸ ἀκροτελεύτιον οἱ μὲν ἐκείνου τοῦ χρόνου τὴν ἱστορίαν ξυγγράψαντες οὐδαμῇ ἔγνωσαν· οὐ γὰρ οὖν οὐδέ πη αὐτοῦ ἐπεμνήσθησαν· Ἐδεσσηνοὶ δὲ αὐτὸ ξὺν τῇ ἐπιστολῇ εὑρέσθαι φασίν, ὥστε ἀμέλει καὶ ἀνάγραπτον οὕτω τὴν ἐπιστολὴν ἀντ᾽ ἄλλου του φυλακτηρίου ἐν ταῖς τῆς πόλεως πεποίηνται πύλαις. γέγονε μὲν οὖν ὑπὸ Μήδοις χρόνῳ τινὶ ὕστερον, οὐχ ἁλοῦσα μέντοι, ἀλλὰ τρό-

14. ἀπονεύων] ἀπολεύων AL. ἀπολέγων Lm. 17. ἀκροτελεύτιον] ἀκρότατον A. γράφεται ἀκροτελεύτιον Am. „ἀκρότατον Reg." MALT. Ἀκροτελεύτιον haud dubie Thucydidis exemplo dixit II, 17. 20. του] τοῦ P.

se verteret, vicem suam lamentabatur. Ea tempestate Iesus Dei filius humano induto corpore cum Palaestinae incolis versabatur, verum se Dei filium cum vita nullius peccati labe contaminata, tum factis, quae mortales vires superabant, manifeste probans. Nam vita functos tanquam e somno voce excitabat: oculos aperiebat caecigenis: a vitiliginibus albis perpurgabat corpora: clauditatem et caetera, quae medici esse dicunt insanabilia, depellebat. Haec ubi Augarus ab iis, qui e Palaestina Edessam commeabant, accepit; confirmavit animum, et per literas Iesum obsecravit, ut a Iudaea atque ingrata natione discederet, ac secum in posterum convivere dignaretur. Postquam literas Christus sibi redditas legit, in eam sententiam rescripsit Augaro, ut plane quidem recusaverit se ad illum conferre, sanitatem vero promiserit. Hoc etiam subiunxisse fama est, urbem semper inexpugnabilem fore Barbaris. Quod postremum epistolae caput eos, qui historiam scripserunt illius temporis, latuit: nusquam enim mentionem eius fecerunt. Id vero literis, quae repertae sunt, contineri Edesseni perhibent: sic sane ut epistolam eo modo exscriptam in portis urbis pro quovis alio munimento posuerint. In Medo-

πῳ τοιῷδε. ἐπειδὴ τὸ γράμμα τοῦ Χριστοῦ Αὔγαρος ἔλαβε, κα-
κῶν μὲν ὀλίγῳ ὕστερον ἀπαθὴς γέγονε, συχνὸν δὲ τῇ ὑγιείᾳ ἐπι-
βιοὺς χρόνον ἐτελεύτησεν· ὅστις δὲ διεδέξατο τὴν βασιλείαν τῶν
αὐτοῦ παίδων, ἀνοσιώτατος γεγονὼς ἁπάντων ἀνθρώπων, ἄλλα D
τε πολλὰ ἐς τοὺς ἀρχομένους ἐξήμαρτε καὶ τὴν ἐκ Ῥωμαίων δε-
διὼς τίσιν προσεχώρησεν ἑκουσίως Πέρσαις. χρόνῳ δὲ πολλῷ
Ἐδεσσηνοὶ ὕστερον ἀνελόντες τῶν βαρβάρων τοὺς σφίσιν ἐνδη-
μοῦντας φρουροὺς ἐνέδοσαν Ῥωμαίοις τὴν πόλιν. * * * * * * * V 303
αὐτῷ προσποιεῖσθαι ἐπιμελές ἐστι, τεκμαιρόμενος οἷς ἐν τοῖς κατ'
ἐμὲ χρόνοις γέγονεν, ἅπερ ἐν τοῖς καθήκουσι λόγοις δηλώσω. καί
μοί ποτε ἔννοια γέγονεν ὡς εἰ μὴ ταῦτα, ἅπερ ἐρρήθη, ὁ Χρι-
στὸς ἔγραψεν, ἀλλ' ὅτι ἐς τοῦτο δόξης ἄνθρωποι ἦλθον, φυλά-
ξαι διὰ τοῦτο ἀνάλωτον ἐθέλει τὴν πόλιν, ὡς μήποτε αὐτοῖς P 119
πλάνης τινὰ σκῆψιν διδοίη. ταῦτα μὲν οὖν ὅπη τῷ θεῷ φίλον,
ταύτῃ ἐχέτω τε καὶ λεγέσθω.

Χοσρόῃ δὲ τότε προὔργου διὰ ταῦτα ἔδοξεν εἶναι Ἔδεσσαν
ἐξελεῖν. καὶ ἐπεὶ ἐς Βάτνην ἀφίκετο, πόλισμα μὲν βραχὺ καὶ
λόγου οὐδενὸς ἄξιον, ἡμέρας δὲ ὁδῷ Ἐδέσσης διέχον, ἐνταῦθα H 66
μὲν τὴν νύκτα ἐκείνην ηὐλίσατο, ὄρθρου δὲ βαθέος παντὶ τῷ
στρατῷ ἐπὶ τὴν Ἔδεσσαν ἤλαυνε. καὶ αὐτοῖς ξυνέβη πλάνῃ
περιπεσοῦσι τῇ ὑστεραίᾳ ἐς τὸν αὐτὸν αὐλίζεσθαι χῶρον, ὅπερ
αὐτοῖς λέγουσι καὶ δὶς ξυμβῆναι. μόλις δὲ ἄγχιστα Ἐδέσσης γε- B

2. ἐπιβιοὺς] ἐπιβιοὺν (sic) A. 11. ἐρρήθη] ἐῤῥέθη P.
12. ἔγραψεν] ἔγραφεν L. 16. προὔργου Pm. προὖργον P.

rum quidem potestatem urbs aliquanto post venit: non quod eam ceperint, sed ita ut dicam. Acceptis a Christo literis Augarus brevi convaluit, ac diu commoda usus valetudine, mortem obiit. E filiis qui successit in regnum, is mortalium omnium sceleratissimus, cum flagitiorum multorum, quae in subditos admiserat, poenam a Romanis metueret, se Persis dedidit. Longo deinde intervallo Edesseni Barbaris, qui apud ipsos praesidium agitabant, sublatis, urbem Romanis tradidere * * * dat operam ut sibi adiungat: id quod ex iis coniicio, quae mea aetate gesta sunt, et a me infra narrabuntur. Ac meum ista animum cogitatio aliquando subiit, a Christo non fuisse scripta quae retuli: quoniam tamen sibi homines persuaserunt urbem in ipsius tutela esse, non pati illum ut ea capiatur, ne quam speciem fraudis et causam erroris praebeat. Verum haec ita se habeant ac dicantur, ut Deo placet.

Ob eam certe famam operae pretium esse Chosroes duxit Edessam expugnare. Qui ubi Batnen pervenit (id parvum et obscurum oppidulum est, ac diei unius iter Edessa distat) noctem ibidem egit. Primo autem diluculo cum universo exercitu Edessam iter intendit: sed errore viarum circumacti posteram noctem eodem in loco duxerunt. Quod bis contigisse, ac tandem Chosroi, cum Edessam vix accessisset, lapso in

νομένῳ Χοσρόῃ ῥεύματός φασιν ἐς τὸ πρόσωπον ἐπιπεσόντος ἐπῆρθαι τὴν γνάθον. διὸ δὴ τῆς μὲν πόλεως ἀποπειρᾶσθαι οὐδαμῇ ἤθελε, Παῦλον δὲ πέμψας χρήματα Ἐδεσσηνοὺς ᾔτει. οἱ δὲ ἀμφὶ τῇ πόλει μὲν δεδιέναι ἥκιστα ἔφασκον, ὅπως δὲ μὴ τοῖς χωρίοις λυμήνηται, ὡμολόγησαν δύο χρυσοῦ κεντηνάρια δώσειν. καὶ ὃς τά τε χρήματα ἔλαβε καὶ διεσώσατο τὰ ξυγκείμενα.

ιγ'. Τότε καὶ γράμματα Χοσρόῃ βασιλεὺς Ἰουστινιανὸς
C ἔγραψεν, ἐπιτελέσειν ὁμολογῶν τά τε αὐτῷ καὶ τοῖς πρέσβεσιν ἀμφὶ τῇ εἰρήνῃ ξυγκείμενα. ἅπερ ἐπεὶ ὁ Χοσρόης ἀπενεχθέντα εἶδε, τούς τε ὁμήρους ἀφῆκε καὶ συνεσκευάζετο ἐς τὴν ἄφοδον, τούς τε Ἀντιοχέων αἰχμαλώτους ἀποδίδοσθαι ἅπαντας ἤθελεν. ὅπερ Ἐδεσσηνοὶ ἐπειδὴ ἔμαθον, προθυμίαν ἐπεδείξαντο ἀκοῆς κρείσσω. οὐ γὰρ ἦν οὐδεὶς ὃς οὐ τὰ λύτρα ἐν τῷ ἱερῷ φέρων
D ὑπὲρ τούτων δὴ τῶν αἰχμαλώτων κατὰ λόγον τῆς οὐσίας κατέθετο. εἰσὶ δὲ οἷς καὶ μᾶλλον ἢ κατὰ λόγον ταῦτα ἐπράσσετο. αἵ τε γὰρ ἑταῖραι τὸν κόσμον ἀφελοῦσαι, ὅσος αὐταῖς ἐν τῷ σώματι ἦν, ἐνταῦθα ἐῤῥίπτουν, καὶ εἴ τῳ γεωργῷ ἐπίπλων ἢ ἀργυρίου σπανίζοντι ὄνος ἢ προβάτιον ἦν, τοῦτο δὴ ἐς τὸ ἱερὸν σπουδῇ πολλῇ ἦγεν. ἀθροίζεται μὲν οὖν χρυσοῦ τε καὶ ἀργύρου καὶ ἄλλων χρημάτων πάμπολυ πλῆθος, δέδοται δὲ ὑπὲρ λύτρων οὐδέν.
P 120 Βούζης γὰρ ἐνταῦθα παρὼν ἔτυχεν, ὃς διακωλῦσαι τὴν πρᾶξιν ὑπέστη, κέρδος οἱ ἔσεσθαι μέγα τι ἐνθένδε καραδοκῶν. διὸ δὴ ὁ Χοσρόης τοὺς αἰχμαλώτους ἅπαντας ἐπαγόμενος πρόσω ἐχώρει.

22. ὑπέστη] ὑπῆγε L.

vultum humore malam intumuisse memorant. Quamobrem omisso oppugnandae urbis consilio, Edessenis pecuniam per Paulum imperare satis habuit. Illi quidem nihil se urbi timere iactabant: sed ne agros vastaret, auri pondo cc. pacti sunt. Quae cum accepisset, conventis stetit.

13. Hoc ipso tempore Iustinianus Aug. Chosroi per literas promisit se conditionibus satisfacturum, quibus ille et legati pacem pepigerant. Oblatam sibi epistolam Chosroes simul ac legit, dimisit obsides, seque ad discessum accinxit. Cum autem captivos omnes Antiochenos venales proposuisset, re Edesseni cognita, benevolentiam illis exhibuerunt inauditam. Etenim nemo erat, quin pretium, quo hi captivi redimerentur, in templum pro re sua conferret: immo vero multi plus quam pro suae fortunae modo erogabant. Siquidem meretriculae quidquid gestabant mundi muliebris exuentes, ibi proiiciebant; ac si cui agricolae curta vel supellex vel pecunia erat, is dum asinum aut oviculam haberet, in templum mira alacritate ducebat. Itaque auri et argenti aliarumque rerum vis ingens collecta est; nihil tamen pro captivis red-mendis impensum. Nam Buzes, qui illic aderat, lucro inhians, qu inde magnum ad se rediturum putabat, pium consilium intervertere n est veritus. Quare Chosroes captivos secum omnes abducens, porro

Καρρηνοὶ δὲ ἀπήντων χρήματα πολλὰ προτεινόμενοι· ὁ δὲ οὐ προσήκειν ἔφασκεν, ὅτι δὴ οἱ πλεῖστοι οὐ Χριστιανοὶ, ἀλλὰ δόξης τῆς παλαιᾶς τυγχάνουσιν ὄντες.

Καὶ μὴν καὶ Κωνσταντινιέων χρήματα διδόντων ἐδέξατο, καίπερ φάσκων οἱ ἐκ πατέρων προσήκειν τὴν πόλιν. ἐπειδὴ γὰρ Καβάδης Ἄμιδαν εἷλεν, Ἔδεσσάν τε καὶ Κωνσταντίναν ἐξελεῖν ἤθελεν. ἀλλ' Ἐδέσσης μὲν ἀγχοῦ γενόμενος τῶν μάγων ἀνεπυνθάνετο B εἴ οἱ ἁλώσιμος ἡ πόλις ἔσται, δείξας τῇ δεξιᾷ χειρὶ τὸ χωρίον αὐτοῖς. οἱ δὲ αὐτῷ τὴν πόλιν ἁλώσεσθαι οὐδεμιᾷ μηχανῇ ἔλεγον, τεκμαιρόμενοι, ὅτι δὴ τὴν δεξιὰν αὐτῇ χεῖρα προτείνας οὐχ ἁλώσεως ταύτῃ οὐδὲ ἄλλου ὁτουοῦν χαλεποῦ ξύμβολον, ἀλλὰ σωτηρίας διδοίη. καὶ ὃς ταῦτα ἀκούσας, ἐπείθετό τε καὶ ἐπῆγεν ἐπὶ Κωνσταντίναν τὸ στράτευμα. ἐνταῦθα δὲ ἀφικόμενος ἐνστρατοπεδεύεσθαι παντὶ τῷ στρατῷ ὡς πολιορκήσων ἐπέστελλεν. ἦν δὲ Κωνσταντίνης ἱερεὺς τότε Βαράδοτος, ἀνὴρ δίκαιός V 804 τε καὶ τῷ θεῷ ἐς τὰ μάλιστα φίλος, καὶ ἀπ' αὐτοῦ ἐνεργοῦσαν C ἐς ὅ τι βούλοιτο ἀεὶ τὴν εὐχὴν ἔχων· οὗ καὶ τὸ πρόσωπον ἰδὼν ἄν τις εὐθὺς εἴκασεν ὅτι δὴ τῷ θεῷ ἐνδελεχέστατα κεχαρισμένος ὁ ἀνὴρ εἴη. οὗτος ὁ Βαράδοτος τηνικαῦτα παρὰ τὸν Καβάδην ἐλθὼν οἶνόν τε ἤνεγκε καὶ ἰσχάδας καὶ μέλι καὶ καθαροὺς ἄρτους, καὶ αὐτοῦ ἐδεῖτο μὴ ἀποπειρᾶσθαι πόλεως, ἣ οὔτε λόγου ἀξία ἐστὶ καὶ πρὸς Ῥωμαίων ἀπημέληται λίαν, οὔτε στρα-

22. οὔτε] οὐδὲ P.

perrexit. Obviam processerunt Carrheni: quibus multam pecuniam offerentibus, tali officio supersedendum dixit; propterea quod illi maximam partem non Christiani erant, sed priscam retinebant persuasionem.

A Constantiniensibus oblatum aurum accepit; tametsi eorum oppidum iure paterno suum esse diceret. Cum enim Amidam cepisset Cabades, Edessam quoque et Constantinam voluit expugnare. At ubi propius Edessam venit, intenta dextra urbem commonstrans, quaesivit ex Magis eane potiri posset? Hi nullo modo captum iri illam asseverarunt, ea nixi coniectura, quod porrecta ad locum dextera non expugnationis aliusve cuiuspiam sinistrae rei, at salutis signum dedisset. His auditis fidem habuit Cabades, et Constantinam versus copias duxit. Quo cum pervenisset, castra omnes ad faciendam obsidionem metari iussit. Erat tum temporis Constantinae Praesul Baradotus, singulari vir sanctimonia, ac Deo dilectissimus: quamobrem eius preces ad omnia, quaecunque vellet, impetranda efficaces admodum erant. Cuius vel ipse vultus statim intuentibus persuadebat virum esse, qui plurimum gratia apud Deum valeret. Is tum Cabadem adiit: vinum, caricas, mel ac panes similagineos attulit, et obtestatus est, ut abstineret urbe, quae nullius esset momenti, et valde a Romanis neglecta, nec militare praesidium, nec munimen-

φρουρὰν ἔχουσα οὔτε ἄλλο τι φυλακτήριον, ἀλλὰ τοὺς ρας μόνους ἀνθρώπους οἰκτρούς. ὁ μὲν ταῦτα εἶπε· Κα- δὲ αὐτῷ τήν τε πόλιν χαριεῖσθαι ὡμολόγησε καὶ ταῖς σι- δωρήσατο αὐτὸν ἅπασιν, ὅσα οἱ τῷ στρατοπέδῳ ἐς τὴν κίαν ἡτοίμαστο, μεγάλοις ὑπερφυῶς οὖσιν· οὕτω τε ἀπηλ- ο ἐκ γῆς τῆς Ῥωμαίων. διὸ δὴ ὁ Χοσρόης ἐκ πατέρων οἱ ιειν ἠξίου τὴν πόλιν.

Ες Δάρας τε ἀφικόμενος ἐς πολιορκίαν καθίστατο. ἔνδο- Ῥωμαῖοι καὶ Μαρτῖνος ὁ στρατηγὸς, καὶ γὰρ ἐνταῦθα ὢν τὰ ἐς ἀντίστασιν ἐξηρτύοντο. δύο δὲ ἡ πόλις τείχεσι πε- ηται, ὧν τὸ μὲν ἐντὸς μέγα τε καὶ ἀξιοθέατον ἀτεχνῶς (ἐς ὕψος γὰρ διήκει πύργος μὲν ἕκαστος ποδῶν ἑκατὸν, τὸ ο τεῖχος ἑξήκοντα), τὸ δὲ ἐκτὸς πολλῷ μὲν ἔλασσον συμ- εἶναι, ὅλλως δὲ ἐχυρόν τε καὶ λόγου πολλοῦ ἄξιόν ἐστι. μεταξὺ χωρίον εὖρος οὐχ ἧσσον ἢ πεντήκοντα ἔχει ποδῶν· ια εἰώθασι Δαρηνοὶ τούς τε βόας καὶ τἄλλα ζῷα πολεμίων ἐγκειμένων ἐμβάλλεσθαι. τὰ μὲν οὖν πρῶτα ὁ Χοσρόης ολὴν ποιησάμενος ἐς τὰ πρὸς ἑσπέραν τοῦ περιβόλου, πλή- βελῶν βιασάμενος τὰς πύλας τείχους τοῦ βραχέος ἐνέπρη- ἐντὸς μέντοι γενέσθαι οὐδεὶς τῶν βαρβάρων ἐτόλμησεν. δὲ κατώρυχα ποιεῖσθαι λάθρα ἐς τὰ πρὸς ἕω τῆς πόλεως ταύτῃ γὰρ μόνον ὀρύσσεσθαι ἡ γῆ οἷα τέ ἐστιν, ἐπεὶ τὰ τοῦ περιβόλου ἐπὶ πέτρας τοῖς δειμαμένοις πεποίηται. οἱ

οὔτε] οὐδὲ P. 21. ἔπειτα] ἐπεὶ L.

odpiam, sed viles tantum ac miseros incolas haberet. Sic locuto, Cabades condonaturum se urbem; et cibaria, quaecunque in ca- l obsidionem comparata fuerant, copiosissima sane, eidem largi- finibus Rom. excessit. Eam ob causam Chosroes urbem iure pa- d se pertinere contendebat.

ɔi Daram pervenit, eam cinxit obsidione, dum intus Romani cum o Duce (hic enim forte aderat) necessaria defensioni expediunt. ıdata est urbs muro duplici. Ac murus quidem interior longe emi- sendus merito: cuiusque enim turris altitudo ad c. pedes; reliqui d LX. evadit. Alter vero, quo ille praetexitur, multo quidem hu- est; at firmissima structura constat, et momenti plurimum habet. ctum spatium non minus L. pedibus patet in latitudinem: eoque Dareni boves aliasque pecudes sub hostium adventum compellere. mum Chosroes facta in moenia, qua Occasum spectant, impressio- deiectis magna sagittarum vi custodibus, portam minoris muri in- : intro tamen ferre pedem Barbarorum nemo est ausus. Deinde ad Orientale urbis latus cuniculum agere: hac enim una in parte ligonem terra: alibi moenia super solida rupe stant. Ergo Per-

γοῦν Πέρσαι ἀπὸ τῆς τάφρου ἀρξάμενοι ὤρυσσον. ἧς δὴ βαθείας κομιδῆ οὔσης οὔτε καθεωρῶντο πρὸς τῶν πολεμίων οὔτε αὐτοῖς B τινα αἴσθησιν τοῦ ποιουμένου παρείχοντο. ἤδη μὲν οὖν ὑπέδυσαν τὰ θεμέλια τοῦ ἐκτὸς τείχους, ἔμελλον δὲ καὶ κατὰ τὴν μεταξὺ χώραν ἑκατέρου περιβόλου γινόμενοι ὀλίγῳ ὕστερον καὶ τὸ μέγα τεῖχος ἀμείψαντες τὴν πόλιν κατὰ κράτος ἑλεῖν, ἀλλ' (οὐ γὰρ αὐτὴν ἔδει Πέρσαις ἁλῶναι) εἷς ἐκ τοῦ Χοσρόου στρατοπέδου ἀμφὶ ἡμέραν μέσην ἄγχιστά πη τοῦ περιβόλου μόνος ἀφίκετο, εἴτε ἄνθρωπος ὢν εἴτε τι ἄλλο ἀνθρώπου κρεῖσσον, δόξαν τε τοῖς ὁρῶσι παρείχετο, ὅτι δὴ τὰ βέλη ξυλλέγοι, ἅπερ ἐκ τοῦ τείχους Ῥωμαῖοι ὀλίγῳ πρότερον ἐπὶ τοὺς ἐνοχλοῦντας βαρβάρους ἀφῆκαν. ταῦτά τε ποιῶν καὶ τὴν ἀσπίδα προβεβλη- C μένος ἐρεσχελεῖν τε τοὺς ἐν ταῖς ἐπάλξεσι καὶ ξὺν γέλωτι τωθάζειν ἐδόκει. εἶτα φράσας αὐτοῖς τὸν πάντα λόγον ἐγρηγορέναι πάντας ἐκέλευε καὶ ὡς ἔνι μάλιστα τῆς σωτηρίας ἐπιμελεῖσθαι. καὶ ὁ μὲν ταῦτα σημήνας ἀπιὼν ᾤχετο, Ῥωμαῖοι δὲ τὰ ἐν μέσῳ τείχους ἑκατέρου θορύβῳ πολλῷ καὶ ταραχῇ ἐκέλευον σκάπτειν. καὶ Πέρσαι μέντοι οὐκ εἰδότες τὰ πρασσόμενα οὐδέν τι ἧσσον ἔργου εἴχοντο. τῶν μὲν οὖν βαρβάρων ὀρθήν τινα ἔνερθεν ποιουμένων ὁδὸν ἐπὶ τὸ τῆς πόλεως τεῖχος, τῶν δὲ Ῥωμαίων Θεοδώρου γνώμῃ, ἐπὶ σοφίᾳ τῇ καλουμένῃ μηχανικῇ λογίου ἀνδρός, ἐγκαρσίαν τε τὴν διώρυχα ἐργαζομένων καὶ βάθους ἱκανῶς ἔχουσαν, ξυνέβη Πέρσας κατὰ μέσον τοῖν περιβόλοιν γεγενημένους ἐκ τοῦ D

2. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 5. ὀλίγῳ] ὀλίγῳ δὲ P. ὀλίγῳ τε L. 12. ἀφῆκαν L. ἀφῆκε H. ἀφῆκασι P. 20. Ῥωμαίων τε P. Delevi τε.

sae ducto operis a fossa initio, humum egerebant, eaque altissime excavata, latebant hostem, et occulta molitione fallebant. Iamque ad exterioris muri fundamenta subierant, ac prope erat ut spatium penetrarent intermurale, mox et ultra murum magnum illapsi, urbem vi caperent. At quoniam id fixum erat, ut illa a Persis non caperetur, quidam e castris Chosrois circa meridiem ad moenia solus accessit, sive is homo, sive quid homine maius fuerit: ac spectantibus visus est tela colligere, quae paulo ante e muro Romani miserant in Barbaros, qui negotium facessebant. Interea scuto protectus eos, qui stabant ad pinnas, ridere et cavillis videbatur incessere. Sed postea Persarum consilium plane enuntiavit, atque omnes hortatus est ut invigilarent, et quoad eius fieri posset saluti providerent: quibus significatis, abiit. Tum fossores intermurali solo adhibiti sunt a Romanis cum tumultu multo ac perturbatione instantibus: Persae inscii nihilo segnius propositum urgebant. Ita dum illinc Persae rectam prorsum ad moenia sub terra viam, hinc Romani transversam et instae altitudinis fossam, Theodori machinarii peritissimi ductu moliuntur, contigit, ut progressi ad murorum interstitium Persae, in Romano-

αἰφνιδίου ἐμπεσεῖν ἐς τὴν Ῥωμαίων κατώρυχα. καὶ αὐτῶν τοὺς μὲν πρώτους Ῥωμαῖοι ἔκτειναν, οἱ δὲ ὄπισθεν φυγόντες κατὰ τάχος ἐς τὸ στρατόπεδον διεσώθησαν. διώκειν γὰρ αὐτοὺς ἐν σκότῳ Ῥωμαῖοι οὐδαμῇ ἔγνωσαν. ταύτης οὖν τῆς πείρας ὁ Χοσρόης ἀποτυχὼν ἑλεῖν τε τὴν πόλιν μηχανῇ τὸ λοιπὸν οὐδεμιᾷ ἐλπίσας τοῖς πολιορκουμένοις ἐς λόγους ἦλθε, χίλιά τε κεκομισμένος ἀργύρου σταθμὰ ἐς τὰ Περσῶν ἤθη ἐχώρει. ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἔμαθεν, οὐκέτι τὰ ξυγκείμενα ἐπιτελῆ ποιήσειν ἤθελεν, ἐπικαλῶν Χοσρόῃ ὅτι δὴ πόλιν Δάρας ἐν σπονδαῖς ἐξελεῖν ἐνεχείρησε. ταῦτα μὲν ἐν τῇ πρώτῃ Χοσρόου ἐσβολῇ Ῥωμαίοις ξυνέβη, καὶ τὸ θέρος μὲν ἐτελεύτα.

P 122 V 305 ιδ'. Ὁ δὲ Χοσρόης πόλιν ἐν Ἀσσυρίοις δειμάμενος ἐν χώρᾳ Κτησιφῶντος πόλεως διέχοντι ἡμέρας ὁδῷ, Ἀντιόχειάν τε τὴν Χοσρόου αὐτὴν ἐπωνόμασε καὶ Ἀντιοχέων τοὺς αἰχμαλώτους ἐνταῦθα ξυνῴκισεν ἅπαντας, οἷς δὴ βαλανεῖόν τε καὶ ἱπποδρόμιον κατεσκεύαζε καὶ ταῖς ἄλλαις τρυφαῖς ἀνεῖσθαι ἐποίει. τούς τε γὰρ ἡνιόχους καὶ τοὺς τῶν μουσικῶν ἔργων τεχνίτας ἔκ τε Ἀντιοχείας καὶ τῶν ἄλλων Ῥωμαϊκῶν πόλεων ξὺν αὐτῷ ἦγεν. ἔτι μέντοι καὶ δημοσίᾳ τοὺς Ἀντιοχέας τούτους ἐπιμελεστέρως ἢ κατὰ
B αἰχμαλώτους ἐσίτιζεν ἐς πάντα τὸν χρόνον, καὶ βασιλικοὺς καλεῖσθαι ἠξίου, ὥστε τῶν ἀρχόντων οὐδενὶ ὑποχειρίους εἶναι ἢ βασιλεῖ μόνῳ. εἰ δέ τις καὶ τῶν ἄλλων Ῥωμαίων δραπέτης γεγονὼς ἐς Ἀντιόχειαν τὴν Χοσρόου διαφυγεῖν ἴσχυσε, καί τις αὐτὸν

12. χώρα HL. χώρῳ P. 18. αὐτῷ] αὐτῷ L. 23. αὐτὸν] αὐτῶν HL. ἴσ. αὐτὸν Hm.

rum foveam improviso deciderint. Caesi statim a Romanis primi: qui sequebantur, quam celerrime ad castra evaserunt incolumes; cum eos Romani in tenebris persequi noluissent. Post conatum hunc irritum, spem omnem Chosroes capiendae urbis abiecit: hinc habito cum obsessis colloquio, et acceptis mille argenti libris, in Persidem remigravit. Factus de his certior Iustinianus Aug. pacta conventa noluit in rem conferre, incusans eo nomine Chosroem, quod post compositam pacem expugnare Daram tentasset. Ea demum Romanis acciderunt in prima Chosrois irruptione: tum aestas exiit.

14. Chosroes autem in quodam Assyriae loco, qui ab urbe Ctesiphonte diei iter unius abest, urbem condidit, ac de nomine suo dictam Chosroantiochiam universa Antiochensium captivorum multitudine frequentavit. Quibus et balneum et Circum extruxit, caeterasque delicias benignissime providit. Nam aurigas et musicos cum Antiochia, tum ex aliis Romanae ditionis civitatibus secum duxerat. Quia etiam de publico Antiochenos istos prolixius, quam captivorum conditio posceret, semper aluit, ac Regios voluit appellari, ita ut potestate Satraparum exempti, uni Regi parerent. Ex aliis vero servis Romanis siquis Chosroantio-

ξυγγενῆ τῶν ταύτῃ ᾠκημένων ἐκάλεσεν, οὐκέτι ἐξῆν τῷ κεκτημένῳ τὸν αἰχμάλωτον τοῦτον ἀπάγειν, οὐδ' ἂν τις τῶν λίαν ἐν Πέρσαις δοκίμων ὁ τὸν ἄνθρωπον ἐξανδραποδίσας τυγχάνοι.

Ἀντιοχεῦσι μέντοι τὸ ξυμβὰν ἐπὶ Ἀναστασίου βασιλεύοντος τέρας ἐς τοῦτο ἀποβὰν ἐτελεύτησε. τότε γὰρ ἀνέμου σκληροῦ Δάφνῃ τῷ προαστείῳ ἐκ τοῦ αἰφνιδίου ἐπιπεσόντος τῶν κυπαρίσ- C σων αἱ ταύτῃ ὑψηλαὶ ἀτεχνῶς ἦσαν ἐκ ῥιζῶν τῶν ἐσχάτων ἀνατραπεῖσαι ἐς τὴν γῆν ἔπεσον, ἅσπερ ὁ νόμος ἐκτέμνεσθαι οὐδαμῇ εἴα. ὀλίγῳ μὲν οὖν ὕστερον, ἡνίκα Ἰουστῖνος Ῥωμαίων ἦρχε, σεισμός τις ἐπιγενόμενος ἐξαίσιος λίαν τήν τε πόλιν κατέσεισε πᾶσαν καὶ τῶν οἰκοδομημάτων τά τε πλεῖστα καὶ κάλλιστα ἐς τὸ ἔδαφος εὐθὺς ἤνεγκε, καὶ λέγονται τότε τριάκοντα μυριάδες Ἀν- H 68 τιοχέων ἀπολωλέναι. ἐν ταύτῃ δὲ τῇ ἁλώσει ξύμπασα ἡ πόλις, ὥσπερ μοι ἐρρήθη, διέφθαρται. τὸ μὲν οὖν Ἀντιοχέων πάθος D τῇδε ἐχώρησε.

Βελισάριος δὲ βασιλεῖ ἐς Βυζάντιον ἐξ Ἰταλίας μετάπεμπτος ἦλθε, καὶ αὐτὸν διαχειμάσαντα ἐν Βυζαντίῳ στρατηγὸν ἐπί τε Χοσρόην καὶ Πέρσας ἅμα ἦρι ἀρχομένῳ βασιλεὺς ἔπεμψεν ἄρχοντάς τε τοὺς ἐξ Ἰταλίας ξὺν αὐτῷ ἥκοντας, ὧν δὴ ἕνα Βαλεριανὸν ἡγεῖσθαι τῶν ἐν Ἀρμενίοις καταλόγων ἐκέλευε. Μαρτῖνος γὰρ ἔτυχεν εὐθὺς εἰς τὴν ἑῴαν σταλείς, καὶ διὰ τοῦτο Χοσρόης P 123 αὐτόν, ὡς προδεδήλωται, ἐς Δάρας εὗρε. τῶν δὲ Γότθων

2. ἂν] ἦν L. 8. ἐς] εἰς L. 10. κατέσεισε L. κατέσεισεν P.
14. ἐρρήθη] ἐῤῥέθη P.

hiam confugeret, atque eum civis aliquis consanguineum suum vocaret, nde iam hero servum illum abducere nefas erat; quamvis cuipiam e Perarum primoribus mancipatus esset.

Hic porro exitus longo consecutus est intervallo portentum illud, uod Anastasii principatu Antiochenis acciderat. Tunc enim vehemens n suburbium Daphnen coortus repente ventus ab radicibus eruit stravitue procerissimas cupressos, quas ne quis excideret prohibitum edicto uerat. Paulo post, cum Iustinus Romanis imperaret, maximo terrae mou conquassata urbe, plurima praeclarissimaque aedificia momento coruerunt, et fama obtinet interiisse tunc temporis Antiochenorum tercenum millia. Iam vero capta civitas funditus, ut a me dictum est, periit. ta demum se habuit Antiochena clades.

Ex Italia revocatus ab Imperatore Belisarius Byzantium venit. Ibi raducta hieme, ineunte vere Augustus illum adversus Chosroem Persasque misit, summo cum imperio belli, una cum Ducibus, qui ipsum secuti uerant ab Italia redeuntem. Ex iis Ducibus unum Valerianum militaribus Armeniae numeris praefecit; quoniam Martinus ipso statim initio belli se in Orientem contulerat: unde factum, quod supra monui, ut Chosroes ipsum Darae offenderit. E Gotthis unus Vittigis Byzantii sub-

Οὐίττιγις μὲν ἐν Βυζαντίῳ ἔμεινεν, οἱ δὲ λοιποὶ ξύμπαντες ἐπὶ
Χοσρόην σὺν Βελισαρίῳ ἐστράτευσαν. τότε τῶν Οὐιττίγιδος
πρέσβεων ἅτερος μὲν, ὅσπερ τοῦ ἐπισκόπου ὀνόματος ἐπεβάτευεν,
ἐν τοῖς Περσῶν ἤθεσι θνήσκει, ὁ δὲ δὴ ἕτερος αὐτοῦ ἔμεινεν.
ὅστις δὲ αὐτοῖς ἑρμηνεὺς εἵπετο, ἀνεχώρησεν ἐς Ῥωμαίων τὴν
γῆν, καὶ αὐτὸν Ἰωάννης, ὃς τῶν ἐν Μεσοποταμίᾳ στρατιωτῶν
ἦρχεν, ἀμφὶ τὰ Κωνσταντίνης ὅρια ξυλλαβὼν ἔς τε τὴν πόλιν
B εἰσαγαγὼν ἐν δεσμωτηρίῳ καθεῖρξεν, ὅσπερ οἱ ἐνταῦθα ἅπαντα
ἀναπυνθανομένῳ τὰ πεπραγμένα ἐξήνεγκε. ταῦτα μὲν οὖν τῇδε
ἐχώρησε. Βελισάριος δὲ ξὺν τοῖς ἑπομένοις κατὰ τάχος ᾔει, προ-
τερῆσαι ἐν σπουδῇ ἔχων, πρίν τινα ὁ Χοσρόης ἐσβολὴν αὖθις
ποιήσεται ἐς Ῥωμαίων τὴν γῆν.

V 306 C ιε'. Ἐν τούτῳ δὲ ὁ Χοσρόης ἐπὶ Κολχίδα τὸν στρατὸν ἦγε,
Λαζῶν αὐτὸν ἐπαγομένων ἐξ αἰτίας τοιᾶσδε. Λαζοὶ τὰ μὲν
πρῶτα γῆν τὴν Κολχίδα ᾤκουν, Ῥωμαίων κατήκοοι ὄντες, οὐ
μέντοι ἐς φόρου ἀπαγωγὴν, οὐδέ τι ἄλλο ἐπαγγέλλουσιν αὐτοῖς
ἐπακούοντες, πλήν γε δὴ ὅτι, ἐπειδὰν αὐτοῖς ὁ βασιλεὺς τελευ-
τήσειε, ξύμβολα τῆς ἀρχῆς τῷ διαδεξομένῳ τὴν βασιλείαν ὁ Ῥω-
μαίων βασιλεὺς ἔπεμπε. τὰ δὲ τῆς χώρας ὅρια ξὺν τοῖς ἀρχομέ-
νοις ἐς τὸ ἀκριβὲς διεφύλασσεν, ὅπως δὴ μὴ Οὖννοι πολέμιοι ἐξ
ὄρους τοῦ Καυκάσου, ὁμόρου σφίσιν ὄντος, διὰ Λαζικῆς πο-
ρευόμενοι ἐσβάλλωσιν ἐς γῆν τὴν Ῥωμαίων. ἐφύλασσον δὲ οὔτε
D αὐτοὶ χρήματα ἢ στρατιὰν πρὸς Ῥωμαίων δεχόμενοι οὔτε Ῥω-

2. Οὐιττίγιδος] ἰουττίγιδος HL: illud Hm. 23. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

stitit: caeteri expeditionem in Chosroem cum Belisario susceperunt. Sub idem tempus oratorum, quos Vittigis legaverat, is qui sibi nomen arrogabat Episcopi, in Perside mortuus est; alter ibidem mansit. Eorum vero interpretem ad Romanos revertentem Ioannes Mesopotamiae Dux ad Constantinae limites cepit, ductumque in urbem tradidit in custodiam. Ubi ille eidem interroganti rerum in legatione gestarum seriem enuntiavit: atque haec ita cesserunt. Belisarius autem cum suis ibat magnis itineribus, antevertere Chosroi maturans, priusquam denuo in fines Rom. irrumperet.

15. Interea Chosroes exercitum in Colchidem duxit, Lazorum impulsu ac suasione, istam ob causam. Principio Lazi Colchidem incolebant, Romanis quidem subditi; immunes tamen, neque aliud exhibentes obsequium, nisi quod Rege mortuo Romanus Imperator principatus insignia designato successori mittebat: qui subditorum armis fines suos, ne e contermino Caucaso Hunni hostes per Lazicam in provincias Romanas erumperent, diligenter custodiebat; idque sine stipendiis, sine auxiliis Romanorum: quorum nec ipsi erant in bellicis expeditionibus socii. Ma-

μαίοις πη ξυστρατεύοντες, ἐπ' ἐμπορίᾳ δὲ τῇ κατὰ θάλασσαν πρὸς Ῥωμαίους ἀεὶ τοὺς ἐν πόντῳ ᾠκημένους ἐργαζόμενοι. αὐτοὶ μὲν γὰρ οὔτε ἅλας οὔτε σῖτον οὔτε ἄλλο τι ἀγαθὸν ἔχουσι, δέρρεις δὲ καὶ βύρσας καὶ ἀνδράποδα παρεχόμενοι τὰ σφίσιν ἐπιτήδεια ἐκομίζοντο. ἐπειδὴ δὲ τὰ ἀμφὶ Γουργένει τῷ Ἰβήρων βασιλεῖ γενέσθαι ξυνέπεσεν, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, στρατιῶται Ῥωμαίων ἐπιχωριάζειν Λαζοῖς ἤρξαντο, οἷς δὴ οἱ βάρβαροι οὗτοι ἤχθοντο, καὶ πάντων μάλιστα Πέτρῳ τῷ στρατηγῷ, ἐπηρεάζειν τοῖς ἐντυγχάνουσιν εὐπετῶς ἔχοντι. ὁ δὲ Πέτρος οὗτος ὥρμητο μὲν ἐξ Ἀρζανηνῆς, ἣ ἐκτὸς Νυμφίου ποταμοῦ ἐστι, Περσῶν κατήκοος ἐκ παλαιοῦ οὖσα, πρὸς Ἰουστίνου δὲ βασιλέως ἔτι παῖς ὢν ἠνδραπόδιστο, ἡνίκα Ἰουστῖνος μετὰ P 124 τὴν Ἀμίδης ἅλωσιν ξὺν τῷ Κέλερος στρατῷ ἐσέβαλλεν ἐς τὴν Περσῶν γῆν. φιλανθρωπίᾳ δὲ πολλῇ χρωμένου τοῦ κεκτημένου ἐς αὐτὸν ἐς γραμματιστοῦ ἐφοίτησε. καὶ τὰ μὲν πρῶτα Ἰουστίνου γραμματεὺς γέγονεν, ἐπεὶ δὲ Ἀναστασίου τετελευτηκότος Ἰουστῖνος τὴν βασιλείαν παρέλαβε Ῥωμαίων, ὁ Πέτρος στρατηγὸς γεγονὼς ἔς τε φιλοχρηματίαν εἴπερ τις ἄλλος ἐξώκειλε καὶ ἀβελτερίᾳ πολλῇ ἐς ἅπαντας ἐχρῆτο.

Ὕστερον δὲ βασιλεὺς Ἰουστινιανὸς ἄλλους τε ἐς Λαζικὴν ἄρχοντας ἔπεμψε καὶ Ἰωάννην, ὃν Τζίβον ἐκάλουν, ἄνδρα ἐξ ἀφανῶν μὲν καὶ ἀδόξων ἐς ἀρχὴν γεγονότα, ἐς στρατηγίαν δὲ

11. πρὸς add. L. 13. τὴν] τῆς P. ibid. ἐσέβαλλεν HL. ἐσέβαλεν P. 19. ἀβελτερίᾳ] Vulgo ἀβελτηρίᾳ hic et infra p. 312 d. 318 d.

ri commercium cum Romanis, qui Pontum incolunt, exercebant. Nam quia nec sal, nec frumentum, neque alia ad victum commoda illis suppetunt; coria, pelles, mancipia rebus sibi necessariis permutabant. Postea vero quam Gurgeni Iberiae Regi ea, quae in superiore libro retuli, contigerunt, versari in Lazica coepere Romani milites, qui quidem his Barbaris oneri erant, sed maxime Dux Petrus, homo in obvium quemque facile iniuriosus. Erat is oriundus ex Arzanene, quae trans fluvium Nymphium sita est, ac Persis ab antiquo paret. Ipsum adhuc puerum, post captam Amidam, Iustinus, qui deinde fuit Imperator, abstraxit in servitutem, quando in Persarum fines cum Celeris copiis incursionem fecit. Tum hero usus benignissimo, ludum literarium frequentavit. Fuit Iustini scriba: eius hoc primum munus. Mortuo postea Anastasio cum Romanum Iustinus Imperium suscepisset, Dux creatus Petrus, non minus quam quivis alius in avaritiam praeceps, omnes importunissima vecordia vexavit.

Deinde Iustinianus Aug. cum alios Duces misit in Lazicam, tum Ioannem cognomento Tzibum, hominem obscuro atque ignobili loco natum, et Ducis munus hac una commendatione adeptum, quod supra mor-

B ἀναβεβηκότα κατ' ἄλλο οὐδὲν ἢ ὅτι πονηρότατός τε ἦν ἀνθρώ-
πων ἁπάντων καὶ πόρους χρημάτων ἀδίκων ἱκανώτατος ἐξευρεῖν.
ὃς δὴ ἅπαντα ἔσφηλέ τε καὶ συνετάραξε τὰ Ῥωμαίων τε καὶ Λα-
ζῶν πράγματα. οὗτος καὶ βασιλέα Ἰουστινιανὸν πόλιν ἀνέπεισεν
ἐπιθαλασσίαν, Πέτραν ὄνομα, ἐν Λαζοῖς δείμασθαι· ἐνταῦθά
τε ὥσπερ ἐν ἀκροπόλει καθήμενος ἦγέ τε καὶ ἔφερε τὰ Λαζῶν
πράγματα. τούς τε γὰρ ἅλας καὶ ὅσα ἄλλα φορτία Λαζοῖς ἀναγ-
καῖα ἐδόκει εἶναι, οὐκέτι φέρειν ἐς γῆν τὴν Κολχίδα τοῖς ἐμπόροις
ἐξῆν, ἢ ἄλλο ἐνθένδε ὠνεῖσθαι, ἀλλ' ἐν Πέτρᾳ ξυστησάμενος τὸ
C δὴ καλούμενον μονοπώλιον αὐτὸς κάπηλός τε καὶ ξυμπάσης τῆς
H 69 περὶ ταῦτα ἐργασίας ἐπιστάτης ἐγίγνετο, ἅπαντα ὠνούμενός τε
καὶ ἀποδιδόμενος Κόλχοις, οὐχ ᾗπερ εἴθιστο, ἀλλ' ᾗπερ ἐξῆν.
ἅμα δὲ καὶ ἄλλως οἱ βάρβαροι ἤχθοντο ἐπιχωριάζοντι αὐτοῖς,
οὐκ εἰωθὸς πρότερον τῷ Ῥωμαίων στρατῷ. ἃ δὴ οὐκέτι φέρειν
οἷοί τε ὄντες Πέρσαις τε καὶ Χοσρόῃ προσχωρεῖν ἔγνωσαν, πρέσ-
βεις τε αὐτίκα τοὺς ταῦτα διαπραξομένους κρύφα Ῥωμαίων παρ'
αὐτοὺς ἔπεμψαν. οἷς δὴ εἴρητο τὰ πιστὰ πρὸς Χοσρόου λαβοῦ-
σιν, ὅτι γε οὔποτε Λαζοὺς ἄκοντας ἐκδώσει Ῥωμαίοις, οὕτω δὴ
αὐτῶν ξὺν τῷ Περσῶν στρατῷ ἐς τὴν χώραν ἀπαγαγέσθαι.

V 307 Ἀφικόμενοι τοίνυν εἰς Πέρσας οἱ πρέσβεις καὶ Χοσρόῃ λά-
D θρα ἐς ὄψιν ἐλθόντες ἔλεξαν τοιάδε „Εἴ τινας καὶ ἄλλους ἐκ
τοῦ παντὸς χρόνου τῶν μὲν οἰκείων ἀποστάντας ὅντινα δὴ τρό-

4. ἀνέπεισεν] ἐνέπεισεν H: illud Hm. 9. Πέτρᾳ] πέτραις H: πέτρᾳ Hm. 11. ἐγίγνετο L. ἐγίνετο P.

tales omnes insignite improbus nullam non calleret iniustae pecuniae viam. Hic Romanorum Lazorumque res labefactavit prorsus ac miscuit. Idem Iustinianum Aug. perpulit, ut in Lazica maritimam urbem, cui nomen inditum Petrae, conderet: unde tanquam ex arce imminens, Lazorum fortunas agebat ferebatque. Institoribus enim nec sal, nec caeteras merces, quae Lazis necessariae videbantur, in Colchidem advehere, neque alias inde emere per illum licebat. Sed Petrae instituto, ut vocant, monopolio, ipse propola ac totius negotiationis curator erat, mercans omnia, ac postmodum non solito, sed quanto poterat pretio divendens Colchis. Id vero gravissime ferebant Barbari, quod Romanus miles novo more apud ipsos commoraretur. Quae cum illi diutius tolerare non possent, in Chosrois et Persarum fidem conferre se decreverunt. Sine mora, Romanis insciis, legatos, qui rem transigant, mittunt, his mandatis instructos, ut cum a Chosroe fidem acceperint, nunquam ipsum Romanis Lazos traditurum invitos, patriam repetant, succincti Persarum exercitu.
Igitur ubi illi pervenerunt in Persidem, clam ad Chosroem introducti, his fere verbis disseruerunt. *Si quos unquam suorum quodammodo desertores et alienis plane hominibus deditione indecora addictos, beni-*

κον, ἀνδράσι δὲ τὸ παράπαν ἀγνῶσι προσκεχωρηκότας οὐ δέον
αὖθις εὖ ποιοῦσα ἡ τύχη ὡς μάλιστα ἀσμένους ἐπὶ τοὺς πρὶν
ἐπανήγαγεν ἐπιτηδείους, τοιούτους δή τινας καὶ Λαζούς, ὦ μέ-
γιστε βασιλεῦ, νόμιζε εἶναι. Κόλχοι γὰρ Πέρσαις σύμμαχοι τὸ
ἀνέκαθεν ὄντες πολλά τε εἰργάσαντο αὐτοὺς ἀγαθὰ καὶ αὐτοὶ
ἔπαθον· ὧν δὴ ἐν γράμμασι μνημεῖα πολλὰ ἡμεῖς τε ἔχομεν κἀν
τοῖς βασιλείοις τοῖς σοῖς εἰς τὸ παρὸν διασώζεται. χρόνῳ δὲ
ὕστερον τοῖς ἡμετέροις προγόνοις τετύχηκεν εἴτε παρ' ὑμῶν
ἀμεληθεῖσιν εἴτε ἄλλου του ἕνεκα (οὐ γὰρ ἔχομέν τι σαφὲς περὶ
τούτων εἰδέναι) Ῥωμαίοις ἐνσπόνδοις γενέσθαι. καὶ νῦν ἡμεῖς P 125
τε καὶ ὁ Λαζικῆς βασιλεὺς δίδομεν Πέρσαις ἡμᾶς τε αὐτοὺς
καὶ γῆν τὴν ἡμετέραν ὅ τι βούλοισθε χρῆσθαι. δεόμεθα δὲ
ὑμῶν οὑτωσὶ σκοπεῖσθαι περὶ ἡμῶν· εἰ μὲν οὐδὲν πρὸς Ῥω-
μαίων πεπονθότες δεινὸν, ἀλλ' ἀγνωμοσύνῃ ἐχόμενοι κεχωρήκα-
μεν εἰς ὑμᾶς, τήνδε ἡμῶν εὐθὺς ἀποσείσασθε τὴν ἱκετείαν,
οὐδὲ ὑμῖν ποτε πιστοὺς ἔσεσθαι Κόλχους οἰόμενοι (φιλίας γὰρ
διαλελυμένης ὁ τρόπος τῆς μετ' ἐκείνην πρὸς ἑτέρους καθισταμέ-
νης ἔλεγχος γίγνεται)· εἰ δὲ λόγῳ μὲν φίλοι Ῥωμαίων, ἔργῳ δὲ
ἀνδράποδα γεγονότες πιστὰ, ἔργα πεπόνθαμεν πρὸς τῶν ἐφ'
ἡμῖν τετυραννηκότων ἀνόσια, δέξασθε μὲν ἡμᾶς τοὺς πρόσθε
ξυμμάχους, κτήσασθε δὲ δούλους οἷς φίλοις ἐχρῆσθε, μισή- B
σατε δὲ τυραννίδα πικρὰν, οὕτως ἡμῖν ἐκ γειτόνων ἐγηγερμένην,
τῆς δικαιοσύνης ἄξια πράσσοντες, ἣν ἐπιπεριστέλλειν ἀεὶ Πέρ-

1. οὐ δέον] ὁδὸν H: illud Hm.

gna sors libentissimos ad pristinos amicos reduxit; tales, Rex maxime, esse Lazos existima. Certe Colchi superioribus saeculis, cum essent Persarum socii, ut in eos beneficia contulere plurima, sic ab iisdem vicissim accepere: quorum et nos multa consignata literis monumenta habemus; multa item etiamnum in tua regia asservantur. Dein tamen maiores nostri, seu a vobis despecti, seu causa inducti alia quapiam (neque enim nobis adeo explorata res esse potest) cum Romanis foedus percusserant. Nos autem iam cum Rege Lazicae Persarum potestati atque arbitrio nos regionemque nostram permittimus, et vos rogamus ut hanc in causa nostra excutienda rationem sequamini. Si nulla a Romanis violati iniuria, sed per malitiam ad vos transfugimus, supplices hinc quamprimum repellite, ea suspicione incensi, vobis quoque Colchos aliquando infidos fore. Ex illo enim, quo soluta est amicitia, modo, qualis futura sit, quae cum aliis iungitur, apparet. Sin autem verbo tenus Romanorum amici, re ipsa mancipia, et fida tamen, ab iis indignissime sumus habiti, quibus ut tyrannis servimus; nos, socios quondam vestros, accipite, et quibus amicis antea utebamini, nunc servos habetote. Tyrannidem sic a vicinis in nos exortam odio prosequimini, ut postulat aequitas, quam Persae ex more et instituto

σαις πάτριον. οὐ γὰρ ὁ μηδὲν αὐτὸς ἀδικῶν δίκαιος, εἰ μὴ καὶ τοὺς ὑφ᾽ ἑτέρων ἀδικουμένους ἔχων ἐν ἐξουσίᾳ ῥύεσθαι πέφυκεν. ἔνια δὲ εἰπεῖν ὧν τετολμήκασιν οἱ κατάρατοι Ῥωμαῖοι καθ᾽ ἡμῶν ἄξιον. τῷ μὲν γὰρ ἡμετέρῳ βασιλεῖ τὸ σχῆμα μόνον τῆς βασιλείας ἀπολιπόντες αὐτοὶ τὴν ἐξουσίαν ἐπὶ τῶν ἔργων ἀφήρηνται, καὶ κάθηται βασιλεὺς ἐν ὑπηρέτου μοίρᾳ, τὸν ἐπιτάττοντα στρατηγὸν δεδιώς· στρατιᾶς δὲ ἡμῖν ἐπέστησαν πλῆθος, οὐχ ὅπως τὴν χώραν ἀπὸ τῶν ἐνοχλούντων φρουρήσωσιν (οὐ γὰρ οὖν οὐδέ C τις τῶν ὁμόρων ἡμᾶς πλήν γε δὴ Ῥωμαίων ἠνώχλησεν), ἀλλ᾽ ὅπως ἡμᾶς ἐν δεσμωτηρίῳ καθείρξαντες κύριοι τῶν ἡμετέρων γενήσωνται. λογισάμενοι δὲ συντομωτέραν ποιήσασθαι τὴν τῶν ἡμῖν ὑπαρχόντων ἀφαίρεσιν, ὅρα, ὦ βασιλεῦ, ἐς ὁποίαν τινὰ ἔννοιαν ἦλθον τῶν ἐπιτηδείων. ἃ μὲν περιττὰ παρ᾽ ἐκείνοις εἶναι τετύχηκεν, ἀναγκάζουσιν οὐχ ἑκόντας ὠνεῖσθαι Λαζούς, ὅσα δὲ αὐτοῖς χρησιμώτατα φέρειν Λαζικὴ πέφυκεν, οἴδε ἀξιοῦσι δῆθεν τῷ λόγῳ παρ᾽ ἡμῶν πρίασθαι, τιμῆς ἑκατέρωθι γνώμῃ τῶν κρατούντων ὁριζομένης. οὕτω τε ξὺν τοῖς ἀναγκαίοις ἅπαν ἀφαιροῦνται καὶ τὸ χρυσίον ἡμᾶς, ὀνόματι μὲν τῷ τῆς ἐμπορίας εὐπρεπεῖ χρώμενοι, ἔργῳ δὲ ἡμᾶς ὡς ἔνι μάλιστα βιαζόμενοι. D ἐφέστηκέ τε ἡμῖν ἄρχων κάπηλος τὴν ἡμετέραν ἀπορίαν ἐργασίαν τινὰ τῇ τῆς ἀρχῆς ἐξουσίᾳ πεποιημένος. ἡ μὲν οὖν τῆς ἀποστάσεως αἰτία τοιαύτη τις οὖσα τὸ δίκαιον ἐφ᾽ ἑαυτῆς ἔχει· ὅσα δὲ

10. ὅπως] Vulgo ὥσπερ.

patrio tueri solent. Nec vero si quis nihil iniuste faciat, continuo is iustus fuerit, nisi idem ab aliis affectos iniuria soleat vindicare, cum potest. Iam res petit ut pauca de multis, quae in nos committere ausi sunt Romani detestabiles, delibemus. Regi quidem nostro relicta principatus umbra, omnem agendi potestatem eripuerunt; ut famuli vicem subeat Rex, Ducem timens sibi imperantem. Nobis vero impositi sunt stationarii magno numero milites; non quo hostilem vim a nostra regione prohibeant; quandoquidem, si Romanos ipsos excipias, nemo nos finitimorum infestat: verum ut nobis tanquam in custodia clausis, facultates ipsi nostras possideant. Quas ut compendiosiori via auferrent, vide, Rex, quid de annona cogitarint. Quae apud se habent supervacanea, obtrudunt Lazis, atque emere invitos cogunt; quidquid autem fert Lazica ad ipsorum usus accommodatissimum, id sibi venundari, in speciem scilicet, a nobis volunt; utrarumque mercium indicatione eorum, qui nobis praesunt, constituta arbitrio. Itaque annona pariter atque auro nos exhauriunt, sub honesto quidem commercii nomine, sed re vera per vim quantam maximam possunt. Dux, qui nobis imperat, propola est, ac sui muneris potestatem ad id convertit, ut inopiae nostrae quandam veluti mercaturam faciat. Atque haec nostrae defectionis causa cum vera sit, a se stantem habet aequitatem. Iam quot

ὑμῖν αὐτοῖς ξύμφορα ἔσται, δεχομένοις τὴν Λαζῶν δέησιν, αὐτίκα ἐροῦμεν. τῇ Περσῶν ἀρχῇ βασιλείαν ἀρχαιοτάτην προσθήσετε, μηκυνόμενόν τε ἀπ' αὐτῆς ἕξετε τὸ τῆς ἡγεμονίας ἀξίωμα, μετεῖναι δὲ τῆς Ῥωμαίων θαλάσσης ὑμῖν διὰ τῆς ἡμετέρας ξυμβήσεται χώρας, ἐν ᾗ πλοῖά σοι, ὦ βασιλεῦ, ναυπηγουμένῳ βατὸν οὐδενὶ πόνῳ τὸ ἐν Βυζαντίῳ παλάτιον ἔσται. μεταξὺ γὰρ ἐναντίωμα οὐδὲ ἕν ἐστι. προσθείη δ' ἄν τις ὡς καὶ ληΐζεσθαι τοὺς ὁμόρους βαρβάρους τὴν Ῥωμαίων γῆν ἀνὰ πᾶν ἔτος ἐφ' H 70 ὑμῖν κείσεται. ὄρεσι γὰρ τοῖς Καυκασίοις ἐπιτείχισμα μέχρι τοῦδε P 126 γεγονέναι τὴν Λαζῶν χώραν πάντως που καὶ ὑμεῖς ξυνεπίστασθε. ἡγουμένου τοίνυν τοῦ δικαίου, προσόντος δὲ τοῦ ξυμφέροντος, τὸ μὴ οὐχὶ τοὺς λόγους προσέσθαι οὐδεμιᾶς ἂν εὐβουλίας οἰόμεθα εἶναι." τοσαῦτα μὲν οἱ πρέσβεις εἶπον.

Χοσρόης δὲ τοῖς λόγοις ἡσθεὶς ἀμύνειν τε Λαζοῖς ὡμολόγησε καὶ τῶν πρέσβεων ἐπυνθάνετο εἴ οἱ στρατῷ μεγάλῳ ἐς γῆν τὴν Κολχίδα ἰέναι δυνατὰ εἴη. πολλῶν γὰρ ἀπαγγελλόντων ἔφα- V 308 σκεν ἀκηκοέναι τὰ πρότερα δύσοδον ἐπιεικῶς καὶ ἀνδρὶ εὐζώνῳ τὴν χώραν εἶναι, κρημνώδη τε ὑπερφυῶς οὖσαν καὶ δένδροις συχνοῖς τε καὶ ἀμφιλαφέσιν ἐπὶ μακρότατον ξυνεχομένην. οἱ δέ οἱ B ἰσχυρίζοντο παντὶ τῷ Περσῶν στρατῷ τὴν ἐκείνῃ ὁδὸν εὐπετῆ ἔσεσθαι, τέμνουσι μὲν τὰ δένδρα, ἐς δὲ τῶν κρημνῶν τὰς δυσχωρίας αὐτὰ ἐμβαλλομένοις. καὶ αὐτοὶ ὡμολόγουν τῆς τε ὁδοῦ

7. οὐδὲ ἕν ἐστι ALHm. οὐδὲν ἔνεστι P. 12. προσέσθαι Pm. προέσθαι P. 19. ἀμφιλαφέσιν] ἀμφιλαβέσιν H. 20. τῷ A. τῶν P.

commoda ad vos perventura sint, si Lazorum preces admiseritis, paucis indicabimus. Primum Imperio Persico regnum adiicietis antiquissimum, et maiorem inde ditionis amplitudinem obtinebitis. Tum per nostram regionem in partem et communionem venietis Romani maris: ubi si naves aedificabis, o Rex, facilis tibi ad Byzantinum usque palatium cursus erit: nullus enim interiectus est obex. Huc accedit, quod liberum vobis erit confines Barbaros ad Romanum Imperium populandum quotannis laxare, siquidem scitis ipsi Lazicam Caucasiis montibus obiectam munimenti instar fuisse hactenus. Quare haud sani esse consilii credimus, postulata repudiare, ubi aequitas ducem, utilitas comitem sese offert. Hactenus legati.

Quorum oratione oblectatus Chosroes pollicetur laturum se Lazis opem: tum ex legatis quaerit, possitne cum magnis copiis in Colchidem penetrare? audiisse se multos qui dicerent, difficiles admodum vel expedito viro habere aditus illam regionem, quippe abruptissimam, ac per longissimos tractus densis opacisque silvis vestitam. Ii vero facilem omnibus Persarum copiis fore viam affirmarunt, si essent, qui exciderent arbores, atque in praecipitia et confragosa loca immitterent: se duces

ἡγεμόνες καὶ τοῦ ἔργου τούτου Πέρσαις ἔσεσθαι πρόπονοι. ταύτῃ ὁ Χοσρόης ἐπηρμένος τῇ ὑποθήκῃ στρατιάν τε πολλὴν ἤγειρε καὶ τὰ ἐς τὴν ἔφοδον ἐξηρτύετο, οὔτε τὸ βούλευμα ἐς Πέρσας ἐξενεγκὼν, πλήν γε δὴ οἷς τὰ ἀπόρρητα κοινολογεῖσθαι μόνοις εἰώθει, καὶ τοῖς πρέσβεσιν ἐπαγγείλας ὅπως τὰ πρασσόμενα μηδενὶ φράσωσιν ἐς Ἰβηρίαν τῷ λόγῳ ἐστέλλετο, ὡς τὰ τῇδε καταστησόμενος πράγματα· ἔθνος γὰρ Οὐννικὸν ἐνταῦθά πη ἐπισκῆψαι τῇ Περσῶν ἀρχῇ ἐπεφήμιζεν.

C ιϛ'. Ἐν τούτῳ δὲ γενόμενος Βελισάριος ἐν Μεσοποταμίᾳ πανταχόθεν τὸν στρατὸν ἤγειρε, καί τινας ἐς τὰ Περσῶν ἤθη ἐπὶ κατασκοπῇ ἔπεμπεν. αὐτὸς δὲ τοῖς πολεμίοις ἐνταῦθα ὑπαντιάσαι βουλόμενος, ἤν τινα ἐσβολὴν ἐς Ῥωμαίων τὴν γῆν αὖθις ποιήσωνται, διεῖπέ τε αὐτοῦ καὶ διεκόσμει τοὺς στρατιώτας, γυμνούς τε καὶ ἀνόπλους ἐπὶ πλεῖστον ὄντας, καὶ κατωρρωδηκότας τὸ Περσῶν ὄνομα. οἱ μὲν οὖν κατάσκοποι ἐπανήκοντες οὐδεμίαν D τῶν πολεμίων ἰσχυρίζοντο ἐν τῷ παρόντι ἐσβολὴν ἔσεσθαι· πολέμου γὰρ Οὐννικοῦ ἀσχολίαν Χοσρόῃ ἑτέρωθι εἶναι. Βελισάριος δὲ ταῦτα ἀκούσας παντὶ τῷ στρατῷ ἐσβάλλειν τῶν πολεμίων τῇ γῇ ἤθελε. καί οἱ Ἀρέθας τε ξὺν πολλῷ στρατῷ Σαρακηνῶν ἦλθε καὶ βασιλεὺς γράμματα γράψας ἐσβάλλειν κατὰ τάχος ἐς τὴν πολεμίαν γῆν ἐπέστελλε. ξυγκαλέσας οὖν ἅπαντας τοὺς ἄρχοντας ἐν Δάρας ἔλεξε τοιάδε „Ἅπαντας ὑμᾶς, ὦ ξυν-

1. πρόπονοι] πρόπολοι Pm. 3. οὔτε] οὐδὲ P.

futuros itineris, et Persis navaturos praeviam illam operam promiserunt. Hac sententia erectus Chosroes magnum erercitum colligit, ornatque expeditionem, tecto Persis consilio, praeterquam iis, quos in conscientiam arcanorum asciverat: ac legatis iniungens ne cui propositum aperiant, fingit se Iberiam componendarum ibi rerum gratia petere; cum rumorem sparsisset in vulgus, Hunnos illis in oris regnum Persicum invasisse.

16. Hoc interim spatio Belisarius, cum in Mesopotamiam pervenisset, undique coegit copias, et quosdam in Persidem exploratum misit. Habebat autem in animo, si hostes iterum in fines Rom. irrumperent, illis occurrere: idcirco milites nudos et inermes maximam partem, ac terrore nominis Persarum districtos, adornare ibi atque instruere properabat. Reversi exploratores nullam in praesens facturos Persas irruptionem pro certo dicunt: Hunnico enim bello impeditum Chosroem alibi teneri. Quo Belisarius audito, statuit in hostium fines exercitum universum inducere, magno auctum numero Saracenorum, qui Aretham sequebantur. Accesserunt Augusti literae, mandantis ut quam maturrime in hostile solum sese inferret. Igitur Darae cunctis Ducibus convocatis in hunc modum verba fecit. *Cum vos omnes, Collegae, multorum bellorum*

ἄρχοντες, πολέμων πολλῶν ἐμπείρους οἶδα, ξυνήγαγόν τε ἐν τῷ P 127 παρόντι, οὐχ ὅπως ὑπομνήσας ἢ παραίνεσίν τινα ποιησάμενος τὴν ὑμετέραν γνώμην ἐπὶ τοὺς πολεμίους ὁρμήσω (οὐ γὰρ λόγου δεῖσθαι ὑμᾶς τοῦ ἐς εὐτολμίαν ἐνάγοντες οἶμαι), ἀλλ' ὅπως ξυμβουλήν τινα ἔν γε ἡμῖν αὐτοῖς ποιησάμενοι ἑλώμεθα μᾶλλον ἅπερ ἂν δοκῇ βέλτιστά τε καὶ ἄριστα τοῖς βασιλέως πράγμασιν εἶναι. πόλεμος γὰρ εὐβουλίᾳ πάντων μάλιστα κατορθοῦσθαι φιλεῖ. δεῖ δὲ τοὺς ἐς βουλὴν καθισταμένους αἰδοῦς τε καὶ φόβου παντάπασιν ἐλευθέραν ποιεῖσθαι τὴν γνώμην. ὅ τε γὰρ φόβος, ἀεὶ τοὺς αὐτῷ περιπεπτωκότας ἐκπλήσσων, οὐκ ἐᾷ τὴν διάνοιαν ἑλέσθαι τὰ κρείσσω, ἥ τε αἰδὼς ἐπισκιάζουσα τοῖς δόξασιν εἶναι B ἀμείνοσιν ἐπὶ τὴν ἐναντίαν ἐκφέρει τὴν γνῶσιν. εἴ τι τοίνυν ἢ βασιλεῖ τῷ μεγάλῳ ἢ ἐμοὶ βεβουλεῦσθαι ὑπὲρ τῶν παρόντων δοκεῖ, μηδὲν ὑμᾶς τοῦτο εἰσίτω. ὁ μὲν γὰρ μακράν που ἀπολελειμμένος τῶν πρασσομένων οὐκ ἔχει τοῖς καιροῖς ἁρμόσαι τὰς πράξεις. ὥστε φόβος οὐδεὶς ἀπ' ἐναντίας αὐτῷ ἰόντας τὰ ξυνοίσοντα ἐργάζεσθαι τοῖς αὐτοῦ πράγμασιν. ἐμὲ δὲ ἄνθρωπόν τε ὄντα καὶ χρόνῳ μακρῷ ἐκ τῶν ἑσπερίων ἐνταῦθα ἐλθόντα μὴ οὐχὶ διαλαθεῖν τι τῶν δεόντων ἀδύνατον. ὥστε οὐδὲν τὴν ἐμὴν γνώμην αἰδεσθέντας ὑμᾶς προσήκει διαρρήδην εἰπεῖν ὅσα ἂν ξυνοίσειν ἡμῖν τε αὐτοῖς καὶ βασιλεῖ μέλλῃ. τὸ μὲν οὖν ἐξ ἀρχῆς ἐνθάδε ἥκομεν, ὦ ξυνάρχοντες, ὡς διακωλύσοντες τὸν πολέμιον C

6. δοκῇ] δοκεῖ P. 15. καιροῖς APm. καινοῖς P. 17. πράγμασιν L. πράγμασι P. 21. μέλλῃ] μέλλει P.

usu exercitatos noverim, iam coetum coegi, non ut animos ego vestros aliqua commonitione praemuniam, aut in hostem accendam adhortatione: neque enim oratione, qua ad audendum incitemini, egere vos ulla arbitror; verum ut consilio inter nos habito, quod maxime ex re Principis videbitur esse, id amplectamur. Enimvero nihil aeque ac bellum ex sapienti deliberatione felicem ducere successum solet. Consulturi autem pudore et metu animum prorsus expedire debent. Nam metus quidem dum eos, quos occupavit, percellit, menti facultatem meliora discernendi optandique eripit: pudor vero quae potiora visa sunt, tegens, sensa effert in contrariam partem. Quare si quid tum Augusto magno tum mihi de re praesenti constitutum putatis, id minime attendatis velim. Cum enim ille hinc, ubi res geruntur, longe positus, occasionibus subinde novis nascentibus accommodare incepta nequeat; ne vereamini ipsius sententiae adversando illa facere, quae eius rationibus conducunt. Ego vero cum et homo sim, et longo intervallo huc redeam ex Occidente, fieri non potest, ut eorum, quae expediunt, aliquid non ignorem. Itaque abscisso omni sententiae meae respectu, quaecunque in rem tum nostram, tum Principis futura sunt, aperte dicere consentaneum est. Primum quidem profectionis nostrae consilium id fuit, Collegae, ut hostem a finibus nostris tantummodo prohiberemus.

ἐσβολήν τινα ἐς τὴν ἡμετέραν ποιήσασθαι, νῦν δὲ τῶν πραγμά-
των ἡμῖν ἄμεινον ἢ κατ' ἐλπίδας κεχωρηκότων πάρεστι περὶ τῆς
ἐκείνου βουλεύεσθαι. ἐφ' ᾧ δὴ ξυνειλεγμένους ὑμᾶς δίκαιον,
οἶμαι, οὐδὲν ὑποστειλαμένους εἰπεῖν ἅπερ ἂν ἄριστά τε δοκῇ καὶ
H 71 ξυμφορώτατα ἑκάστῳ εἶναι."

V 309 Βελισάριος μὲν τοσαῦτα εἶπε. Πέτρος δὲ καὶ Βούζης ἐξη-
γεῖσθαι τῷ στρατῷ οὐδὲν μελλήσοντα ἐπὶ τὴν πολεμίαν ἐκέλευον.
ὧν δὴ τῇ γνώμῃ εἵποντο εὐθὺς ὁ ξύλλογος ἅπας. Ῥεκίθαγκος
μέντοι καὶ Θεόκτιστος, οἱ τῶν ἐν Λιβάνῳ στρατιωτῶν ἄρχοντες,
ταὐτὰ μὲν τοῖς ἄλλοις ἀμφὶ τῇ ἐσβολῇ βούλεσθαι καὶ αὐτοὶ ἔφα-
D σαν, δεδιέναι δὲ μὴ σφῶν ἐκλελοιπότων τά τε ἐπὶ Φοινίκης καὶ
Συρίας χωρία κατ' ἐξουσίαν μὲν Ἀλαμούνδαρος ταῦτα ληίζηται,
βασιλεὺς δὲ σφᾶς δι' ὀργῆς ἔχοι, ἅτε οὐ φυλάξαντας ἀδῄωτον
τὴν χώραν ἧς ἦρχον, καὶ δι' αὐτὸ συνεισβάλλειν τῷ ἄλλῳ στρατῷ
οὐδαμῇ ἤθελον. Βελισάριος δὲ τὼ ἄνδρε τούτω ὡς ἥκιστα ἀληθῆ
οἴεσθαι ἔλεγε. τοῦ γὰρ καιροῦ τροπὰς θερινὰς εἶναι. ταύτης
δὲ τῆς ὥρας δύο μάλιστα μῆνας ἀνάθημα τῷ σφετέρῳ θεῷ Σα-
ρακηνοὺς ἐς ἀεὶ φέροντας ἐν ταύτῃ ἐπιδρομῇ τινι οὔποτε χρῆσθαι
ἐς γῆν ἀλλοτρίαν. διὸ δὴ ἑξήκοντα ἡμερῶν ὁμολογήσας ξὺν τοῖς
P 128 ἑπομένοις ἄμφω ἀφήσειν ἐκέλευε καὶ αὐτοὺς ξὺν τῷ ἄλλῳ στρατῷ
ἕπεσθαι. Βελισάριος μὲν οὖν τὰ ἐς τὴν ἐσβολὴν σπουδῇ πολλῇ
ἐξηρτύετο.

3. δὴ] δὲ AH. 4. δοκῇ A. δοκεῖ P. 12. ληίζηται A. ληίζεται P. 14. ἦρχον] ἦρχεν H. 19. ἑξήκοντα] ξ' P.

At quoniam res nostrae meliori, quam sperabamus, iam positae loco sunt; de hostili solo cogitare et consilium habere licet. Quae cum ita sint, libere quemque atque intrepide in hoc coetu proloqui debere censeo, quidquid optimum factu ac saluberrimum iudicabit.

Locuto haec Belisario auctores fuere Petrus ac Buzes, ut omni abiecta cunctatione exercitum in terram hostilem duceret. Quorum sententiam secutus est statim universus consessus. Quanquam Rhecithancus ac Theoctistus praesidiorum Libani Duces sibi quidem placere idem quod caeteris faciendae irruptionis consilium dicebant; vereri tamen se ne, interea dum abessent, Syriam et Phoeniciam Alamundarus ad libitum popularetur, iramque Augusti in se tanquam suae desertores provinciae, concitarent. Quamobrem cum reliquis copiis fines hostium ingredi recusabant. Illos Belisarius opinione sua falli ostendit: aestivum enim tum esse solstitium; quo tempore solenne Saracenis esset per duos admodum menses Deo suo offerre dona, neque ulla in alienum solum incursione grassari. Eos itaque cum suis post dies LX. se dimissurum pollicitus, pervicit ut sequerentur caeteros. Porro Belisarius ad irruptionem necessaria magno studio praeparabat.

ιζ΄. Χοσρόης δὲ καὶ ὁ Μήδων στρατὸς, ἐπειδὴ τὴν Ἰβη- B ρίαν ἀμείψαντες ἐν τοῖς τῆς Λαζικῆς ὁρίοις, τῶν πρέσβεων σφίσιν ἡγουμένων, ἐγένοντο, τὰ δένδρα οὐδενὸς ἀντιστατοῦντος ἐκτέμνοντες, ἅπερ ἐνταῦθα συχνά τε καὶ δεινῶς ἀμφιλαφῆ τε καὶ ὑψηλὰ ἐν χωρίοις κρημνώδεσιν ὄντα παντάπασιν ἄβατον τῇ στρατιᾷ τὴν χώραν ἐποίει, ταῦτά τε ἐς τὰς δυσχωρίας ἐῤῥίπτουν καὶ ὅλως εὐπετῆ τὴν ὁδὸν ἀπειργάζοντο. ἀφικομένοις τε αὐτοῖς ἐς μέσην Κολχίδα (οὗ δὴ τά τε ἀμφὶ Μήδειαν καὶ Ἰάσονα οἱ ποιηταὶ γεγενῆσθαι μυθολογοῦσιν) ἐλθὼν Γουβάζης, ὁ Λαζῶν βασιλεὺς, προσεκύνησεν ἅτε δεσπότην Χοσρόην τὸν Καβάδου, αὐτόν τέ οἱ ξὺν τοῖς βασιλείοις καὶ Λαζικὴν ἐνδιδοὺς ἅπασαν.

Ἔστι δὲ Πέτρα πόλις ἐπιθαλασσία ἐν Κόλχοις, πρὸς τῷ Εὐξείνῳ καλουμένῳ πόντῳ, ἣν δὴ φαῦλόν τι χωρίον τὰ πρότερα οὖσαν Ἰουστινιανὸς βασιλεὺς τῷ τε περιβόλῳ καὶ τῇ ἄλλῃ κατασκευῇ C ἰσχυράν τε καὶ ἄλλως ἐπιφανῆ κατεστήσατο. ἐνταῦθα τὸ Ῥωμαίων στράτευμα εἶναι ξὺν τῷ Ἰωάννῃ μαθὼν ὁ Χοσρόης στρατιάν τε καὶ στρατηγὸν Ἀνιαβέδην ὡς αὐτοβοεὶ ἐξελοῦντας ἐπ᾽ αὐτοὺς ἔπεμψε. γνοὺς δὲ Ἰωάννης τὴν ἔφοδον οὔτε τοῦ περιβόλου τινὰ ἔξω γενέσθαι οὔτε ἀπὸ τῶν ἐπάλξεων φανῆναι τοῖς πολεμίοις ἐκέλευσεν, ἀλλὰ πᾶν ἐξοπλίσας τὸ στράτευμα πλησίον που τῶν πυλῶν ἔστησεν, ἐπιστείλας σιγῇ ἔχεσθαι, μήτε ἦχον μήτε φωνὴν ἀφιέντας τινά. οἱ γοῦν Πέρσαι ἄγχιστά που τοῦ περιβόλου γενόμενοι, ἐπεὶ οὐδὲν σφίσι πολέμιον καθεωρᾶτο οὐδ᾽ ἠκούετο, ἔρημον ἀνδρῶν εἶναι τὴν πόλιν, Ῥωμαίων αὐτὴν ἐκλε-

8. Μήδειαν] Μηδείαν P. 11. αὐτόν] αὐτὸν L. 18. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 21. μήτε — μήτε] μηδὲ — μηδὲ P.

17. Ubi Chosroes et Medorum exercitus, Iberia transita legatis ducibus fines Lazicae attigerunt, nemine moram inferente excidentibus arbores, quarum densitate maxima et proceritate opacabantur locorum illorum praecipitia, et agminibus aditus praecludebatur, in derupta et avia eas proruebant, facilemque sternebant viam. Iamque in mediam Colchidem, poeticis de Medea et Iasone commentis celebrem, pervenerant, cum adfuit Gubazes Lazorum Rex, et Chosroem Cabadis filium uti dominum adoravit, se et regiam totamque Lazicam ei dedens.

Est Petra urbs maritima Colchidis ad littus Ponti Euxini, quam Iustinianus Aug. cum esset locus ignobilis, muro omnique apparatu munüt ae splendidissime ornavit. Postquam hic Romanum praesidium cum Ioanne esse audivit Chosroes, cohortem et Ducem Aniabedem eo misit, ut primo aditu urbem caperent. Ioannes eorum adventu cognito, edixit, ne quis pedem efferret moenibus, nec se hosti e pinnis proderet: milites omnes disposuit ad portas armatos, et silentio continere se ita iussit, ut nec sonum ederent, nec vocem ullam. Ergo muris admoti Persae,

D λοιπότων, ἐνόμιζον. διὰ δὴ ἔτι μᾶλλον ἀμφὶ τὸν περίβολον ἦλθον, ὡς κλίμακας εὐθὺς, ἅτε οὐδενὸς ἀμυνομένου, ἐπιθήσοντες. πολέμιόν τε οὐδὲν οὔτε ὁρῶντες οὔτε ἀκούοντες, πέμψαντες παρὰ Χοσρόην τὰ παρόντα σφίσιν ἐδήλουν, καὶ ὃς τὸ μὲν πλεῖστον τοῦ στρατοῦ πέμψας πανταχόθεν ἀποπειρᾶσθαι τοῦ περιβόλου ἐκέλευε, κριῷ τε τῇ μηχανῇ ἀμφὶ τὰς πύλας χρῆσθαι τῶν τινι ἀρχόντων ἐπέστελλεν, ἐν δὲ τῷ λόφῳ καθήμενος, ὃς δὴ τῇ πόλει ὡς ἀγχοτάτω ἐπίκειται, θεατὴς τῶν πρασσομένων ἐγίνετο. αὐτίκα δὲ Ῥωμαῖοι τάς τε πύλας ἀνέκλινον ἐκ τοῦ αἰφνιδίου καὶ ἀπροσδόκητοι ἐπιπεσόντες πλείστους τῶν πολεμίων διέφθειραν, καὶ μάλιστα τοὺς ἀμφὶ τὸν κριὸν τεταγμένους· οἱ
P 129 δὲ λοιποὶ μόλις ξὺν τῷ στρατηγῷ διαφυγόντες ἐσώθησαν. θυμῷ τε ὁ Χοσρόης ἐχόμενος Ἀνιαβέδην ἀνεσκολόπισεν, ἅτε καταστρατηγηθέντα πρὸς τοῦ Ἰωάννου, καπήλου τε καὶ ἀπολέμου τὸ παράπαν ἀνδρός. τινὲς δὲ οὐκ Ἀνιαβέδην, ἀλλὰ τὸν ἄρχοντα, ὃς δὴ ἐφειστήκει τοῖς τὸν κριὸν ἐνεργοῦσιν, ἀνασκολοπισθῆναί φασιν. αὐτὸς δὲ ἄρας παντὶ τῷ στρατῷ, ἄγχιστά τε τοῦ Πέτρας περιβόλου ἀφίκετο καὶ στρατοπεδευσάμενος ἐς πολιορκίαν καθίστατο. τῇ δὲ ὑστεραίᾳ κύκλῳ περιιὼν τὸν περίβολον, ἐπεὶ οὐ λίαν ἀξιόμαχον αὐτὸν ὑπώπτευσεν εἶναι, τειχομαχεῖν ἔγνω.
V 310 τό τε στράτευμα ὅλον ἐνταῦθα ἐπαγαγὼν ἔργου εἴχετο, καὶ το-
H 72 ξεύειν ἅπαντας ἐπὶ τὰς ἐπάλξεις ἐκέλευε. Ῥωμαῖοι δὲ ἀμυνόμε-

12. „διαφυγόντες Reg." Malt. διαφεύγοντες P. 13. Ἀνιαβέδην] βενιαμίδην AHL. Ἀβενιαμίδην P. Correxi ex p. 225, 17. 15. Vulgo Ἀβενιαμίδην.

cum hostile nihil cernerent, nihil audirent, Romanorum fuga vacuam relictam urbem putarunt. Quare propius circumfusi moenibus, eaque defensoribus carere rati, scalas expediunt. Nullum adhuc neque oculis neque auribus accipientes hostis indicium, de praesenti rerum statu certiorem faciunt per nuntios Chosroem. Hic missa copiarum parte maxima, ut muros undique invaderent mandavit: cuidam etiam duci praecepit portam ariete verberaret. Ipse in tumulo, qui oppido proxime imminet, spectator sedebat; cum ecce aperta repente porta improvisi erumpunt Romani, factoque impetu, non paucos, et eos maxime, qui ad arietem collocati fuerant, caedunt: caeteri vix cum duce fuga se proripuerunt. Ira inflammatus Chosroes, Abeniamidem, quod a Ioanne propola ac plane imbelli homine astu bellico victus esset, suffixit cruci. Quidam non Abeniamidem, sed illum, qui arietantibus praeerat, ea poena affectum tradunt. Tum se Chosroes cum omni exercitu movit, et proxime muros Petrae castra metatus, illam circumsedit. Postero die circumiens ipse moenia exploravit, eaque haud adeo valida esse coniiciens, oppugnare constituit. Tum accito universo exercitu rem aggreditur, et cunctos in muri pinnas mittere sagittas iubet. Interea Romani

νοι ταῖς τε μηχαναῖς καὶ πᾶσιν ἐχρῶντο τοξεύμασι. τὰ μὲν οὖν πρῶτα Πέρσαι, καίπερ συχνὰ κομιδῆ βάλλοντες, ὀλίγα τε Ῥωμαίους ἐλύπουν καὶ πολλὰ πρὸς ἐκείνων, ἅτε ἀφ' ὑψηλοῦ βαλ- B λόμενοι, κακὰ ἔπασχον. ἔπειτα δὲ (καὶ γὰρ ἔδει Πέτραν Χοσρόῃ ἁλῶναι) βληθεὶς Ἰωάννης τύχῃ τινὶ ἐς τὸν τράχηλον θνήσκει, καὶ ἀπ' αὐτοῦ οἱ ἄλλοι Ῥωμαῖοι ἐς ὀλιγωρίαν ἁπάντων κατέστησαν. τότε μὲν οὖν οἱ βάρβαροι ἐς τὸ στρατόπεδον ἀνεχώρησαν· ἤδη γὰρ καὶ ξυνεσκόταζε· τῇ δὲ ὑστεραίᾳ διώρυχα ἐπὶ τὸν περίβολον ἐπενόουν τρόπῳ τοιῷδε.

Πέτρα ἡ πόλις πὴ μὲν ἐκ θαλάσσης ἀπρόσοδός ἐστι, πὴ δὲ ἐκ πετρῶν ἀποτόμων, αἳ ταύτῃ πανταχόθεν ἀνέχουσιν· ἀφ' οὗ δὴ καὶ τὴν προσηγορίαν ἔλαχε ταύτην. μίαν δὲ εἴσοδον ἐν τῷ ὁμαλεῖ ἔχει, καὶ ταύτην οὐ λίαν εὐρεῖαν· κρημνοὶ γὰρ αὐτῆς ἐφ' ἑκάτερα ἐξαίσιοι ἀποκρέμανται, ἐνταῦθα προορώμενοι τὰ πρότερα οἱ τὴν πόλιν δειμάμενοι, μή σφίσι τὸ ἐκείνῃ τοῦ περι- C βόλου μέρος ἐπίμαχον εἴη, τείχη μακρὰ παρὰ τὸν κρημνὸν ἑκάτερον τῆς εἰσόδου ἐπὶ πλεῖστον πεποίηνται. τούτων τε τῶν τειχῶν ἑκατέρωθι πύργους ἐτεκτήναντο δύο, οὐχ ᾗπερ εἰώθει, ἀλλὰ τρόπῳ τοιῷδε. κενὸν γὰρ τὸ ἐν μέσῳ τῆς οἰκοδομίας χωρίον οὐδαμῇ εἴασαν, ἀλλ' ὅλους ἐκ γῆς ἄχρι ἐς ὕψος μέγα τοὺς πύργους λίθοις παμμεγέθεσιν ἀλλήλων ἐχομένοις εἰργάσαντο, ὅπως δὴ κριῷ ἢ μηχανῇ ἄλλῃ ὡς ἥκιστα κατασείοιντο. τὰ μὲν οὖν

10. πὴ — πὴ] πῇ — πῇ P constanter. 17. πεποίηνται] πεποίηται L. 19. τοιῷδε] ἑτέρῳ τοιῷδε L.

propugnatores machinis ac missilibus cuiusquemodi utebantur. Atque initio quidem Persae, quamvis creberrima tela iacerent, parum tamen Romanos laedebant; cum ab iis ipsi, quippe desuper appetiti, gravissime laederentur. At deinde (nimirum Petra in potestatem Chosrois necessario ventura erat) casu quodam accepta Ioannes in collo plaga interiit: unde caeteris Romanis obrepsit incuria rerum omnium. Iam nox ingruebat: quocirca Barbari in castra se receperunt. Postridie cuniculum ad murum hoc modo moliti sunt.

Urbs Petra hinc a mari, inde a praeruptis scopulis, qui undique eminent (unde et nomen ipsi obtigit) inaccessa, unum admodum habet in plano aditum, eumque haud ita latum: utrinque enim ingentes ac praecipites cautes impendent. Qui urbem condiderunt, ut ne ea parte expugnari possent moenia providentes, ab altera earum rupium, quae aditui imminent, muros longos ad alteram duxerant: quibus in extremis binas turres non usitato more aedificaverant; sed hac ratione. Medium aedificii spatium non inane reliquerant: verum a solo in magnam altitudinem turres grandium saxorum compage solidas extulerant, ut nec ariete, nec ulla alia machina quassarentur. Eiusmodi structura erat muro-

Πέτρας τοῦ περιβόλου ταύτῃ πῃ ἔχει. Πέρσαι δὲ λάθρα ἐς τὴν γῆν κατώρυχα ποιησάμενοι ἔνερθεν θατέρου τῶν πύργων ἐγένοντο, τῶν τε λίθων ἐνθένδε πολλοὺς ἐκφοροῦντες, ξύλα ἐς τὴν ἐκείνων ἐτίθεντο χώραν, ἅπερ ὀλίγῳ ὕστερον ἔκαυσαν. ἥ τε D *φλὸξ κατὰ βραχὺ αἰρομένη διέθρυψε μὲν τὴν τῶν λίθων ἰσχύν, ὅλον δὲ τὸν πύργον κατασείσασα ἐκ τοῦ αἰφνιδίου ἐς τὸ ἔδαφος καθεῖλεν αὐτίκα. Ῥωμαῖοι δέ, οἳ ἐν τῷ πύργῳ ἦσαν, τοσοῦτον τῶν ποιουμένων ᾔσθοντο πρότερον ὅσον αὐτῷ μὴ ξυμπεσεῖν ἐς τὸ ἔδαφος, ἀλλὰ φυγόντες ἐντὸς τοῦ τῆς πόλεως περιβόλου γενέσθαι. παρῆν τε ἤδη τοῖς πολεμίοις ἐν τῷ ὁμαλεῖ τειχομαχοῦ-* P 130 *σι πόνῳ ἐν οὐδενὶ τὴν πόλιν κατὰ κράτος ἑλεῖν. διὸ δὴ κατωρρωδηκότες Ῥωμαῖοι τοῖς βαρβάροις ἐς λόγους ἦλθον, καὶ τὰ πιστὰ ὑπέρ τε τῶν σωμάτων καὶ τῶν χρημάτων πρὸς Χοσρόου λαβόντες σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ὁμολογίᾳ παρέδοσαν. οὕτω μὲν Πέτραν Χοσρόης εἷλε. καὶ τὰ μὲν Ἰωάννου χρήματα λίαν ἁδρὰ εὑρὼν αὐτὸς ἔλαβε, τῶν δὲ ἄλλων οὐδενὸς οὔτε αὐτὸς οὔτε τις τῶν Περσῶν ἥψατο, ἀλλὰ Ῥωμαῖοι τὰ σφέτερα αὐτῶν ἔχοντες τῷ Μήδων στρατῷ ἀνεμίγνυντο.*

B *ιη'. Ἐν τούτῳ δὲ Βελισάριός τε καὶ Ῥωμαίων στρατός, οὐδέν τι πεπυσμένοι ὧν ταύτῃ ἐπράσσετο, κόσμῳ πολλῷ ἐκ Δάρας πόλεως ἐπὶ Νίσιβιν ᾔεισαν. ἐπειδὴ δὲ τῆς ὁδοῦ κατὰ μέσον ἐγένοντο, Βελισάριος μὲν ἐν δεξιᾷ τὸ στράτευμα ἦγεν, οὗ δὴ πηγαί τε ὑδάτων διαρκεῖς ἦσαν καὶ πεδίον ἅπασιν ἐνστρατοπε-*

5. διέθρυψε] διέρρυψε L. 14. αὐτοὺς] αὐτὸς L. 15. εἷλε] εἶχε LHm. 20. πεπυσμένοι AHm. πεπεισμένοι P. 23. ἐνστρατοπεδεύσασθαι L. ἐν τῷ στρατοπεδεύσασθαι P.

rum Petrae. Persae autem clam acto cuniculo in turrium alteram penetrarunt, et magna lapidum egesta vi, eorum loco ligna supposuerunt, quibus paulo post ignem subiecere. Brevi sursum prorumpens flamma dirupit lapidum robur, ac turrim totam concutiens derepente evertit: vix ut Romani, qui in illa erant, paratam fraudem tanto ante spatio deprehenderint, quantulum satis fuit, ut ruina minime involverentur, et fuga elapsi muris urbis sese committerent. Iam hostibus in plano moenia oppugnantibus facultas erat urbis capiendae impressione levissima. Quo territi Romani, in colloquium venere cum Barbaris, et fide data a Chosroe salva omnium capita ac fortunas fore, se urbemque dediderunt. Ita Petram cepit Chosroes, et repertas Ioannis opes immensas abstulit: rebus caeteris cum ipse tum Persae omnes omnino abstinuere. Quin etiam Romani admiscuere se Medorum copiis, sua secum asportantes.

18. Interea Belisarius et Romanus exercitus rerum, quae in illis partibus gerebantur, prorsus ignari, ex urbe Dara Nisibin versus instructissimi processerunt. Dimidio confecto itinere, ad dexteram deflexit cum exercitu Belisarius: ubi et aquarum fontes perennes erant, et cam-

δεύσασθαι ἱκανῶς ἔχον. ἐνταῦθά τε στρατόπεδον ἐκέλευε ποιεῖσθαι ὅσον ἀπὸ σταδίων δύο καὶ τεσσαράκοντα Νισίβιδος πόλεως. οἱ δὲ ἄλλοι ξύμπαντες ἐν θαύματι μεγάλῳ ἐποιοῦντο, ὅτι δὴ οὐκ ἄγχιστά πῃ ἐθέλοι τοῦ περιβόλου στρατοπεδεύεσθαι, τινὲς δὲ ὡς ἥκιστά οἱ ἕπεσθαι ἤθελον. διὸ δὴ Βελισάριος τῶν ἀρχόντων τοῖς ἀμφ' αὐτὸν οὖσιν ἔλεξεν ὧδε „Ἐμοὶ μὲν οὐκ ἦν βουλομένῳ C ἐς ἅπαντας ὅσα γινώσκω ἐξενεγκεῖν. λόγος γὰρ ἐν στρατοπέδῳ περιφερόμενος οὐκ οἶδε τηρεῖν τὰ ἀπόρρητα, ἐπεὶ κατὰ βραχὺ προϊὼν μέχρι καὶ ἐς τοὺς πολεμίους ἐκφέρεται. ὁρῶν δὲ τούς τε πολλοὺς ὑμῶν ἀταξίᾳ πολλῇ εἴκοντας καὶ αὐτὸν ἕκαστον αὐτοκράτορα τοῦ πολέμου ἐθέλοντα εἶναι, λέξω τανῦν ἐν ὑμῖν ὅσα χρῆν σιωπᾶν, ἐκεῖνο μέντοι πρότερον ὑπειπὼν, ὡς πολλῶν ἐν στρατιᾷ γνώμῃ αὐτονόμῳ χρωμένων γενέσθαι τι τῶν δεόντων V 311 ἀδύνατον. οἶμαι τοίνυν Χοσρόην ἐφ' ἑτέρους ἰόντα βαρβάρους ὡς ἥκιστα φυλακῆς τινος αὐτάρχους χωρὶς τὴν οἰκείαν ἀπολιπεῖν γῆν, ἄλλως τε καὶ τήνδε τὴν πόλιν, ἣ πρώτη τε τυγχάνει οὖσα D καὶ πάσης τῆς ἐκείνου γῆς προβεβλημένη. ἐν ᾗ στρατιώτας εὖ οἶδα ὅτι τοσούτους τε τὸ πλῆθος καὶ τοιούτους τὴν ἀρετὴν κατεστήσατο ὥστε ἱκανοὺς εἶναι ταῖς παρ' ἡμῶν ἐφόδοις ἐμποδὼν στήσεσθαι. καὶ τὸ παράδειγμα ἐγγύθεν ὑμῖν. Ναβέδην γὰρ στρατηγὸν τούτοις ἐπέστησεν, ὃς δὴ μετά γε τὸν Χοσρόην αὐ-

4. ἄγχιστα] ἔγχιστα (sic) L. 20. ὑμῖν A. ἡμῖν P. *ibid.* Ναβέδην γὰρ usque ad ἐλπίδα αὐτῆς p. 132. b. om. AHL. Legit RV. Supplevit P ex codice Vaticano, cuius lectiones ego hic et infra ex apographo Holstenii affero. 21. ὃς δὴ V. ὅς γε δὴ P. ους γε δὴ ἔγεγε p. 184, 1.

pus commodam sedem omnibus, si castra ponere vellent, praebebat. Hic ille metari iussit, altero et quadragesimo ab urbe Nisibi stadio, cunctis demirantibus quod castra prope muros locare nollet, nonnullis etiam sequi recusantibus. Quapropter Duces tum astantes his verbis affatus est. *Equidem nolebam quidquid in mente habeo cunctis aperire. Sermo enim, qui per castra diditur, tenere clausa arcana nescit; ac brevi foras manans, ad ipsos usque hostes effertur. At quoniam inter vos petulantius multos agere, et summum belli imperium affectare quemque video; quae silentio tecta esse oporteret, in hoc coetu vestro nunc dicam; ubi vos praemonuero, nihil, quod e re sit, geri posse, cum in exercitu plures sunt, qui proprio ducantur sensu. Igitur in ea sum opinione, Chosroem, alio contra Barbaros profectum, non commisisse ut istas regni sui oras idoneo praesidio destitutas relinqueret, maxime vero hanc urbem, quae et prima est, et propugnaculi instar universae eius ditioni praestructa. Eam certe scio tot ab ipso tamque generosis militibus munitam, ut incursiones nostras inhibere valeant. Et adest, qui ad faciendam fidem exemplo sit, Nabedes, iis dux a Chosroe praepositus: qui secundum Re-*

τὸν δόξῃ τε καὶ τῷ ἄλλῳ ἀξιώματι πρῶτος ἐν Πέρσαις εἶναι δοκεῖ. ὃν ἔγωγε οἶμαι καὶ ἀποπειράσεσθαι τῆς ἡμετέρας δυνάμεως καὶ τὴν πάροδον ἡμῖν οὐδενὶ ἄλλῳ τρόπῳ ἢ μάχῃ τινὶ πρὸς ἡμῶν ἡσσηθέντα ἐνδώσειν. εἰ μὲν οὖν ἄγχιστά που τῆς πόλεως ἡ ξυμβολὴ εἴη, οὐκ ἐκ τοῦ ἀντιπάλου ἡμῖν τε καὶ Πέρσαις ὁ P 131 ἀγὼν ἔσται. αὐτοὶ γὰρ ἐκ τοῦ ἐχυροῦ ἐπεξιόντες εὐημερήσαντές τε, ἂν οὕτω τύχῃ, ἐπὶ πλεῖστον θαρρήσουσιν ἐπιθήσεσθαι καὶ ἡσσηθέντες εὐπετῶς διαφεύξονται τὴν ἡμετέραν ἐπίθεσιν. δι' ὀλίγου γὰρ ἡμῖν ἡ δίωξις ἔσται καὶ τῇ πόλει οὐδὲν ἐνθένδε γενήσεται βλάβος, ἣν τοῖς τειχομαχοῦσιν ἀνάλωτον οὖσαν στρατιωτῶν αὐτῆς ἀμυνομένων ὁρᾶτε δήπου. ἢν δέ γε τῶν πολεμίων ἐνταῦθα ἡμῖν ἐς χεῖρας ἰόντων κρατήσομεν, τὴν πόλιν ἐξελεῖν πολλήν τινα, ὦ ξυνάρχοντες, ἐλπίδα ἔχω. φεύγουσι γὰρ τοῖς ἐναντίοις ἢ ἀναμιχθέντες εἴσω πυλῶν, ὡς τὸ εἰκός, ξυνεισπεσούμεθα, ἢ προτερήσαντες αὐτοὺς μὲν ἐφ' ἑτέρας τινὸς ἀναγκάσομεν τετράφθαι καὶ διαφυγεῖν χώρας, ἡμῖν δὲ αὐτοῖς Νίσι- B βιν τῶν ἀμυνομένων χωρὶς εὐάλωτον καταστήσομεν."

Ταῦτα Βελισαρίου εἰπόντος οἱ μὲν ἄλλοι πάντες ἐπείθοντό τε καὶ ξὺν αὐτῷ στρατοπεδευσάμενοι ἔμειναν. Πέτρος δὲ Ἰωάννην ἑταιρισάμενος, ὃς τῶν ἐν Μεσοποταμίᾳ καταλόγων ἄρχων μοῖραν οὐ φαύλην τινὰ τοῦ στρατοῦ εἶχεν οὐκ ἄποθεν τοῦ περιβόλου, ἀλλ' ὅσον ἀπὸ σταδίων δέκα ἐλθὼν ἡσυχῇ ἔμενεν. Βελι-

2. ἀποπειράσεσθαι] ἀποπειράσασθαι V. 7. τύχῃ V. τύχοι P. 11. ὁρᾶτε] ὁρᾶται V. 13. τοῖς ἐναντίοις Maltretus. τοὺς ἐναντίους PV.

gem primus gloria ac splendore dignitatis audit, et quem ego copias aggressurum nostras, nec nisi postquam a nobis victus acie fuerit, transeundi copiam daturum arbitror. Iam si proxime urbem edetur pugna, haud aequo cum Persis discrimine nec pari Marte dimicabimus. Nam illi e munitionibus erumpentes, si forte rem bene gesserint, longius invehi in nos audebunt: si male, impressioni nostrae facile se subducent: brevius enim spatium nobis insequentibus dabitur, neque hinc damni quidquam urbs capiet, quam utique videtis expugnari non posse, quamdiu militari praesidio defendetur. At si hostes nobiscum hic manum conserentes vincemus, optimam habeo, collegae, spem urbis potiendae. Nam vel fugientibus illis permisti in portam, ut proximum vero est, una irrumpemus; vel eos praegressi compellemus alio fugam intendere; itaque pulsis propugnatoribus, erit nobis obnoxia et facile expugnabilis Nisibis.

In hanc locuto sententiam Belisario, caeteri quidem omnes gessere morem, et cum eo castra metati substiterunt: Petrus vero, adiuncto sibi Ioanne numerorum Mesopotamia duce, qui bonam partem exercitus habebat, perrexit porro, et decimo a muris stadio gradum fixit. Tum

σάριος δὲ τούς τε ξὺν αὐτῷ ὡς εἰς παράταξιν ἔστησε καὶ τοῖς ἀμφὶ τὸν Πέτρον ἐπέστελλεν ὡς ἐπὶ ξυμβολῇ παρατάσσεσθαι μέχρι αὐτὸς σημήνῃ, εὖ τε εἰδέναι ὡς οἱ βάρβαροι περὶ μεσημβρίαν ἐπιθήσονται σφίσιν, ἐκεῖνο δηλονότι ἐν νῷ ἔχοντες, ὅτι δὴ αὐτοὶ μὲν τροφῆς εἰς δείλην ὀψίαν μεταλαγχάνειν εἰώθασι, Ῥωμαῖοι δὲ ἀμφὶ μεσημβρίαν. Βελισάριος μὲν ταῦτα παρῄνει· C *οἱ δὲ ξὺν τῷ Πέτρῳ ἐν οὐδενὶ τὰς ἐντολὰς ποιησάμενοι, ἀμφί τε ἡμέραν μέσην τῷ ἡλίῳ ἀχθόμενοι (ἔστι γὰρ τὸ χωρίον ἐπιεικῶς αὐχμῶδες) τά τε ὅπλα κατέθεντο καὶ τῶν πολεμίων ἀφροντιστήσαντες σικύους ἐνταῦθά πη φυομένους κόσμῳ οὐδενὶ περιιόντες κατήσθιον. ὅπερ κατιδὼν ὁ Ναβέδης δρόμῳ πολλῷ ἐπῆγεν ἐπ' αὐτοὺς τὸ Περσῶν στράτευμα. Ῥωμαῖοι δὲ (οὐ γὰρ ἔλαθον αὐτοὺς ἐκ τοῦ περιβόλου ἐξιόντες οἱ βάρβαροι, ἐπεὶ καθεωρῶντο λαμπρῶς ἅτε ἐν πεδίῳ ὑπτίῳ ἰόντες) παρά τε Βελισάριον ἔπεμπον, ἀμύνειν σφίσι παρακαλοῦντες, καὶ αὐτοὶ τὰ μὲν ὅπλα ἀνελόμενοι, ἀκοσμίᾳ δὲ καὶ θορύβῳ ἐχόμενοι ὑπηντίαζον. οἱ δὲ ἀμφὶ Βελισάριον, οὔπω παρὰ σφᾶς τοῦ ἀγγέλου ἀφικομένου* D *γνόντες διὰ τοῦ κονιορτοῦ τὴν Περσῶν ἔφοδον, ἐβοήθουν δρόμῳ. ἐπελθόντες τε Πέρσαι Ῥωμαίους οὐχ ὑποστάντας τὴν ἔφοδον πόνῳ οὐδενὶ ἐς φυγὴν ἔτρεψαν, ἐπισπόμενοι δὲ πεντήκοντά τε διέφθειραν καὶ τὸ τοῦ Πέτρου σημεῖον ἁρπάσαντες ἔσχον. ἅπαν-*

1. *αὐτῷ*] *αὐτῷ* P. 10. *σικύους — κατήσθιον*] Schol. ad Aristoph. Acharn. 519. et Suidas s. v. *σίκυον*, omisso uterque Procopii nomine. Quae res Porsono fraudi fuit ad Aristoph. Vesp. 1020. p. 140. et mihi ipsi in Aristoph. fragm. 557. p. 220. *ibid. κόσμῳ οὐδενὶ*] *οὐδενὶ κόσμῳ* schol. et Suidas. Utrumque dixit Procopius, sed rarius *κόσμῳ οὐδενί*: vide indicem. 15. *σφίσι*] *σφίσιν* V. 20. *ἐπισπόμενοι*] *ἐπισπώμενοι* PV, hic et infra. *ibid. τε* add. V.

suos Belisarius ordinavit ad praelium, et Petro mandavit ut acie composita staret, signum expectans, ac memor se circa meridiem a Barbaris petitum iri, id nimirum tenentibus animo, se sub vesperum, Romanos circiter meridiem cibum capere consuevisse. Talia quidem Belisarius praecipiebat. Verum qui cum Petro erant, nullo habentes loco mandata, nec solem perferentes meridianum (et sane est tractus ille aestuosissimus) arma posuerunt. Quin etiam errabant securi hostium, ac dispalati ficus ibi natas edebant; cum Nabedes re animadversa Persicum agmen effuso in eos cursu emisit. Mox Romani, quos utique Barbarorum ex urbe eruptio minime latuit, quoniam in campestri planitie decurrentes oculis obversabantur, ad Belisarium mittere et promptam rogare opem; dum resumptis armis incomposite tumultuoseque occurrunt. Nondum acceperat nuntium Belisarius: iam tamen subsidio currebat, e pulvere sublato coniiciens impetum a Persis fieri: quo fracti et nullo negotio in fugam versi Romani sunt. Instantes Persae quinquagenos interemerunt, et potiti vexillo Petri, omnibus, quos tunc fortitudinis

τάς τε ἂν ἐν ταύτῃ δὴ τῇ διώξει ἔκτειναν ἐς οὐδεμίαν ἀλκὴν
ὁρῶντας, εἰ μὴ Βελισάριός τε καὶ ὁ ξὺν αὐτῷ στρατὸς καταλα-
βὼν διεκώλυσε. πρώτους γὰρ ἁπάντων ξὺν δόρασι μακροῖς τε
καὶ συχνοῖς Γότθους ἐπιόντας Πέρσαι οὐχ ὑπομείναντες ἐς φυ-
γὴν ὥρμηντο. ἐπισπόμενοί τε Ῥωμαῖοι ξὺν Γότθοις πεντήκοντα
P 182 καὶ ἑκατὸν ἔκτειναν. δι' ὀλίγου γὰρ τῆς διώξεως γενομένης οἱ
λοιποὶ κατὰ τάχος ἐντὸς τοῦ περιβόλου ἐγένοντο. τότε μὲν οὖν
Ῥωμαῖοι ξύμπαντες ἐς τὸ Βελισαρίου στρατόπεδον ἀπεχώρησαν,
οἱ δὲ Πέρσαι τῇ ἐπιγινομένῃ ἡμέρᾳ ἐν πύργῳ τινὶ ἔστησαν ἀντὶ
τροπαίου τὸ Πέτρου σημεῖον, ἀλλᾶντάς τε αὐτοῦ ἀποκρεμά-
σαντες, τοῖς πολεμίοις ξὺν γέλωτι ἐπετώθαζον, ἐπεξιέναι μέντοι
οὐκέτι ἐτόλμων, ἀλλὰ τὴν πόλιν ἐν τῷ ἀσφαλεῖ διεφύλασσον.

V 312 ιθ'. Βελισάριός τε Νίσιβιν ὁρῶν ἐχυρὰν ὑπερφυῶς
H 73 οὖσαν, ἐλπίδα αὐτῆς οὐδεμίαν ἔχων ἁλώσεως πέρι, πρόσω ἰέναι
B ἠπείγετο, ὅπως τι ἐξ ἐπιδρομῆς τοῖς πολεμίοις λυμήνηται. ἄρας
τοίνυν παντὶ τῷ στρατῷ ἐπίπροσθεν ᾔει. ἀνύσαντές τε ἡμέρας
ὁδὸν φρουρίῳ ἐνέτυχον, ὃ Σισαυράνων καλοῦσι Πέρσαι. ἐν-
ταῦθα πλῆθός τε οἰκητόρων ἦν καὶ ἱππεῖς ὀκτακόσιοι Περσῶν
ἄριστοι φυλακὴν εἶχον, οἷς ἀνὴρ δόκιμος, Βλησχάνης ὄνομα,
ἐφειστήκει. Ῥωμαῖοι δὲ ἄγχιστά πη τοῦ φρουρίου στρατοπε-

2. τε addidi ex V, 10. ἀλλᾶντας] ἀλλάντας P ex Suida s. v. ἀλλαντοπώλης. ἄλαντα V. 11. ξὺν] σὺν Suidas. ibid. ἐπετώθαζον Suidas. Legebatur ὑπετώθαζον. 17. ὃ Σισαυράνων Pm. ὃ Σισαβράνων P. ὗς σαβράνων L. Recte RV. 19. Βλησχάνης] βλησχάμης L. βληχάμης H. Belesmaches RV.

plane oblitos insequebantur, vitam ademissent, nisi Belisarii copiarumque eius interventus fuisset impedimento. Simul enim primi omnium Gotthi cum praelongis densisque hastis adfuerunt, Persae eorum impressionem haud sustinentes, se in fugam dederunt. At Romani cum Gotthis a tergo illos prementes, centum et quinquaginta stravere ferro: reliquos accepit urbs statim reduces, quia nostros persequendo non longe provecti fuerant. Tum demum Romani omnes in castra Belisarii concesserunt. Postero die Persae, cum pro trophaeo in turri quadam statuissent vexillum Petri, suspensis ex eo lucanicis, in hostem iaciebant ridicula: nec tamen amplius audebant pedem efferre, sed urbem tuto custodiebant.

19. Videns Belisarius munitissimam esse Nisibin, desperata expugnatione, maturavit progredi, ut subita incursione aliquid detrimenti hostibus importaret. Itaque movens cum universo exercitu, ulterius contendit. Unius diei emensis iter, occurrit castellum, quod Persae Sisauranum vocant. Hic praeter incolarum multitudinem, DCCC. equites Persarum fortissimi praesidium agitabant, quibus Bleschanes, vir admodum spectatus, praeerat. Romani castris ad castellum positis, cum illud

δευσάμενοι ἐς πολιορκίαν καθίσταντο, προσβολήν τε τῷ περιβόλῳ ποιησάμενοι ἀπεκρούσθησαν, πολλοὺς τῇ μάχῃ ἀποβαλόντες. C *τό τε γὰρ τεῖχος ἐς ἄγαν ἐχυρὸν ἐτύγχανεν ὂν καὶ οἱ βάρβαροι καρτερώτατα ἐνθένδε τοὺς ἐπιόντας ἠμύνοντο. διὸ δὴ τοὺς ἄρχοντας ἅπαντας ξυγκαλέσας Βελισάριος ἔλεξε τοιάδε ,,Ἐμπειρία πολέμων πολλῶν, ἄνδρες ἄρχοντες, δέδωκεν ἡμῖν ἐν τοῖς τῶν πραγμάτων ἀπόροις προορᾶν τε τὰ συμβησόμενα καὶ δυνατοῖς εἶναι πρὸ τῶν δεινῶν ἑλέσθαι τὰ κρείσσω. ἐπίστασθε τοίνυν πηλίκον ἐστὶ κακὸν στράτευμα ἐς γῆν πολεμίαν, πολλῶν μὲν ὀχυρωμάτων, πολλῶν δὲ μαχίμων ἐν τούτοις ἀνδρῶν ὄπισθεν ἀπολελειμμένων, πορεύεσθαι. ὅπερ καὶ ἡμῖν ἔν γε τῷ παρόντι* D *τετύχηκεν. ἐπίπροσθεν γὰρ ἰοῦσιν ἡμῖν ἐνθένδε τε καὶ ἐκ Νισίβιδος πόλεως ἑπόμενοι λάθρα τῶν πολεμίων τινὲς ἐν χωρίοις, ὡς τὸ εἰκὸς, κακουργήσουσιν ἐπιτηδείως αὐτοῖς πρὸς ἐνέδραν ἢ καὶ ἄλλην τινὰ ἐπιβουλὴν ἔχουσιν. ἢν δέ πη καὶ ἄλλος ἀπαντήσῃ στρατὸς, εἴς τε μάχην καθιστῶνται, πρὸς ἑκατέρους μὲν ἡμῖν ἀνάγκη τετάξεσθαι, πάθοιμεν δ' ἂν οὕτω πρὸς αὐτῶν τὰ ἀνήκεστα· ἐῶ γὰρ λέγειν ὡς καὶ πταίσαντες ἐν τῇ ξυμβολῇ, ἂν οὕτω τύχοι, ἐπάνοδον ἐς Ῥωμαίων τὴν γῆν οὐδεμιᾷ μηχανῇ τὸ λοιπὸν ἕξομεν. μὴ τοίνυν ἀλογίστῳ σπουδῇ χρώμενοι ἐφ' ἡμᾶς* P 133 *αὐτοὺς ἐσκεκληκότες φαινώμεθα, μηδὲ τῷ φιλονεικῷ τὰ Ῥωμαίων πράγματα βλάψωμεν. τόλμα μὲν γὰρ ἀμαθὴς ἐς ὄλεθρον φέρει, μέλλησις δὲ σώφρων ἐς τὸ σώζειν ἀεὶ τοὺς αὐτῇ χρωμέ-*

17. τετάξεσθαι] τετάξασθαι AH. 21. ἐσκεκληκότες A. ἐσκεκλικότες P. ne — nos ipsos spoliasse videamur RV. 22. ἐς A. εἰς P.

obsidione cinxissent, facta in muros impressione repulsi sunt, multis pugnando amissis. Nam et murus erat validissimus, et inde Barbarus aggredientes arcebat fortissime. Quocirca ducibus omnibus convocatis, Belisarius ita disseruit. *Longo bellorum usu id consecuti sumus, duces, ut in rebus impeditis praevideamus eventura, et prae noxiis eligere meliora noverimus. Scitis igitur quam grave et periculosum sit in solum hostile immittere exercitum, relictis a tergo munitionibus multis, quas praesidia firma obtineant: in illud iam discrimen devenimus. Dum enim tendemus ultra, tum hinc, tum ex urbe Nisibi submissae hostium turmae nos clam sequentur, et male (ut simile vero est) accipient iis in locis, qui sunt insidiis aliisve nocendi artibus opportuni. Quod si alius occurrat exercitus, ac pugnam capessat; instructa contra utrosque acie standum erit, atque ita pessime ab illis habebimur: ut omittam, quod nobis, si forte vincemur praelio, reditus nullo unquam modo patebit. Demus igitur operam, ne videamur in nos ipsi ruisse inconsulta strenuitate, nec caeca aemulatione Romanam rem pessumdemus. Inconsiderata enim audacia ad exitium ducit: at prudens dilatio salutem cunctatoribus afferre solet. Nos itaque castris hic locatis capere enitamur castellum*

νους ἱκανὴ πέφυκεν. ἡμεῖς μὲν οὖν ἐνταῦθα ἐγκαθεζόμενοι ἐξελεῖν πειρώμεθα τὸ φρούριον τόδε, Ἀρέθας δὲ ξὺν τοῖς ἑπομένοις ἐς τὰ ἐπὶ Ἀσσυρίας στελλέσθω. Σαρακηνοὶ μὲν γὰρ τειχομαχεῖν μέν εἰσιν ἀδύνατοι φύσει, ἐς δὲ τὸ ληΐζεσθαι πάντων μάλιστα δεξιοί. συνεισβαλοῦσι δὲ αὐτοῖς καὶ στρατιῶται τῶν μαχίμων τινὲς, ὅπως αὐτοί τε, μηδενὸς μὲν ἐναντιώματος σφίσι φανέντος, τὰ ἀνήκεστα τοὺς προσπεσόντας ἐργάσωνται, ἢν δέ τι ἀπαντήσῃ πολέμιον, εὐπετῶς ἀναχωροῦντες εἰς ἡμᾶς σώζοιντο. B *καὶ ἡμεῖς ἐξελόντες, ἢν θεὸς θέλῃ, τὸ φρούριον, οὕτω δὴ παντὶ τῷ στρατῷ Τίγρητα ποταμὸν διαβαίνωμεν, οὐ δεδιότες μὲν τοὺς ὄπισθεν κακουργήσοντας, εὖ δὲ εἰδότες ὅπως τοῖς Ἀσσυρίοις τὰ πράγματα ἔχει."*

Ταῦτα εἰπὼν Βελισάριος εὖ τε λέγειν ἅπασιν ἔδοξε καὶ τὸ βούλευμα εὐθὺς ἐπετέλει. Ἀρέθαν τε ξὺν τοῖς ἑπομένοις ἐπὶ Ἀσσυρίας ἐκέλευεν ἰέναι καὶ αὐτοῖς στρατιώτας διακοσίους τε καὶ χιλίους ξυνέπεμψεν, ὧν δὴ οἱ πλεῖστοι τῶν ὑπασπιστῶν τῶν αὐτοῦ ἦσαν, δορυφόρους αὐτοῖς ἐπιστήσας δύο, Τραϊανόν τε καὶ Ἰωάννην τὸν Φαγᾶν καλούμενον, ἄμφω ἀγαθοὺς τὰ πολέμια. καὶ αὐτοῖς μὲν Ἀρέθας πειθομένοις ἅπαντα πράσσειν ἐπέτελλεν, C *Ἀρέθαν δὲ ἅπαντα ἐκέλευε τὰ ἐν ποσὶ ληισάμενον, οὕτω τε ἐς τὸ στρατόπεδον ἐπανήκοντα ἀπαγγέλλειν σφίσιν ὁποῖά ποτε δυνά-* V 313 *μεως πέρι τοῖς Ἀσσυρίοις τὰ πράγματα εἴη. οἱ μὲν οὖν ἀμφὶ τὸν Ἀρέθαν Τίγρητα ποταμὸν διαβάντες ἐν Ἀσσυρίοις ἐγένοντο. οὗ*

1. ἱκανὴ] ἱκανῶς A a m. sec. ἱκανὴ ὡς H. ἱκανή πως Hm. 3. ἐς τὰ ἐπὶ Ἀσσυρίας στελλέσθω] *ad oppida Assyriae ut paulo post Syriae proficiscatur* RV. 12. ἔχει L. ἔχῃ P. 18. φαγᾶν L. Φαγὰν P. φάγαν et φαγᾶν Hm. Conf. p. 148 d. 19. ἐπέτελλεν] ἐπέστελλεν H: illud Hm. 22. πέρι] περὶ P. παρὰ Hm.

istud; interea Arethas cum suis in Assyriam involet. Hoc nempe sunt ingenio Saraceni, ut muros oppugnare nesciant; ad diripiendum populandumque nemo illis habilior. Una irrumpet fortiorum militum manus, ut si nihil se offerat quod adversetur, obvios quosque atterant: sin occurrat hostile quidpiam, quamprimum ad nos revolent sospites. Tum nos expugnato, si deo cordi erit, castello, cum omnibus copiis Tigrim traiiciemus, neminem, qui a tergo noceat, metuentes, ac certiores facti quo res Assyriae loco sint.

His dictis atque exceptis consensu omnium, protinus Belisarius in rem conferens deliberata, Aretham cum eius turmis in Assyriam destinat, militibus additis MCC. suis maximam partem protectoribus scutatis: quibus Praetorianos binos praeposuit, Traianum et Ioannem cognomine Heluonem, ambo bellicosissimos. Summum autem imperium dedit Arethae, et iniunxit ut obvia quaeque depopulatus rediret ad castra, renuntiaturus quid tandem virium haberent Assyrii. Arethas in Assyria

δὴ χώραν τε ἀγαθὴν εὑρόντες καὶ μακροῦ χρόνου ἀδῄωτον, ταύτῃ τε ἀφύλακτον οὖσαν, ἐξ ἐπιδρομῆς πολλὰ ληισάμενοι τῶν ἐκείνῃ χωρίων χρήματα μεγάλα περιεβάλλοντο. τότε δὲ Βελισάριος τῶν τινας Περσῶν ξυλλαβὼν, ἐνδεῖν τοῖς ἐν τῷ φρουρίῳ τὰ ἐπιτήδεια παντελῶς ἔμαθεν. οὐ γὰρ, ὥσπερ ἐν Δάρας τε καὶ Νισίβιδι πόλει, ἐν δημοσίῳ τὰς ἐπετείους τροφὰς ἀποτίθεσθαι νενομίκασιν, ἀλλὰ πολεμίων στρατοῦ ἀπροσδοκήτου σφίσιν D ἐπιπεσόντος ἐσκομισάμενοί τι τῶν ἀναγκαίων οὐκ ἔφθησαν. ἄφνω δὲ πολλῶν ἐς τὸ φρούριον καταφυγόντων, τῶν ἐπιτηδείων τῇ ἀπορίᾳ, ὡς τὸ εἰκὸς, ἐπιέζοντο. ἃ δὴ Βελισάριος γνοὺς Γεώργιον ἔπεμψεν ἄνδρα ξυνετώτατόν τε καὶ τῶν ἀπορρήτων αὐτῷ κοινωνοῦντα, ἀποπειρασόμενον τῶν ἐν ταύτῃ ἀνθρώπων, εἴ πως ὁμολογίᾳ τινὶ δύναιτο τὸ χωρίον ἑλεῖν. Γεώργιός τε παραίνεσίν H 74 τε ποιησάμενος καὶ πολλὰ ἐς αὐτοὺς ἐπαγωγὰ εἰπὼν ἔπεισε τὰ πιστὰ λαβόντας ἀμφὶ τῇ σωτηρίᾳ σφᾶς τε αὐτοὺς καὶ τὸ φρούριον ἐνδοῦναι Ῥωμαίοις. οὕτω Βελισάριος τὸ Σισαυράνων ἑλὼν τοὺς μὲν οἰκήτορας ἅπαντας, Χριστιανούς τε καὶ Ῥωμαίους τὸ ἀνέκαθεν ὄντας, ἀθῴους ἀφῆκε, τοὺς δὲ Πέρσας σὺν τῷ Βλησχάνῃ ἐς τὸ Βυζάντιον ἔπεμψε, καὶ τὸν τοῦ φρουρίου περίβολον ἐς P 134 ἔδαφος καθεῖλε. βασιλεύς τε οὐ πολλῷ ὕστερον τούτους τε τοὺς Πέρσας καὶ τὸν Βλησχάνην ἐς Ἰταλίαν Γότθοις πολεμήσοντας ἔπεμψε. τὰ μὲν οὖν ἀμφὶ τῷ Σισαυράνων φρουρίῳ ταύτῃ ἐχώρησεν.

5. Δάρας] Vulgo Δάραις. 21. Βλησχάνην] βληχάνην L.

traiecto Tigri ingressus, et regionem nactus uberrimam, iamdiu intactam hosti, ac praesidio nudam, multis repentino excursu direptis locis, divitias sibi ingentes paravit. Per id tempus comprehensi aliquot Persae Belisario indicarunt eos, qui in castello erant, cibariis omnino dėfici. Neque enim ibi, ut Darae Nisibique, mos erat ut annona in publico horreo reponeretur. Nullos etiam commeatus intulerant ante adventum hostis, utpote improvisum: recepta autem multitudine, quae in castellum derepente confugerat, penuria, quam inde consequi necesse erat, laborabant. Quibus cognitis, Belisarius Georgium intelligentissimum virum, quicum arcana communicabat, ad obsessos misit, ut eorum tentaret animos, ac si qua posset pactione Romanos castelli compotes faceret. Hortatus illos Georgius, blanda et invitabili oratione induxit, ut accepta fide vim abfuturam, se et castellum Romanis dederent. Ita Belisarius capto Sisaurano incolas omnes, qui et Christiani et a Romanis oriundi erant, illaesos abire sivit; Persas cum Bleschane misit Byzantium; castelli muros aequavit solo. Nec multo post Imperator in expeditionem Italicam adversus Gotthos proficisci hos Persas et Bleschanem iussit. Hunc demum habuit exitum castelli Sisaurani obsidio.

Ἀρέθας δὲ, δείσας μὴ τὴν λείαν πρὸς Ῥωμαίων ἀφαιρεθείη, οὐκέτι ἀναστρέφειν ἐς τὸ στρατόπεδον ἤθελε. πέμψας οὖν τῶν οἱ ἑπομένων τινὰς ἐπὶ κατασκοπῇ δῆθεν τῷ λόγῳ ἐκέλευε λάθρα ὡς τάχιστα ἐπανήκοντας συμβῆναι σφίσιν, ὅτι δὴ πολεμίων πολύς τις στρατὸς ἀμφὶ τοῦ ποταμοῦ τὴν διάβασιν εἴη. διὸ δὴ Τραϊανῷ τε καὶ Ἰωάννῃ παρῄνει ἑτέρᾳ ἰοῦσιν ὁδῷ ἐπανήκειν ἐς B Ῥωμαίων τὴν γῆν. παρὰ μὲν οὖν Βελισάριον οὐκέτι ἦλθον, ἔχοντες δὲ ποταμὸν Εὐφράτην ἐν δεξιᾷ οὕτω δὴ ἐς Θεοδοσιούπολιν τὴν πρὸς τῷ Ἀβόρρᾳ ποταμῷ ἵκοντο. Βελισάριος δὲ καὶ ὁ Ῥωμαίων στρατὸς οὐδὲν περὶ τοῦ στρατεύματος τούτου πυθόμενοι ἤσχαλλον, ἔς τε δέος καὶ ὑποψίαν οὔτε φορητήν τινα οὔτε μετρίαν ἐμπίπτοντες. χρόνου δὲ σφίσιν ἐν ταύτῃ δὴ τῇ προσεδρείᾳ τριβέντος συχνοῦ ξυνέβη πολλοῖς τῶν στρατιωτῶν πυρετῷ δυσκόλῳ ἐνταῦθα ἁλῶναι· αὐχμηρὰ γὰρ Μεσοποταμία ἡ Περσῶν κατήκοος ὑπερφυῶς ἐστιν. οὗπερ ἀήθεις ὄντες Ῥωμαῖοι καὶ διαφερόντως οἱ ἐκ Θρᾴκης ὁρμώμενοι, ἐν χωρίῳ ἐκτόπως αὐχμώδει C καὶ καλύβαις τισὶ πνιγηραῖς ὥρᾳ θέρους δίαιταν ἔχοντες, ἐνόσησαν οὕτως ὥστε ἡμιθνῆτες τὸ τριτημόριον τοῦ στρατοῦ ἔκειντο. ἅπας μὲν οὖν ὁ στρατὸς ἐνθένδε τε ἀπαλλάσσεσθαι καὶ ὅτι τάχιστα ἐς τὴν οἰκείαν γῆν ἐπανήκειν ἐν σπουδῇ εἶχον, μάλιστα δὲ ἁπάντων οἱ τῶν ἐν Λιβάνῳ καταλόγων ἄρχοντες, Ῥεκίθαγκός τε καὶ Θεόκτιστος, ὁρῶντες ὅτι δὴ καὶ ὁ χρόνος τὸ Σαρακηνῶν ἀνάθημα παρῴχηκεν ἤδη. Βελισαρίῳ γοῦν συχνὰ προσιόντες ἐδέ-

12. προσεδρείᾳ HL. προσεδρίᾳ P. 21. Ῥεκίθαγκος] ἀρκίθαγ-[illegible] κος A. ῥεγκίθαγγος H.

Arethas autem veritus ne parta praeda a Romanis spoliaretur, ad [illegible] ad castra reverti noluit. Quamobrem nonnullos e suis exploratum, ficte [illegible] scilicet, mittens, clam praecepit ut ocius redirent, ac voce una renun[illegible]tiarent magnum adesse exercitum hostium ad traiectum fluminis. Allato [illegible] hoc ab exploratoribus mendacio, Traianum et Ioannem hortatus est, u[illegible], ut alia via se in Romanas oras referrent. Itaque ad Belisarium non redie[illegible]runt; sed habentes a dextra Euphratem, petierunt Theodosiopolin, qua[illegible] est ad fluvium Aborrham sita. Interea Belisarius ac Rom. exercitus cum [illegible] de his copiis nihil audirent, angebantur metu, ut suspicione gravissim[illegible] atque intolerabili movebantur. Dum autem diutius ibi resident, difficili[illegible] febris milites bene multos corripuit. Quippe illa, quae Persis paret [illegible] Mesopotamiae pars fervore solis uritur: cuius insolentes Romani, maxim[illegible] Thraces, cum flagrantissimo in campo aestuosisque tuguriis adulta ae[illegible]state degerent, sic sunt morbo affecti, ut tertia militum pars iaceret se[illegible]mimortua. Quare maturum omnes discessum optabant, suspirantes a[illegible] ad sedes proprias, in primis numerorum Libani duces Rhecithangus e[illegible] et Theoctistus, qui iam praeteriisse tempus videbant, quo mos est Sarace[illegible]nis donaria deo afferre suo. Ergo Belisarium aditantes idque occine[illegible]

οντο σφᾶς αὐτίκα ἀφεῖναι, μαρτυρόμενοι ὡς Ἀλαμουνδάρῳ τά τε ἐπὶ Λιβάνου καὶ Συρίας χωρία ἐνδόντες κάθηνται αὐτοῦ οὐδενὶ λόγῳ.

Διὸ δὴ Βελισάριος ἅπαντας ξυγκαλέσας τοὺς ἄρχοντας βουλὴν προὔθηκεν. οὗ δὴ ἀναστὰς πρῶτος Ἰωάννης ὁ Νικήτου D υἱὸς ἔλεξε τοιάδε „Ἄριστε Βελισάριε, στρατηγὸν μὲν οὔτε τὴν τύχην οὔτε τὴν ἀρετὴν ἐκ τοῦ παντὸς χρόνου γεγενῆσθαι τοιοῦτον οἶμαι οἷος αὐτὸς εἶ. δόξα τε αὕτη οὐ Ῥωμαίων κεκράτηκε μόνον, ἀλλὰ καὶ βαρβάρων ἁπάντων. ταύτῃ μέντοι βεβαιότατα διαφυλάξεις τὴν εὔκλειαν, ἤν γε ζῶντας ἡμᾶς ἐς Ῥωμαίων τὴν γῆν διασώσασθαι δυνατὸς εἴης· ὡς νῦν γε ἡμῖν τὰ τῆς ἐλπίδος οὐκ ἐν καλῷ κεῖται. οὑτωσὶ γάρ μοι περὶ τοῦδε τοῦ στρατοῦ σκόπει. Σαρακηνοὶ μὲν καὶ οἱ τῶν στρατιωτῶν μαχιμώτατοι Τίγρητα ποταμὸν διαβάντες, ἡμέραν, οὐκ οἶδα ὅπως, τὴν ἄνω εἰς τοῦτο τάχος ἀφίκοντο ὥστε οὐδὲ ἄγγελον πέμψαι τινὰ παρ' ἡμᾶς ἴσχυσαν· Ῥεκίθαγκός τε καὶ Θεόκτιστος ἀποπορεύσονται, V 314 ὡς ὁρᾷς, δήπουθεν αὐτίκα δὴ μάλα τὸν Ἀλαμουνδάρου στρατὸν P 135 ἐν Φοίνιξι μέσοις εἶναι οἰόμενοι, ἄγοντά τε καὶ φέροντα ξύμπαντα τὰ ἐκείνῃ χωρία. τῶν δὲ λειπομένων οἱ νοσοῦντες εἰσὶ τοσοῦτοι τὸ πλῆθος ὥστε τοὺς θεραπεύσοντάς τε καὶ κομιοῦντας ἐς Ῥωμαίων τὴν γῆν ἐλάσσους αὐτῶν παρὰ πολὺ τὸν ἀριθμὸν εἶναι. τούτων δὲ τοιούτων ὄντων, ἤν τι ξυμβαίη πολέμιον ἢ

2. ἐνδόντες] „δόντες Reg." Malt. 6. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 15. τάχος] τάχα Pm. 16. Ῥεκίθαγκος] ῥεγκίθαγγος HL. 22. ὄντων om. L.

tes palam, se illic resides nulla teneri causa, postquam Libanum Syriamque Alamundari libidini expositas reliquissent, missionem efflagitabant.

Idcirco Belisarius, coacto Ducum concilio, rem vocavit in medium. Ubi primus cum surrexisset Ioannes Nicetae filius, orationem habuit eiuscemodi. *Equidem arbitror nullum fuisse ducem post homines natos, qui te, fortissime Belisari, cum fortuna, tum virtute aequiparaverit. Quae illustris cum laude opinio non Imperium modo Romanum opplevit, sed ad omnes etiam pervasit Barbaros. Hanc vero gloriam firmissime retinebis, si nunc maxime cum aegra spes nostra iacet, sospites nos Romano solo reddideris. Sic enim res huius exercitus animo tuo pertractes velim. Saraceni quidem et militum bellicosissimi, transito Tigri, superioribus diebus modo nescio quo deducti forte eo sunt, ut ne nuntium quidem ad nos mittere potuerint. Discedent propediem, ut vides, Rhecithangus et Theoctistus, quod copias Alamundari in ipso Phoeniciae gremio rapere omnia ac ferre putant. In residuis vero tantus est languentium numerus, ut, qui illos curent atque in Romanam terram reportent, multo sint pauciores. Tali in statu rerum, si hostes nobis vel hic morantibus vel remigrantibus offerrent sese, illatam calamitatem nemo unus nuntiare*

αὐτοῦ μένουσιν ἢ ὀπίσω ἰοῦσιν ἡμῖν ἀπαντῆσαι, οὐδ' ἄν τις ἀπαγγεῖλαι τοῖς ἐν Δάρας Ῥωμαίοις δύναιτο τὸ ξυμπεσὸν πάθος. τὸ γὰρ ἐπίπροσθέ πῃ ἰέναι οὐδὲ λόγῳ οἶμαι δυνατόν εἶναι· ἕως οὖν ἔτι λείπεταί τις ἐλπὶς, τὰ ἐς τὴν ἐπάνοδον βουλεύεσθαί τε καὶ πράσσειν ξυνοίσει. τοῖς γὰρ ἐς κίνδυνον ἄλλως τε καὶ τοιοῦτον καθεστηκόσι μὴ τὴν σωτηρίαν διασκοπεῖσθαι, ἀλλὰ τὴν ἐς τοὺς πολεμίους ἐπιβουλὴν, πολλὴ ἄνοια.“ τοσαῦτα Ἰωάννης τε εἶπε καὶ οἱ λοιποὶ ἅπαντες ἐπῄνεσαν, ἔς τε θόρυβον καθιστάμενοι τὴν ἀναχώρησιν κατὰ τάχος ποιεῖσθαι ἠξίουν. διὸ δὴ Βελισάριος πρότερον τοὺς νοσοῦντας ἐν τοῖς ὑποζυγίοις ἐνθέμενος ὑπῆγεν ὀπίσω τὸ στράτευμα. ἐπειδή τε τάχιστα ἐν γῇ τῇ Ῥωμαίων ἐγένοντο, ἅπαντα μὲν τὰ τῷ Ἀρέθᾳ εἰργασμένα ἔγνω, δίκην μέντοι λαβεῖν οὐδεμίαν παρ' αὐτοῦ ἴσχυσεν, ἐπεί οἱ ἐς ὄψιν οὐκέτι ἦλθεν. ἡ μὲν οὖν Ῥωμαίων ἐσβολὴ ἐς τοῦτο ἐτελεύτα.

Χοσρόῃ δὲ Πέτραν ἑλόντι Βελισάριος ἐσβαλὼν ἐς γῆν τὴν Περσίδα ἠγγέλλετο καὶ ἡ ἀμφὶ πόλιν Νίσιβιν ξυμβολὴ, φρουρίου τε τοῦ Σισαυράνων ἡ ἅλωσις, καὶ ὅσα Τίγριν ποταμὸν διαβὰν τὸ ξὺν Ἀρέθᾳ στράτευμα ἔπρασσεν. αὐτίκα τε φυλακὴν ἐν τῇ Πέτρᾳ καταστησάμενος ξὺν τῷ ἄλλῳ στρατῷ καὶ Ῥωμαίων τοῖς ἁλοῦσιν ἐς τὰ Περσῶν ἤθη ἀπήλαυνε. ταῦτα μὲν ἐν τῇ δευτέρᾳ Χοσρόου ἐσβολῇ ξυνηνέχθη γενέσθαι. Βελισάριος δὲ βασιλεῖ ἐς Βυζάντιον μετάπεμπτος ἐλθὼν διεχείμαζεν.

4. *ἔτι λείπεται*] *ἐπιλείπεται* L. 17. *Τίγριν*] *τίγρην* L. 21. *ἐσβολῇ*] *ἐσβουλῇ* L.

Romanis posset, qui Darae sunt. Nam ut ultra progrediamur, ne fingi quidem posse existimo, in nostra id situm esse facultate. Dum igitur spei nonnihil restat, conducet providere iam et expedire quae sunt ad reditum necessaria. In discrimine enim, tali praesertim ac tanto, non de sua salute, sed de hoste perdendo cogitare, summae est profecto dementiae. Haec et Ioannes dixit, et caeteri comprobarunt, postularuntque tumultuando, ut reditus celeraretur. Ea de causa Belisarius aegris in iumenta impositis, retro exercitum subduxit. Vix autem in finibus Romanae ditionis pedem posuerant, cum ea quidem, quae commiserat Arethas, plane cognovit; in eum tamen, quippe absentem, non potuit animadvertere. Hic demum irruptionis Romanorum exitus fuit.

At Chosroes potitus urbe Petra, simul ut ex nuntiis didicit Belisarium irrupisse in Persidem, editam ad Nisibin pugnam, captum castellum Sisauranum, et quaecunque exercitus Arethae traiecto Tigri patraverat, constituto Petrae praesidio, cum reliquis copiis ac Romanis captivis in Persidem contendit. Atque ita quidem Chosroi processit ipsius altera expeditio. Belisarius vero Byzantium accitu Imperatoris reversus, ibi hiemem egit.

κ'. Ἅμα δὲ ἦρι ἀρχομένῳ Χοσρόης ὁ Καβάδου τὸ τρίτον D στρατῷ μεγάλῳ ἐς γῆν τὴν Ῥωμαίων ἐσέβαλλε, ποταμὸν Εὐφράτην ἐν δεξιᾷ ἔχων. Κάνδιδος δέ, ὁ Σεργιουπόλεως ἱερεύς, ἐπειδὴ τὸν Μήδων στρατὸν ἄγχιστά που ἥκειν ἐπύθετο, δείσας περί τέ οἱ αὐτῷ καὶ τῇ πόλει, ἐπεὶ χρόνῳ τῷ ξυγκειμένῳ Χοσρόῃ τὰ ὡμολογημένα ὡς ἥκιστα ἐπετέλεσεν, ἐν τῷ τῶν πολεμίων P 136 στρατοπέδῳ γενόμενος παρῃτεῖτο Χοσρόην μή οἱ διὰ ταῦτα χαλεπῶς ἔχειν. χρήματα μὲν γὰρ οὐδεπώποτε αὐτῷ γεγονέναι, καὶ διὰ τοῦτο ἀρχὴν οὐδὲ βεβουλῆσθαι Σουρηνοὺς ῥύεσθαι, βασιλέα δὲ Ἰουστινιανὸν ὑπὲρ τούτων πολλὰ ἱκετεύσας ἀνόνητος αὐτοῦ γεγενῆσθαι. Χοσρόης δὲ αὐτὸν ἐν φυλακῇ ἔσχε, καὶ τὸ σῶμα πικρότατα αἰκιζόμενος διπλάσια τὰ χρήματα ἤπερ συνέκειτο πράττειν ἠξίου. ὁ δὲ αὐτὸν ἐς Σεργιούπολιν τινὰς ἱκέτευε πέμψαι τὰ κειμήλια ξύμπαντα τοῦ ἐνταῦθα ἱεροῦ ληψομένους. καὶ ἐπεὶ κατὰ ταῦτα ὁ Χοσρόης ἐποίει, τῶν οἱ ἑπομένων τινὰς ὁ Κάνδιδος ξὺν αὐτοῖς ἔπεμψεν. οἱ μὲν οὖν Σεργιουπολῖται τοὺς B παρὰ Χοσρόου σταλέντας τῇ πόλει δεξάμενοι τῶν κειμηλίων πολλὰ ἔδοσαν, ἄλλο οὐδὲν σφίσιν ἀπολελεῖφθαι ἰσχυριζόμενοι. Χοσρόης δὲ ταῦτά οἱ ἀποχρῆν οὐδαμῶς ἔφη, ἀλλ' ἕτερα τούτων πλείω λαβεῖν ἐδικαίου. πέμπει τοίνυν τινὰς τῷ μὲν λόγῳ διερευνησομένους ἐς τὸ ἀκριβὲς τὰ τῆς πόλεως χρήματα, ἔργῳ δὲ τὴν πόλιν καθέξοντας. καὶ ἐπεὶ οὐκ ἔδει Σεργιούπολιν Πέρσαις

13. σεργιούπολιν et σεργιουπολῖται A hic et infra. Σεργίου πόλιν et Σεργίου πολῖται P.

20. Vere primo Chosroes Cabadis filius tertium in fines Rom. irrupit cum ingenti exercitu, secundum Euphratem a dextra labentem iter habens. Ubi Medorum copias adesse proxime audivit Candidus Sergiopolitanus Antistes, sibi civitatique metuens quod Chosroi promissa ad diem non praestitisset, hostium castra ingressus, eum obsecravit ne sibi ob hanc causam iratus esset: nunquam se habuisse pecuniam: propterea recusasse ipso initio Surenos redimere: nec precibus, quamvis enixe repetitis, tantillum profecisse apud Iustinianum Aug. Nihilominus Chosroes ipsum habuit in custodia, et in eius corpus cruciatu acerbissimo saeviens, maiorem duplo, quam pacto convenerat, summam exigere voluit. At ille petiit supplex, ut Sergiopolin mitterentur, qui quidquid esset supellectilis pretiosae in templo urbis acciperent. Id cum fieri iussisset Chosroes, una quosdam e suo comitatu Candidus misit. Acceptis in urbem, quos Rex destinaverat, multa e sacro thesauro Sergiopolitani dedere, aliud sibi nihil reliquum factum asseverantes. Verum Chosroes multo plura deberi sibi contendens, negavit se illis contentum esse. Quare misit suorum manum, specie quidem ut civitatis opes perscrutarentur, re autem eo consilio ut ipsam occuparent. Quoniam vero in potestatem Persarum ventura Sergiopolis minime erat, Saracenus quidam

V 315 ἁλῶναι, τῶν τις Σαρακηνῶν Χριστιανὸς μὲν, ταττόμενος δὲ ὑπὸ Ἀλαμουνδάρῳ, Ἄμβρος ὄνομα, νύκτωρ παρὰ τὸ τῆς πόλεως τεῖχος ἥκων καὶ τὸν πάντα λόγον ἀγγείλας ἐκέλευε Πέρσας τῇ C πόλει μηδαμῇ δέξασθαι. οὕτω τε οἱ παρὰ Χοσρόου σταλέντες ἄπρακτοι ἐς αὐτὸν ἐπανῆλθον, καὶ ὃς τῷ θυμῷ ζέων τὴν πόλιν ἐξελεῖν διενοεῖτο. στράτευμα οὖν ἐς ἑξακισχιλίους στείλας ἐκέλευεν ἔς τε πολιορκίαν καθίστασθαι καὶ προσβολὰς τῷ περιβόλῳ ποιήσασθαι. καὶ οἱ μὲν ἐνταῦθα γενόμενοι ἔργου εἴχοντο, Σεργιουπολῖται δὲ καρτερῶς μὲν τὰ πρῶτα ἠμύνοντο, ἔπειτα ἀπειπόντες τε καὶ κατωρρωδηκότες τὸν κίνδυνον ἐβουλεύοντο τοῖς πολεμίοις τὴν πόλιν ἐνδοῦναι. στρατιώτας γὰρ οὐ πλέον ἢ διακοσίους ἔχοντες ἔτυχον. ἀλλὰ Ἄμβρος, αὖθις παρὰ τὸν περίβο-
D λον ἐς νύκτα ἥκων, δυοῖν ἡμέραιν τὴν πολιορκίαν διαλύσειν Πέρσας ἔφασκε, τοῦ ὕδατος αὐτοῖς παντάπασιν ἐπιλιπόντος. διὸ δὴ αὐτοὶ μὲν ἐς λόγους τοῖς πολεμίοις οὐδαμῇ ἦλθον, οἱ δὲ βάρβαροι δίψει ἐχόμενοι ἐξανέστησάν τε καὶ παρὰ Χοσρόην ἀφίκοντο. Κάνδιδον μέντοι Χοσρόης οὐκέτι ἀφῆκε. χρῆν γὰρ, οἶμαι, αὐτὸν τὰ ὀμωμοσμένα ἠλογηκότα ἱερέα οὐκέτι εἶναι. ταῦτα μὲν οὖν τῇδε ἐχώρησεν.

Ἐπεὶ δὲ ἐς τὴν Κομαγηνῶν χώραν ὁ Χοσρόης ἀφίκετο, ἣν καλοῦσιν Εὐφρατησίαν, ἐς λείαν μὲν ἢ χωρίου του ἅλωσιν τρέπεσθαι οὐδαμῇ ἤθελεν, ἐπεὶ τὰ ἐν ποσὶ μέχρι ἐς Σύρους τὰ μὲν

13. δυοῖν] δυεῖν P. 14. ἔφασκε A. ἔφασκεν P. 20. Κομαγηνῶν] Κομμαγηνῶν P.

Christianus et Alamundari imperio subditus, cui nomen Ambro, noctu ad urbis muros accessit, fraudeque indicata, hortatus est cives, ut Persas nequaquam reciperent. Itaque inanes ad Chosroem redierunt illi, quos ipse miserat. Hac repulsa graviter offensus, expugnandae urbis consilium cepit: eo mox exercitum senis millibus constantem proficisci, obsidium facere, et in muros dare impressionem iussit. Quo illi cum pervenissent, manum operi admoverunt. Ac fortiter quidem initio resistebant Sergiopolitani; post tamen collapsi animis et Martis aleam reformidantes, deditionem meditabantur: neque enim plus ducentos milites habebant. Sed Ambrus iterum de nocte progressus ad moenia, compulsos aquae penuria Persas obsidionem intra biduum soluturos significavit. Quapropter oppidani in colloquium cum hostibus non venerunt. Barbari autem castra moverunt, exusti siti, seque retulerunt ad Chosroem: qui Candidum deinceps nunquam dimisit. Haec nempe, credo, poena illum manebat, ut ob spretum iusiurandum Praesulatu excideret in perpetuum. Haec ita se habuere.

Ingressus Chosroes in Comagenen, quam alio vocant nomine Euphratesiam, quoniam in prima expeditione obvia quaeque usque in Sy-

ἐξελὼν, τὰ δὲ ἀργυρολογήσας πρότερον ἔτυχεν, ὥσπερ μοι ἐν P 137
τοῖς ἔμπροσθεν λόγοις δεδήλωται. γνώμην δὲ εἶχεν εὐθὺ Πα-
λαιστίνης ἄγειν τὸ στράτευμα, ὅπως τά τε ἄλλα καὶ τὰ ἐν Ἱερο-
σολύμοις κειμήλια πάντα λήσηται. χώραν γὰρ ταύτην ἀγαθήν H 76
τε διαφερόντως καὶ πολυχρύσων οἰκητόρων εἶναι ἀκοῇ εἶχεν. Ῥω-
μαῖοι δὲ ἄρχοντές τε καὶ στρατιῶται τοῖς μὲν πολεμίοις ὑπαντιά-
ζειν ἢ τῇ παρόδῳ ἐμποδὼν ἵστασθαι τρόπῳ οὐδενὶ διενοοῦντο, τὰ
δὲ ὀχυρώματα καταλαβόντες ὡς ἕκαστος ἠδύνατο ἀποχρῆν ᾤοντο
ταῦτά τε διαφυλάσσειν καὶ αὐτοὶ σώζεσθαι.

Γνοὺς δὲ τὴν Περσῶν ἔφοδον Ἰουστινιανὸς βασιλεὺς Βελι-
σάριον αὖθις ἐπ' αὐτοὺς ἔπεμψεν. ὁ δὲ ἵπποις τοῖς δημοσίοις B
ὀχούμενος, οὓς δὴ βερέδους καλεῖν νενομίκασιν, ἅτε οὐ στρά-
τευμα ξὺν αὐτῷ ἔχων, τάχει πολλῷ ἐς Εὐφρατησίαν ἀφίκετο,
Ἰοῦστος δέ, ὁ βασιλέως ἀνεψιός, ἐν Ἱεραπόλει ξύν τε τῷ Βούζῃ
καὶ ἑτέροις τισὶ καταφυγὼν ἔτυχεν. οἳ δὴ Βελισάριον οὐ μακρὰν
ἄποθεν ἥκειν ἀκούσαντες γράμματα πρὸς αὐτὸν ἔγραφον. ἐδή-
λου δὲ ἡ γραφὴ τάδε „Καὶ νῦν ὁ Χοσρόης, ὥσπερ οἶσθά που
καὶ αὐτός, ἐπὶ Ῥωμαίους ἐστράτευσε, στρατὸν μὲν πολλῷ πλείονα
ἢ πρότερον ἄγων, ὅπῃ ποτὲ δὲ ἰέναι διανοούμενος οὔπω ἔνδηλος
ὤν, πλήν γε δὴ ὅτι αὐτὸν ἄγχιστά πῃ ἀκούομεν εἶναι, χωρίῳ μὲν
οὐδενὶ λυμηνάμενον, ὁδῷ δὲ ἀεὶ ἐπίπροσθεν ἰόντα. ἀλλ' ἧκε
παρ' ἡμᾶς ὅτι τάχιστα, εἴπερ οἷός τε εἶ λαθεῖν τὸ τῶν πολεμίων C

12. βερέδους] μερέδους HL. *veredos* RV. 13. αὐτῷ] αὑτῷ P.

riam partim solo aequarat, partim exhauserat exacta pecunia, ut supra narravi; nec ad praedam faciendam, nec ad locum expugnandum ullum convertere sese voluit. Erat ipsi consilium recta in Palaestinam exercitum ducere, ut cum caetera omnia, tum sacram Hierosolymorum gazam diriperet. Illam enim regionem perbonam, eiusque incolas bene nummatos esse audiverat. Romani vero duces iuxta ac milites nullo modo cogitabant hosti occurrere illumve aditu prohibere; sed pro se quisque munita loca occupaverant, satis habentes, ea seque ipsos incolumes custodire.

Certior factus de adventu Persarum Iustinianus Aug. iterum adversus illos Belisarium destinat. Is equis publicis, qui veredi appellari solent, vectus, propterea quod secum exercitum non habebat, magnis itineribus in Euphratesiam pervenit. Iam Iustus Augusti ex fratre nepos Hierapolin confugerat cum Buze aliisque nonnullis: qui postquam Belisarium non longe abesse audierunt, ad ipsum scripsere literas, quarum haec sententia fuit. *Nunc etiam Chosroes cum copiis multo quam ante maioribus, ut ipse scis, Romanos invadit, obscurum adhuc relinquens quo tandem spectet. Hoc tantum fama fert, esse illum in proximo: et innoxium, indesinenter viam progredi. Agesis, ad nos veni quamprimum:*

στρατόπεδον, ὅπως δὴ σῶς τε αὐτὸς βασιλεῖ ἔσῃ καὶ Ἱεράπολιν ἡμῖν φυλάξῃς ξὺν ἡμῖν.“ τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Βελισάριος δὲ οὐκ ἐπαινέσας τὰ γεγραμμένα ἐς Εὐρωπὸν τὸ χωρίον ἀφίκετο, ὃ πρὸς Εὐφράτῃ ποταμῷ ἐστιν. ἔνθεν τε περιπέμπων πανταχόσε τὸν στρατὸν ἤγειρε καὶ αὐτοῦ τὸ στρατόπεδον κατεστήσατο, ἄρχοντάς τε τοὺς ἐν Ἱεραπόλει ἠμείβετο τοῖσδε „Εἰ μὲν ἐφ' ἑτέρους ἀνθρώπους τινάς, ἀλλ' οὐ Ῥωμαίων κατηκόους ὁ Χοσρόης χωρεῖ, εὖ τε καὶ ὡς ἀσφαλέστατα ὑμῖν βεβούλευται ταῦτα· οἷς γὰρ ἔστιν ἡσυχῇ μένουσιν ἀπηλλάχθαι κακῶν, πολλὴ ἄνοια ἐς κίνδυνον οὐκ ἀναγκαῖόν τινα ἰέναι· εἰ δὲ νῦν ἐνθένδε
D *ἀπαλλαγεὶς ὁ βάρβαρος οὗτος ἑτέρᾳ τινὶ ἐπισκήψει βασιλέως Ἰουστινιανοῦ χώρᾳ, καὶ ταύτῃ διαφερόντως μὲν ἀγαθῇ, φρουρὰν δὲ οὐδαμῇ στρατιωτῶν ἐχούσῃ, εὖ ἴστε ὅτι τὸ ξὺν τῇ ἀρετῇ ἀπολωλέναι τοῦ σεσῶσθαι ἀμαχητὶ τῷ παντὶ ἄμεινον. οὐ γὰρ ἂν σωτηρία τοῦτό γε, ἀλλὰ προδοσία δικαίως καλοῖτο. ἀλλὰ ἥκετε ὅτι τάχιστα ἐς τὸν Εὐρωπὸν, οὗ δὴ συλλέξας τὸ στράτευμα ὅλον*
V 316 *ὅσα ἂν ὁ θεὸς διδῷ ἐλπίδα ἔχω τοὺς πολεμίους ἐργάσασθαι.“ ταῦτα ἐπεὶ ἀπενεχθέντα οἱ ἄρχοντες εἶδον, ἐθάρσησάν τε καὶ Ἰοῦστον μὲν ξὺν ὀλίγοις τισὶν αὐτοῦ ἔλιπον ἐφ' ᾧ τὴν Ἱεράπολιν φυλάξουσιν, οἱ δὲ λοιποὶ τῷ ἄλλῳ στρατῷ ἐς Εὐρωπὸν ἦλθον.*

1. *Ἱεράπολιν*] Vulgo *Ἱερὰν πόλιν.* 2. *ξὺν ἡμῖν*] *ξὺν ἡμᾶς* A. 4. *εὐφράτῃ ποταμῷ* HmL. *Εὐφράτην ποταμὸν* P. 6. *Ἱεραπόλει*] Vulgo *Ἱερᾷ πόλει.* 7. *τινὰς* add. L. 9. „*ἔστιν* Reg.“ Malt. *πάρεστιν* P. 13. *ἐχούσῃ*] *ἐπιτίθεται* addebat I. Scaliger: frustra. 15. *καλοῖτο* A. *καλεῖτο* H. *ἐκαλεῖτο* P. 17. *ἔχω*] *ἔχων* H. 19. *Ἱεράπολιν*] Vulgo *Ἱερὰν πόλιν.*

quandoquidem hostes ita potes effugere, ut et te Imperatori, et nobis Hierapolin nobiscum serves. Haec monebant literae: quibus Belisarius parum probatis, contulit se Europum; quod oppidum Euphrati adiacet: unde quoquoversum nuntios mittens, exercitum coegit, et castra ibidem metatus est. Tum ducibus, qui se Hierapoli continebant, his verbis rescripsit. *Si quampiam gentem aliam Chosroes, non autem populos Romanis subditos petit, optimum sane vos ac saluberrimum consilium iniistis. Nam qui mala vitare cessando possunt, nae illi stultissime fecerint, si discrimen adeant supervacaneum. At si hinc Barbarus iam demigret, seque in aliquam aliam immittat provinciam ditionis Augusti, eamque felicissimam, et militari praesidio plane nudam, id probe teneatis, satius omnino esse vitam profundere viriliter quam segniter et citra pugnam retinere. Neque enim id salus, sed proditio iure appellaretur. Quin vos potius Europum advolate: ubi integro collecto exercitu, nos in hostem patraturos confido quidquid Deus annuerit.* His lectis duces animos erigunt, et Iusto cum paucis ad Hierapolis custodiam relicto, caeteri cum reliquis copiis Europum veniunt.

κα'. Χοσρόης δὲ μαθὼν Βελισάριον παντὶ τῷ στρατῷ P 138 ἐστρατοπεδεῦσθαι ἐν Εὐρωπῷ, πρόσω μὲν ἐλαύνειν οὐκέτι ἔγνω, τῶν δὲ βασιλικῶν γραμματέων ἕνα, Βαρδάνην ὄνομα, δόξαν ἐπὶ ξυνέσει πολλὴν ἔχοντα, παρὰ Βελισάριον ἔπεμψε, τὸν στρατηγὸν μὲν ὁποῖός ποτε εἴη κατασκεψόμενον, τῷ δὲ λόγῳ μεμψόμενον, ὅτι δὴ βασιλεὺς Ἰουστινιανὸς τοὺς πρέσβεις ἐς Πέρσας ἥκιστα πέμψειε, ἐφ' ᾧ τὰ ἀμφὶ τῇ εἰρήνῃ κατὰ τὰ συγκείμενα πρυ- B τανεύσωσιν. ὅπερ μαθὼν Βελισάριος ἐποίει τοιάδε. αὐτὸς μὲν ἑξακισχιλίους ἀπολεξάμενος ἄνδρας εὐμήκεις τε καὶ τὰ σώματα καλοὺς μάλιστα μακράν που ἄποθεν τοῦ στρατοπέδου ὡς κυνηγετήσων ἐστάλη, Διογένην δὲ τὸν δορυφόρον καὶ Ἀδόλιον τὸν Ἀκακίου, ἄνδρα Ἀρμένιον γένος, βασιλεῖ μὲν ἀεὶ ἐν παλατίῳ τὰ ἐς τὴν ἡσυχίαν ὑπηρετοῦντα (σιλεντιαρίους Ῥωμαῖοι καλοῦσιν οἷς ἡ τιμὴ αὕτη ἐπίκειται), τότε δὲ Ἀρμενίων τινῶν ἄρχοντα, τὸν ποταμὸν διαβάντας ξὺν ἱππεῦσι χιλίοις περιιέναι τὴν ἐκείνῃ ᾐόνα C ἐκέλευε, δόκησιν ἀεὶ παρεχομένους τοῖς πολεμίοις ὡς, ἢν ἐθέλωσι τὸν Εὐφράτην διαβάντες ἐπὶ τὰ σφέτερα αὐτῶν ὁδῷ ἰέναι, οὐ μήποτε ἐπιστρέψουσι. καὶ οἱ μὲν κατὰ ταῦτα ἐποίουν.

Βελισάριος δέ, ἐπεὶ τὸν πρεσβευτὴν ἄγχιστά που ἐπέπυστο εἶναι, καλύβην ἐκ παχειῶν τινῶν σινδόνων πηξάμενος, ἣν δὴ

3. *Βαρδάνην*] Vulgo *Ἀβανδάνην*. *Banadarem* RV. Conf. p. 139 a. *ibid.* *ὄνομα* A. *τοὔνομα* P. 5. *κατασκεψόμενον* — *ποταμοῦ πρὸς τῶν* (p. 139 d.) om. AH: ex codice Vaticano supplevit P, et vertit RV. 12. *ἀεὶ*] *αἰεὶ* V. 13. *ἐς* V. *εἰς* P. 15. *διαβάντας*] *διαβάντα* V. *ibid.* *ᾐόνα*] *ἠιόνα* PV. 16. *ἀεὶ*] *αἰεὶ* V.

21. Ubi resciit Chosroes Belisarium toto cum exercitu castra ad Europum locasse, longius progredi noluit; sed Abandanem, commendatissimae prudentiae virum, qui unus erat e scribis regiis, ad Belisarium misit, explorandi causa qualis tandem is esset dux: quamvis hanc speciem haberet legatio, ut ille expostularet, quod Iustinianus Aug. legatos, qui ex convento pacem constituerent, in Persidem non destinasset. Qua de re monitus Belisarius ita se comparavit. Delectis sibi virorum millibus sex, qui corporis proceritate et forma praestabant, longe a castris veluti ad venationem processit: et Diogenem praetorianum, Adoliumque Acacii filium natione Armenium, quem in palatio semper Imperator habuerat quietis et silentii ministrum (Silentiarios Romani vocant quibus impositum hoc munus est) tunc autem Armeniorum turma ducem illum sequebatur; fluvium traiicere cum equitibus mille, itaque ulteriorem ripam obire iussit, ut opinionem praeberent hosti, si in patriam remigrare vellet, Euphrate transito, se nunquam pedem relaturos. Dicto illi audientes fuere.

Cum adventare legatum, ac iam prope esse Belisarius intellexit, composito e crassioribus quibusdam linteis tentorio (vulgo papilionem

παπυλεῶνα καλεῖν νενομίκασιν, ἐκάθητο ἐκεῖ, ὥσπερ ἐν χωρίῳ
ἐρήμῳ, παραδηλῶν ὅτι δὴ οὐδεμιᾷ παρασκευῇ ἐνταῦθα ἥκοι.
D τοὺς δὲ στρατιώτας διέταξεν ὧδε. τῆς μὲν καλύβης ἐφ' ἑκάτερα
Θρᾷκές τε καὶ Ἰλλυριοὶ ἦσαν, Γότθοι δὲ μετ' αὐτούς, καὶ τού-
των ἐχόμενοι Ἔρουλοι, μεθ' οὓς Βανδίλοι τε καὶ Μαυρούσιοι
ἦσαν, τοῦ τε πεδίου ἐπὶ τὸ πλεῖστον διῆκον. οὐ γὰρ ἑστῶτες
ἐπὶ χώρας ἀεὶ τῆς αὐτῆς ἔμενον, ἀλλὰ διεστηκότες τε ἀπ' ἀλλή-
λων καὶ περιπάτους ποιούμενοι παρέργως τε καὶ ὡς ἥκιστα κατε-
σπουδασμένως ἐς τὸν Χοσρόου πρεσβευτὴν ἔβλεπον. εἶχε δὲ αὐ-
P 139 τῶν οὐδεὶς οὔτε χλαμύδα οὔτε ἄλλην ἐπωμίδα τινά, ἀλλὰ χιτῶνας
μὲν λινοῦς καὶ ἀναξυρίδας ἀμπεχόμενοι, εἶτα διεζωσμένοι ἐβάδι-
ζον. εἶχε δὲ τὴν τοῦ ἵππου μάστιγα ἕκαστος, ὅπλον δὲ τῷ μὲν
ξίφος ἦν, τῷ δὲ πέλεκυς, τῷ δὲ τόξα γυμνά. δόκησίν τε παρεί-
χοντο ἅπαντες ὅτι δὴ ἀφροντιστήσαντες τῶν ἄλλων ἁπάντων κυ-
νηγετήσειν ἠπείγοντο. ὁ μὲν οὖν Βαρδάνης Βελισαρίῳ ἐς ὄψιν
ἥκων δεινὰ ποιεῖσθαι τὸν βασιλέα Χοσρόην ἔφη, ὅτι δὴ καθὰ
ξυνέκειτο πρότερον οὐ πέμψειε παρ' αὐτὸν τοὺς πρέσβεις ὁ Καῖσαρ
(οὕτω γὰρ τὸν Ῥωμαίων βασιλέα καλοῦσι Πέρσαι) καὶ ἀπ' αὐ-
τοῦ ὁ Χοσρόης ἠνάγκαστο εἰς γῆν τὴν Ῥωμαίων ἐν ὅπλοις ἥκειν.
B Βελισάριος δὲ οὔτε κατορρωδήσας, ἅτε πη ἄγχιστα ἐστρατοπε-
δευμένων βαρβάρων τοσούτων πλῆθος, οὔτε τῷ λόγῳ ἐς ταρα-

1. παπυλεῶνα V et sic scriptum affert Ducangius in Glossario p. 1102. παπιλιῶνα P. *papilionem* RV. 4. Ἰλλυριοὶ] ἰλλύριοι PV. 5. Ἔρουλοι Maltretus cum RV. ἔλουροι PV. 6. τὸ addidi ex V. 7. ἀεὶ] αἰεὶ V. *ibid.* τε ἀπ' V. τε om. P. 10. χλαμύδα] Legebatur χλανίδα. 15. βαρδάνης V. *Banadares* RV. Ἀβανδάνης P. Conf. p. 138 a. 17. αὐτὸν] αὐτοῦ V. 21. τοσούτων] τοσοῦτον V.

appellant) ibi, tanquam ita ferret desertus locus, consedit, se illuc absque apparatu ullo venisse indicans: milites vero ad hunc modum disposuit. Tentorium dextra ac laeva cingebant Thraces atque Illyrii. Succedebant Gotthi, coniunctique his Eruli: quos Vandali ac Mauri excipiebant. Longe ac late campus obtinebatur. Neque enim iisdem semper vestigiis haerentes stabant; sed sparsi, ambulando varia conficiebant spatia; et in legatum Chosrois, quasi aliud agendo, negligenter contemptimque ora vertebant. Nec laena quisquam nec humerali quopiam amiculo, at lineis duntaxat tunicis braccisque induti omnes et praecincti incedebant. Equestri flagello quisque instructus, armatus hic ense, ille securi, nudo alius arcu, venationis consilium studiumque prae se cuncti ferebant, caeterarum plane rerum securi. Porro Abandanes, ubi in Belisarii conspectum venit, Regem Chosroem dixit indigne ferre et conqueri, quod Caesar (ita Persae Rom. Imperatorem vocant) ad se, ut prius convenerat, legatos non misisset: coactum ea re Chosroem fines Rom. ingredi armata manu. Hic Belisarius nec vicinia castrorum, in quibus tot erant Barbari, territus, nec illius oratione commotus, sed renidenti

χήν τινα καταστὰς, ἀλλὰ γελῶντί τε καὶ ἀνειμένῳ τῷ προσώπῳ ἀμείβεται „Οὐ ταύτῃ“ λέγων „ᾗ τῷ Χοσρόῃ τανῦν εἰργάσθαι νενόμισται τοῖς ἀνθρώποις τὰ πράγματα. οἱ μὲν γὰρ ἄλλοι, ἤν V 317 *τι ἀντιλέγοιτο σφίσι τε καὶ τῶν πέλας τισὶ, πρεσβεύουσι μὲν ἐς αὐτοὺς πρότερον, ἐπειδὰν δὲ τῶν μετρίων οὐ τύχωσιν, οὕτω δὴ* c *πολέμῳ ἐς αὐτοὺς ἴασιν. ὁ δὲ γενόμενος ἐν μέσοις Ῥωμαίοις, εἶτα τοὺς ὑπὲρ τῆς εἰρήνης προτείνεται λόγους.“ ὁ μὲν τοσαῦτα εἰπὼν τὸν πρεσβευτὴν ἀπεπέμψατο.*

Ὁ δὲ παρὰ Χοσρόην γενόμενος παρῄνει οἱ ὅτι τάχιστα C *ἀπαλλάσσεσθαι. στρατηγῷ γὰρ ἔφη ἐντυχεῖν ἀνδρειοτάτῳ τε καὶ ξυνετωτάτῳ ἀνθρώπων ἁπάντων καὶ στρατιώταις οἵους ἄλλους αὐτὸς οὐ πώποτε εἶδεν, ὧν δὴ τὴν εὐκοσμίαν θαυμάσειε μάλιστα πάντων, εἶναί τε οὐκ ἐξ ἀντιπάλου τοῦ κινδύνου αὐτῷ τε καὶ Βελισαρίῳ τὴν ἀγωνίαν, διαφέρειν δὲ, ὅτι νικήσας μὲν αὐτὸς τὸν Καίσαρος νικήσει δοῦλον, ἡσσηθεὶς δὲ, ἂν οὕτω τύχοι, μέγα τι αἶσχος τῇ τε βασιλείᾳ ποριεῖται καὶ τῷ Περσῶν γένει, καὶ Ῥωμαῖοι μὲν νενικημένοι ῥᾳδίως ἄν ἔν τε ὀχυρώμασι καὶ γῇ τῇ αὐτῶν διασώζοιντο. αὐτῶν δὲ, ἤν γέ τι ἐναντίωμα ξυμβαίη, οὐδ᾽ ἂν ἄγγελος διαφύγοι ἐς τὴν Περσῶν χώραν. ταύτῃ ὁ Χοσρόης ἀνα-* D *πεισθεὶς τῇ ὑποθήκῃ ἀναστρέφειν μὲν ἐς τὰ Περσῶν ἤθη ἐβούλετο, ἀμηχανίᾳ δὲ πολλῇ εἴχετο. τήν τε γὰρ διάβασιν τοῦ ποταμοῦ πρὸς τῶν πολεμίων φυλάσσεσθαι ᾤετο καὶ ὁδῷ τῇ αὐτῇ, ἐρήμῳ ἀνθρώπων παντάπασιν οὔσῃ, ὀπίσω ἀπελαύνειν οὐχ οἷός*

11. ξυνετωτάτῳ V. συνετωτάτῳ P.

exporrectoque ore respondens; *Non ea*, inquit, *ratione, quam sequitur modo Chosroes, geri res ab hominibus solent. Nam alii quidem, si quam habent cum finitimis litem, missa ad eos legatione, cum aequas conditiones non obtinuerint, tum demum arma ipsis inferunt. Ille autem, posteaquam in medios Romanos perrupit, colloquium pacificatorium offert.* Nec plura fatus, legatum remisit.

Ille ad Chosroem reversus, maturare reditum suasit, affirmans se egisse cum Duce, qui mortalibus omnibus fortitudine et prudentia antecelleret, ac milites nactum, quales ipse nunquam vidisset, quorum speciem et compositionem praestantem summe esset miratus: caeterum non esse ipsi cum Belisario dimicationem propositam pari sorte et conditione: hoc nempe intercedere discrimen, quod ipse quidem si foret victor, servum Caesaris vinceret; sin forte profligaretur, maiestati regiae et Persarum nationi probrum ingens afferret: ac Romani quidem fusi, in munimentis et regno suo salutem facile invenirent; sibi vero si quid adversi contingeret, ne nuntius quidem evadere in Persidem posset. Ea Chosroes admonitione pervictus, optabat sane reditum; haerebat tamen inops consilii, cum ab hoste transitum fluminis obsideri putaret, neque eadem via reverti idcirco posset, quod illa humano cultu prorsus vacabat, res-

τε ἦν, ἐπεὶ ἅπαντα σφᾶς τὰ ἐπιτήδεια ἤδη ἐπιλελοίπει, ἅπερ τὰ πρότερα ξὺν αὐτοῖς ἔχοντες ἐς γῆν τὴν Ῥωμαίων ἐσέβαλλον. τέλος δὲ πολλὰ λογισαμένῳ ξυμφορώτατόν οἱ ἔδοξεν εἶναι μάχῃ διακινδυνεύσαντι ἐς γῆν τε τὴν ἀντιπέρας ἥκειν καὶ διὰ χώρας πᾶσιν εὐθηνούσης τοῖς ἀγαθοῖς τὴν πορείαν ποιήσασθαι. Βελισάριος δὲ εὖ μὲν ἠπίστατο ὡς οὐδ' ἂν δέκα μυριάδες ἀνδρῶν τὴν διάβα-
P 140 σιν Χοσρόῃ ἀναχαιτίζειν ποτὲ ἱκαναὶ εἶεν· ὅ τε γὰρ ποταμὸς πολλαχῇ τῶν ταύτῃ χωρίων ναυσὶ διαβατὸς ὢν ἐπὶ πλεῖστον τυγχάνει καὶ κρεῖσσον ἦν ἄλλως τὸ Περσῶν στράτευμα ἢ πρὸς πολεμίων ὀλίγων τινῶν τῆς διαβάσεως ἀποκεκλεῖσθαι· τοῖς δὲ ἀμφὶ Διογένην τε καὶ Ἀδόλιον σὺν τοῖς χιλίοις ἐπέστελλε τὰ πρῶτα προϊέναι τὴν ἐκείνῃ ἀκτὴν, ὅπως δὴ ἐς ταραχὴν ἀφασίᾳ τινὶ τὸν βάρβαρον καταστήσονται. ὅπερ δεδιξάμενος, ὥσπερ μοι ἐρρήθη, ἔδεισε μή τι αὐτῷ ἐμπόδισμα εἴη ἀπαλλάσσεσθαι ἐκ τῆς Ῥωμαίων γῆς. λόγου δέ οἱ πολλοῦ ἄξιον ἐφαίνετο εἶναι ἐξελάσαι ἐνθένδε τὸν
B Χοσρόου στρατὸν, οὐδεμιᾷ κινδυνεύσαντι μάχῃ πρὸς μυριάδας βαρβάρων πολλὰς ξὺν στρατιώταις λίαν τε ὀλίγοις οὖσι καὶ ἀτε-
H 77 χνῶς κατεπτηχόσι τὸν Μήδων στρατόν. διὸ δὴ ἐκέλευε Διογένην τε καὶ Ἀδόλιον ἡσυχῇ μένειν.

Ὁ γοῦν Χοσρόης γέφυραν σὺν πολλῷ τάχει πηξάμενος ποταμὸν Εὐφράτην ἐκ τοῦ αἰφνιδίου διέβη παντὶ τῷ στρατῷ. Πέρ-

1. ἐπιλελοίπει L. ἐπελελοίπει P. 2. ἐσέβαλλον] ἐσέβαλον L. 13. καταστήσονται] καταστήσωνται L. *ibid.* ὅπερ H. ὅνπερ HmP. *ibid.* δεδιξάμενος] δειδιξάμενος L corr. *ibid.* ἐρρήθη] ἐῤῥέθη P. 14. τι om. L. 15. δέ οἱ] τέ οἱ L.

que cibaria iam omnino Persas defecerat, qua ante instructi Romanorum terras intrarant. Re multum et diu cogitata, visum tandem est optimum factu, tentare ferro et vi viam sibi facere in oram oppositam, perque regionem commodis omnibus affluentem habere iter. Nec Belisarium praeteribat, ne centena quidem hominum millia ad Chosroem transmissione prohibendum sufficere. Nam ibi fluvius per longissimum tractum pluribus in locis traiici navigiis potest. Sed haec praecipua causa, quod exercitus Chosrois validior erat, quam ut hostiles copiolae illi transitum intercluderent. Quare Diogeni et Adolio per literas mandavit, quamprimum cum illis suis mille adversa ripa decederent, ut incerti consilii obscuritate turbarent Barbarum: quem cum, ut dicebam, terruisset, ne quid eum in Romano solo teneret verebatur. Enimvero operae pretium esse iudicabat exercitum Chosrois depulisse, vitata certaminis alea, cum multis Barbarorum myriadibus ineundi a militibus oppido paucis et Medorum vires pertimescentibus: propterea Diogeni atque Adolio nihil ut moverent praecepit.

Itaque Chosroes ponte mira celeritate compacto, Euphratem subito cum universo exercitu transgressus est. Et vero Persae fluvios omnes

σαις γὰρ πόνῳ οὐδενὶ διαβατοί εἰσι ποταμοὶ ἅπαντες, ἐπεὶ αὐτοῖς ὁδῷ ἰοῦσιν ἀγκιστροειδῆ σιδήρια ἐν παρασκευῇ ἐστιν, οἷς δὴ ξύλα μικρὰ ἐς ἄλληλα ἐναρμόζοντες γέφυραν αὐτοσχεδιάζουσιν ἐκ τοῦ παραυτίκα ὅπη ἂν σφίσι βουλομένοις εἴη. ἐπεὶ δὲ τάχιστα γέγονεν ἐν τῇ ἀντιπέρας ἠπείρῳ, πέμψας παρὰ Βελισάριον αὐτὸς μὲν C
Ῥωμαίοις κεχαρίσθαι τοῦ Μήδων στρατοῦ τὴν ἀναχώρησιν ἔφασκε, προσδέχεσθαι δὲ τοὺς παρ' αὐτῶν πρέσβεις, οὓς σφίσι παρέσεσθαι οὐκ ἐς μακρὰν ἄξιον εἶναι. Βελισάριος δὲ παντὶ καὶ αὐτὸς τῷ Ῥωμαίων στρατῷ τὸν Εὐφράτην ποταμὸν διαβὰς παρὰ Χοσρόην εὐθὺς ἔπεμψεν. οἳ, ἐπεὶ παρ' αὐτὸν ἵκοντο, πολλὰ τῆς ἀναχωρήσεως ἐπαινέσαντες πρέσβεις ἐς αὐτὸν ἥξειν παρὰ βασιλέως αὐτίκα δὴ μάλα ὑπέσχοντο, οἳ δὴ τὰ ἀμφὶ τῇ εἰρήνῃ ξυγκείμενα πρότερον ἔργῳ ἐπιτελῆ πρὸς αὐτὸν θήσονται. ἠξίουν δὲ διὰ Ῥωμαίων, ἅτε φίλων αὐτῷ, τῇ πορείᾳ χρῆσθαι. ὁ δὲ καὶ ταῦτα ὑπεδέχετο ἐπιτελέσειν, εἴ τινά οἱ δοῖεν τῶν δοκίμων ἐν D
ὁμήρων λόγῳ ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ, ἐφ' ᾧ τὰ ξυγκείμενα πράξουσιν. οἱ μὲν οὖν πρέσβεις παρὰ Βελισάριον ἐπανήκοντες τοὺς Χοσρόου λόγους ἀπήγγελλον, ὁ δὲ ἐς τὴν Ἔδεσσαν ἀφικόμενος V 318
Ἰωάννην τὸν Βασιλείου παῖδα, γένει τε καὶ πλούτῳ πάντων τῶν Ἐδεσσηνῶν διαφανέστατον, ὅμηρον τῷ Χοσρόῃ οὔτι ἑκούσιον εὐθὺς ἔπεμψεν. Ῥωμαῖοι δὲ Βελισάριον ἐν εὐφημίαις εἶχον, μᾶλλόν τε σφίσιν ὁ ἀνὴρ ἐν τούτῳ εὐδοκιμῆσαι τῷ ἔργῳ ἐδόκει ἢ ὅτε

3. μικρὰ ἐναρμόζοντες LHm. μακρὰ ἁρμόζοντες HP? 10. ἵκοντο L ἥκοντο P. 17. τοὺς] τοῦ L. 18.20. Ἔδεσσαν] Ἔδεσαν P et Ἐδεσηνῶν. 20. οὔτι L. οὔτε P.

nullo negotio transmittunt. Cum enim iter faciunt, in bellico instrumento uncos ferreos paratos habent; quibus tigna aptantes, ubivis pontem ex tempore construunt. Statim ut ad ulteriorem continentem evasit Chosroes, Belisario misit, se, Romanis gratificandi causa, Medorum copias retraxisse: expectare ab ipsis legatos, iique ut brevi afforent consentaneum esse. Similiter Belisarius Euphratem copias omnes Romanas traduxit, et ad Chosroem oratores extemplo misit: qui cum ad eum pervenissent, ipsi ob reditum ample laudato promiserunt, Imperatoris legatos primo quoque tempore affore, ut priora pacis conventa rata facerent atque implerent. Rogarunt insuper, iter haberet amice per Romanorum, quippe amicorum, terras. Quod etiam ille se facturum recepit, si quem e primoribus obsidem darent, quo sanciretur promissi fides, et ipsos pactioni satis facturos constaret. Reversi oratores ad Belisarium, Chosrois verba retulere. Is vero postquam Edessam pervenit, Ioannem Basilii filium, splendore generis opibusque clarissimum Edessenorum, quamvis invitum, misit obsidem Chosroi. Iam Belisarii nomen per ora Romanorum volitabat: quibus ille eo facto gloriam adeptus malo-

*Γελίμερα δορυάλωτον ἢ τὸν Οὐίττιγιν ἐς Βυζάντιον ἤνεγκεν. ἦν
γὰρ ὡς ἀληθῶς λόγου καὶ ἐπαίνου πολλοῦ ἄξιον, πεφοβημένων
μὲν κἂν τοῖς ὀχυρώμασι κρυπτομένων Ῥωμαίων ἁπάντων, Χοσ-*
P 141 *ρόου δὲ στρατῷ μεγάλῳ ἐν μέσῃ γεγονότος Ῥωμαίων ἀρχῇ, ἄνδρα
στρατηγὸν ξὺν ὀλίγοις τισὶ δρόμῳ ὀξεῖ ἐκ Βυζαντίου μεταξὺ
ἥκοντα ἀπ' ἐναντίας τοῦ Περσῶν βασιλέως στρατοπεδεύσασθαι,
Χοσρόην δὲ ἐκ τοῦ ἀπροσδοκήτου, ἢ τὴν τύχην ἢ τὴν ἀρετὴν
τοῦ ἀνδρὸς δείσαντα ἢ καί τισιν ἐξαπατηθέντα σοφίσμασιν, ἐπί-
πρόσθε μηκέτι χωρῆσαι, ἀλλὰ τῷ μὲν ἔργῳ φυγεῖν, λόγῳ δὲ τῆς
εἰρήνης ἐφίεσθαι.*

*Ἐν τούτῳ δὲ Χοσρόης ἀλογήσας τὰ ὡμολογημένα Καλλίνι-
κον πόλιν οὐδενὸς τὸ παράπαν ἀμυνομένου εἷλε. ταύτης γὰρ τὸν
περίβολον ὁρῶντες Ῥωμαῖοι σαθρόν τε καὶ εὐάλωτον παντάπασιν
ὄντα, μοῖραν αὐτοῦ ἀεὶ καθαιροῦντές τινα, νέᾳ τινὶ ἀνενεοῦντο*
B *οἰκοδομίᾳ. τότε γοῦν μέρος τι αὐτοῦ καθελόντες, οὔπω δὲ τὸ
λειπόμενον τοῦτο δειμάμενοι, ἐπειδὴ τοὺς πολεμίους ἄγχιστά πη
ἐπύθοντο εἶναι τῶν χρημάτων ὑπεξαγαγόντες τὰ τιμιώτατα, οἱ
μὲν εὐδαίμονες αὐτῆς τῶν οἰκητόρων ἐς ἕτερα ἄττα ὀχυρώματα
ἀπεχώρησαν, οἱ δὲ λοιποὶ στρατιωτῶν χωρὶς αὐτοῦ ἔμειναν. καὶ
γεωργῶν δὲ πάμπολύ τι χρῆμα ἐνταῦθα ξυνειλέχθαι ξυνέβη. οὓς
δὴ ὁ Χοσρόης ἀνδραποδίσας ἅπαντα ἐς ἔδαφος καθεῖλεν. ὀλίγῳ
δὲ ὕστερον τὸν ὅμηρον Ἰωάννην δεξάμενος ἀπεχώρησεν εἰς τὰ
πάτρια ἤθη.*

1. *Οὐίττιγιν*] *ἰούττιγιν* A. *ἰούτιγιν* H. 21. *ἅπαντα*] *ἅπαν* HL.
22. *δὲ*] *τε* L.

rem videbatur, quam cum captivum Gelimerem aut Vittigin Byzantium deportavit. Et certe digna res existimatione erat ac laude amplissima, cum Romani in munimenta abditi omnes trepidarent, et Chosroes ingenti succinctus exercitu in Romanum Imperium penetrasset, tunc Magistrum militum Byzantio cum paucis raptim profectum, castra opposuisse Persarum Regi, ac repente Chosroem, seu fortunam viri, seu virtutem veritum, sive etiam callidis quibusdam inventis circumscriptum, haud processisse ultra; sed verbo mentientem studium pacis, re ipsa fugam cepisse.

Interea Chosroes, exuta promissi fide, Callinicum urbem, omnino indefensam, cepit. Etenim Romani cum eius muros ruinosos esse et expugnari posse facile viderent, non cessabant partem illorum demoliri aliquam, ac nova subinde structura instaurare. Tunc igitur parte diruta, necdum reparata labe, ubi hostem appropinquare auditum est, cives opulenti, quae habebant pretiosissima, secum exportantes, in alia quaedam munita loca migrarunt: reliqui a militibus inopes ibi remanserunt. Eodem plurima agricolarum turba confluxerat, quibus Chosroes servituti addictis, omnia solo aequavit: nec multo post Ioanne obside recepto, remeavit in patriam.

Ἀρμένιοί τε, οἱ τῷ Χοσρόῃ προσκεχωρηκότες, τὰ πιστὰ πρὸς Ῥωμαίων λαβόντες ξὺν τῷ Βασσάκῃ ἐς Βυζάντιον ἦλθον. C ταῦτα μὲν ἐν τῇ τρίτῃ Χοσρόου ἐσβολῇ Ῥωμαίοις γενέσθαι ξυνέβη, καὶ Βελισάριος βασιλεῖ ἐς Βυζάντιον ἦλθε μετάπεμπτος, ἐφ' ᾧ ἐς Ἰταλίαν εὐθὺς σταλήσεται, πονηρῶν ἤδη παντάπασι τῶν ἐκείνῃ πραγμάτων Ῥωμαίοις ὄντων.

κβ'. Ὑπὸ δὲ τούτους τοὺς χρόνους λοιμὸς γέγονεν, ἐξ οὗ D δὴ ἅπαντα ὀλίγου ἐδέησε τὰ ἀνθρώπεια ἐξίτηλα εἶναι. ἅπασι μὲν οὖν τοῖς ἐξ οὐρανοῦ ἐπισκήπτουσιν ἴσως ἄν καὶ λέγοιτό τις ὑπ' ἀνδρῶν τολμητῶν αἰτίου λόγος, οἷα πολλὰ φιλοῦσιν οἱ ταῦτα δεινοὶ αἰτίας τερατεύεσθαι οὐδαμῇ ἀνθρώπῳ καταληπτὰς οὔσας, φυσιολογίας τε ἀναπλάσσειν ὑπερορίους, ἐξεπιστάμενοι μὲν ὡς λέγουσιν οὐδὲν ὑγιὲς, ἀποχρῆν δὲ ἡγούμενοι σφίσιν, ἤν γε τῶν ἐντυγχανόντων τινὰς τῷ λόγῳ ἐξαπατήσαντες πείσωσι. τούτῳ μέντοι τῷ κακῷ πρόφασίν τινα ἢ λόγῳ εἰπεῖν ἢ διανοίᾳ λογίσασθαι μηχανή τις οὐδεμία ἐστὶ, πλήν γε δὴ ὅσα ἐς τὸν θεὸν ἀναφέρεσθαι. P 142 οὐ γὰρ ἐπὶ μέρους τῆς γῆς οὐδὲ ἀνθρώπων τισὶ γέγονεν H 78 οὐδέ τινα ὥραν τοῦ ἔτους ἔσχεν, ὅθεν ἂν καὶ σοφίσματα αἰτίας εὑρέσθαι δυνατὰ εἴη, ἀλλὰ περιεβάλλετο μὲν τὴν γῆν ξύμπασαν, βίους δὲ ἀνθρώπων ἅπαντας ἔβλαψε, καίπερ ἀλλήλων ἐς τὸ ἐναντίον παρὰ πολὺ διαλλάσσοντας, οὔτε φύσεώς τινος οὔτε ἡλικίας φεισάμενον. εἴτε γὰρ χωρίων ἐνοικήσεσι εἴτε νόμῳ διαίτης, ἢ

5. πονηρῶν] πονήρων P. ibid. παντάπασι L. παντάπασιν P.
21. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

Tunc Armenii, qui ad Chosroem desciverant, fide publica a Romanis accepta, cum Bassace venerunt Byzantium. Atque haec quidem Romanis contigerunt in tertia Chosrois irruptione. Belisarium vero Augustus Byzantium revocavit, profecturum continuo in Italiam, ubi Romana res iam prorsus collabebatur.

22. Sub idem tempus orta est pestilentia, quae cultum et genus humanum tantum non abolevit omnino. Ac forte praefidenti ingenio viri ad ea, quae de caelo fluunt occulte, illius originem revocabunt. Et vero saepe amant, qui harum rerum peritiam profitentur, causas humanae menti plane incomprehensibiles memorare insigni vaniloquentia, et quosdam de natura sermones peregrinos confingere haud ignari quidem dicere se nihil sani, contenti vero, si nonnullis e vulgo fucum fecerint oratione sua. Profecto causa eiusce morbi nulla praeter Deum nec dici potest nec cogitari. Neque enim una in parte terrarum, non in unum quoddam hominum genus, non certo anni tempore grassatus est: unde posset speciosior peti et captiosior probabilitas causae; sed Orbem universum pervagatus, cuiuscunque generis homines, quamvis inter se diversissimos, foede attigit, nulli sexui, nulli parcens aetati. Nam sive

φύσεως τρόπῳ, ἢ ἐπιτηδεύμασιν, ἢ ἄλλῳ ὅτῳ ἀνθρώπων ἄν-
θρωποι διαφέρουσιν, ἐν ταύτῃ δὴ τῇ νόσῳ τὸ διαλλάσσον οὐδὲν
ὤνησεν. ἐπέσκηψε δὲ τοῖς μὲν ὥρᾳ θέρους, τοῖς δὲ χειμῶνι,
V 319 τοῖς δὲ κατὰ τοὺς ἄλλους καιρούς. λεγέτω μὲν οὖν ὥς πη ἕκα-
B στος περὶ αὐτῶν γινώσκει καὶ σοφιστὴς καὶ μετεωρολόγος, ἐγὼ δὲ
ὅθεν τε ἤρξατο ἡ νόσος ἥδε καὶ τρόπῳ δὴ ὅτῳ τοὺς ἀνθρώπους
διέφθειρεν ἐρῶν ἔρχομαι.

Ἤρξατο μὲν ἐξ Αἰγυπτίων οἳ ᾤκηνται ἐν Πηλουσίῳ. γε-
νομένη δὲ δίχα πῇ μὲν ἐπί τε Ἀλεξανδρείας καὶ τῆς ἄλλης Αἰ-
γύπτου ἐχώρησε, πῇ δὲ ἐπὶ Παλαιστίνους τοὺς Αἰγυπτίοις ὁμό-
ρους ἦλθεν, ἐντεῦθέν τε κατέλαβε τὴν γῆν σύμπασαν, ὁδῷ τε
ἀεὶ προϊοῦσα καὶ χρόνοις βαδίζουσα τοῖς καθήκουσιν. ἐπὶ ῥητοῖς
γὰρ ἐδόκει χωρεῖν καὶ χρόνον τακτὸν ἐν χώρᾳ ἑκάστῃ διατριβὴν
ἔχειν, ἐς οὐδένας μὲν ἀνθρώπων παρέργως τῷ φθόρῳ χρωμένη,
σκεδαννυμένη δὲ ἐφ' ἑκάτερα μέχρι ἐς τὰς τῆς οἰκουμένης ἐσχα-
C τιὰς, ὥσπερ δεδοικυῖα μή τις αὐτὴν τῆς γῆς διαλάθοι μυχός.
οὔτε γὰρ νῆσόν τινα ἢ σπήλαιον ἢ ἀκρώρειαν ἔλιπετο ἀνθρώ-
πους οἰκήτορας ἔχουσαν· ἢν δέ πού τινα καὶ παρήκατο χώραν,
ἢ μὴ ψαύσασα τῶν ταύτῃ ἀνθρώπων ἢ ἀμωσγέπως αὐτῶν ἁψα-
μένη, ἀλλὰ χρόνῳ τῷ ὑστέρῳ αὖθις ἐνταῦθα ἐπανιοῦσα τῶν μὲν
περιοίκων, οἷς δὴ πικρότατα ἐπέσκηψε πρότερον, οὐδαμῶς ἥψα-
το, τῆς δὲ χώρας ἐκείνης οὐ πρότερον ἀπέστη ἕως τὸ μέτρον ὀρ-
θῶς καὶ δικαίως τῶν τετελευτηκότων ἀπέδωκεν, ὥσπερ καὶ τοῖς

2. τῇ add. L. 9. τῆς add. L. 15. τὰς om. L. 18. παρή-
κατο] παρήκασι AH: illud HmLm. παρήκατε L. Fort. παρῆκε.

habitatione, seu lege victus, seu indole, seu studiis, sive alia demum re quapiam inter se differrent; regnante hac lue, nihil id discrimen iuvabat. Atque hos aestate, illos hieme, alios aliis invasit temporibus. De his porro sophista disserat, hac pronuntiet meteorologus, pro suo quisque sensu: ego vero unde haec pestilentia coeperit, et quo modo mortales extinxerit, declarare aggredior.

Ab Aegyptiis orta est, Pelusii incolis: unde bifariam didita, hac Alexandriam et reliquam Aegyptum pervasit; illac in Palaestinam Aegypto conterminam diffusa, inde totum Orbem occupavit, semper progrediens cursu certis temporis spatiis definito. Etenim certa lege procedere, statumque dierum intervallum unaquaque in regione exigere videbatur, in neminem virus obiter exerens, et hinc inde ad extremas Orbis oras dimanans, quasi vereretur, ne quem terrarum angulum ac recessum praeteriret imprudens. Nam neque insula ulla, nec spelunca, nec montis vertice, ubi sedem homines haberent, abstinuit. Si quem locum transiluit, vel minime, vel leviter tactis incolis, eo postmodum regressa, vicinis, in quos antea dessaevierat, intactis, inde non prius discessit, quam iustum numerum explevit funerum, pro portione ac modo cladis,

ἀμφ᾽ αὐτὴν ᾠκημένοις χρόνῳ τῷ προτέρῳ διεφθάρθαι τετύχηκεν. ἀρξαμένη δὲ ἀεὶ ἐκ τῆς παραλίας ἡ νόσος ἥδε οὕτω δὴ ἐς τὴν μεσόγειον ἀνέβαινε χώραν. δευτέρῳ δὲ ἔτει ἐς Βυζάντιον μεσοῦντος D τοῦ ἦρος ἀφίκετο, ἔνθα καὶ ἐμέ οἱ ἐπιδημεῖν τηνικαῦτα ξυνέβη. ἐγίνετο δὲ ὧδε. φάσματα δαιμόνων πολλοῖς ἐς πᾶσαν ἀνθρώπου ἰδέαν ὤφθη, ὅσοι τε αὐτοῖς παραπίπτοιεν, παίεσθαι ᾤοντο πρὸς τοῦ ἐντυχόντος ἀνδρὸς, ὅπη παρατύχοι τοῦ σώματος, ἅμα τε τὸ φάσμα ἑώρων καὶ τῇ νόσῳ αὐτίκα ἡλίσκοντο. κατ᾽ ἀρχὰς μὲν οὖν οἱ παραπεπτωκότες ἀποτρέπεσθαι αὐτὰ ἐπειρῶντο, τῶν τε ὀνομάτων ἀποστοματίζοντες τὰ θειότατα καὶ τὰ ἄλλα ἐξοσιούμενοι, ὡς ἕκαστός πη ἐδύνατο, ἤνυον μέντοι τὸ παράπαν οὐδὲν, ἐπεὶ κἀν τοῖς ἱεροῖς οἱ πλεῖστοι καταφεύγοντες διεφθείροντο. P 143 ὕστερον δὲ οὐδὲ τοῖς φίλοις καλοῦσιν ἐπακούειν ἠξίουν, ἀλλὰ καθείρξαντες αὑτοὺς ἐν τοῖς δωματίοις, ὅτι δὴ οὐκ ἐπαΐοιεν προσεποιοῦντο, καίπερ ἀρασσομένων αὐτοῖς τῶν θυρῶν, δειμαίνοντες δηλονότι μὴ δαιμόνων τις ὁ καλῶν εἴη. τισὶ δὲ οὐχ οὕτως ὁ λοιμὸς ἐπέσκηψεν, ἀλλ᾽ ὄψιν ὀνείρου ἰδόντες ταὐτὸ τοῦτο πρὸς τοῦ ἐπιστάντος πάσχειν ἐδόκουν, ἢ λόγου ἀκούειν προλέγοντος σφίσιν ὅτι δὴ ἐς τῶν τεθνηξομένων τὸν ἀριθμὸν ἀνάγραπτοι εἶεν. τοῖς μέντοι πλείστοις οὔτε ὕπαρ οὔτε ὄναρ αἰσθομένοις τοῦ ἐσομένου εἶτα τῇ νόσῳ ξυνέβη ἁλῶναι. ἡλίσκοντο δὲ τρόπῳ τοιῷδε. ἐπύρεσσον ἄφνω, οἱ μὲν ἐξ ὕπνου ἐγηγερμένοι, οἱ δὲ περιπάτους

4. ἦρος] ἤρους P. 14. αὐτοὺς] αὑτοὺς L. 17. ἐπέσκηψεν] ἐπεγίνετο (γρ. ἐπέσκηψε) A. „ἐπεγίνετο Reg." Malt. 20. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

quam accolis tempore superiori intulerat. Semper autem incipiens ab ora maritima, in mediterraneas plagas serpebat. Altero demum anno, adulto vere, Byzantium pervenit: ubi forte eodem ego, quo illa, tempore versatus sum. Ita vero nascebatur. Multis apparebant spectra daemonum induta quavis hominum forma. Quicumque in illa inciderent, aliqua in parte corporis, modo hac, modo illa, a viro obvio percuti se existimabant: simul autem spectrum viderant, morbo corripiebantur. Atque initio quidem quibus occurrebant eiusmodi simulacra, illi divinissimorum imploratione nominum, et sedula, quoad quisque poterat, expiatione, ea conabantur avertere; sed frustra, cum plurimi vel in templis, in quae perfugiebant, animam agerent. Deinde alii in cubicula se concludentes, ne amicos quidem auscultare compellantes volebant, et quamvis fores comminuerentur pulsando, nihil se exaudire simulabant, timentes scilicet ne ab aliquo daemone vocarentur. Quidam non ita pestem concipiebant: verum obiecto secundum quietem viso, eadem illa ab astante inflicta pati, vel audire vocem sibi videbantur, quae ipsos in moriturorum numerum ascriptos praenuntiabat. Plerosque, nullo nec in vigilia nec in somnis accepto viso, futuri indice, morbus incessebat hoc fere modo. Febriebant repente, hi quidem statim ab excusso somno, illi inambulando, alii

B ποιούμενοι, οἱ δὲ ἄλλο ὅ τι δὴ πράσσοντες. καὶ τὸ μὲν σῶμα
οὔτε τι διήλλασσε τῆς προτέρας χροιᾶς οὔτε θερμὸν ἦν, ἅτε πυ-
ρετοῦ ἐπιπεσόντος, οὐ μὴν οὐδὲ φλόγωσις ἐπεγίνετο, ἀλλ' οὕτως
ἀβληχρός τις ἐξ ἀρχῆς τε καὶ ἄχρις ἑσπέρας ὁ πυρετὸς ἦν ὥστε
μήτε τοῖς νοσοῦσιν αὐτοῖς μήτε ἰατρῷ ἁπτομένῳ δόκησιν κινδύ-
νου παρέχεσθαι. οὐ γὰρ οὖν οὐδέ τις τελευτᾶν τῶν περιπεπτω-
κότων ἀπ' αὐτοῦ ἔδοξεν. ἡμέρᾳ δὲ τοῖς μὲν τῇ αὐτῇ, τοῖς δὲ
τῇ ἐπιγενομένῃ, ἑτέροις δὲ οὐ πολλαῖς ὕστερον βουβὼν ἐπῆρτο,
οὐκ ἐνταῦθα μόνον, ἔνθα καὶ τὸ τοῦ σώματος μόριον, ὃ δὴ τοῦ
ἤτρου ἔνερθέν ἐστι, ἀλλὰ καὶ τῆς μασχάλης ἐντὸς, ἐνίοις δὲ καὶ
C παρὰ τὰ ὦτα καὶ ὅπου ποτὲ τῶν μερῶν ἔτυχε.

Τὰ μὲν οὖν ἄχρι τοῦδε πᾶσιν ὁμοίως σχεδόν τι τοῖς τῇ νό-
σῳ ἁλισκομένοις ξυνέβαινε· τὰ δὲ ἐνθένδε οὐκ ἔχω εἰπεῖν πότε-
H 79 ρον ἐν τῷ διαλλάσσοντι τῶν σωμάτων καὶ ἡ διαφορὰ τῶν συμπι-
πτόντων ἐγίνετο, ἢ ὅπῃ ποτὲ βουλομένῳ εἴη τῷ τὴν νόσον ἐπα-
γαγόντι. ἐπεγίνετο γὰρ τοῖς μὲν κῶμα βαθὺ, τοῖς δὲ παραφρο-
σύνη ὀξεῖα, ἑκάτεροί τε τὰ πρὸς τὴν νόσον ἐπιτηδείως ἔχοντα
V 320 ἔπασχον· οἷς μὲν γὰρ τὸ κῶμα ἐπέκειτο, πάντων ἐπιλελησμένοι
τῶν εἰωθότων σφίσιν ἐς ἀεὶ καθεύδειν ἐδόκουν. καὶ εἰ μέν τις
αὐτῶν ἐπιμελοῖτο, μεταξὺ ἤσθιον, τινὲς δὲ καὶ ἀπημελημένοι
D ἀπορίᾳ τροφῆς εὐθὺς ἔθνησκον. οἱ μέντοι τῷ τῆς παραφροσύ-

5. μήτε — μήτε] μηδὲ — μηδὲ P. 10. Post ἔνερθέν ἐστι legebantur uncis inclusa βουβὼν κέκληται. 11. μερῶν Hoeschelius. Legebatur μηρῶν. 13. ξυνέβαινε A. ξυνέβη P. „ξυνέβαινε Reg." Malt. 20. ἐπιμελοῖτο A. ἐπιμελεῖτο P.

aliud agendo quidpiam. Colore nihil mutato pristino corpus non ut febri correptum calebat: nulla existebat inflammatio: sed a mane usque ad vesperum febris adeo lenis erat, ut nec aegrotis ipsis, adeoque nec medico pulsum exploranti, periculi opinionem praeberet. Nec sane quisquam eorum, qui in morbum delapsi fuerant, illo periturus videbatur. Die autem his eodem ipso, illis postero, aliis haud multis post, nascebatur ac tumescebat bubo, non ea solum in parte corporis quae imo ventri subest et inguen dicitur, sed in axillae etiam sinu: post aures quoque nonnullis: quacunque demum in parte femorum.

Morbum contrahentibus haec pari fere modo accidebant, quae hactenus commemoravi. In sequentibus illud expedire non possum, diversaene ex habitudine corporum, an ex arbitrio solo auctoris morbi oriretur eorum diversitas, quae morbo accedebant. Gravi veterno alii, alii peracri amentia capti, utrique his congrua patiebantur. Siquidem veterno pressi, dormire semper videbantur, rerum obliti omnium, quibus assueverant. Si quis aderat, qui eorum valetudini daret operam, cibum interdum capiebant cura destituti, brevi tempore inedia necabantur. Lymphatici

νης ἁλόντες κακῷ ἀγρυπνίᾳ τε καὶ φαντασίᾳ πολλῇ εἴχοντο, καὶ
τινας ὑποπτεύοντες ἐπιέναι σφίσιν ὡς δὴ ἀπολοῦντας ἐς ταραχήν
τε καθίσταντο καὶ ἀναβοῶντες ἐξαίσιον οἷον ἐς φυγὴν ὥρμηντο.
οἵ τε αὐτοὺς θεραπεύοντες καμάτῳ ἀπαύστῳ ἐχόμενοι τὰ ἀνήκε-
στα ἐς ἀεὶ ἔπασχον. διὸ δὴ ἅπαντες αὐτοὺς οὐχ ἧσσον ἢ τοὺς
πονουμένους ᾠκτίζοντο, οὐχ ὅτι τῷ λοιμῷ ἐπιέζοντο ἐκ τοῦ προσιέ-
ναι (οὔτε γὰρ ἰατρῷ οὔτε ἰδιώτῃ μεταλαχεῖν τοῦ κακοῦ τοῖσδε
τῶν νοσούντων ἢ τῶν τετελευτηκότων ἁπτομένῳ ξυνέβη, ἐπεὶ
πολλοὶ μὲν ἀεὶ καὶ τοὺς οὐδὲν σφίσι προσήκοντας ἢ θάπτοντες ἢ
θεραπεύοντες ταύτῃ δὴ τῇ ὑπουργίᾳ παρὰ δόξαν ἀντεῖχον, πολ- P 144
λοὶ δὲ τῆς νόσου ἀπροφασίστως αὐτοῖς ἐπιπεσούσης εὐθὺς
ἔθνησκον), ἀλλ' ὅτι ταλαιπωρίᾳ πολλῇ εἴχοντο. ἔκ τε γὰρ τῶν
στρωμάτων ἐκπίπτοντας καὶ καλινδουμένους ἐς τὸ ἔδαφος ἀντικα-
θίστων αὖθις καὶ ῥιπτεῖν σφᾶς αὐτοὺς ἐκ τῶν οἰκημάτων ἐφιεμέ-
νους ὠθοῦντές τε καὶ ἀνθέλκοντες ἐβιάζοντο. εἰς ὕδωρ τε οἷς
παρατύχοι ἐμπεσεῖν ἤθελον οὐ δὴ οὐχ ὅσον τοῦ ποτοῦ ἐπιθυμίᾳ
(ἐς γὰρ θάλασσαν οἱ πολλοὶ ὥρμηντο), ἀλλ' αἴτιον ἦν μάλιστα
ἡ τῶν φρενῶν νόσος. πολὺς δὲ αὐτοῖς καὶ περὶ τὰς βρώσεις ἐγέ-
νετο πόνος. οὐ γὰρ εὐπετῶς προσίεντο ταύτας. πολλοί τε ἀπο-
ρίᾳ τοῦ θεραπεύοντος διεφθάρησαν, ἢ λιμῷ πιεζόμενοι, ἢ ἀφ' B
ὑψηλοῦ καθιέντες τὸ σῶμα. ὅσοις δὲ οὔτε κῶμα οὔτε παραφρο-
σύνη ἐνέπεσε, τούτοις δὴ ὅ τε βουβὼν ἐσφακέλιζε καὶ αὐτοὶ ταῖς
ὀδύναις οὐκέτι ἀντέχοντες ἔθνησκον. τεκμηριώσειε δ' ἂν τις καὶ

15. εἰς ὕδωρ Lm. Aberat εἰς. 16. οὐ δὴ] οὐδὲ HL: illud Hm.
17. γὰρ] γοῦν HL: illud HmLm.

vero insomnes totique in visis, et paratos ad necem adesse suspicantes, perturbabantur, seque horrenda cum vociferatione in fugam dabant. Qui illis inserviebant, iugi labore districti, perpetiebantur durissima; ita ut omnes non minus ipsorum, quam aegrotantium misereret: non quod ipsis lues afflaretur accessu; (nam nec medicus, nec illius artis imperitus quisquam morbum contraxit tactu languentium; quandoquidem multi, qui etiam alienos vel curabant vel sepeliebant, praeter opinionem salvi perstabant in ministerio: multi rursus nulla data ansa morbo correpti protinus interibant) sed quod plurimum fatigarentur. Nam aegros excidentes stratis, seque humi volutantes reponebant, atque e tectis praecipites dare se volentes repellebant, tenebantque retractos vi. Nacti aquam, ardebant se in eam immittere, non potus desiderio, (siquidem multi mare petebant) sed animi morbo impulsi. Nec minor circa cibum luctatio: quem haud facile admittebant. Non pauci, quibus nemo ministrabat, aut fame, aut ultroneo casu ex edito perierunt. Quoscunque nec veternus nec insania occupaverat, extabescebat his bubo, et maiores viribus cruciatus vitam adimebant. Idem caeteris accidisse coniecerit forte quis-

τοῖς ἄλλοις ἅπασι κατὰ ταὐτὰ ξυμβῆναι, ἀλλ' ἐπεὶ ἐν αὐτοῖς ὡς ἥκιστα ἦσαν, ξυνεῖναι τῆς ὀδύνης οὐδαμῇ εἶχον, τοῦ πάθους αὐτοῖς τοῦ ἀμφὶ τὰς φρένας παραιρουμένου τὴν αἴσθησιν.

Ἀπορούμενοι γοῦν τῶν τινες ἰατρῶν τῇ τῶν ξυμπιπτόντων ἀγνοίᾳ, τό τε τῆς νόσου κεφάλαιον ἐν τοῖς βουβῶσιν ἀποκεκρί- C σθαι οἰόμενοι, διερευνᾶσθαι τῶν τετελευτηκότων τὰ σώματα ἔγνωσαν. καὶ διελόντες τῶν βουβώνων τινὰς ἄνθρακος δεινόν τι χρῆμα ἐκπεφυκὸς εὗρον. ἔθνησκον δὲ οἱ μὲν αὐτίκα, οἱ δὲ ἡμέραις πολλαῖς ὕστερον, τισί τε φλυκταίναις μελαίναις, ὅσον φακοῦ μέγεθος, ἐξήνθει τὸ σῶμα, οἳ οὐδὲ μίαν ἐπεβίων ἡμέραν, ἀλλ' εὐθυωρὸν ἅπαντες ἔθνησκον. πολλοὺς δὲ καί τις αὐτόματος αἵματος ἐπιγενόμενος ἔμετος εὐθὺς διεχρήσατο. ἐκεῖνο μέντοι ἀποφήνασθαι ἔχω, ὡς τῶν ἰατρῶν οἱ δοκιμώτατοι πολλοὺς μὲν τεθνήξεσθαι προηγόρευον, οἳ δὴ κακῶν ἀπαθεῖς ὀλίγῳ ὕστερον παραδόξως ἐγίνοντο, πολλοὺς δὲ ὅτι σωθήσονται ἰσχυρίζοντο, οἳ D διαφθαρήσεσθαι ἔμελλον αὐτίκα δὴ μάλα. οὕτως αἰτία τις ἦν οὐδεμία ἐν ταύτῃ τῇ νόσῳ ἐς ἀνθρώπου λογισμὸν φέρουσα· πᾶσι γάρ τις ἀλόγιστος ἀπόβασις ἐπὶ πλεῖστον ἐφέρετο, καὶ τὰ λουτρὰ τοὺς μὲν ὤνησε, τοὺς δὲ οὐδέν τι ἧσσον κατέβλαψεν. ἀμελούμενοί τε πολλοὶ ἔθνησκον, πολλοὶ δὲ παρὰ λόγον ἐσώζοντο. καὶ πάλιν αὖ τὰ τῆς θεραπείας ἐφ' ἑκάτερα τοῖς χρωμένοις ἐχώρει,

1. αὑτοῖς L corr. Vulgo αὐτοῖς. 11. εὐθυωρὸν Pm. εὐθυωρὶ P. εὐθυωρὸν est p. 35 a. 64 b. 144 c. 166 c. 222 b. 561 a. 585 c. 594 d. 623 d. 633 d. 665 a. 16. τις ἦν Pm. τισὶν P.

piam: at quoniam non erant compotes, doloris sensum, quem alienatio mentis auferebat, percipere minime poterant.

Medici quidam, cum in his caecutirent accessionibus morbi, eiusque caput in bubonibus residere secretum rati, defunctorum cadavera scrutari decrevissent; dissectis tuberibus aliquot, enatos ibi carbunculos teterrimos deprehenderunt. Quorum maligna vis hos statim, illos multis post diebus conficiebat. Nec deerant, quibus toto corpore atrae postulae magnitudine lentis erumperent. Hi ne unum quidem supererant diem; sed eadem hora animam omnes efflabant. Multos illico extinguebat sponte prorumpentis sanguinis vomitus. Id porro vere affirmare possum, celeberrimos medicos mortem pluribus praedixisse, qui paulo post contra omnium opinionem convaluerunt: vice versa salutem multis, quos manebat, qui statim est consecutus, interitus. Quare nulla in hoc morbo causa, quae ad humanam rationem ducat, occurrere quibusdam potest. Cunctis enim exitus aliquis longe alienus a ratione accidebat. Atque his cum balneum prodesset, illis nihilo secius oberat. E derelictis atque ope carentibus multi abibant e vita: multi praeter expectationem in vita manebant. Rursus curatio, quibus adhibebatur, iis aliter atque aliter cedebat. In summa, salutarem nemo artem ullam invenerat, qua vel prae-

καὶ τὸ ξύμπαν εἰπεῖν οὐδεμία μηχανὴ ἀνθρώπῳ ἐς τὴν σωτηρίαν ἐξεύρητο, οὔτε προφυλαξαμένῳ μὴ πεπονθέναι οὔτε τοῦ κακοῦ ἐπιπεσόντος περιγενέσθαι, ἀλλὰ καὶ τὸ παθεῖν ἀπροφάσιστον ἦν καὶ τὸ περιεῖναι αὐτόματον. καὶ γυναιξὶ δὲ ὅσαι ἐκύουν προὔπτος ἐγίνετο τῇ νόσῳ ἁλισκομέναις ὁ θάνατος. αἱ μὲν γὰρ ἀμ- [P 145] βλώσκουσαι ἔθνησκον, αἱ δὲ τίκτουσαι ξὺν αὐτοῖς εὐθὺς τοῖς τικτομένοις ἐφθείροντο. τρεῖς μέντοι λεχοὺς λέγουσι τῶν παιδίων σφίσιν ἀπολομένων περιγενέσθαι, καὶ μιᾶς ἤδη ἐν τῷ τοκετῷ ἀποθανούσης τετέχθαι τε καὶ περιεῖναι τῷ παιδίῳ ξυμβῆναι. ὅσοις μὲν οὖν μείζων τε ὁ βουβὼν ἤρετο καὶ ἐς πῦον ἀφῖκτο, τούτοις δὴ περιεῖναι τῆς νόσου ἀπαλλασσομένοις ξυνέβαινεν, ἐπεὶ δῆλον ὅτι αὐτοῖς ἡ ἀκμὴ ἐς τοῦτο ἐλελωφήκει τοῦ ἄνθρακος, γνώρισμά [V 321] τε τῆς ὑγιείας τοῦτο ἐκ τοῦ ἐπὶ πλεῖστον ἐγίνετο· οἷς δὲ ὁ βου- [B] βὼν ἐπὶ τῆς προτέρας ἰδέας διέμεινε, τούτοις περιειστήκει τὰ [H 80] κακὰ ὧν ἄρτι ἐμνήσθην. τισὶ δὲ αὐτῶν καὶ τὸν μηρὸν ἀποξηρανθῆναι ξυνέβη, ἐφ' οὗ ὁ βουβὼν ἐπαρθεὶς ὡς ἥκιστα ἔμπυος γέγονεν. ἄλλοις τε οὐκ ἐπ' ἀκεραίῳ τῇ γλώσσῃ περιγενέσθαι τετύχηκεν, ἀλλ' ἢ τραυλίζουσιν, ἢ μόλις τε καὶ ἄσημα φθεγγομένοις βιῶναι.

κγ'. Ἡ μὲν οὖν νόσος ἐν Βυζαντίῳ ἐς τέσσαρας διῆλθε [C] μῆνας, ἤκμασε δὲ ἐν τρισὶ μάλιστα. καὶ κατ' ἀρχὰς μὲν ἔθνησκον τῶν εἰωθότων ὀλίγῳ πλείους, εἶτα ἔτι μᾶλλον τὸ κακὸν ἤρετο, μετὰ δὲ ἐς πεντακισχιλίους ἡμέρᾳ ἑκάστῃ ἐξικνεῖτο τὸ τῶν

2. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 3. ἦν om. L. 10. πῦον] πύον P. 13. ὑγιείας] ὑγίας P. ibid. ἐγίνετο A. ἐγένετο P.

cauto diligenter periculo morbum, vel hoc semel contracto mortem effugeret. Nam quod quis in morbum incideret, id sine causa; quod evaderet, casu fieri videbatur. Quotquot in utero gestabant foeminae, si peste tenebantur, illis ante oculos certa mors imminebat. Nam aliae abortum patientes, parientes aliae, confestim cum ipsis puerperiis fato fungebantur. Tres tamen puerperas, mortuis foetibus, superasse; contra uni in nixu extinctae editum partum superstitem fuisse ferunt. Quibus magis crescebat bubo atque in pus maturescebat, illi ex morbo assurgebant: propterea quod carbunculi vis iam emollita eo conciderat: quod quidem valetudinis recuperandae esse indicium satis constans usus docuerat. At quibus tuber eadem constabat facie, eos mala iam commemorata circumveniebant. Horum nonnullis femur exarescebat: quo fiebat, ut bubo quamvis tumidus, nihil puris conciperet. Fuere qui ex morbo evaserint, contracto linguae vitio; ita ut ea deinceps, quamdiu vixere, vel balba, vel prae stupore inexplanata usi sint.

23. Menses quatuor exegit pestis Byzantii: per tres admodum viguit. Initio quidem paulo plures solito moriebantur: deinde vero crudescente calamitate, morientium diebus singulis numerus ad quina millia

νεκρῶν μέτρον, καὶ αὖθις πάλιν ἐς μυρίους τε καὶ τούτων ἔτι πλείους ἦλθε. τὰ μὲν οὖν πρῶτα τῆς ταφῆς αὐτὸς ἕκαστος ἐπεμελεῖτο τῶν κατὰ τὴν οἰκίαν νεκρῶν, οὓς δὴ καὶ ἐς ἀλλοτρίας θήκας ἐρρίπτουν ἢ λανθάνοντες ἢ βιαζόμενοι· ἔπειτα δὲ πάντα ἐν ἅπασι ξυνεταράχθη. δοῦλοί τε γὰρ ἔμειναν δεσποτῶν ἔρημοι, ἄνδρες τε τὰ πρότερα λίαν εὐδαίμονες τῆς τῶν οἰκετῶν ὑπουργίας ἢ νοσούντων ἢ τετελευτηκότων ἐστέρηντο, πολλαί τε οἰκίαι παντάπασιν ἔρημοι ἀνθρώπων ἐγένοντο. διὸ δή τισι ξυνέβη τῶν D γνωρίμων τῇ ἀπορίᾳ ἡμέρας πολλὰς ἀτάφοις εἶναι. ἔς τε βασιλέα ἡ τοῦ πράγματος πρόνοια, ὡς τὸ εἰκὸς, ἦλθε. στρατιώτας οὖν ἐκ παλατίου καὶ χρήματα νείμας Θεόδωρον ἐκέλευε τοῦ ἔργου τούτου ἐπιμελεῖσθαι, ὃς δὴ ἀποκρίσεσι ταῖς βασιλικαῖς ἐφειστήκει, ἀεὶ τῷ βασιλεῖ τὰς τῶν ἱκετῶν δεήσεις ἀγγέλλων, σημαίνων τε αὖθις ὅσα ἂν αὐτῷ βουλομένῳ εἴη. ῥαιφερενδάριον τῇ Λατίνων φωνῇ τὴν τιμὴν ταύτην καλοῦσι Ῥωμαῖοι. οἷς μὲν οὖν οὔπω παντάπασιν ἐς ἐρημίαν ἐμπεπτωκότα τὰ κατὰ τὴν οἰκίαν ἐτύγχανεν, αὐτοὶ ἕκαστοι τὰς τῶν προσηκόντων ἐποι- P 146 οῦντο ταφάς. Θεόδωρος δὲ τά τε βασιλέως διδοὺς χρήματα καὶ τὰ οἰκεῖα προσαναλίσκων τοὺς ἀπημελημένους τῶν νεκρῶν ἔθαπτεν. ἐπεὶ δὲ τὰς θήκας ἁπάσας, αἳ πρότερον ἦσαν, ἐμπίμπλασθαι τῶν νεκρῶν ἔτυχεν, οἱ δὲ ὀρύσσοντες ἅπαντα ἐφεξῆς τὰ ἀμφὶ τὴν πόλιν χωρία, ἐνταῦθά τε τοὺς θνήσκοντας κατατι-

1. αὖθις] αὖ L. 10. ἦλθε — Ἰσαάκιος (p. 148 d.) om. HL: habent AV. In paucos versus contraxit RV. 12. δὴ V. δὲ P. 13. ἀεὶ] αἰεὶ V. 14. ῥαιφερενδάριον V. ῥεφερενδάριον P. 16. οὔπω P. εἶχον AV. 20. ἐμπίμπλασθαι V. ἐμπίπλασθαι P.

excrevit; post etiam ad decem millia, immo et supra. Principio certe suos quisque domesticos vita functos sepeliebat: quos utique aliena in conditoria aut furtim aut per vim iaciebant: at omnia postmodum confusa perturbataque sunt. Nam et servi orbati dominis remansere, et cives antea fortunatissimi ab officiis famulorum deserti sunt, cum ii partim aegrotarent, partim naturae satis fecissent. Desolatae penitus erant domus permultae: unde fiebat, ut nonnulli prae domesticorum et necessariorum penuria dies plurimos insepulti iacerent. Huic rei providens, ut par erat, Augustus, datis e palatio militibus et pecunia, provinciam Theodoro demandavit. Is Principi a responsis erat, ad ipsum postulata supplicum deferens, eiusdemque placita renuntians: quem magistratum Romani Latina voce Referendarium appellant. Quorum igitur domus nondum viduata erat omnino, illorum quisque propinquis suis tumulos faciebat. Theodorus autem pecuniam Imperatoris et aliam insuper de suo elargiens, cadavera inopum humanda curabat. Postquam omnia, quaecunque prius facta extabant, sepulchra et conditoria mortuis oppleta sunt; tum iis, qui omnes continenter agros urbi circumiectos fodiebant

θέμενοι, ὡς ἕκαστός πη ἐδύνατο, ἀπηλλάσσοντο, ἔπειτα δὲ οἱ τὰς κατώρυχας ταύτας ποιούμενοι πρὸς τῶν ἀποθνησκόντων τὸ μέτρον οὐκέτι ἀντέχοντες ἐς τοὺς πύργους τοῦ περιβόλου ἀνέβαινον, ὃς ἐν Συκαῖς ἐστί· τάς τε ὀροφὰς περιελόντες ἐνταῦθα ἐρρίπτουν τὰ σώματα οὐδενὶ κόσμῳ, καὶ ξυννήσαντες, ὥς πη ἑκάστῳ παρέτυχεν, ἐμπλησάμενοί τε τῶν νεκρῶν ὡς εἰπεῖν ἅπαντας, εἶτα ταῖς ὀροφαῖς αὖθις ἐκάλυπτον. καὶ ἀπ' αὐτοῦ πνεῦμα δυσῶδες (B) ἐς τὴν πόλιν ἰὸν ἔτι μᾶλλον ἐλύπει τοὺς ταύτῃ ἀνθρώπους, ἄλλως τε ἢν καὶ ἄνεμός τις ἐκεῖθεν ἐπίφορος ἐπιπνεύσειε.

Πάντα τε ὑπερώφθη τότε τὰ περὶ τὰς ταφὰς νόμιμα. οὔτε γὰρ παραπεμπόμενοι ᾗ νενόμισται οἱ νεκροὶ ἐκομίζοντο οὔτε καταψαλλόμενοι ἧπερ εἰώθει, ἀλλ' ἱκανὸν ἦν, εἰ φέρων τις ἐπὶ τῶν ὤμων τῶν τετελευτηκότων τινὰ ἔς τε τῆς πόλεως τὰ ἐπιθαλάσσια ἐλθὼν ἔρριψεν, οὗ δὴ ταῖς ἀκάτοις ἐμβαλλόμενοι σωρηδὸν ἔμελλον ὅπη παρατύχοι κομίζεσθαι. τότε καὶ τοῦ δήμου ὅσοι στασιῶται πρότερον ἦσαν, ἔχθους τοῦ ἐς ἀλλήλους ἀφέμενοι τῆς τε ὁσίας τῶν τετελευτηκότων κοινῇ ἐπεμέλοντο καὶ φέ- (C) ροντες αὐτοὶ τοὺς οὐ προσήκοντας σφίσι νεκροὺς ἔθαπτον. ἀλλὰ καὶ ὅσοι πράγμασι τὰ πρότερα παριστάμενοι αἰσχροῖς τε καὶ πονηροῖς ἔχαιρον, οἵδε τὴν ἐς τὴν δίαιταν ἀποσεισάμενοι παρανομίαν τὴν εὐσέβειαν ἀκριβῶς ἤσκουν, οὐ τὴν σωφροσύνην μεταμαθόντες οὐδὲ τῆς ἀρετῆς ἐρασταί τινες ἐκ τοῦ αἰφνιδίου γεγενη- (V 322)

5. ξυννήσαντες] ξυνήσαντες V. ξυνήσαντες A. ξυνήκαντες P. 15. παρατύχοι] Vulgo παρατύχῃ. 20. οἵδε] οἱ δὲ V. οἱ δέ A. ibid. τὴν ἐς] τινες A.

defunctosque ibi componebant, quo quisque potuit, dilapsis, alii fossores oppressi numero morientium, turres murorum Sycaeorum ascendunt. Eversis illarum tectis, temere proiiciebant intro cadavera. His demum, ut quodque sors offerebat, compactis, cum turres fere omnes implessent, eas tectis denuo operuerunt. Graveolens inde spiritus, ad urbem diffusus, maxime si quis huc ferens illinc ventus perflaret, in dies molestior civibus accidebat.

Nullus tunc locus erat exequiarum iustis ac ritibus. Neque enim comitatu, ut mos est, nec sueto cantu cohonestati mortui efferebantur: sed putabatur id satis esse, si quis corpus ad maritimam urbis regionem baiularet, ibique proiiceret: ubi deinde in actuarias naves imposita acervatim cadavera, quocunque fortuna ferret, vehenda erant. Eo quoque tempore quotquot e populo in factiones antea divisi fuerant, odio, quo inter se dissidebant, deposito, accurabant funera in commune, et alienos mortuos sepultura ipsimet afficiebant. Quin etiam obscoenis voluptatibus dediti, et qui sceleribus se oblectabant, effraeni valere iussa vitae licentia, sedulo officia religionis colebant, non quod turpia dedocti continentiam didicissent, ac virtutis amatores evasissent repente: siquidem

μένοι· ἐπεὶ τοῖς ἀνθρώποις ὅσα ἐμπέπηγε φύσει ἢ χρόνου μακροῦ
διδασκαλίᾳ ῥᾷστα δὴ οὕτω μεταβάλλεσθαι ἀδύνατά ἐστιν, ὅτι
μὴ θείου τινὸς ἀγαθοῦ ἐπιπνεύσαντος· ἀλλὰ τότε ὡς εἰπεῖν ἅπαν-
τες καταπεπληγμένοι μὲν τοῖς συμπίπτουσι, τεθνήξεσθαι δὲ αὐ-
D τίκα δὴ μάλα οἰόμενοι, ἀνάγκῃ, ὡς τὸ εἰκὸς, πάσῃ τὴν ἐπιείκειαν
ἐπὶ καιροῦ μετεμάνθανον. ταῦτά τοι, ἐπειδὴ τάχιστα τῆς νό-
σου ἀπαλλαγέντες ἐσώθησαν ἔν τε τῷ ἀσφαλεῖ γεγενῆσθαι ἤδη
ὑπετόπασαν, ἅτε τοῦ κακοῦ ἐπ' ἄλλους ἀνθρώπων τινὰς κεχω-
ρηκότος, ἀμφίστροφον αὖθις τῆς γνώμης τὴν μεταβολὴν ἐπὶ τὰ
χείρω πεποιημένοι μᾶλλον ἢ πρότερον τὴν τῶν ἐπιτηδευμάτων
ἀτοπίαν ἐνδείκνυνται, σφᾶς αὐτοὺς μάλιστα τῇ τε πονηρίᾳ καὶ τῇ
ἄλλῃ παρανομίᾳ νενικηκότες· ἐπεὶ καὶ ἀπισχυρισάμενος ἄν τις
οὐ τὰ ψευδῆ εἴποι ὡς ἡ νόσος ἥδε εἴτε τύχῃ τινὶ εἴτε προνοίᾳ ἐς
τὸ ἀκριβὲς ἀπολεξαμένη τοὺς πονηροτάτους ἀφῆκεν. ἀλλὰ ταῦτα
μὲν τῷ ὑστέρῳ ἀποδέδεικται χρόνῳ.

P 147 Τότε δὲ ἀγοράζοντά τινα οὐκ εὐπετὲς ἐδόκει εἶναι ἔν γε Βυ-
ζαντίῳ ἰδεῖν, ἀλλ' οἴκοι καθήμενοι ἅπαντες, ὅσοις ξυνέβαινε
τὸ σῶμα ἐρρῶσθαι, ἢ τοὺς νοσοῦντας ἐθεράπευον, ἢ τοὺς τε-
τελευτηκότας ἐθρήνουν. ἦν δέ τις καὶ προϊόντι τινὶ ἐντυχεῖν
ἴσχυσεν, ὅδε τῶν τινα νεκρῶν ἔφερεν. ἐργασία τε ξύμπασα ἤρ-
γει καὶ τὰς τέχνας οἱ τεχνῖται μεθῆκαν ἁπάσας, ἔργα τε ἄλλα
ὅσα δὴ ἕκαστοι ἐν χερσὶν εἶχον. ἐν πόλει γοῦν ἀγαθοῖς ἅπασιν

3. τότε] τό γε PV. 5. πάσῃ] πᾶσι A. ibid. τὴν add. AV: om. P. 7. ἔν τε] ἐν δὲ A. 11. ἐνδείκνυνται V. ἐδείκνυντο P. 13. εἴτε — εἴτε] ἤτε — ἤτε V. 16. εὐπετὲς] εὐπετῶς A. 20. ὅδε] ὁ δὲ V. ibid. νεκρῶν] νεκρὸν A. 22. γοῦν AV. οὖν P.

quae hominibus vel natura, vel diuturno usu ac disciplina inolevere, ea ut tam facile muteatur fieri nequit, nisi divinum quiddam afflarit mentem: sed quia fere plerique casibus, quos videbant, attoniti, proxime sibi impendere mortem credebant, summa scilicet necessitate adacti modestiam ex tempore discebant. Hac de causa ut primum e morbo fuerant recreati, induxerantque in animum defunctos iam se esse periculo, tanquam si alio longe migrasset lues, mente retro in deterius versa, multo magis quam antea dissoluti, se ipsi improbitate atque omni flagitiorum genere superabant: ut vere quis possit dicere, pestem illam, seu casu aliquo, seu providentia, quasi delectu diligenter habito, sceleratissimos quosque reliquisse. Sed haec postea clarius patuerunt.

Tunc autem Byzantii non erat facile videre versantem in foro quempiam: sed quicunque corpore erant valido, domi se continentes, vel inserviebant aegrotis, vel mortuos lugebant. Si quis in publico quemquam offendebat, is cadaver portabat aliquod. Cessarat omnis negotiatio: omnes artifices suas artes desierant, et quaelibet quivis intermiserat opera, quae habebat in manibus. Hinc nata extrema fames, in civitate,

ἀτεχνῶς εὐθηνούσῃ λιμός τις ἀκριβὴς ἐπεκώμαζεν. ἄρτον ἀμέλει ἢ ἄλλ' ὁτιοῦν διαρκῶς ἔχειν χαλεπόν τε ἐδόκει καὶ λόγου πολλοῦ B ἄξιον εἶναι· ὥστε καὶ τῶν νοσούντων τισὶν ἄωρον ξυμβῆναι δοκεῖν ἀπορίᾳ τῶν ἀναγκαίων τὴν τοῦ βίου καταστροφήν. καὶ τὸ ξύμπαν εἰπεῖν, χλαμύδα οὐκ ἦν ἐνδιδυσκόμενόν τινα ἐν Βυζαντίῳ τὸ παράπαν ἰδεῖν, ἄλλως τε ἡνίκα βασιλεῖ νοσῆσαι ξυνέβη (καὶ αὐτῷ γὰρ ξυνέπεσε βουβῶνα ἐπῆρθαι), ἀλλ' ἐν πόλει βασιλείαν ἐχούσῃ ξυμπάσης τῆς Ῥωμαίων ἀρχῆς ἱμάτια ἐν ἰδιωτῶν λόγῳ ἅπαντες ἀμπεχόμενοι ἥσυχῇ ἔμενον. τὰ μὲν ἀμφὶ τῷ C λοιμῷ ἔν τε τῇ ἄλλῃ Ῥωμαίων γῇ καὶ ἐν Βυζαντίῳ ταύτῃ πῃ ἔσχεν. ἐπέσκηψε δὲ καὶ ἐς τὴν Περσῶν γῆν καὶ ἐς βαρβάρους τοὺς ἄλλους ἅπαντας.

κδ'. Ἐτύγχανε δὲ ὁ Χοσρόης ἐξ Ἀσσυρίων ἐς χωρίον D Ἀδαρβιγάνων ἥκων πρὸς βορρᾶν ἄνεμον, ἔνθεν διενοεῖτο ἐς τὴν Ῥωμαίων ἀρχὴν διὰ Περσαρμενίων ἐσβάλλειν. τὸ μέγα πυρεῖον ἐνταῦθά ἐστιν, ὃ σέβονται Πέρσαι θεῶν μάλιστα. οὗ δὴ τὸ πῦρ ἄσβεστον φυλάσσοντες μάγοι τά τε ἄλλα ἐς τὸ ἀκριβὲς ἐξοσιοῦνται καὶ μαντείῳ ἐς τῶν πραγμάτων τὰ μέγιστα χρῶνται. τοῦτ' ἔστι τὸ πῦρ, ὅπερ Ἑστίαν ἐκάλουν τε καὶ ἐσέβοντο ἐν τοῖς ἄνω χρόνοις Ῥωμαῖοι. ἐνταῦθα σταλείς τις ἐκ Βυζαντίου παρὰ Χοσρόην ἀπήγγελλε Κωνσταντιανόν τε καὶ Σέργιον πρέσβεις

2. ἄλλ' A. ἄλλο P. 3. ἄωρον] ἀώρων AV. 14. Ἀδαρβιγάνων] Scribebatur Ἀρδαβιγάνων. *Ardabigaram* RV. Conf. p. 148 c. 19. τοῦτ' ἔστι] τοῦτό ἐστι V.

quae bonis omnibus circumfluere solebat, sine lege ac more desaeviit. Panem certe aliudve quidpiam habere, quantum satis esset, difficile et magnum ducebatur: unde et derelictis quibusdam aegris immatura mors per inopiam cibi contigit. Ac ne multa, neminem videre erat Byzantii chlamydatum, maxime quando aeger decubuit Imperator (nam et ipsi quoque bubo intumuit) sed in urbe Regio universi Rom. Imperii fastigio decorata omnes privatorum hominum ritu vestiti, se domo tenebant. Ita demum quae ad pestilentiam attinent cum Byzantii tum in reliquo Rom. Imperio se habuerunt. Persas etiam omnesque Barbaros illa incessit.

24. Ex Assyria Chosroes, Septentrionem versus, Ardabigana sese contulerat: unde in Romanum Imperium per Persarmeniam irrumpere cogitabat. Magnum ibi pyreum est, Persis maximo prae diis omnibus in honore: ubi ignem inextinctum foventes Magi cum alia sacra procurant studiose, tum in gravioris momenti rebus oraculum consulunt. Hic ille ignis est quem Romani Vestam vocabant, ac superiori memoria venerabantur. Illuc missus quidam Byzantio ad Chosroem, legatos de pace Constantianum ac Sergium primo quoque die affore renuntiavit. Ambo advocati erant, et viri cum primis intelligentes: Illyrius natione Constantianus; Edessa, quae est in Mesopotamia, oriundus Sergius: qui-

ἐς αὐτὸν ἐπὶ τῇ ξυμβάσει αὐτίκα δὴ μάλα ἀφίξεσθαι. ἤστην
δὲ τὼ ἄνδρε τούτω ῥήτορέ τε ὕμφω καὶ ξυνετὼ ἐς τὰ μάλιστα,
Κωνσταντιανὸς μὲν Ἰλλυριὸς γένος, Σέργιος δὲ ἐξ Ἐδέσσης πό-
λεως, ἣ ἐν Μεσοποταμίᾳ τυγχάνει οὖσα. οὓς δὴ ὁ Χοσρόης
P 143 προσδεχόμενος ἡσυχῇ ἔμενεν. ἐν δὲ τῇ πορείᾳ ταύτῃ Κωνσταν-
V 323 τιανοῦ νοσήσαντος καὶ χρόνου τριβέντος συχνοῦ τὸν λοιμὸν ἐπι-
σκῆψαι Πέρσαις ξυνέπεσε. διὸ δὴ Ναβέδης τηνικαῦτu ἐν Περ-
σαρμενίοις τὴν στρατηγίδα ἔχων ἀρχὴν Ἐνδούβιον, τὸν Χρι-
στιανῶν ἱερέα, βασιλέως ἐπαγγείλαντος παρὰ Βαλεριανὸν τὸν ἐν
Ἀρμενίοις στρατηγὸν ἔπεμψεν, αἰτιασόμενόν τε τὴν τῶν πρέσ-
βεων βραδυτῆτα καὶ Ῥωμαίους ἐς τὴν εἰρήνην ὁρμήσοντα προ-
θυμίᾳ τῇ πάσῃ. καὶ ὃς ξὺν τῷ ἀδελφῷ εἰς Ἀρμενίους ἥκων, τῷ
τε Βαλεριανῷ ἐντυχὼν, αὐτός τε Ῥωμαίοις ἅτε Χριστιανὸς ἰσχυ-
ρίζετο εὐνοϊκῶς ἔχειν καί οἱ βασιλέα Χοσρόην πείθεσθαι ἀεὶ ἐς
βουλὴν πᾶσαν· ὥστε ἢν Ῥωμαίων οἱ πρέσβεις ἐς τὰ Περσῶν
B ξὺν αὐτῷ ἔλθωσιν, οὐκ ἄν τι αὐτοῖς ἐμπόδισμα εἴη τοῦ τὴν εἰ-
ρήνην ὅπη βούλονται διαθήσεσθαι. ὁ μὲν οὖν ἱερεὺς τοσαῦτα
εἶπεν· ὁ δὲ ἱερέως ἀδελφὸς Βαλεριανῷ ἐντυχὼν λάθρα Χοσ-
ρόην ἐν μεγάλοις κακοῖς εἶναι ἔφασκε· τόν τε γάρ οἱ παῖδα τυ-
ραννίδι ἐπιθέμενον καὶ ἐπαναστῆναι καὶ αὐτὸν ὁμοῦ ξὺν παντὶ
τῷ Περσῶν στρατῷ τῇ νόσῳ ἁλῶναι· διὸ δὴ καὶ Ῥωμαίοις τανῦν
ἐς τὴν ξύμβασιν ἐθέλειν ἰέναι. ταῦτα ἐπεὶ Βαλεριανὸς ἤκουσε,

3. Ἰλλυριὸς] Vulgo Ἰλλύριος. ibid. Ἐδέσσης] Ἐδέσης P. αἰδέσης V. 5. τῇ A. δὴ P. om. V. 6. συχνοῦ V. πυκνοῦ P. 8. Ἐνδούβιον] τὸν Εὐδούβιον P. τὸν ἐνδούβιον AV. Eudulium RV. ibid. τὸν Χρ. A. Aberat τόν. 9. Βαλεριανὸν] βελισάριον V. 11. βραδυτῆτα V. βραδύτητα P. ibid. ὁρμήσοντα] ὁρμήσαντας V. 17. ὅπη] ὅπου AV. 19. τυραννίδι] τυραννίδα A.

bus praestolans Chosroes, nihil movit. Verum in via impedito valetudine Constantiano, multoque elapso tempore, Persas pestis invasit. Quocirca Nabedes, tunc Magister militum in Persarmenia, Eudubium Christianorum antistitem de mandato Regis ad Valerianum Magistrum militum per Armeniam misit expostulatum de legatorum mora, et ad pacem omni studio impellere Romanos iussit. Is ubi in Armeniam cum fratre suo pervenit, ad colloquium Valeriani admissus, Romanis se, quippe Christianum, studere asseveravit; quidquid daret consilii Chosroi, nunquam reiici: quare si secum in Persidem legati Rom. venirent, nihil ipsis obstiturum quo minus pacêm quibus vellent conditionibus facerent. Haec Antistes: eius autem frater convento clam Valeriano in magnas adductum esse angustias Chosroem indicavit: filium eius affectantem tyrannidem rebellasse: ipsum cum universo Persarum exercitu teneri peste: his de causis iam pacem cum Romanis expetere. Quibus Valerianus auditis,

τὸν μὲν ἐπίσκοπον εὐθὺς ἀπεπέμψατο, τοὺς πρέσβεις οὐκ ἐς μακρὰν ὑποσχόμενος παρὰ Χοσρόην ἀφίξεσθαι, αὐτὸς δὲ τοὺς λόγους ἐς βασιλέα Ἰουστινιανὸν, οὕσπερ ἠκηκόει, ἀνήνεγκεν. οἷς δὴ ὁ βασιλεὺς αὐτίκα ἡγμένος αὐτῷ τε καὶ Μαρτίνῳ καὶ τοῖς ἄλλοις ἄρχουσιν ὅτι τάχιστα ἐσβάλλειν ἐς τὴν πολεμίαν ἐπέστελλεν. οὐ γάρ οἶδεν ὡς αὐτοῖς τῶν πολεμίων οὐδεὶς ἐμποδὼν στήσεται. C ἐκέλευε δὲ ξυλλεγέντας ἐς ταὐτὸ ἅπαντας οὕτω τὴν ἐσβολὴν ἐπὶ Περσαρμενίους ποιήσασθαι. ταῦτα ἐπεὶ ἀπενεχθέντα οἱ ἄρχοντες τὰ γράμματα εἶδον, ἅπαντες ὁμοῦ τοῖς ἑπομένοις ξυνέρρεον ἐς τὰ ἐπ' Ἀρμενίας χωρία.

Ἤδη δὲ ὁ Χοσρόης ὀλίγῳ πρότερον τὸ Ἀδαρβιγάνων δέει τῷ ἐκ τῆς νόσου ἀπολιπὼν ἐς τὴν Ἀσσυρίαν παντὶ τῷ στρατῷ ἀπιὼν ᾤχετο, ἔνθα δὴ οὔπω ἐνεδεδημήκει τὸ τοῦ λοιμοῦ πάθος. Βαλεριανὸς μὲν Θεοδοσιουπόλεως ἄγχιστα ἐστρατοπεδεύσατο ξὺν τοῖς ἀμφ' αὐτὸν καταλόγοις, καί οἱ Ναρσῆς ξυνετάττετο Ἀρμενίους τε καὶ Ἐρούλων τινὰς ξὺν αὐτῷ ἔχων. Μαρτῖνος δὲ τῆς ἕω στρατηγὸς ξύν τε Ἰλδιγέρει καὶ Θεοκτίστῳ ἐς Κιθαρίζων τὸ D φρούριον ἀφικόμενος ἐνταῦθά τε πηξάμενος τὸ στρατόπεδον αὐτοῦ ἔμενε· διέχει δὲ Θεοδοσιουπόλεως ὁδῷ τεσσάρων ἡμερῶν τὸ φρούριον τοῦτο· ἵνα καὶ Πέτρος οὐκ εἰς μακρὰν ξύν τε Ἀδολίῳ καὶ ἄλλοις τισὶν ἄρχουσιν ἦλθεν. ἡγεῖτο δὲ τῶν ταύτῃ καταλό-

1. οὐκ ἐς] οὐκ εἰς V. 3. ἀνήνεγκεν] ἀνήγγελκεν A. 6. αὐτοῖς AV. αὐτοῦ P. 9. ἑπομένοις] ἐσομένοις V. 11. τὸ Ἀδαρβιγάνων addidi ex A, qui vitiose τῷ. *Adarbiganos* RV: om. PV. 12. τῷ] τὸ A. 15. αὐτῷ] αὑτῷ P. 17. ἰλδιγέρει A. ἰλδιγέρι V. Ἰλδίγερι P. *ibid.* κιθαρίζων V. Κιθαρίζον P. Conf. de Aedif. p. 56 c. et Vales. ad Excerpta Legat. p. 554. ed. Nieb. 19. τεσσάρων V. τεττάρων P.

Episcopum e vestigio remisit, legatos brevi Chosroem adituros pollicitus: mox sibi indicata Iustiniano Aug. significavit. His protinus inductus Imperator, tum ipsi, tum Martino caeterisque ducibus ut nulla interposita mora irrumperent in fines hostium imperavit. Haud sane sciebat, an ullus ibi esset hostis, qui se obiiceret. Idem tamen praescripsit, uti in unum coacti omnes, iunctis viribus in Persarmeniam se inveherent. Lectis literis duces, suis quisque cum copiis in Armeniam confluxerunt.

Non ita pridem Chosroes pestilentiae metu in Assyriam, ubi illa nondum grassabatur, cum exercitu universo concesserat. Ac Valeriano quidem cum suis cohortibus ad Theodosiopolin castra metato, Narses, Armenios secum et agmen Erulorum habens, sese adiunxit. Martinus vero militum per Orientem Magister, ubi Citharizum castellum attigit cum Ildigere ac Theoctisto, castris ibi positis constitit. Abest Theodosiopoli castellum illud quatridui: quo etiam Petrus non multo post cum Adolio et aliis quibusdam ducibus venit. Numeros militares, qui in ea

γων Ἰσαάκιος ὁ Ναρσοῦ ἀδελφός. Φιλημοὺθ δὲ καὶ Βῆρος ξὺν Ἐρούλοις τοῖς σφίσιν ἑπομένοις ἐς τὰ ἐπὶ Χορζιανηνῆς χωρία ἦλθον, τοῦ Μαρτίνου στρατοπέδου οὐ πολλῷ ἄποθεν. Ἰοῦστός τε ὁ βασιλέως ἀνεψιὸς καὶ Περάνιος καὶ Ἰωάννης ὁ Νικήτου παῖς ξύν τε Δομνεντιόλῳ καὶ Ἰωάννῃ τῷ Φαγᾷ τὴν ἐπίκλησιν ἐστρα-
P 149 τοπεδεύσαντο πρὸς τῷ Φισὼν καλουμένῳ φρουρίῳ, ὅπερ ἄγχιστά πη τῶν Μαρτυροπόλεως ὁρίων ἐστίν. οὕτω μὲν οὖν ἐστρατοπεδεύσαντο οἱ Ῥωμαίων ἄρχοντες σὺν τοῖς ἑπομένοις, ξυνῄει δὲ ὁ στρατὸς ἅπας εἰς τρισμυρίους. οὗτοι ἅπαντες οὔτε ἐς ταὐτὸ ξυνελέγησαν οὐ μὴν οὔτε ἀλλήλοις ἐς λόγους ἦλθον. πέμποντες δὲ παρ' ἀλλήλους οἱ στρατηγοὶ τῶν σφίσιν ἑπομένων τινὰς ὑπὲρ τῆς ἐσβολῆς ἐπυνθάνοντο. ἄφνω δὲ Πέτρος, οὐδενὶ κοινολογησάμενος, ξὺν τοῖς ἀμφ' αὐτὸν ἀνεπισκέπτως ἐς τὴν πολεμίαν ἐσέβαλλεν. ὅπερ ἡμέρᾳ τῇ ἐπιγενομένῃ γνόντες Φιλημοὺθ τε καὶ Βῆρος, οἱ τῶν Ἐρούλων ἡγούμενοι, εὐθὺς εἵποντο. ἐπεί τε ταῦτα οἵ τε ἀμφὶ Μαρτῖνον καὶ Βαλεριανὸν ἔμαθον, τῇ ἐσβο-
B λῇ κατὰ τάχος ἐχρῶντο. ἅπαντες δὲ ἀλλήλοις ὀλίγῳ ὕστερον ἀνεμίγνυντο ἐν τῇ πολεμίᾳ, πλὴν Ἰούστου τε καὶ τῶν ξὺν αὐτῷ, οἳ δὴ μακράν τε ἄποθεν, ὥσπερ ἐρρήθη, στρατοπεδευσάμενοι τοῦ ἄλλου στρατοῦ, καὶ χρόνῳ ὕστερον τὴν ἐκείνων ἐσβολὴν γνόντες, καὶ αὐτοὶ μὲν ἐσέβαλλον ὡς τάχιστα ἐς τὴν κατ' αὐτοὺς πολεμίαν, ἀναμίγνυσθαι δὲ τοῖς ξυνάρχουσιν οὐδαμῇ ἔσχον. οἱ

1. Φιλημοὺθ] *Philomenes* RV. 2. *Χορζιανηνῆς*] *χορυζιανηνῆς* H: illud Hm. *Chorzianorum loca* RV. Vide Coteler. ad Monum. Eccles. vol. II. p. 570. 571. 6. Φισὼν] Φισῶν P. Φεισὼν de Aedif. p. 56 a. 7. *Μαρτυροπόλεως*] *μαρτυρουπόλεως* HL. 14. *γνόντες*] *γνόντες καὶ* HL. *ibid.* Φιλημοὺθ] *Philomenes* RV. 19. *ἐρρήθη*] *ἐῤῥέθη* P.

regione agebant, ducebat Isaacius Narsetis frater. In Chorzianenen se contulere non longe a Martini castris Philemuth et Verus cum Erulis, quibus praeerant. Iustus Augusti ex fratre nepos, et Peranius, et Nicetae filius Ioannes, cum Domnentiolo ac Ioanne cognomine Heluone ad castellum Phison limiti Martyropoleos proximum castra locarunt. Ita demum Romani duces cum suis metati sunt. Omnes porro copiae numerum XXX. M. conficiebant. At non coierant unum in corpus, neque in colloquium contrahebantur: tantum per quosdam e suis consilia inter se duces de facienda irruptione miscebant. Repente autem Petrus, nemini communicato consilio, in hostile solum suas turmas inexplorato induxit. Quo postridie cognito, secuti continuo sunt Philemuth et Verus Erulorum duces. Martinus quoque ac Valerianus, simul haec audiere, intrarunt hostium fines; ubi sese omnes miscuere, praeterquam Iustus, et qui cum ipso erant, longe, ut diximus, a reliquo exercitu castra metati. Post de illorum irruptione certiores facti, in hostilem et ipsi agrum, qui

μέντοι ἄλλοι ξύμπαντες ἐπορεύοντο εὐθὺ Δούβιος, οὔτε ληιζόμενοι οὔτε τι ἄλλο ἄχαρι πράσσοντες ἐς τὴν Περσῶν χώραν.

κε'. Ἔστι δὲ τὸ Δούβιος χώρα τις τά τε ἄλλα ἀγαθὴ καὶ C ἀέρων τε καὶ ὑδάτων εὐεξίαν τινὰ διαρκῶς ἔχουσα, Θεοδοσιου- V 324 πόλεως δὲ ὁδῷ ἡμερῶν ὀκτὼ διέχει. καὶ πεδία μὲν ἐνταῦθα ἱππήλατά ἐστι, κῶμαι δὲ πολλαὶ πολυανθρωπόταται ᾤκηνται ἀγχοτάτω ἀλλήλαις καὶ πολλοὶ ἔμποροι κατ' ἐργασίαν ἐν ταύταις οἰκοῦσιν. ἔκ τε γὰρ Ἰνδῶν καὶ τῶν πλησιοχώρων Ἰβήρων πάντων τε ὡς εἰπεῖν τῶν ἐν Πέρσαις ἐθνῶν καὶ Ῥωμαίων τινῶν τὰ φορτία ἐσκομιζόμενοι ἐνταῦθα ἀλλήλοις ξυμβάλλουσι. τόν τε τῶν Χριστιανῶν ἱερέα καθολικὸν καλοῦσι τῇ Ἑλλήνων φωνῇ, ὅτι D δὴ ἐφέστηκεν εἷς ὢν ἅπασι τοῖς ταύτῃ χωρίοις. Δούβιος δὲ ἄποθεν ὅσον εἴκοσι καὶ ἑκατὸν σταδίων ἐν δεξιᾷ ἰόντι ἐκ Ῥωμαίων τῆς γῆς ὄρος ἐστὶ δύσβατόν τε καὶ ἄλλως κρημνῶδες, καὶ κώμη τις ἐν δυσχωρίᾳ στενοτάτῃ κεῖται, Ἀγγλὼν ὄνομα. οὗ δὴ ὁ Ναβέδης, ἐπειδὴ τάχιστα τῶν πολεμίων τὴν ἔφοδον ἔγνω, παντὶ τῷ στρατῷ ἀποχωρήσας χωρίου τε ἰσχύϊ θαρσήσας καθεῖρξεν αὐτόν. καὶ ἡ μὲν κώμη ἐς τοῦ ὄρους τὰ ἔσχατα κεῖται, φρού- P 150 ριον δὲ ἐχυρὸν τῇ κώμῃ ταύτῃ ὁμώνυμον ἐν τῷ κρημνώδει ἐστίν. ὁ γοῦν Ναβέδης λίθοις μὲν καὶ ἁμάξαις τὰς ἐπὶ τὴν κώμην ἀποφράξας εἰσόδους δυσπρόσοδον ἔτι μᾶλλον εἰργάσατο ταύτην. ἐπίπροσθε δὲ τάφρον τινὰ ὀρύξας ἐνταῦθα τὸ στράτευμα ἔστησε,

4. τε καὶ HL. τε om. P. *ibid.* Θεοδοσιουπόλεως A. Divisim P. 5. διέχει] διὲ L. διέχουσα Lm. 10. τε add. AL. 15. στενοτάτῃ] Vulgo στενωτάτῃ. 18. αὐτόν] αὐτὸν HL. 21. ἐπίπροσθε HL. ἐπίπροσθεν P.

erat e regione, quam celerrime se intulerunt: nusquam tamen potuere coniungere se collegis: qui omnes recta Dubios petierunt, nullam in via facientes praedam, nec damni quidquam inferentes Persarum agris.

25. Est Dubios regio quaedam non modo fertilis, sed caeli etiam et aquarum salubritate commodissima. Theodosiopoli distat octidui. Hic late patent equitabiles campi, et vici multi sunt frequentissimi incolis, ac proxime inter se siti: in quibus multi habitant institores, commercii causa. Huc namque ex India proximaque Iberia, ac fere ex omnibus Persidis populis, e Romanis etiam sunt qui merces importent, atque invicem contrahant. Christianorum Antistitem Graeco vocabulo Catholicum idcirco appellant, quod unus universae praesit regioni. Centesimo et vicesimo stadio procul a Dubio venientibus dextra ex Imperio Romano occurrit mons ascensu difficilis, et valde praeruptus. In cuius angustiis, quae sane sunt iniquissimae, est vicus Anglon: quo Nabedes, ut primum adventare hostes cognovit, retro cedens cum omnibus copiis se commisit, valido situ loci confisus. Ac montis quidem radices, vicus; praeceps autem iugum munita arx insidet vico cognominis. Igitur Nabedes omnes

προλοχίσας οἰκίσκους τινὰς παλαιοὺς ἐνέδραις πεζῶν. ἐς τετρακισχιλίους δὲ ἄνδρας ἅπαν ξυνῄει τὸ Περσῶν στράτευμα.

Ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε. Ῥωμαῖοι δὲ ἀφικόμενοι
II 81 ἐς χῶρον ἡμέρας ὁδῷ Ἀγγλῶν διέχοντα, τῶν τινα πολεμίων ἐπὶ
κατασκοπῇ ἰόντα λαβόντες ἀνεπυνθάνοντο ὅπη ποτὲ τανῦν ὁ Να-
B βέδης εἴη καὶ ὃς ἀνακεχωρηκέναι τὸν ἄνδρα ἐξ Ἀγγλῶν παντὶ τῷ
Μήδων στρατῷ ἔφασκεν. ὃ δὴ Ναρσῆς ἀκούσας δεινὰ ἐποιεῖτο, καὶ τοῖς ξυνάρχουσι τὴν μέλλησιν ὀνειδίζων ἐλοιδορεῖτο. ταὐτὸ δὲ τοῦτο καὶ ἄλλοι ἐποίουν, ἐς ἀλλήλους ὑβρίζοντες, καὶ τὸ λοιπὸν μάχης τε καὶ κινδύνου ἀφροντιστήσαντες ληίζεσθαι τὰ ἐκείνῃ χωρία ἐν σπουδῇ ἐποιοῦντο. ἄραντες τοίνυν ἀστρατήγητοί τε καὶ ἄτακτοι κόσμῳ οὐδενὶ ἐπίπροσθεν ᾔεσαν, οὔτε τι ἔχοντες σύμβολον σφίσιν αὐτοῖς, ᾗπερ ἐν τοῖς τοιούτοις ἀγῶσιν εἴθισται, οὔτε πη διακεκριμένοι ἐν τάξει. τοῖς γὰρ σκευοφόροις οἱ στρατιῶται ἀναμιγνύμενοι ἐπορεύοντο ὡς ἐπὶ ἁρπαγὴν ἑτοιμοτάτην ἰόντες χρημάτων μεγάλων. ἐπεὶ δὲ Ἀγγλῶν ἀγχοῦ ἐγέ-
C νοντο, πέμπουσι κατασκόπους, οἳ δὴ αὐτοῖς ἐπανιόντες ἀπήγγελλον τὴν τῶν πολεμίων παράταξιν. οἱ δὲ στρατηγοὶ τῷ ἀπροσδοκήτῳ καταπλαγέντες ἀναστρέφειν μὲν ξὺν στρατῷ τοσούτῳ τὸ πλῆθος αἰσχρόν τε καὶ ἄνανδρον ὅλως ᾤοντο εἶναι. τάξαντες δὲ ὡς ἐκ τῶν παρόντων ἐς τὰ τρία τέλη τὸ στράτευμα εὐθὺ τῶν πολεμίων ἐχώρουν. Πέτρος μὲν οὖν κέρας τὸ δεξιὸν εἶχε, Βαλεριανὸς

6. ποτὲ LHm. τε HP. 13. σφίσιν] ἐν σφίσιν L. 22. Βαλεριανὸς] βελισάριος L.

vici aditus saxis plaustrisque obstruens, multo difficiliorem accessu reddidit: ac praeducta etiam fossa, exercitum quatuor millibus omnino constantem ibi locavit, cum veteres quasdam aediculas insidiis peditum occupasset.

Ibi his ita comparatis, Romani, cum in locum Anglone unius diei itinere dissitum pervenissent, comprehensum hostium exploratorem, ubi tum esset Nabedes, percontati sunt. Ille Nabedem Anglone discessisse cum omnibus Medorum copiis respondit. Quo Narses audito, indignans, cunctationem collegis exprobravit. Ad eundem caeteri modum se convitiis mutuis incessentes, ac pugnae iam periculique securi, regionis illius pagos diripere festinabant. Ergo duce nullo praeeunte, nullo ordine servato digressi, incomposite procedebant, nec tesseram, ut in discriminibus eiuscemodi fieri solet, habentes inter se, nec rite usquam distincti. Calonibus enim permisti milites vadebant, tanquam ad praedam divitem labore nullo rapiendam vocati. Ubi ventum est ad Anglonem, submittunt exploratores. Hi reversi, instructa hostes acie stare referunt. Quo tam inopinato nuntio perculsi duces, turbiter ignaveque se facturos putarunt, si cum tanto exercitu retro cederent. Mox e re nata compositis in tria agmina copiis, Petro dexterum cornu, Valeriano sinistrum,

δὲ τὸ εὐώνυμον, ξὺν δὲ τὸ μέσον οἱ ἀμφὶ Μαρτῖνον ἐτάσσοντο. γενόμενοι δὲ ἄγχιστά πη τῶν ἐναντίων ἡσύχαζον, τὴν τάξιν σὺν ἀκοσμίᾳ φυλάσσοντες. αἴτιον δὲ ἦν ἥ τε δυσχωρία κρημνώδης ὑπερφυῶς οὖσα καὶ τὸ ἐξ ὑπογύου διαταχθέντας ἐς τὴν μάχην καθίστασθαι. ἔτι μέντοι καὶ οἱ βάρβαροι σφᾶς αὐτοὺς ἐς ὀλίγον ξυναγαγόντες ἡσυχῆ ἔμενον, περισκοπούμενοι τῶν D ἐναντίων τὴν δύναμιν, προειρημένον αὐτοῖς πρὸς Ναβέδου χειρῶν μὲν ὡς ἥκιστα ἄρχειν, ἢν δέ πη ἐπισκήψωσιν οἱ πολέμιοι, κατὰ τὸ δυνατὸν σφίσιν ἀμύνασθαι.

Πρῶτος δὲ Ναρσῆς ξύν τε τοῖς Ἐρούλοις καὶ Ῥωμαίων τοῖς ἑπομένοις ἐς χεῖρας τοῖς πολεμίοις ἦλθεν, ὠθισμοῦ τε γενομένου ἐτρέψατό τους κατ' αὐτὸν Πέρσας. φεύγοντές τε οἱ βάρβαροι ἐς τὸ φρούριον ἀνέβαινον δρόμῳ. ἔνθα δὴ ἀλλήλους ἔργα ἀνή- V 325 κεστα ἐν τῇ στενοχωρίᾳ εἰργάζοντο. καὶ τότε Ναρσῆς τε αὐτὸς τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος πολλῷ ἔτι μᾶλλον τοῖς πολεμίοις ἐνέκειτο καὶ Ῥωμαίων οἱ λοιποὶ ἔργου εἴχοντο. ἐξελθόντες δὲ ἐκ τοῦ αἰφνιδίου ἐκ τῶν κατὰ τοὺς στενωποὺς οἰκίσκων οἱ προλο- P 151 χίζοντες, ὥσπερ ἐρρήθη, τῶν Ἐρούλων τινὰς κτείνουσιν, ἀπροσδόκητοι ἐπιπεσόντες, καὶ Ναρσῆν κατὰ κόρρης αὐτὸν παίουσι. καὶ αὐτὸν Ἰσαάκης ὁ ἀδελφὸς καιρίαν τυπέντα ὑπεξήγαγε τῶν μαχομένων. ὃς δὴ ὀλίγῳ ὕστερον ἐτελεύτησεν, ἀνὴρ ἀγαθὸς ἐν τῷ πόνῳ τούτῳ γενόμενος. ταραχῆς δὲ, ὡς τὸ εἰκὸς, ἐνθένδε πολλῆς ἐς τὸν Ῥωμαίων στρατὸν ἐμπεσούσης, ἅπαν ὁ

1. ξὺν] ἐς? 19. κόρρης] Vulgo κόρης. Conf. ad p. 251 b. 304 d.
20. Ἰσαάκης] ἰσάκης L.

mediam aciem obtinente Martino, ad hostem recta contenderunt. Progressi cominus, presso gradu stetere, ordinibus male cohaerentibus ob summam iniquitatem derupti loci, et subitariam ad praelium instructionem. Ipsi etiam Barbari in arctum coacti nihil movebant, hostilem exercitum circumspectantes idque habentes mandatum a Nabede, ne pugnam inciperent, si hostis adoriretur, pro virili repellerent.

Primus omnium Narses cum Erulis et sequentibus ipsum Romanis hostes invasit. Cum se invicem trusissent, sibi adversos Persas disiecit. Fugientes Barbari, dum cursu ad castellum evaderent, sibi mutuo in arctis callibus offendiculo erant atque exitio. Tum suos instigare Narses, acrius hosti instare, caeteri quoque Romani rem aggredi. At ecce e tuguriis ad viarum angusta positis erumpunt, qui illa insidiis, ut dixi, praeceperant. Hi ex improviso ruentes, caesis aliquot Erulis, Narsetem ipsum in pupilla vulnerant: quem Isaaces frater letali plaga saucium pugnae subduxit. Paulo post idem interiit, re in hoc certamine fortiter gesta. Hinc magna, ut fit, in Romanum exercitum iniecta per-

Ναβέδης ἐπαφῆκε τοῖς ἐναντίοις τὸ Περσῶν στράτευμα. οἱ δὲ βάλλοντες ἐν τοῖς στενωποῖς ἐς πολεμίων πάμπολυ πλῆθος πολλούς τε ἄλλους εὐπετῶς ἔκτεινον καὶ διαφερόντως Ἐρούλους, οἳ ξὺν τῷ Ναρσῇ τὰ πρῶτα τοῖς ἐναντίοις ἐπιπεσόντες ἀφύλακτοι ἐκ τοῦ ἐπὶ πλεῖστον ἐμάχοντο. οὔτε γὰρ κράνος οὔτε θώρακα οὔτε ἄλλο τι φυλακτήριον Ἔρουλοι ἔχουσιν, ὅτι μὴ ἀσπίδα καὶ
B τριβώνιον ἁδρὸν, ὃ δὴ διεζωσμένοι ἐς τὸν ἀγῶνα καθίστανται. δοῦλοι μέντοι Ἔρουλοι καὶ ἀσπίδος χωρὶς ἐς μάχην χωροῦσιν, ἐπειδὰν δὲ ἄνδρες ἐν πολέμῳ ἀγαθοὶ γένωνται, οὕτω δὴ ἀσπίδας αὐτοῖς ἐφιᾶσιν οἱ δεσπόται προβάλλεσθαι ἐν ταῖς ξυμβολαῖς. τὰ μὲν τῶν Ἐρούλων ταύτῃ πῃ ἔχει.

Ῥωμαῖοι δὲ οὐκ ἐνεγκόντες τοὺς πολεμίους ἀνὰ κράτος ἅπαντες ἔφευγον, οὔτε ἀλκῆς μεμνημένοι οὔτε τινὰ αἰδῶ ἢ ἄλλο τι ἐν νῷ ἀγαθὸν ἔχοντες. Πέρσαι δὲ αὐτοὺς ὑποπτεύοντες οὐκ ἐς φυγὴν ἀναίσχυντον οὕτω τετράφθαι, ἀλλ᾽ ἐνέδραις τισὶν ἐς αὐτοὺς χρῆσθαι, ἄχρι ἐς τὰς δυσχωρίας διώξαντες εἶτα ἀνέστρεφον, οὐ τολμῶντες ἐν τῷ ὁμαλεῖ ὀλίγοι πρὸς πολλοὺς διαμάχεσθαι. Ῥωμαῖοι μέντοι, καὶ διαφερόντως οἱ στρατηγοὶ πάντες,
C δίωξιν ἐπὶ σφᾶς ἀεὶ ποιεῖσθαι τοὺς πολεμίους οἰόμενοι ἔφευγον ἔτι μᾶλλον, οὐδένα ἀνιέντες καιρὸν, θέουσι μὲν τοῖς ἵπποις ἐγκελευόμενοι μάστιγι καὶ κραυγῇ, τοὺς δὲ θώρακας καὶ τὰ ἄλλα ὅπλα ῥιπτοῦντες σπουδῇ τε καὶ θορύβῳ ἐς ἔδαφος. οὐ γὰρ ἀν-

1. Ναβέδης] ναβάδης H: illud Hm. *ibid.* τοῖς] [ἐν] τοῖς H. 7. καθίστανται] καθίσταντο AHL. 12. ἀνὰ κράτος — ἔφευγον] Suidas s. v. ἀνὰ κράτος. 22. ῥιπτοῦντες L. ῥίπτοντες P.

turbatione, omnes Persarum copias Nabedes immisit. Illi maximam et in angustiis confertissimam multitudinem telis appetentes, cum plures alios leto facile sternebant, tum maxime Erulos, qui cum Narsete primi hostem aggressi, absque ullo fere corporis munimento pugnabant, pro veteri gentis more. Nam nec galea, nec lorica, nec re alia quapiam se Eruli protegunt, praeterquam scuto, et crassiore lacerna, qua cincti dimicant. Quin ipso etiam nudi clypeo servi Eruli ad pugnam procedunt: postea vero quam viros fortes in bello se praestitere, tum illis usum scuti in praeliis domini permittunt. Sic est, quod ad Erulos attinet.

Romani autem hostili impetu fracti, effuse omnes fugerunt, virtutis ac pudoris obliti, abiectaque omni praeclara cogitatione. Persae non fugam inverecundam, sed insidias interpretantes, cum illos ad extremas salebras insecuti essent, viam converterunt, non ausi contra multos pauci in plano confligere. Nihilosecius Romani, in primis duces omnes, rati se usque ab hoste premi, sine interspiratione gradum addebant, flagello et clamore increpando currentes equos, loricas caeteraque arma propere ac tumultuose proiiciendo. Neque enim, si ipsos Persae assequerentur, pares illis fore se confidebant: at spem salutis habebant tantum in pedi-

τετάξασθαι καταλαμβάνουσιν αὐτοὺς ἐθάρσουν Πέρσαις, ἀλλ'
ἐν μόνοις τοῖς τῶν ἵππων ποσὶ τὰς τῆς σωτηρίας ἐλπίδας εἶχον
καί, τὸ ξύμπαν εἰπεῖν, τοιαύτη γέγονεν ἡ φυγὴ ὥστε τῶν ἵππων
σχεδόν τι αὐτοῖς οὐδεὶς διεβίω, ἀλλ' ἡνίκα τοῦ δρόμου ἐπαύσαν-
το, πεσόντες εὐθὺς διεφθάρησαν. καὶ πάθος τοῦτο μέγα Ῥω-
μαίοις οἷον οὔπω πρότερον γέγονε. πολλοί τε γὰρ αὐτῶν ἔθα- H 82
νον καὶ πλείους ἔτι ὑπὸ τοῖς πολεμίοις ἐγένοντο. ὅπλα τε αὐ-
τῶν οἱ πολέμιοι καὶ ὑποζύγια ἔλαβον τοσαῦτα τὸ πλῆθος ὥστε D
πλουσιώτερα δοκεῖν ἐκ τούτου γενέσθαι τοῦ ἔργου τὰ Περσῶν
πράγματα. Ἀδόλιος δὲ διὰ φρουρίου ἐν ταύτῃ τῇ ὑπαγωγῇ πα-
ριὼν ἐν Περσαρμενίοις κειμένου λίθῳ τε τὴν κεφαλὴν πρός του
τῶν ταύτῃ ᾠκημένων πληγεὶς αὐτοῦ διεφθάρη, οἵ τε ἀμφὶ τὸν
Ἰοῦστον καὶ Περάνιον ἐσβαλόντες ἐς τὰ ἐπὶ Ταραύνων χωρία καὶ
ὀλίγα ἄττα ληισάμενοι εὐθὺς ἐπανῆλθον.

κϛ'. Τῷ δὲ ἐπιγινομένῳ ἔτει Χοσρόης ὁ Καβάδου τὸ τέ- P 152
ταρτον ἐς γῆν τὴν Ῥωμαίων ἐσέβαλλεν, ἐπὶ τὴν Μεσοποταμίαν V 326
τὸ στράτευμα ἄγων. αὕτη δὲ ἡ ἐσβολὴ τῷ Χοσρόῃ τούτῳ οὐ
πρὸς Ἰουστινιανὸν τὸν βασιλέα Ῥωμαίων πεποίηται, οὐ μὴν
οὐδὲ ἐπ' ἄλλων ἀνθρώπων οὐδένα, ὅτι μὴ ἐπὶ τὸν θεόν, ὅν-
περ Χριστιανοὶ σέβονται μόνον. ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ ἐφόδῳ
Ἐδέσσης ἀποτυχὼν ἀνεχώρησε, πολλή τις ἐγεγόνει αὐτῷ τε καὶ
μάγοις, ἅτε πρὸς τοῦ τῶν Χριστιανῶν θεοῦ ἡσσημένοις, κατή-
φεια. ἣν δὴ παρηγορῶν ὁ Χοσρόης ἐν τοῖς βασιλείοις Ἐδεσση-
νοὺς μὲν ἀνδραποδιεῖν ἠπείλησεν ἅπαντας ἐς τὰ Περσῶν ἤθη,

9. γενέσθαι τοῦ ἔργου A. τοῦ ἔργου γενέσθαι P. 13. ἐς τὰ] εἰς τὰ A. 21. Ἐδέσσης] Ἐδέσης P. Et sic infra.

bus equorum repositam. Uno verbo, ea fugae contentio fuit, ut nullus ferme equus diutius vixerit, sed exanimes, statim atque destitere cursu, conciderint. Acceperunt Romani tum cladem magnam, nec parem huic unquam antea. Nam et multi caesi, et multo plures ab hoste capti sunt, cum tanta armorum ac iumentorum vi, ut hinc Persae impendio ditiores evaserint. Adolius cum propter castellum Persarmeniae fugiens transiret, lapide a quodam incola ictus in capite, ibi interiit. Iustus et Peranius Taraunensem agrum ingressi, ac loca paucula populati, statim redierunt.

26. Anno insequente Chosroes Cabadis filius exercitum in Mesopotamiam ducens, quartum irrupit in Romanum imperium. Qua quidem irruptione non Iustinianum Aug. nec mortalium quemquam, sed Deum, quem unum Christiani colunt, oppugnare voluit. Nam cum in prima expeditione, Edessa frustra tentata, irritus recessisset; ipsi ac Magis, ut a Deo Christianorum victis, magnus tum impositus pudor fuerat. Quem solans in Regia sua Chosroes, Edessenos omnes abducturum se captivos in Persidem, urbemque in ovium pascua redacturum minitabatur. Igitur

B τὴν δὲ πόλιν μηλόβοτον καταστήσεσθαι. παντὶ γοῦν τῷ στρατῷ ἀγχοῦ Ἐδέσσης γενόμενος Οὔννων τῶν οἱ ἑπομένων τινὰς ἐπὶ τὸν τῆς πόλεως περίβολον ἔπεμψεν, ὃς δὴ τοῦ ἱπποδρομίου καθύπερθέν ἐστιν, ἄλλο μὲν οὐδὲν κακουργήσοντας, πρόβατα δὲ ἁρπασομένους, ἅπερ οἱ ποιμένες πολλὰ ἐνταῦθά πη παρὰ τὸ τείχισμα στήσαντες ἔτυχον, χωρίου τε ἰσχύϊ θαρσοῦντες, ὅτι δὴ ἄναντές ἦν ὑπερφυῶς, καὶ οὔποτε τολμήσειν τοὺς πολεμίους οἰόμενοι οὕτω πη ἄγχιστα τοῦ τείχους ἰέναι. οἱ μὲν οὖν βάρβαροι τῶν προβάτων ἥπτοντο ἤδη, οἱ δὲ ποιμένες καρτερώτατα ἀμυνό- C μενοι διεκώλυον. Περσῶν τε τοῖς Οὔννοις ἐπιβεβοηθηκότων πολλῶν, ἀγέλην μὲν ἐνθένδε ἀφελέσθαι τινὰ οἱ βάρβαροι ἴσχυσαν, Ῥωμαίων δὲ στρατιωτῶν τε καὶ τῶν ἀπὸ τοῦ δήμου ἐπεξελθόντων τοῖς πολεμίοις ἡ μὲν μάχη ἐκ χειρὸς γέγονεν, ἡ δὲ ἀγέλη αὐτόματος ἐς τοὺς ποιμένας ἐπανῆκεν αὖθις. τῶν τέ τις Οὔννων πρὸ τῶν ἄλλων μαχόμενος μάλιστα πάντων ἠνώχλει Ῥωμαίους. καί τις αὐτὸν ἀγροῖκος ἐς γόνυ τὸ δεξιὸν σφενδόνῃ ἐπιτυχὼν βάλλει. ὁ δὲ πρηνὴς ἀπὸ τοῦ ἵππου ἐς τὸ ἔδαφος εὐθὺς ἔπεσεν, ὃ δὴ Ῥωμαίους ἔτι μᾶλλον ἐπέρρωσεν. ἥ τε μάχη πρωὶ ἀρξαμένη ἐτελεύτα ἐς μέσην ἡμέραν, ἐν ᾗ ἑκάτεροι τὸ πλέον D ἔχειν οἰόμενοι διελύθησαν. καὶ Ῥωμαῖοι μὲν ἐντὸς τοῦ περιβόλου ἐγένοντο, οἱ δὲ βάρβαροι ἀπὸ σταδίων τῆς πόλεως ἑπτὰ διεσκηνημένοι ἐστρατοπεδεύσαντο ἅπαντες.

Τότε ὁ Χοσρόης, εἴτε τινὰ ὄψιν ὀνείρου εἶδεν ἤ τις αὐτῷ ἔννοια γέγονεν, ὡς δὶς ἐγχειρήσας ἢν μὴ δυνατὸς εἴη Ἔδεσσαν

12. ἐπεξελθόντων] ὑπεξελθόντων L. 15. ῥωμαίους L. Ῥωμαίοις P.

ubi cum omnibus copiis Edessam accessit, Hunnorum, quos secum duxerat, manum, ad eam murorum partem, quae Circo imminet, eo misit consilio, ut caetera innoxii, oves tantum raperent, quarum magnos greges sub moenia opiliones subduxerant, firmo loci positu freti; quod maxime acclivis esset, nec hostem ad muros tam prope accedere ausurum unquam putarent. Iamque oves tangebant Barbari: pastores fortissime defensando raptoribus obsistebant; cum Hunnis missa subsidio valida Persarum turma, tandem Barbari unum inde gregem abstraxerunt. Erumpunt in hostem Romani milites et quidam e populo: dumque manu pugnatur, sponte grex ad pastores redit. Unus omnium maxime Romanos exagitabat Hunnus quidam ante alios dimicans. Huius genu dexterum rusticus certo fundae ictu ita percussit, ut statim is ex equo deciderit, volutus in caput: qui casus magis animos Romanorum erexit. Porro meridies finem attulit mane coepto certamini: cuius victoriam utrique sibi arrogantes, discesserunt. Romanis intra muros receptis, Barbari septimo ab urbe stadio fixis tentoriis, castra metati sunt.

Tum Chosroes, sive insomnium ipsi oblatum, sive haec iniecta cogitatio fuerit, si iterum tentata Edessa voto excideret, se ingens dede-

ἐξελεῖν, πολλήν οἱ αἰσχύνην τινὰ περιβαλέσθαι ξυμβήσεται. διὸ P 153
δὴ πολλῶν χρημάτων ἀποδόσθαι τὴν πόλιν Ἐδεσσηνοῖς καὶ τὴν
ἀναχώρησιν ἔγνω. τῇ γοῦν ἐπιγινομένῃ ἡμέρᾳ Παῦλος ἑρμηνεὺς
παρὰ τὸ τεῖχος ἥκων ἔφασκε Ῥωμαίους χρῆναι παρὰ Χοσρόην
σταλῆναι τῶν δοκίμων τινάς. οἱ δὲ κατὰ τάχος τέσσαρας ἀπο-
λεξάμενοι τῶν ἐν σφίσιν αὐτοῖς ἐπιφανῶν ἔπεμψαν. οἷς δὴ ἐς
τὸ Μήδων ἀφικομένοις στρατόπεδον ἐντυχὼν γνώμῃ βασιλέως ὁ
Ζαβεργάνης, ἀπειλαῖς τε πολλαῖς δεδιξάμενος ἀνεπυνθάνετο αὐ-
τῶν ὁπότερα σφίσιν αἱρετώτερα τυγχάνει ὄντα, πότερον τὰ ἐς
τὴν εἰρήνην, ἢ τὰ ἐς τὸν πόλεμον ἄγοντα. τῶν δὲ τὴν εἰρήνην
ἑλέσθαι ἂν πρὸ τῶν κινδύνων ὁμολογούντων, „Οὐκοῦν“ ἔφη ὁ B
Ζαβεργάνης „ὠνεῖσθαι ὑμᾶς ταύτην ἀνάγκη χρημάτων πολ-
λῶν.“ οἵ τε πρέσβεις ἔφασαν τοσαῦτα δώσειν ὅσα παρέσχοντο
πρότερον, ἡνίκα τὴν Ἀντιόχειαν ἐξελὼν ἐπ᾽ αὐτοὺς ἦλθε. καὶ
ὁ Ζαβεργάνης αὐτοὺς ξὺν γέλωτι ἀπεπέμψατο, ἐφ᾽ ᾧ ἐνδελεχέ-
στατα βουλευσάμενοι ἀμφὶ τῇ σωτηρίᾳ οὕτω δὴ αὖθις παρ᾽ αὐ-
τοὺς ἔλθωσιν. ὀλίγῳ τε ὕστερον μεταπεμψάμενος αὐτοὺς ὁ
Χοσρόης, ἐπειδὴ παρ᾽ αὐτὸν ἵκοντο, κατέλεξε μὲν ὅσα τε πρό-
τερον καὶ ὅντινα τρόπον ἐξηνδραπόδισε Ῥωμαίων χωρία, ἠπεί- V 327
λησε δὲ τὰ δεινότερα Ἐδεσσηνοῖς πρὸς Περσῶν ἔσεσθαι, εἰ μὴ
πάντα σφίσι τὰ χρήματα δοῖεν ὅσα τοῦ περιβόλου ἐντὸς ἔχουσιν· H 83
οὕτω γὰρ ἐνθένδε μόνως ἀπαλλαγήσεσθαι τὸν στρατὸν ἔφασκε. C

2. καὶ τὴν] τὴν om. H. 8. δεδιξάμενος] δειδιξάμενος vulgo. δεδεξάμενος AL: δειδιξάμενος L correctus. 15. ἐνδελεχέστατα] ἐντελεχέστατα Pm. 18. ἵκοντο L. ἥκοντο P. 20. Ἐδεσσηνοῖς] Ἐδεσηνοῖς P. 22. οὕτω] οὕτως L.

eos relaturum, Edessenis salutem civitatis reditumque suum grandi pecunia vendere statuit. Itaque die postero progressus ad moenia Paulus Interpres Romanis significavit, oportere mitti ad Chosroem aliquot ex optimatibus. Mox illi delectos quatuor ex iis, qui inter ipsos magis eminebant, destinaverunt: quibus ad Medorum castra iussu Regis obviam factus Zaberganes, et oblato comminationibus multis terrore, eos interrogavit, utrum mallent pacem an bellum? His una professis voce, pacem utique praeoptare se discriminibus belli, *Ergo*, inquit Zaberganes, *luculenta auri summa ematis illam necesse est.* Cui legati tantam se daturos aiunt, quantam prius repraesentarant, cum post excisam Antiochiam Rex Edessam venit. Hic ridens Zaberganes eos remisit, monitos, ut redirent, maturo habito de salute expedienda consilio. Paulo post acciit eosdem Chosroes, et ad se intromissis, quot, quaque ratione Romanas civitates in servitutem antea redegisset, sigillatim recensuit: deinde durius acturos Persas cum Edessenis minatus est; nisi darent quidquid esset pecuniae intra murorum ambitum: hac una lege exercitum inde abscessurum affirmans. His legati auditis, pacem quidem receperunt se

ταῦτα οἱ πρέσβεις ἀκούσαντες ὡμολόγουν μὲν παρὰ Χοσρόου τὴν εἰρήνην ὠνήσεσθαι, ἤν γε σφίσι μὴ ἀδύνατα ἐπαγγείλειε· τοῦ δὲ κινδύνου τὸ πέρας οὐδενὶ τῶν πάντων ἔφασαν πρὸ τῆς ἀγωνίας ἔνδηλον εἶναι. πόλεμον γὰρ τοῖς αὐτὸν διαφέρουσιν ἐπὶ τοῖς ὁμολογουμένοις οὐ μή ποτε εἶναι. τότε μὲν οὖν ξὺν ὀργῇ ὁ Χοσρόης τοὺς πρέσβεις ἐκέλευεν ὅτι τάχιστα ἀπαλλαγήσεσθαι.

Ἡμέρᾳ δὲ ἀπὸ τῆς προσεδρείας ὀγδόῃ λόφον ἐπαναστῆσαι χειροποίητον τῷ τῆς πόλεως περιβόλῳ βουλόμενος, ἐπεὶ τὰ δένδρα ἐκτεμὼν αὐτοῖς φύλλοις πολλὰ ἐκ χωρίων ἐγγύς πη ὄντων πρὸ
D τοῦ τείχους ἐν τετραγώνῳ ξυνέθηκεν, οὗ δὴ βέλος ἐκ τῆς πόλεως ἐξικνεῖσθαι ἀδύνατα ἦν, χοῦν τε πολύν τινα ἀτεχνῶς ὕπερθε τῶν δένδρων ξυναμησάμενος μέγα τι λίθων χρῆμα ἐπέβαλλεν, οὐκ ἐχόντων ἐς οἰκοδομίας ἐπιτηδείως, ἀλλ' εἰκῇ ἐκτμηθέντων, ἐκείνου μόνου ἐπιμελούμενος, ὅπως δὴ ὁ λόφος ὅτι τάχιστα ἐς ὕψος μέγα ἐπαίροιτο. καὶ ξύλα μακρὰ τοῦ τε χοῦ καὶ τῶν λίθων μεταξὺ ἐς ἀεὶ ἐμβαλλόμενος ἔνδεσμον ἐποιεῖτο τοῦ ἔργου, ὅπως μὴ ὑψηλὸν γενόμενον ἀσθενὲς εἴη. Πέτρος δὲ ὁ Ῥωμαίων στρατηγὸς (ἐνταῦθα γὰρ ξὺν Μαρτίνῳ καὶ Περανίῳ ἐτύγχανεν ὢν) τοὺς ταῦτα ἐργαζομένους ἀναστέλλειν ἐθέλων τῶν οἱ ἑπομένων Οὔννων τινὰς ἐπ' αὐτοὺς ἔπεμψεν. οἱ δὲ πολλοὺς ἐκ τοῦ αἰφνιδίου
P 154 ἐπελθόντες ἀνεῖλον, καὶ πάντων μάλιστα τῶν τις δορυφόρων, Ἀργὴκ ὄνομα. μόνος γὰρ ἑπτὰ καὶ εἴκοσιν ἔκτεινε. τῶν μέντοι βαρβάρων φυλακὴν ἀκριβῆ τὸ λοιπὸν ποιουμένων οὐκέτι ἐπεξιέναι

10. τετραγώνῳ A. τῷ τετραγώνῳ P. 22. Ἀργὴκ] *Arges* RV. *ibid.* εἴκοσιν L. εἴκοσι P.

mercaturos a Chosroe, si modo maiora viribus non imperaret: exitum autem aleae Martis exploratum esse nemini ante dimicationem: bellum enim ab iis, qui illud inferunt, non posse poni in rerum numero, quas certo tenent. Tum Chosroes excandescens legatis ut se ocius amoverent, edixit.

Die ab incepta obsidione octavo, in animo habens contra urbis murum aggerem manu excitare, e circumiectis locis excisa arborum cum ipsis frondibus ingenti vi, illas pro moenibus extra teli ab urbe iactum quadrata forma composuit, ac multa supergesta humo, immanem adiecit lapidum struem, non fabre apteque ad aedificandum, sed temere rudique opera sectorum: hoc unum scilicet curans, ut moles quamprimum in magnam altitudinem attolleretur. Ac ne eductum altius opus infirmum esset, immissis terram inter et saxa trabibus illud connexuit. Petrus autem Dux Romanorum (ibi enim cum Martino erat atque Peranio) ut molitores operis inhiberet, Hunnorum, quos ducebat, agmen in eos emisit: qui repentino impetu multos sustulere; Praetorianus inprimis quidam, cui nomen Argec: hic enim XXVII. unus occidit. At sedulam deinceps custodiam agitantibus Barbaris, nemini amplius in ipsos erumpere licuit.

τινὲς ἐπ᾿ αὐτοὺς ἔσχον. ἐπεὶ δὲ προϊόντες ἐντὸς βέλους οἱ τεχνῖται τοῦ ἔργου τούτου ἐγένοντο, καρτερώτατα ἤδη ἀμυνόμενοι ἀπὸ τοῦ περιβόλου Ῥωμαῖοι τάς τε σφενδόνας ἐπ᾿ αὐτοὺς καὶ τὰ τόξα ἐνήργουν. διὸ δὴ οἱ βάρβαροι ἐπενόουν τάδε. προκαλύμματα ἐκ τραγείων τριχῶν, ἃ δὴ καλοῦσι Κιλίκια, πάχους τε καὶ μήκους διαρκῶς ἔχοντα, ἀρτήσαντες ἐκ ξύλων μακρῶν ἐπίπροσθεν ἀεὶ τῶν τὴν ἀγέσταν ἐργαζομένων ἐτίθεντο (οὕτω γὰρ τὸ ποιούμενον τῇ Λατίνων φωνῇ ἐκάλουν Ῥωμαῖοι). ἐνταῦθα γὰρ B οὔτε πυρφόροι οἰστοὶ οὔτε τὰ ἄλλα βέλη ἐξικνεῖσθαι εἶχον, ἀλλ᾿ αὐτοῦ ἐπὶ τῶν προκαλυμμάτων ἀποκρουόμενα ξύμπαντα ἔμενε. καὶ τότε Ῥωμαῖοι ἐς δέος μέγα ἐμπεπτωκότες τοὺς πρέσβεις παρὰ Χοσρόην σὺν θορύβῳ πολλῷ ἔπεμπον καὶ Στέφανον σὺν αὐτοῖς, ἐν γε τοῖς κατ᾿ αὐτὸν ἰατροῖς λόγιον. ὃς δὴ Καβάδην τὸν Περόζου νοσοῦντά ποτε ἰασάμενος κύριος χρημάτων μεγάλων πρὸς αὐτοῦ γέγονεν. ὃς δή, ἐπεὶ παρὰ Χοσρόην ξὺν τοῖς ἄλλοις ἐγένετο, ἔλεξεν ὧδε „Βασιλέως τὴν φιλανθρωπίαν ἀγαθοῦ γνώρισμα πάντες ἐκ παλαιοῦ νενομίκασιν. οὐκοῦν, ὦ κράτιστε βασι- C λεῦ, φόνους σοι καὶ μάχας ἐργαζομένῳ καὶ πόλεων ἀνδραποδισμοὺς τῶν μὲν ἄλλων ἴσως ὀνομάτων παρέσται τυχεῖν, τὸ δὲ ἀγαθῷ εἶναι δοκεῖν οὐ μήποτε ἔσται. καίτοι πασῶν γε ἥκιστα χρῆν τῇ Ἐδεσσηνῶν πόλει παρὰ σοῦ τι ξυμβῆναι φλαῦρον. ἐντεῦθεν γὰρ

5. τραγείων] αἰγείων Suidas s. v. ἔγεστα. 6. ἀρτήσαντες] ἀναρτήσαντες Suidas. 7. ἀγέσταν] Ab aliis ἔγεστα, ab aliis ἄγεστα dici annotavit Suidas s. v. ἄγεστα et ἔγεστα. Alia attulit Ducangius Glossar. p. 10. 9. τὰ ἄλλα] τὰ om. Suidas s. v. ἔγεστα. 10. ἔμενε] ἔμενον Suidas, qui ἀποκρουόμενα ξύμπαντα om. 19. παρέσται] παρεστάναι HL: illud in marg. 21. Ἐδεσσηνῶν] Ἐδεσηνῶν P hic et infra.

Promoto opere, ubi intra teli iactum fuere artifices, eos e moenibus fundis atque arcubus petebant Romani, iam certe vim fortissime propulsantes: quare Barbari ad hanc artem se converterunt. Texta e pilis hircinis tegumenta, quae Cilicia vocant, crassitudinis iustae et altitudinis, suspenderunt e perticis, et illis praetenderunt, qui aggestam (sic Romani Latina voce opus hoc appellabant) moliebantur. Quo peracto, nec sagittae igniferae, nec tela alia ad eos pervenire poterant, sed repulsa tegminibus omnia ibi irrita consistebant. Hinc Romani in gravem adducti metum, legatos trepide mittunt ad Chosroem, et una cum illis Stephanum inter aetatis suae medicos celebrem, quem olim Cabades Perozis filius pecunia ingenti donaverat, ipsius ope levatus morbo. Hic cum aliis introductus ad Chosroem, sic verba fecit. *Certissimum et omnium confessione saeculorum receptum boni Regis indicium est humanitas. Quare tibi, Rex potentissime, praelia ac strages edenti, et civitatibus imponenti servile iugum, alia forte nomina lucrari dabitur: bonus ut audias, id vero nunquam dabitur. Atqui si cui civitati, Edessae certe*

ἔγωγε ὥρμημαι, ὅσπερ σε τῶν ἐσομένων οὐδὲν προειδὼς ἐξέθρεψά τε καὶ τῷ πατρὶ τῷ σῷ ξύμβουλος γεγονὼς, ἐφ᾽ ᾧ σε τῆς ἀρχῆς διάδοχον καταστήσεται, σοὶ μὲν τῆς Περσῶν βασιλείας αἰτιώτατος γέγονα, τῇ δὲ πατρίδι τῶν παρόντων κακῶν. οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ τῶν ἀτυχημάτων σφίσιν αὐτοῖς ἐκ τοῦ ἐπὶ πλεῖστον τῶν ξυμβησομένων προστρίβονται. ἀλλ᾽ εἴ τίς σε τῆς τοιαύτης εὐεργεσίας εἰσέρχεται μνήμη, μηδὲν ἡμᾶς ἐργάσῃ περαι-
D τέρω κακὸν, ταύτην διδούς μοι τὴν ἀμοιβὴν, ἐξ ἧς σοι, ὦ βασιλεῦ, τὸ μὴ δοκεῖν ὠμοτάτῳ εἶναι ξυμβήσεται.“ Στέφανος μὲν τοσαῦτα εἶπε. Χοσρόης δὲ οὐ πρότερον ἀπαλλαγήσεσθαι ὡμολόγει ἐνθένδε, εἰ μὴ Πέτρον τε καὶ Περάνιον αὐτῷ παραδοῖεν Ῥωμαῖοι, ὅτι δή οἱ, δοῦλοί γε ὄντες πατρῷοι, τετολμήκασιν ἀντιτάξασθαι. τοῦτο δὲ ἢν μὴ δρᾶν Ῥωμαίοις ἡδονὴ ἐστιν, ἀλλὰ δυοῖν αὐτοὺς ἐπάναγκες ἑλέσθαι τὸ ἕτερον ἢ πεντακόσια κεντηνάρια χρυσοῦ σφίσι διδόναι, ἢ δέξασθαι τῇ πόλει
V 328 τῶν οἱ ἐπιτηδείων τινὰς, οἳ τὰ χρήματα διερευνησάμενοι ἅπαντα τὸν μὲν χρυσόν τε καὶ ἄργυρον, ὅσον δὴ ἐνταῦθα ξυμβαίνει εἶναι,
H 84 κομίζοντες ἐς αὐτὸν ἥξουσι, τἄλλα δὲ τοὺς κυρίους ἐάσουσιν ἔχειν. ταῦτα μὲν ὁ Χοσρόης ἀπέρριψεν, Ἔδεσσαν ἐξελεῖν πόνῳ
P 155 οὐδενὶ ἐλπίδα ἔχων. οἱ δὲ πρέσβεις (ἅπαντα γὰρ σφίσιν ἀδύνατα ἔδοξεν εἶναι ὅσα ἐκεῖνος ἀπήγγελλε) διαπορούμενοί τε καὶ λίαν ἀσχάλλοντες ἐπὶ τὴν πόλιν ἐβάδιζον. ἐπεί τε ἐντὸς τοῦ περι-

1. ὅσπερ L corr. ὥσπερ P. 6. ξυμβησομένων] ξυμβεβησομένων L. 18. ἐάσουσιν L corr. ἐάσωσιν P. 22. ἀσχάλλοντες] ἀσχάλοντες A.

inprimis parcere debuisti. Hinc enim oriundus ego sum: qui, plane ignarus futuri, te educavi, et hoc dato patri tuo consilio, ut imperii successorem te institueret, tibi quidem delati Persarum regni, patriae vero causa maxime fui instantis calamitatis. Scilicet homines magnam partem adversorum casuum, quos passuri sunt, sibi ipsi parare solent. Age, si qua huius beneficii recordatio subit animum, absiste, Rex, nobis noxam inferre, hoc mihi rependens praemium; quo summae saevitiae notam a te avertes. In hanc sententiam locuto Stephano denuntiavit Chosroes haud prius se abiturum, quam a Romanis Petrum et Peranium deditos accepisset, quod cum servi paterni forent, ausi essent ipsi repugnare: in si Romanos facere pigeret, necesse esse harum conditionum alteram eligere vel quinquagies mille auri pondo penderent; vel in urbem quosdam admitterent e familiaribus suis, qui divitiis omnibus perquisitis, quidquid auri argentique esset in civitate ad se deferrent; caetera relinquerent dominis. Haec effutiit Chosroes, Edessae nullo negotio expugnandae spem habens legati, cum earum conditionum, quas ille tulerat, nullam impleri a se posse censerent, consilii inopes ac moerore deiecti urbem re-

βόλου γενόμενοι τὰ παρὰ Χοσρόου ἀπήγγελλον, θορύβου τε καὶ θρήνων ἡ πόλις ἔμπλεως ἐγένετο.

Ἡ μὲν οὖν τοῦ λόφου κατασκευὴ ἐπί τε ὕψος ἤρετο μέγα καὶ σπουδῇ πολλῇ ἐπίπροσθεν ᾔει. Ῥωμαῖοι δὲ οὐκ ἔχοντες ὅ τι καὶ δράσουσι πάλιν τοὺς πρέσβεις παρὰ Χοσρόην ἀπέστελλον. οἵπερ ἐπειδὴ ἐν τῷ τῶν πολεμίων στρατοπέδῳ ἐγένοντο, καὶ περὶ τῶν αὐτῶν δεησόμενοι ἔφασκον ἥκειν, λόγου μὲν οὐδ' ὁπωστιοῦν B πρὸς Περσῶν ἔτυχον, ὕβρει δὲ καὶ θορύβῳ πολλῷ ἐνθένδε ἐξελαυνόμενοι ἐς τὴν πόλιν ἐχώρουν. τὰ μὲν οὖν πρῶτα Ῥωμαῖοι τὸ κατὰ τὸν λόφον τεῖχος ἑτέρᾳ ἐνεχείρουν οἰκοδομίᾳ τινὶ ὑπερβαλέσθαι· ὡς δὲ καὶ ταύτης τὸ Περσῶν ἔργον πολλῷ καθυπέρτερον ἐγίνετο ἤδη, τῆς μὲν οἰκοδομίας ἀπέστησαν, Μαρτῖνον δὲ πείθουσι τὰ ἀμφὶ τῇ ξυμβάσει τρόπῳ δὴ ὅτῳ βούλοιτο διοικήσασθαι. καὶ ὃς ἄγχιστα τοῦ τῶν πολεμίων στρατοπέδου γενόμενος τῶν τισιν ἐν Πέρσαις ἀρχόντων ἐς λόγους ἦλθεν. οἱ δὲ τὸν Μαρτῖνον ἐξαπατήσαντες εἰρηναῖα μὲν σφῶν τὸν βασιλέα βούλεσθαι C ἔφασαν, αὐτὸν δὲ ὡς ἥκιστα οἷόν τε εἶναι τὸν Ῥωμαίων αὐτοκράτορα πείθειν τῆς πρὸς Χοσρόην φιλονεικίας ἀφέμενον τὴν εἰρήνην ποτὲ πρὸς αὐτὸν θήσεσθαι· ἐπεὶ καὶ Βελισάριον, ὅνπερ τῇ τε δυνάμει καὶ τῷ ἀξιώματι Μαρτίνου παρὰ πολὺ προὔχειν οὐδ' ἂν αὐτὸς ἀντείποι, πεῖσαι μὲν ἔναγχος τὸν Περσῶν βασιλέα, ὄντα ἤ που ἐν μέσοις Ῥωμαίοις, ἐνθένδε ἀπαλλάσσεσθαι ἐς τὰ Περσῶν ἤθη, ὑποσχόμενον πρέσβεις τε πρὸς αὐτὸν οὐκ εἰς μακρὰν

1. ἀπήγγελλον] ἀπήγγελον H. 7. λόγου A. λόγον HP. 20. προὔχειν AHm. προύχοντα P.

erunt. Quo ingressi, ubi praescripta a Chosroe renuntiarunt, per-
ntione statim et lamentis urbs plena fuit.
Iam altius surgebat structura aggeris, et magna contentione promo-
tur, cum Romani, quo se verterent nescientes, iterum oratores ad
roem destinarunt. Qui ingressi hostium castra, ubi se venisse dixe-
, uti postulata iterarent, ne uno quidem verbo dignati, immo vero
neliose et multo cum fremitu a Persis explosi, in urbem redierunt.
Romani, primum quidem illi murorum parti, quae hostili aggeri re-
bat, editiorem molem adiungere aggressi sunt. At quoniam mo-
nc multo iam superabat Persarum opus, abstiterunt aedificatione,
rtino ut cum hoste pro suo arbitratu pacisceretur persuaserunt.
oxime castra in colloquium venit cum aliquot Persarum ducibus:
rtinum circumscribentes, pacem quidem a suo Rege expeti affir-
sed negarunt posse ipsum persuadere Caesari, ut amota con-
adversus Chosroem libidine, aliquando pacem cum eo compo-
nando ipse Belisarius, quo Martinus potentia ac dignitate se lon-
orem agnosceret, nuper quidem in medios Romanos provectum
Regem ad reditum in Persidem promisso hoc perpulisset, le-

ἐκ Βυζαντίου ἀφίξεσθαι καὶ τὴν εἰρήνην ἐν τῷ βεβαίῳ κρατύνα-
σθαι, πρᾶξαι δὲ τῶν ὡμολογημένων οὐδέν, ἀδύνατον γεγονότα
τὴν Ἰουστινιανοῦ βασιλέως βιάσασθαι γνώμην.
D κζ'. Ἐν τούτῳ δὲ Ῥωμαῖοι ἐποίουν τάδε. διώρυχα ἐκ τῆς
πόλεως ἔνερθε τῶν πολεμίων τοῦ χώματος ἐργασάμενοι ἐκέλευον
τοὺς ὀρύσσοντας μὴ μεθίεσθαι τοῦ ἔργου τούτου, ἕως ὑπὸ τὸν
λόφον γένωνται μέσον. ταύτῃ γὰρ καῦσαι τὸ χῶμα τοῦτο διενο-
οῦντο. προϊούσης δὲ τῆς διώρυχος κατὰ τὸν λόφον μάλιστα μέ-
P 156 σον πάταγός τις ἐς τῶν Περσῶν τοὺς ὕπερθεν ἑστῶτας ἦλθεν.
αἰσθόμενοί τε τοῦ ποιουμένου καὶ αὐτοὶ ἄνωθεν ἀρξάμενοι ἐφ'
ἑκάτερα τοῦ μέσου ὤρυσσον, ὅπως λάβοιεν τοὺς ἐκείνῃ κακουρ-
γοῦντας Ῥωμαίους. ὃ δὴ γνόντες Ῥωμαῖοι τούτου μὲν ἀπέσχοντο,
χοῦν ἐπὶ τὸν κενωθέντα χῶρον ἐπιβαλόντες, ἐκ δὲ ἄκρου χώμα-
τος κάτωθεν, ὃ πρὸς τῷ τείχει ἐτύγχανεν ὄν, ξύλα τε καὶ λίθους
καὶ χοῦν ἐκφορήσαντες καθάπερ οἰκίσκου σχῆμα εἰργάσαντο,
πρέμνα τε δένδρων τῶν ῥᾶστα καιομένων ξηρὰ ἐνταῦθα εἰσέβαλ-
λον, ἐλαίῳ τε καταβεβρεγμένα τῷ ἐκ κέδρου πεποιημένῳ καὶ
θείῳ τε καὶ ἀσφάλτῳ πολλῇ. καὶ οἱ μὲν ταῦτα ἐν παρασκευῇ
B εἶχον, οἱ δὲ Περσῶν ἄρχοντες πολλάκις ἐντυχόντες Μαρτίνῳ
τοιαῦτα μὲν οἷά πέρ μοι εἴρηται διελέχθησαν, δόκησιν παρεχό-
μενοι ὡς τοὺς ἀμφὶ τῇ εἰρήνῃ ἐνδέξονται λόγους. ἐπεὶ δὲ ὁ λό-
V 329 φος αὐτοῖς ἐτετέλεστο ἤδη, καὶ πλησιάζων μὲν τῆς πόλεως τῷ
περιβόλῳ, ὕψει δὲ αὐτὸν πολλῷ ὑπεραίρων ἐπὶ μέγα ἐπῆρτο,

2. ἀδύνατον] δυνατὸν L corr. Hm.

gatos brevi adventuros Byzantio et pacem sancituros; eorum vero, quae esset pollicitus, nihil ideo praestitisset, quod nequivisset Iustiniani Imperatoris animum expugnare.

27. Interea haec Romani moliti sunt. Cuniculo ex urbe ad aggerem hostilem agi coepto, fossoribus imperarunt, ne absisterent opere, donec ad medium tumulum subiissent: ibi enim ignem subiicere eoque molem corrumpere cogitabant. Iam ad meditullium perductus fere cuniculus fuerat, cum ad superstantium Persarum aures pervenit strepitus: quo quid pararetur admoniti, incipiunt e superiori loco hinc inde medii tumuli latera fodere, ut arcanos exitialis doli artifices intercipiant. Re Romani intellecta, suscepto abeunt; quin etiam terram ingerunt in spatium inanitum. Ab extrema autem aggeris parte, quae erat moenibus proxima, lignis, lapidibus ac terra subter egestis, spatium quoddam ad cubiculi formam excavarunt. Huc aridos arborum facile ignem concipientium stipites, oleo cedrino, sulphure et bitumine perfusos perlitosque immittunt. Ea illi pararunt. Interea loci Persarum duces in congressum Martini crebro venientes, quae retuli, sic dictitabant, ut speciem atque opinionem praeberent, se ad pacis conditiones accessuros. At postquam aggeri accessit extrema manus, et is proxime ad urbis moenia

Μαρτῖνον μὲν ἀπεπέμψαντο διαῤῥήδην ἀπειπόντες τὴν ξύμβασιν, ἔργου δὲ ἔχεσθαι τὸ λοιπὸν ἔμελλον.

Διὸ δὴ Ῥωμαῖοι τῶν δένδρων τὰ πρέμνα εὐθὺς ἔκαυσαν, ἅπερ ἐς τοῦτο ἡτοίμαστο. τοῦ δὲ πυρὸς μοῖραν μὲν τοῦ χώματός τινα καύσαντος, οὔπω δὲ διὰ παντὸς ἐξικνεῖσθαι ἰσχύσαντος, τὰ ξύλα δεδαπανῆσθαι πάντα ἔτυχεν. ἀεὶ γὰρ ἐσέβαλον εἰς τὴν διώρυχα ξύλα ἕτερα, οὐδένα ἀνιέντες καιρόν. ἤδη δὲ τοῦ πυρὸς C ἅπαν ἐνεργοῦντος τὸ χῶμα, καπνός τις ὕπερθεν πανταχῇ τοῦ λόφου ἐφαίνετο νύκτωρ, Ῥωμαῖοί τε οὔπω ἐθέλοντες αἴσθησιν τοῦ ποιουμένου Πέρσαις διδόναι ἐπενόουν τάδε. ἀνθράκων τε καὶ πυρὸς ἀγγεῖα μικρὰ ἐμπλησάμενοι ταῦτά τε καὶ πυρφόρους οἰστοὺς τοῦ χώματος πανταχόσε συχνὰ ἔπεμπον· ἃ δὴ οἱ Πέρσαι, ὅσοι φυλακὴν ἐνταῦθα εἶχον, ξὺν πάσῃ σπουδῇ περιιόντες ἐσβέννυον καὶ ἀπ᾽ αὐτοῦ φύεσθαι τὸν καπνὸν ᾤοντο. προϊόντος δὲ τοῦ κακοῦ πλήθει μὲν πολλῷ ἐβοήθουν οἱ βάρβαροι, βάλλοντες δὲ αὐτοὺς ἀπὸ τοῦ περιβόλου Ῥωμαῖοι πολλοὺς ἔκτειναν. οὗ δὴ D καὶ Χοσρόης ἀμφὶ ἡλίου ἀνατολὰς ἦλθε, καί οἱ τὸ πλεῖστον τοῦ στρατοῦ εἵπετο, ἔς τε τὸν λόφον ἀναβὰς πρῶτος ἔλαβε τοῦ κακοῦ αἴσθησιν. ἔνερθε γὰρ ἀπεφήνατο τοῦ καπνοῦ τὸ αἴτιον εἶναι, οὐκ ἀφ᾽ ὧν ἐσηκόντιζον οἱ πολέμιοι, βοηθεῖν τε κατὰ τάχος ἐκέλευε τὸ στράτευμα ὅλον. καὶ Ῥωμαῖοι θαρσοῦντες ἐς αὐτοὺς ὕβριζον. τῶν δὲ βαρβάρων οἱ μέν τινες χοῦν, οἱ δὲ καὶ

3. ἔκαυσαν — ἅπαντας (p. 160 c.) om. HL: habent AVP et legit RV. 6. γὰρ V. τε P. 10. διδόναι om. AV.

promotus, longe illa superavit; Martinum remiserunt, pacificatione plane abscissa: iamque ad oppugnationem se accingebant.

Quamobrem ligna accenderunt statim Romani ad id parata. Ignis autem cum partem aggeris corrupisset, necdum totum valuisset pervadere, illata ligna prorsus absumpsit. At dum alia atque alia in cuniculum ligna intruduntur sine ulla intermissione, tandem omnia molis viscera populante igni, noctu fumus apparuit, superne tumulo circumfusus. Romani vero ut Persas a cognitione fraudis abducerent, artem hanc excogitarunt. Prunis plena vascula sagittasque igniferas in omnes aggeris partes missitabant: quos ignes Persae, quicunque hic agebant excubias, omni ope et opera extinguebant circumcursando, et inde oriri fumum putabant. Gliscente iam atque invalescente peste, subsidio Barbari magno numero accurrunt. Eos Romani e muro telis impetentes, conficiebant non paucos. Eo demum sub solis ortum ipse Chosroes venit, copiarum parte maxima stipatus, atque ubi conscendit tumulum, primus mali causam persensit. Fumum enim e debacchante subtus incendio, non ex hostium missilibus nasci ostendit. Mox universum exercitum auxilio subire iubet. Tum Romani erectis animis in eos torquere sannas: Barbari terram alii,

ὕδωρ ἐπιβάλλοντες ᾗ ὁ καπνὸς διεφαίνετο, περιέσεσθαι τοῦ δεινοῦ
ἤλπιζον, ἀνύειν μέντοι οὐδὲν οὐδαμῆ εἶχον. ᾗ τε γὰρ ὁ χοῦς
ἐπιβληθείη, ταύτῃ μὲν ὁ καπνὸς, ὡς τὸ εἰκὸς, ἀνεστέλλετο,
P 157 ἑτέρωθι δὲ οὐκ εἰς μακρὰν ἀνεδίδοτο, αὐτὸν τοῦ πυρὸς βιάζε-
σθαι τὴν ἔξοδον ὅπῃ δύναιτο ἀναγκάζοντος, τό τε ὕδωρ ᾗ μάλι-
στα ἐπισκήψειε, πολλῷ ἔτι μᾶλλον τήν τε ἄσφαλτον καὶ τὸ θεῖον
ἐνεργεῖν ἴσχυεν, ἐπί τε τὴν ἐν ποσὶν ὕλην ἀκμάζειν ἐποίει, καὶ τὸ
πῦρ ἐπὶ τὰ πρόσω ἀεὶ ἐνῆγεν, ἐπεὶ τοῦ χώματος ἐντὸς οὐδαμῆ
τοσοῦτον ἐξικνεῖσθαι τοῦ ὕδατος εἶχεν ὅσον τῷ ὑπερβάλλοντι κα-
ταπαῦσαι τὴν φλόγα οἷόν τε εἶναι. ὁ δὲ καπνὸς ἀμφὶ δείλην
ὀψίαν τοσοῦτος ἐγένετο ὥστε καὶ τοῖς Καρρηνοῖς καὶ ἄλλοις τισὶ
πολλῷ ἐπέκεινα ᾠκημένοις ἔνδηλος εἶναι. Περσῶν δὲ καὶ Ῥω-
μαίων πολλῶν ὕπερθεν ἀναβεβηκότων τοῦ χώματος, μάχης τε
B καὶ ὠθισμοῦ ἐνταῦθα ξυστάντος, ἐνίκων Ῥωμαῖοι. τότε καὶ ἡ
φλὸξ λαμπρῶς ἐκδοθεῖσα ὑπὲρ τὸ χῶμα ἐφαίνετο, Πέρσαι δὲ τοῦ
μὲν ἔργου τούτου ἀπέσχοντο·

Ἕκτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ, ὄρθρου βαθέος, μοίρᾳ τινὶ
τοῦ περιβόλου λάθρα ἐπέσκηψαν κλίμακας ἔχοντες, οὗ δὴ τὸ
φρούριον ἐπωνόμασται. τῶν δὲ φυλακὴν ἐνταῦθα ἐχόντων Ῥω-
μαίων πρῷόν τινα καθευδόντων ὕπνον, ἅτε τῆς νυκτὸς πρὸς πέ-
ρας ἰούσης, ἡσυχῇ τὰς κλίμακας τῷ τείχει ἐρείσαντες ἀνέβαινον
ἤδη. τῶν δέ τις ἀγροίκων μόνος ἐγρηγορὼς ἐν Ῥωμαίοις ἅπασιν

2. ἀνύειν] ἀνύσειν V. 4. πυρὸς] πυρὸς καὶ AV. 5. τό τε V. τὸ δὲ P. 11. ἐγένετο] ἐγίνετο A. ibid. Καρρηνοῖς] καρη-νοῖς V.

alii aquam iniicere ubiubi fumus se proderet, sperantes se ignis vim oppressuros. At frustra erant. Nam ubicunque humus fuerat superiecta, ibi quidem fumus, ut par erat, reprimebatur: verum alibi continuo prorumpebat, ab igne coactus sibi vi viam facere, quacunque posset. Ubi aqua maxime illabebatur, illic bitumini sulphurique ad grassandum acrius in obviam materiam addebat vires, et ignem semper ulterius propellebat; cum tantum aquae penetrare nusquam intra aggerem posset, ut exuperanti copia flammam valeret compescere. Denique vesperi tam ingens sublatus est fumus, ut illum Carrheni aliique remotiores viderint. Romani multi, itidem ut Persae, aggerem ascenderunt: ibi conflictu edito, cum se invicem trusissent, superiores fuere Romani. Tum clare eluxit flamma supervolans molem, et Persae opus id omiserunt.

Sexto post die, scalis instructi illam murorum partem, quae nomen castelli retinet, summo mane adorti sunt. Cuius custodes cum arcte complexus esset somnus benignior, prout ferebat nox iam decedens, Persae scalis tacite muro applicitis ascendebant; quando unus ex omnibus Romanis tum forte vigil agricola cunctos clamore magno ac strepitu exci-

ἔτυχεν, ὃς δὴ ξὺν βοῇ τε καὶ θορύβῳ πολλῷ ἅπαντας ἤγειρε. καὶ μάχης καρτερᾶς γενομένης ἡσσῶνται Πέρσαι, ἔς τε τὸ στρατόπεδον ἀνεχώρησαν, αὐτοῦ λιπόντες τὰς κλίμακας, ἅσπερ κατ' ἐξουσίαν Ῥωμαῖοι ἀνεῖλκον. Χοσρόης δὲ ἀμφὶ ἡμέραν μέσην C πολλήν τινα τοῦ στρατοῦ μοῖραν ἐπὶ τὴν μεγάλην καλουμένην πύλην ὡς τειχομαχήσοντας ἔπεμψεν. οἷς δὴ Ῥωμαῖοι ὑπαντιάσαντες οὐ στρατιῶται μόνον, ἀλλὰ καὶ ἀγροῖκοι καὶ τοῦ δήμου τινές, καὶ μάχῃ νικήσαντες παρὰ πολὺ τοὺς βαρβάρους ἐτρέψαντο. ἔτι δὲ Περσῶν διωκομένων Παῦλος ἑρμηνεὺς παρὰ Χοσρόου ἥκων ἐς μέσους Ῥωμαίους ἀπήγγελλε Ῥεκινάριον ἐπὶ τῇ εἰρήνῃ ἐκ Βυζαντίου ἥκειν, οὕτω τε ἀμφότεροι διελύθησαν. ἤδη δέ τισι πρότερον ἡμέραις ὁ Ῥεκινάριος ἐς τὸ τῶν βαρβάρων στρατόπεδον ἀφῖκτο. ἀλλὰ τοῦτο ἐς Ῥωμαίους ὡς ἥκιστα ἐξήνεγκαν D Πέρσαι, καραδοκοῦντες δηλονότι τὴν ἐς τὸ τεῖχος ἐπιβουλήν, ὅπως, ἢν μὲν αὐτὸ ἐξελεῖν δύνωνται, μηδαμῇ ἐς τὰς σπονδὰς V 330 παρανομεῖν δόξωσιν, ἡσσηθέντες δέ, ὅπερ ἐγένετο, τὰ ἐς τὴν ξύμβασιν, Ῥωμαίων προκαλουμένων πρὸς αὐτάς, θήσονται. ἐπεὶ δὲ Ῥεκινάριος ἐγένετο εἴσω πυλῶν, Πέρσαι μὲν ἠξίουν τοὺς τὴν εἰρήνην διοικησομένους παρὰ Χοσρόην αὐτίκα δὴ μάλα ἰέναι, Ῥωμαῖοι δὲ σταλήσεσθαι πρέσβεις ἡμέραις τρισὶν ὕστερον ἔφασαν· τανῦν γὰρ σφίσι κακῶς τοῦ σώματος Μαρτῖνον τὸν στρατηγὸν ἔχειν.

2. γενομένης] γινομένης A. 8. αὐτοῦ V. αὐτῇ P. 10. ἀπήγγελλε] ἀπήγγελε V. 13. ἀφῖκτο V. ἀφίκετο P. ibid. ὡς ἥκιστα ἐξήνεγκαν] ἐξήνεγκαν ὡς ἥκιστα A. 17. θήσονται V. θήσωνται P.

tavit. Acriter certatum est: victi Persae in castra se receperunt, scalis relictis: quas Romani, prohibente nemine, sursum traxerunt. Circiter meridiem Chosroes ad portam, quae Magna dicitur, multas cohortes misit, ut illam oppugnarent. Quibus obviam effusi non modo Romani milites, sed rustici etiam atque e populo nonnulli, victos proelio Barbaros longe repulerunt. Ecce autem, dum fugientes urgentur Persae, missus a Chosroe Paulus interpres in medium Romanorum agmen se infert, nuntiatque oratorem pacis venisse Byzantio Rhecinarium: ita discessum est. Diebus iam abhinc aliquot Rhecinarius in castra Barbarorum pervenerat: sed eius adventum Romanos Persae celaverant, avide scilicet expectantes eorum exitum, quae contra muros machinabantur: ut si illos expugnarent, nihil in foedus viderentur peccasse: sin, quod et accidit, profligarentur, pacem componerent cum Romanis, qui primi ad illam invitarent. Urbem ingresso Rhecinario instabant Persae ut convenirent quamprimum Chosroem pacificatores. Responderunt Romani illos tertio post die profecturos, propterea quod in praesentia Martinus parum commode se haberet.

Εἶναί τε ὑποτοπάζων οὐχ ὑγιᾶ τὸν λόγον Χοσρόης τὰ ἐς
P 158 *τὴν παράταξιν ἐξηρτύετο. καὶ τότε μὲν πλίνθων πάμπολύ τι*
χρῆμα ἐπὶ τὸ χῶμα ἐπέβαλε, δυοῖν δὲ ὕστερον ἡμέραιν παντὶ τῷ
στρατῷ ὡς τειχομαχήσων ἐπὶ τὸν τῆς πόλεως περίβολον ἦλθεν.
ἔν τε πύλῃ ἑκάστῃ τῶν τινας ἀρχόντων καὶ μέρος τι τοῦ στρατεύ-
ματος καταστησάμενος, ἅπαν τε τὸ τεῖχος ταύτῃ περιβαλών,
κλίμακάς τε αὐτῷ καὶ μηχανὰς προσῆγεν. ὄπισθε δὲ τοὺς Σαρα-
κηνοὺς ἅπαντας ξὺν τῶν Περσῶν τισιν ἔταξεν, οὐχ ἐφ' ᾧ τῷ
περιβόλῳ προσβάλωσιν, ἀλλ' ὅπως ἁλισκομένης τῆς πόλεως αὐ-
τοὶ τοὺς φεύγοντας σαγηνεύσαντες λάβωσι. τοιαύτῃ μὲν γνώμῃ
τὸ στράτευμα ὁ Χοσρόης οὕτω διέταξε. τῆς δὲ μάχης πρωὶ ἀρ-
B *ξαμένης κατ' ἀρχὰς μὲν τὰ Περσῶν καθυπέρτερα ἦν. πολλοὶ*
γὰρ πρὸς λίαν ὀλίγους ἐμάχοντο, ἐπεὶ τῶν Ῥωμαίων οἱ πλεῖστοι
ἀνήκοοί τε τῶν ποιουμένων καὶ ἀπαράσκευοι παντάπασιν ἦσαν.
προϊούσης δὲ τῆς ξυμβολῆς, θορύβων τε καὶ ταραχῆς ἔμπλεως ἡ
πόλις ἐγίνετο, καὶ ξύμπαντες ἤδη αὐταῖς γυναιξὶ καὶ παιδαρίοις
ἐπὶ τὸ τεῖχος ἀνέβαινον. οἱ μὲν οὖν ἐν ἡλικίᾳ ξὺν τοῖς στρατιώ-
ταις καρτερώτατα τοὺς πολεμίους ἠμύνοντο, καὶ τῶν ἀγροίκων
πολλοὶ ἐς τοὺς βαρβάρους ἔργα θαυμαστὰ ἐπεδείκνυντο. παῖδες
δὲ καὶ γυναῖκες ξὺν τοῖς γεγηρακόσι λίθους τε τοῖς μαχομένοις ξυν-
έλεγον, καὶ τἄλλα ὑπούργουν. τινὲς δὲ καὶ λέβητας ἐλαίου πολ-
λοὺς ἐμπλησάμενοι πυρί τε αὐτοὺς πανταχῇ τοῦ τείχους ἐς διαρκῆ
C *θερμήναντες χρόνον, καὶ ζέον ὑπεράγαν τὸ ἔλαιον περιρραντη-*

1. ὑγιᾶ AV. ὑγιῆ P. 3. δυοῖν] δυεῖν A. 22. πανταχῇ] πανταχοῖ V. 23. περιρραντηρίοις] περιραντηρίοις V. περὶ ῥαντηρίοις A.

At Chosroes inducens in animum sibi verba dari, necessaria ad ferro decernendum expedit. Itaque excitatae moli lateres infinitos eodem die superponit: perendie urbis moenia oppugnaturus, copias omnes admovet, et quibusdam ducibus cum parte militum ad singulas portas dispositis, atque ita muro undique circumsepto, scalas machinasque applicat. A tergo Saracenos omnes collocat cum aliquot Persarum turmis, non impressionis in moenia faciendae causa, sed ut indagine comprehenderent, ex urbe capta fugientes. Eo consilio Chosroes exercitum suum ordinavit. Inita est mane pugna: cuius quidem primordia Persis laeta erant iam superioribus: multi enim contra admodum paucos certabant: cum plerique Romani nihil horum, quae fiebant, audirent, essentque omnino imparati. Dum autem diutius confligitur, tota exciri tumultu civitas, omnes cum ipsis foeminis puerisque murum conscendere. Ibi iuventus urbana militibus permista hostem validissime propulsabat: rustici complures mira in Barbaros edebant facinora: pueri, foeminae, senes colligebant lapides aliaque, et dimicantibus sufficiebant. Nonnulli per totum muri ambitum plenos oleo lebetas multos fervefaciebant quandiu satis erat: mox asper-

ρίοις τισὶν ἐπιχέοντες ἐπὶ τοὺς πολεμίους, μᾶλλον τοὺς τῷ περιβόλῳ προσιόντας ἐλύπουν. ἤδη μὲν οὖν ἀπειπόντες οἱ Πέρσαι τὰ ὅπλα ἐρρίπτουν, τῷ τε βασιλεῖ ἐς ὄψιν ἐλθόντες πρὸς τὸν πόνον ἀντέχειν οὐκέτι ἔφασκον οἷοί τε εἶναι. θυμῷ δὲ πολλῷ ὁ Χοσρόης ἐχόμενος καὶ ξὺν ἀπειλῇ ἐγκελευόμενος ἅπασιν ἐπὶ τοὺς πολεμίους ἐνῆγεν. οἱ δὲ κραυγῇ τε καὶ θορύβῳ πολλῷ τούς τε πύργους καὶ τὰς ἄλλας μηχανὰς τῷ τείχει προσῆγον καὶ τὰς κλίμακας ἐπετίθεντο, ὡς τὴν πόλιν αὐταβοεὶ ἐξαιρήσοντες. τῶν δὲ Ῥωμαίων συχνά τε βαλλόντων καὶ παντὶ σθένει ἀμυνομένων, τρέπονται μὲν κατὰ κράτος οἱ βάρβαροι, ἀναχωροῦντα δὲ τὸν Χοσρόην ἐτώθαζον D Ῥωμαῖοι, ἐς τειχομαχίαν παρακαλοῦντες. μόνος δὲ Ἀζαρέθης ἀμφὶ πύλας τὰς Σοΐνας καλουμένας ξὺν τοῖς ἑπομένοις ἐμάχετο, οὗ δὴ Τριπυργίαν καλοῦσι τὸν χῶρον. τῶν δὲ ταύτῃ Ῥωμαίων οὐκ ὄντων σφίσιν ἀξιομάχων, ἀλλὰ καὶ πρὸς τὰς προσβολὰς ἀπειπόντων, ἤδη τὸ ἐκτὸς τεῖχος, ὃ δὴ καλοῦσι προτείχισμα, πολλαχῇ διελόντες οἱ βάρβαροι ἰσχυρότατα τοῖς ἐκ τοῦ μεγάλου περιβόλου ἀμυνομένοις ἐνέκειντο, ἕως αὐτοῖς Περάνιος ξύν τε στρατιώταις πολλοῖς καὶ τῶν Ἐδεσσηνῶν τισιν ἐπεξῆλθε μάχῃ τε νικήσας ἐξήλασε. καὶ ἡ τειχομαχία πρωὶ ἀρξαμένη ἐτελεύτα εἰς δείλην ὀψίαν, ἀμφότεροί τε τὴν νύκτα ἐκείνην ἡσυχῇ ἔμενον, P 159 Πέρσαι μὲν περί τε τοῖς χαρακώμασι δεδιότες καὶ σφίσιν αὐτοῖς, Ῥωμαῖοι δὲ λίθους τε ξυλλέγοντες ἐς τὰς ἐπάλξεις καὶ τἄλλα ἐν

5. ἀπειλῇ] ἀπειλῆς A. 9. βαλλόντων] βαλόντων PV. 14. προσβολὰς] ὑπερβολὰς A. 18. et 280, 10. Ἐδεσσηνῶν] Ἐδεσηνῶν P. αἰδεσηνῶν V.

gillis ardentissimo oleo manantibus adversarios sic irrorabant, ut eos, qui subibant ad moenia, gravius infestarent. Tum Persae concidere animis, arma proiicere, et Regi fateri coram, sustinendo labori se iam pares minime esse. Inflammatus ira Chosroes, minaciter omnes adhortando, in hostem impellit. Illi cum vociferatione tumultuque ingenti turres caeterasque machinas ad muros appellunt et scalas admovent, quasi primo aditu et clamore urbem expugnaturi. Verum Romanis denso telorum nimbo et omni nisu arcentibus, deiecti vi Barbari sunt, atque in fugam versi. Inde abscedentem Chosroem Romani prosequebantur cavillis, ad instaurandam oppugnationem provocantes. Unus Azarethes cum suis ad portam Soinam eo in loco, quem Tripyrgiam appellant, pugnabat adhuc. Quibus impares cum essent Romani, qui ibi collocati fuerant, et fracti impressionibus cessissent, exteriori muro, sive, ut vocant, antemurali, per labes iam multas pervio; e maiori muro propugnantes urgebat fortissime Barbarus: donec Peranius cum valida militum manu et Edessenis aliquot in eum erupit, ac certamine victum repulit. Ita mane coepta, vesperi desiit oppugnatio. Illa utrique nocte se continuerunt: ac Persae quidem cum vallis suis, tum maxime sibi metuebant; Romani vero ad

παρασκευῇ τῇ πάσῃ ποιούμενοι, ὡς τῇ ὑστεραίᾳ μαχούμενοι τοῖς πολεμίοις ἐπὶ τὸ τεῖχος προσβαλοῦσιν. ἡμέρᾳ μὲν οὖν τῇ ἐπιγινομένῃ τῶν βαρβάρων οὐδεὶς ἐπὶ τὸν περίβολον ἦλθε, τῇ δὲ μετ' ἐκείνην μοῖρα μὲν τοῦ στρατοῦ Χοσρόου ἐγκελευομένου ταῖς Βαρ- B λαοῦ καλουμέναις πύλαις ἐπέσκηψεν, ὑπαντιασάντων δὲ Ῥωμαίων αὐτοῖς ἡσσήθησάν τε παρὰ πολὺ τῇ μάχῃ καὶ δι' ὀλίγου ἐς τὸ στρατόπεδον ἀνεχώρησαν. καὶ τότε Παῦλος ὁ Περσῶν ἑρμηνεὺς V 331 παρὰ τὸ τεῖχος ἥκων Μαρτῖνον ἐκάλει, ἐφ' ᾧ τὰ ἐς τὴν ξύμβασιν διοικήσηται. οὕτω τε Μαρτίνου τοῖς Περσῶν ἄρχουσιν ἐς λόγους ἐλθόντος ξυνέβησαν, καὶ πέντε κεντηνάρια πρὸς τῶν Ἐδεσσηνῶν ὁ Χοσρόης λαβὼν ἐν γράμμασιν αὐτοῖς τὴν ὁμολογίαν ἀπέλιπε τοῦ μηδὲν Ῥωμαίοις περαιτέρω λυμήνασθαι, τά τε χαρακώματα πάντα ἐμπρήσας ἐπ' οἴκου ἀνεχώρησε παντὶ τῷ στρατῷ.

C κη'. Ὑπὸ τὸν χρόνον τοῦτον Ῥωμαίων τετελευτήκασι στρατηγοὶ δύο, Ἰουστός τε ὁ βασιλέως ἀνεψιὸς καὶ Περάνιος Ἴβηρ, Ἰοῦστος μὲν νόσῳ διαφθαρεὶς, Περανίῳ δὲ συνέβη ἐν κυνηγεσίῳ τοῦ ἵππου ἐκπεπτωκότι διαρραγῆναι. διὸ δὴ ἀντ' αὐτῶν βασιλεὺς ἑτέρους καταστησάμενος ἔπεμψε Μάρκελλόν τε, τὸν ἀδελφιδοῦν τὸν αὐτοῦ ἄρτι γενειάσκοντα, καὶ Κωνσταντιανὸν, ὃς δὴ ὀλίγῳ πρότερον ἅμα Σεργίῳ παρὰ Χοσρόην πρεσβεύων ἐστάλη. ἔπειτα δὲ Ἰουστινιανὸς βασιλεὺς πρέσβεις παρὰ Χοσρόην ἐπὶ τῇ ξυμβάσει Κωνσταντιανόν τε καὶ Σέργιον ἔπεμψεν. οἱ δὲ αὐτὸν

18. ἀδελφιδοῦν τὸν αὐτοῦ (αὑτοῦ PV)] τὸν αὐτοῦ ἀδελφιδοῦν A.
22. ξυμβάσει V. συμβάσει P.

pinnas congerebant lapides, et caetera comparabant, veluti postridie cum hostibus in muros daturis impetum denuo congressuri. Verum postero die ad moenia nemo Barbarorum accessit. Perendie pars exercitus, hortante Chosroe, Barlai portam adorta, a Romanis occurrentibus praelio insigniter profligata, brevi in castra sese recepit. Tunc ad murum progressus Paulus Persarum interpres Martinum ad pacisceudum invitavit. Sic demum collocuto cum Persarum ducibus Martino, pax convenit. Chosroes auri pondo D. ab Edessenis cum accepisset, literis consignatam pactionem ipsis reliquit, qua se in posterum nihil damni Romanis illaturum recipiebat. Deinde vallis incensis omnibus, cum universo exercitu domum remigravit.

28. Hoc fere tempore duo mortui sunt Romani duces, Iustus Imperatoris a fratre nepos, et Peranius natione Iber: ille morbo consumptus, hic in venatione casu ex equo diruptus. Quibus Imperator Marcellum submisit, suum ex sorore nepotem, iam pubescentem, et Constantianum, qui paulo ante cum Sergio legationem obierat apud Chosroem. Eosdem postea Constantianum ac Sergium legatos de pace iterum ad Chosroem Iustinianus Aug. misit. Eum illi offenderunt in ea parte As-

καταλαμβάνουσιν ἐν Ἀσσυρίοις, οὗ δὴ πολίσματα δύο Σελεύκειά D τε καὶ Κτησιφῶν ἐστι, Μακεδόνων αὐτὰ δειμαμένων, οἳ μετὰ τὸν Φιλίππου Ἀλέξανδρον Περσῶν τε ἦρξαν καὶ τῶν ταύτῃ ἐθνῶν. ἄμφω δὲ ταῦτα Τίγρις ποταμὸς διορίζει· οὐ γὰρ ἄλλην χώραν μεταξὺ ἔχουσιν. ἐνταῦθα ἐντυχόντες Χοσρόῃ οἱ πρέσβεις ἠξίουν μὲν τὰ ἐπὶ τῆς Λαζικῆς χωρία Ῥωμαίοις ἀποδοῦναι, βεβαιότατα δὲ πρὸς αὐτοὺς τὰ ἀμφὶ τῇ εἰρήνῃ κρατύνασθαι. Χοσρόης δὲ οὐ ῥᾴδιον αὐτοὺς ἔφασκεν εἶναι ἀλλήλοις ξυμβῆναι, ἢν μή τινα ἐκεχειρίαν θέμενοι πρότερον, οὕτω τε ἀδεέστερον ἀεὶ ἐς ἀλλήλους P 160 φοιτῶντες τά τε διάφορα διαλύσουσι καὶ τὰ τῆς εἰρήνης ἐν τῷ ἀσφαλεῖ τὸ λοιπὸν θήσονται. χρῆναι δὲ ὑπὲρ τῆς ἐκεχειρίας χρήματά τέ οἱ τῶν Ῥωμαίων αὐτοκράτορα δοῦναι καί τινα Τριβοῦνον ὄνομα ἰατρὸν πέμψαι, ἐφ᾽ ᾧ οἱ ξυνδιατρίψει τακτόν τινα χρόνον. ἐτύγχανε γὰρ ὁ ἰατρὸς οὗτος νόσου τε αὐτὸν ἀπαλλάξας χαλεπῆς πρότερον καὶ ἀπ᾽ αὐτοῦ φίλος τε καὶ ποθεινὸς ἐς τὰ μάλιστα ὤν. ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσε, τόν τε Τριβοῦνον καὶ τὰ χρήματα εὐθὺς ἔπεμψε ξυνιόντα ἐς κεντηνάρια εἴκοσιν. οὕτω τε αἱ σπονδαὶ γεγόνασι Ῥωμαίοις τε καὶ Πέρσαις ἐς ἐνιαυτοὺς πέντε, δέκατον καὶ ἔνατον ἔτος Ἰουστινιανοῦ βασι- B λέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.

Ὀλίγῳ δὲ ὕστερον Ἀρέθας τε καὶ Ἀλαμούνδαρος οἱ τῶν Σαρακηνῶν ἄρχοντες πόλεμον πρὸς ἀλλήλους κατὰ μόνας διέφερον,

6. βεβαιότατα] βεβαιότητα V. 11. ὑπὲρ τῆς] ὑπὲρ τῆς ἀεὶ V. 13. ξυνδιατρίψει] ξυνδιατρίψῃ V. ξυνδιατρίψαι A. 19. ἔνατον] Vulgo ἔννατον.

syriae, ubi duo sunt oppida, Seleucia et Ctesiphon, condita a Macedonibus, qui post Alexandrum Philippi filium Persis gentibusque illas oras habentibus imperarunt. Utrumque dirimit oppidum fluvius Tigris, nullo agro interiacente. Ibi ad congressum inducti Chosrois, postularunt, ut quae in Lazica occupaverat, Romanis restitueret, ac pacem cum ipsis sanctissime firmaret. Negavit Chosroes pacem facile posse coagmentari, nisi prius inducias pepigissent: sic nempe factum iri, ut securius inter se commeando, discernerent lites, et pacem facerent deinceps mansuram: caeterum oportere sibi pro induciis pecuniam dari a Rom. Imperatore, et medicum quemdam, cui nomen Tribuno, mitti, ut certum apud se spatium temporis ageret. Enimvero Chosroem medicus hic difficili morbo ante levaverat: quamobrem ipsi carissimus erat et optatissimus. Quae cum audisset Iustinianus, et Tribunum et pecuniam ad bis mille pondo confestim misit. Ita Romanos inter ac Persas pactae sunt quinquennales induciae, Iustiniano Aug. Imperii annum agente XIX.

Haud multo post Arethas et Alamundarus Saracenorum principes bellum gesserunt inter se, soli, et sine Romanorum ac Persarum auxiliis.

οὔτε Ῥωμαίων οὔτε Περσῶν ἀμυνόντων σφίσι. καὶ Ἀλαμούνδαρος μὲν ἕνα τῶν Ἀρέθα παίδων ἵππους νέμοντα ἐξ ἐπιδρομῆς ἑλὼν τῇ Ἀφροδίτῃ εὐθὺς ἔθυσε, καὶ ἀπ' αὐτοῦ ἐγνώσθη οὐ καταπροΐεσθαι τὰ Ῥωμαίων πράγματα Πέρσαις Ἀρέθαν. μετὰ δὲ ξυνίασι μὲν ἐς μάχην ἑκάτεροι παντὶ τῷ στρατῷ, νικῶσι δὲ κατὰ κράτος οἱ ξὺν τῷ Ἀρέθᾳ, τρεψάμενοί τε τοὺς πολεμίους πολλοὺς ἔκτειναν. καὶ παρ' ὀλίγον Ἀρέθας ἦλθε δύο τῶν Ἀλαμουνδάρου C *παίδων ζῶντας ἑλεῖν, οὐ μέντοι εἷλε. τὰ μὲν οὖν Σαρακηνῶν ταύτῃ πῃ εἶχεν **** ἅπαντας, Πέρσας δὲ ἀντ' αὐτῶν οἰκήτορας καταστήσασθαι, τὼ ἄνδρε τούτω ἐς ἄμφω τὰ ἔργα ὑπηρετήσοντας εἵλετο· ἕρμαιον γὰρ λόγου πολλοῦ ἄξιον ἐφαίνετο εἶναι γῆν τὴν Κολχίδα σφετερισαμένῳ ἐν τῷ βεβαίῳ τῆς κτήσεως ἔχειν, ξύμφορον λογισαμένῳ τῇ Περσῶν ἀρχῇ κατὰ πολλὰ ἔσεσθαι τοῦτό γε. τήν τε γὰρ Ἰβηρίαν ἐν τῷ ἀσφαλεῖ ἐς τὸ ἔπειτα ἕξειν, οὐκ ἂν ἔτι ἐχόντων Ἰβήρων ἐφ' οὕστινας ἀνθρώπων ἀποστάντες σωθήσονται· ἐπειδὴ γὰρ οἱ τούτων δὴ λογιμώτατοι τῶν βαρβάρων ὁμοῦ Γουργένει τῷ βασιλεῖ ἐς ἀπόστασιν εἶδον, ὥσπερ μοι* D *ἐν τοῖς ἔμπροσθε λόγοις ἐρρήθη, οὔτε βασιλέα σφίσι καταστήσεσθαι τὸ ἐνθένδε ξυνεχώρουν Πέρσαι οὔτε αὐτογνωμονοῦντες Περσῶν κατήκοοι Ἴβηρες ἦσαν, ἀλλ' ὑποψίᾳ τε καὶ ἀπιστίᾳ ἐς ἀλλή-* V 332 *λους πολλῇ εἴχοντο. ἔνδηλοί τε Ἴβηρες ἦσαν δυσανασχετοῦντές*

1. *οὔτε — οὔτε*] *οὐδὲ — οὐδὲ* PV. 2. *παίδων*] *παῖδα* V. 9. Post *εἶχεν* AV pergunt *ὁ δὲ χοσρόης βεβουλευμένος* (p. 161 c.) consentiente RV. 11. *λόγου* L. *καὶ λόγου* P. 16. *δὴ* add. L. 17. *Γουργένει*] *γουργένη* L. 18. *καταστήσεσθαι* HL. *καταστήσασθαι* P.

Atque Alamundarus quidem, cum unum ex Arethae filiis equorum pastui intentum subita excursione cepisset, eum statim Veneri immolavit: ex eoque aperte patuit, Aretham Persis rem Romanam minime prodere. Omnibus deinde copiis utrinque pugnatum est: vi vincens Arethas, magnam hostium fugientium stragem edidit, nec multum abfuit, quin Alamundari filii duo in eius manus vivi inciderent: sed enim evaserunt. Hoc erant loco res Saracenicae * * * * cum vellet Persarum colonias in ea regione imponere, exactis omnibus indigenis; hos viros utriusque illius consilii administros legit. Et vero si Colchidem, quam ditioni suae adiecerat, firme possideret, lucrum insperatum ac luculentum ipsi esse videbatur, id regno Persico in multas partes fore commodum reputanti. Nam in posterum sub manu futuram Iberiam videbat, quando non haberent amplius Iberes, ad quos salvi transfugerent. Ex quo sane praecipua Barbarorum istorum nobilitas cum suo Rege Gurgene ad Romanos desciverat, uti in superiore libro narravimus, ipsos Persae creandi sibi Regis potestate privarant. Nec Persis parebant Iberes voluntate sua: at suspicione diffidentiaque incensi mutua dissidebant. Neque obscurum

τε ἰσχυρότατα καὶ νεωτεριοῦντες οὐ πολλῷ ὕστερον, ἢν τινὸς ποτε
καιροῦ λαβέσθαι δυνατοὶ εἶεν. καὶ πρὸς Οὔννων τῶν Λαζικῇ
προσοίκων ἀδῄωτον μὲν τὴν Περσῶν ἀρχὴν ἐς ἀεὶ ἔσεσθαι, ῥᾷον
δὲ καὶ ἀπονώτερον αὐτοὺς τῇ Ῥωμαίων ἀρχῇ ἐπιπέμψειν, ἡνίκα
ἂν αὐτῷ βουλομένῳ εἴη. οὐ γὰρ ἄλλο οὐδὲν τοῖς ἐν Καυκάσῳ
οἰκοῦσι βαρβάροις ἢ ἐπιτείχισμα Λαζικὴν εἶναι. μάλιστα δὲ πάν- P 161
των κατὰ τοῦτο ξυνοίσειν πρὸς Λαζικῆς ἐπικράτησιν ἤλπιζε Πέρ-
σαις, ὅτι δὴ ἐξ αὐτῆς ὁρμώμενοι δυνήσονται οὐδενὶ πόνῳ κατα-
θέοντες καὶ πεζῇ καὶ ναυσὶ τὰ ἐπὶ τοῦ Εὐξείνου καλουμένου πόν-
του χωρία, Καππαδόκας μὲν καὶ τοὺς αὐτῶν ἐχομένους Γαλά-
τας καὶ Βιθυνοὺς παραστήσεσθαι, ἐξ ἐπιδρομῆς δὲ Βυζαντίους
αἱρήσειν, οὐδενὸς σφίσιν ἀντιστατοῦντος. τούτων μὲν δὴ ἕνεκα
προσποιεῖσθαι Χοσρόης Λαζικὴν ἤθελεν, ἐπὶ Λαζοῖς δὲ τὸ θαρ-
σεῖν ὡς ἥκιστα εἶχεν. ἐπειδὴ γὰρ Ῥωμαῖοι ἐκ τῆς Λαζικῆς ἀνε-
χώρησαν, Λαζῶν τὸ πλῆθος τῇ Περσῶν ἀρχῇ ἐπιεικῶς ἤχθετο.
μονότροποι γάρ, εἴπερ ἄλλοι τινές, οἱ Πέρσαι εἰσὶ καὶ τὰ ἐς τὴν
δίαιταν ὑπεράγαν σκληροί. καὶ αὐτοῖς οἵ τε νόμοι δυσπρόσοδοί B
εἰσι πρὸς πάντων ἀνθρώπων καὶ τὰ ἐπιτάγματα οὐδαμῇ ἀνεκτά.
πρὸς μέντοι Λαζοὺς καὶ διαφερόντως τὸ διαλλάσσον τῆς τε γνώ-
μης ἀεὶ καὶ τῆς διαίτης παρὰ πολὺ διαφαίνεται, ἐπεὶ Λαζοὶ μὲν
Χριστιανοί εἰσι πάντων μάλιστα, Πέρσαις δὲ ἀπ' ἐναντίας αὐ-
τῶν τὰ εἰς τὸ θεῖον ἅπαντα ἔχει. χωρὶς δὲ τούτων ἅλες μὲν τῆς
Λαζικῆς οὐδαμῇ γίνονται, οὐ μὴν οὔτε σῖτος οὔτε οἶνος οὔτε τι

16. τὴν δίαιταν L. τὴν om. P. 23. οὔτε ter] οὐδὲ ter P.

erat secum Iberes gravissime indignari, ac brevi res novaturos, si quam arripere occasionem possent. Addebat his, regnum Persicum ab infestis incursibus Hunnorum, qui Lazicam accolunt, tutum fore, eosque se, quando luberet, in Rom. Imperium facilius immissurum, cum Lazica propugnaculum sit adversus Barbaros degentes in Caucaso. Et, quod caput erat, Lazicae possessionem ad hoc Persis opportunissimam futuram sperabat, ut inde erumpentes, et in provincias, quibus Pontus Euxinus praetexitur, nullo negotio excurrentes terra ac mari, Cappadocas, hisque contiguos Galatas ac Bithynos subigerent, atque impetu subito Byzantium caperent, nemine prohibente. His de causis Chosroes Lazicam quidem sub ditionem suam cupiebat subiungere: at fidere Lazis neutiquam poterat: ut qui, ab excessu Romanorum e Lazica, Persarum dominatum molestissime ferrent. Nam si qua gens alia, Persae maxime cultu simplici asperrimoque victu se sustinent. Ii sunt ipsorum mores, ut ad illos accedere, ea scita, ut illa tolerare nemo queat. Apud Lazos in primis differentia religionis ac vitae communis notabilius apparet: quoniam Lazi Christiana instituta observant omnium maxime: Persae contrarium divinitatis cultum sectantur. Huc accedit, quod sal in Lazica nusquam fit: immo nec tri-

ἄλλο ἀγαθὸν φύεται. ἐκ δὲ Ῥωμαίων τῶν παραλίων ἅπαντα ταῖς ναυσὶν ἐπεισέρχεται σφίσι, καὶ ταῦτα οὐ χρυσίον τοῖς συμβάλλουσι προϊεμένοις, ἀλλὰ δέρρεις τε καὶ ἀνδράποδα καὶ εἴ τι ἄλλο C *ἐνταῦθα κατὰ πολὺ περιεῖναι ξυμβαίνει. τούτου τε, ὡς τὸ εἰκὸς, ἀποκεκλεισμένοι τὸ λοιπὸν ἤσχαλλον. ὧν δὴ ὁ Χοσρόης αἰσθόμενος προτερῆσαι ξὺν τῷ ἀσφαλεῖ, πρίν τι ἐς αὐτὸν νεωτερίσειαν, ἐν σπουδῇ εἶχε. καί οἱ βουλευομένῳ ξυμφορώτατον ἔδοξεν εἶναι Γουβάζην τὸν Λαζῶν βασιλέα ἐκποδὼν ὅτι τάχιστα ποιησαμένῳ Λαζοὺς ἐνθένδε πανδημεὶ ἀναστήσειν, οὕτω τε Πέρσας καὶ ἄλλα ἄττα ἔθνη ξυνοικιεῖν ἐν ταύτῃ τῇ χώρᾳ.*

Ταῦτα Χοσρόης βεβουλευμένος Ἰσδιγούναν, ὡς ἐπὶ πρεσβείᾳ δῆθεν τῷ λόγῳ, ἐς Βυζάντιον στέλλει, καί οἱ Περσῶν ἀριστίνδην ἀπολεξάμενος πεντακοσίους ξυνέπεμψεν, ἐπιστείλας σφίσι D *γενέσθαι μὲν ἐν πόλει Δάρας, ἐν οἰκίαις δὲ καταλῦσαι πολλαῖς, ταύτας τε νύκτωρ ἁπάσας ἐμπρῆσαι, καὶ Ῥωμαίων ἀμφὶ τὸ πῦρ τοῦτο ἠσχολημένων, ὡς τὸ εἰκὸς, ἀπάντων ἀνοιγνύναι μὲν τὰς πύλας εὐθὺς, τῇ δὲ πόλει τὸ ἄλλο Περσῶν στράτευμα δέξασθαι. προείρητο γὰρ τῷ Νισίβιδος πόλεως ἄρχοντι στρατιωτῶν πλῆθος ἄγχιστά πῃ ἐγκρυφιάζοντα ἐν παρασκευῇ ἔχειν. οὕτω γὰρ αὐτοὺς ᾤετο Χοσρόης οὐδενὶ πόνῳ Ῥωμαίους τε ἅπαντας διαχρήσεσθαι καὶ τὴν πόλιν ἐν βεβαίῳ καταλαβόντας σχήσειν. ἀλλά τις εὖ εἰ-*

6. *νεωτερίσειαν*] Vulgo *νεωτερίσειν*. 9. *Πέρσας*] *πέρσαις* HL. 11. *Ἰσδιγούναν*] *ἰσδισγούσναν* A. *ἰσδισγούναν* H. *Isdigunnam* RV. *Ἰεσδεγουσνάφ* apud Menandrum p. 346. 354. 359. ed. Niebuhr. 19. *ἐγκρυφιάζοντα*] *ἐγκρυφιάζοντι* L. 20. *διαχρήσεσθαι*] *διαχρήσασθαι* A. 21. *τὴν πόλιν Δάρας* P. *Δάρας* om. A.. *urbem eam* RV. *ibid. εὖ*] *εὖ τε* P.

ticum, nec vinum, neque ullae fruges proveniunt: sed omnis a Romanis, qui oras maritimas obtinent, navibus importata Lazi accipiunt, non pecunia illis repensa quibuscum contrahunt, sed pellium, servorum, et si cuius praeterea rei est ipsis affatim, permutatione facta. Quo, ut consentaneum erat, exclusi commercio, ex dolore fremebant. Re Chosroes intellecta, novis contra se consiliis occurrere satagebat. Id vero secum agitanti, optimum factu visum est, sublato quamprimum e medio Gubaze Lazorum Rege, universam gentem transferre, et Persarum aliarumque nationum coloniis regionem illam occupare.

Hoc inito consilio Chosroes, Isdigunan per causam legationis Byzantium mittit, cum Persarum quingentorum agmine e fortissimis delecto: quibus mandaverat, ut in urbem Daram admissi, diversis in aedibus hospitarentur, ignemque illis omnibus noctu iniicerent: dum autem incendium Romanos omnes, pro rei gravitate, intentos haberet, sine mora portas ipsi recluderent, ac caeteras in urbem copias Persarum acciperent. Nisibeno enim Praefecto iam edixerat, uti milites prope in occulto disponeret. Quo facto putabat Chosroes illos, Romanis nullo negotio ad internecionem caesis, Daram certo occupaturos. At conscius machinatio-

δὼς τὰ πρασσόμενα, Ῥωμαῖος μὲν ἀνὴρ, αὐτόμολος δὲ ὀλίγῳ
πρότερον ἐς Πέρσας ἥκων, τὸν πάντα λόγον Γεωργίῳ φράζει, P 162
ἐνταῦθα τότε διατριβὴν ἔχοντι, οὗ δὴ ἐν τοῖς ἔμπροσθεν λόγοις
ἐμνήσθην, ἅτε Περσῶν ἀναπείσαντος τοὺς ἐν τῷ Σισαυράνων
πολιορκουμένους φρουρίῳ σφᾶς αὐτοὺς ἐνδοῦναι Ῥωμαίοις.
Γεώργιος οὖν ἐν τοῖς Ῥωμαίων τε καὶ Περσῶν ὁρίοις ἀπαντήσας
τῷ πρεσβευτῇ τούτῳ ἔφασκεν οὐ κατὰ πρεσβείαν τὰ ποιούμενα
εἶναι, καὶ οὔ ποτε Πέρσας τοσούτους τὸ πλῆθος ἐν πόλει Ῥω-
μαίων αὐλίσασθαι. χρῆν γὰρ τοὺς μὲν ἄλλους ἅπαντας ἐν χωρίῳ
Ἀμμώδιος ἀπολιπεῖν, αὐτῷ δὲ ξὺν ὀλίγοις τισὶν ἐς πόλιν Δάρας
ἐσιτητὰ εἶναι. ὁ μὲν οὖν Ἰσδιγούνας ἠγανάκτει τε καὶ δυσφορου- B
μένῳ ἐῴκει, ἅτε περιυβρισμένος οὐ δέον, καίπερ ἐπὶ πρεσβείᾳ
παρὰ τὸν Ῥωμαίων βασιλέα στελλόμενος. Γεώργιος δέ οἱ οὐ
προσέχων τὸν νοῦν ἠγριωμένῳ διεσώσατο τὴν πόλιν Ῥωμαίοις. V 333
ξὺν γὰρ ἀνδράσιν εἴκοσι μόνοις τῇ πόλει τὸν Ἰσδιγούναν ἐδέξατο.

Ταύτης οὖν τῆς πείρας ἀποτυχὼν ὁ βάρβαρος οὗτος, ὡς
πρεσβεύων ἐς Βυζάντιον ἦλθε, τήν τε γυναῖκα καὶ θυγατέρας
ἐπαγόμενος δύο (τοῦτο γὰρ ἦν αὐτῷ τὸ παραπέτασμα τοῦ ξυνε-
ληλυθότος ὁμίλου), τῷ τε βασιλεῖ ἐς ὄψιν ἥκων ἀμφὶ μὲν τῶν
σπουδαίων τινὶ οὐ μέγα οὐ μικρὸν ἴσχυσεν εἰπεῖν, καίπερ οὐχ ἧσ-
σον ἢ μῆνας δέκα κατατρίψας ἐν Ῥωμαίων τῇ γῇ. τὰ μέντοι δῶ- H 86 C
ρα παρὰ Χοσρόου, ᾗπερ εἴθισται, καὶ γράμματα βασιλεῖ ἔδωκε,
δι᾽ ὧν ὁ Χοσρόης Ἰουστινιανὸν βασιλέα σημῆναι ἠξίου εἴ οἱ τὸ

10. Ἀμμώδιος] ἀμμούδιος L. Ἀμούδιος P. Conf. p. 62, 2. 65, 20.
11. Ἰσδιγούνας] ἰσδιγούσνας A. *Isdigunnas* RV hic et infra.
15. Ἰσδιγούναν] Ἰσδιγούσναν P. 23. σημῆναι addidi ex A.

nis huius Romanus quidam, qui non ita pridem sponte ad Persas transierat, rem plane aperit Georgio ibi tum commoranti, qui, quod supra memoravi, Persas in castello Sisaurano obsessos perpulerat, uti se Romanis permitterent. Igitur obviam legato factus Georgius in Romanorum ac Persarum confiniis, non servari morem legationis, nec tanto unquam numero Persas in urbe ditionis Romanae stabulatos fuisse dixit: itaque oportere cum paucis Daram ingrederetur, caetero Ammodii relicto comitatu. Hic stomachari Isdigunas, indignantique similis queri, quod cum legationem ad Rom. Imperatorem gereret, contumeliose haberetur. Efferati hominis fremitum minime attendens Georgius, Romanis urbem servavit, accepto cum xx. solum comitibus Isdiguna.

Ex ea molitione deiectus Barbarus, Byzantium, in speciem legatus, venit, uxorem secum ac filias geminas ducens (id nempe tanto comitatui obtendebat). Admissus ad conspectum Imperatoris, de re gravi nec multis unquam nec paucis egit: quamvis menses non minus decem in Romano Imperio moratus sit. Munera tantum ex more literasque a Chosroe dedit Imperatori: per quas ille ex Iustiniano, an commoda valetudine

σῶμα ὑγιείας πέρι ὡς ἄριστα ἔχοι. τοῦτον μέντοι τὸν Ἰσδιγούναν Ἰουστινιανὸς βασιλεὺς μάλιστα πρέσβεων ἁπάντων ὧν ἴσμεν ξύν τε πολλῇ φιλοφροσύνῃ εἶδε καὶ διὰ τιμῆς ἱκανῶς ἤγαγεν. ὥστε καί, ἡνίκα δὴ αὐτὸν ἑστιῴη, Βραδουκίωνα, ὅσπερ αὐτῷ ἑρμηνεὺς εἵπετο, ξὺν αὐτῷ ἐπὶ τῆς στιβάδος κατέκλινε, πρᾶγμα
D οὔ ποτε γεγονὸς πρότερον ἐκ τοῦ παντὸς χρόνου. ἑρμηνέα γὰρ οὐδὲ τῶν τινι καταδεεστέρων ἀρχόντων, μή τί γε δὴ βασιλεῖ ὁμοτράπεζον γεγονότα οὐδείς ποτε εἶδεν. ἀλλὰ καὶ μεγαλοπρεπέστερον ἢ κατὰ πρεσβευτὴν τὸν ἄνδρα τοῦτον ἐδέξατό τε καὶ ἀπεπέμψατο, καίπερ ἐπ' οὐδενὶ ἔργῳ τὴν πρεσβείαν, ὥσπερ μοι εἴρηται, πεποιημένον. ἢν γάρ τις τάς τε δαπάνας διαριθμήσαιτο καὶ τὰ δῶρα, ὅσα ἐνθένδε κεκομισμένος Ἰσδιγούνας ἀπιὼν ᾤχετο, πλέον αὐτὰ κατατείνοντα ἢ ἐς χρυσοῦ κεντηνάρια δέκα εὑρήσει. τὰ μὲν οὖν τῆς ἐς Δάρας πόλιν ἐπιβουλῆς τῷ Χοσρόῃ ἐς τοῦτο ἐτελεύτα.

P 163 κθ'. Ἔς τε Λαζικὴν πρῶτα μὲν ξύλα παμπληθῆ ἐς νηῶν ποίησιν ἐπιτηδείως ἔχοντα ἔπεμψεν, οὐδενὶ φράσας ἐφ' ὅτῳ δὴ αὐτὰ πέμψειεν, ἀλλὰ τῷ λόγῳ μηχανὰς ἐν Πέτρας τῷ περιβόλῳ καταστησόμενος ταῦτα ἔστελλεν. ἔπειτα δὲ Περσῶν μαχίμους τριακοσίους ἀπολεξάμενος, Φάβριζόν τε, οὗπερ ἀρτίως ἐπεμνήσθην, αὐτοῖς ἐπιστήσας, ἐνταῦθα στέλλει, ᾧ δὴ ἐπήγγελλε Γουβάζην ὡς λαθραιότατα διαχρήσασθαι· τὸ γὰρ ἐνθένδε αὐτῷ με-

1. Ἰσδιγούναν] ἰσδισγούναν H. 8. μεγαλοπρεπέστερον A. μεγαλοπρεπέστερα P. 12. Ἰσδιγούνας] ἰσδισγούνας A. 14. Δάρας] Vulgo Δάραν.

uteretur, quaerebat. Porro Isdigunas a Iustiniano ea fuit acceptus humanitate, eo honore habitus, quo nullum dignatum unquam legatum audiimus. Illum enim quando Augustus epulis adhibebat, Braducionem eius interpretem iubebat geniali toro discumbere: cuius rei nullum ex omni memoria exemplum extabat. Nam interpretem cum vel infimi ordinis magistratu, nedum cum Augusto, ad mensam considere nemo unquam vidit. Ipsum etiam Isdigunam honorificentius, quam ferebat legati conditio, excepit remisitque: licet omni inanem re, ut dixi, legationem gereret. Si quis enim factas impensas ac dona discedenti Isdigunae collata vocet ad calculum, excedere auri mille pondo inveniet. Huc demum recidit Chosrois in urbem Daram molitio.

29. In Lazicam Chosroes ante omnia vim magnam materiae navibus aedificandis idoneae convectari iussit, vero consilio, quod nemini aperuit, istud praetexens, eam se ad murales machinas Petrae conficiendas mittere. Deinde Persarum bello praestantium ad trecentos delectu habito, illos duce Phabrizo, cuius modo mentio incidit, eodem destinat; cum huic mandasset, ut occultissime Gubazem e medio tolleret:

λήσειν. τὰ μὲν οὖν ξύλα ταῦτα ἐπεὶ ἐς Λαζικὴν ἐκομίσθη, κε- B ραυνόβλητα ἐξαπιναίως γενόμενα τετεφρῶσθαι ξυνέβη· Φάβριζος δὲ σὺν τοῖς τριακοσίοις ἐς Λαζικὴν ἀφικόμενος ἔπρασσεν ὅπως δὴ ἀμφὶ Γουβάζῃ τὰ πρὸς τοῦ Χοσρόου ἐπηγγελμένα ὑποτελοίη. ἐτύγχανε δὲ τῶν τις ἐν Κόλχοις λογίμων, Φαρσάνσης ὄνομα, τῷ Γουβάζῃ προσκεκρουκώς, ἐς μέγα τέ οἱ ἀπ᾽ αὐτοῦ ἐμπεπτωκὼς ἔχθος καὶ ὡς ἥκιστα θαρσῶν τῷ βασιλεῖ ἐς ὄψιν ἥκειν. ὅπερ ἐπεὶ ὁ Φάβριζος ἔγνω, τὸν Φαρσάνσην μετακαλεσάμενος, ἐκοινολογεῖτό τε καὶ τὸν ἅπαντα λόγον ἐξενεγκὼν ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὅπῃ οἱ ἐπιχειρητέα ἐς τὴν πρᾶξιν εἴη. ἔδοξε τοίνυν C σφίσιν ἐπὶ κοινῆς βουλευσαμένοις Φάβριζον μὲν ἐν Πέτρᾳ τῇ πόλει γενέσθαι, μεταπέμψασθαι δὲ Γουβάζην ἐνταῦθα, ὅπως οἱ ἀγγέλλοι ὅσα δὴ βασιλεῖ ἀμφὶ τῷ ξυνοίσοντι Λαζοῖς δοκοῦντα εἴη. ἀλλ᾽ ὁ Φαρσάνσης κρύφα τῷ Γουβάζῃ ἐσήμηνε τὰ πρασσόμενα. διὸ δὴ Γουβάζης παρὰ μὲν Φάβριζον οὐδαμῆ ἦλθεν, ἐκ δὲ τοῦ ἐμφανοῦς ἐς ἀπόστασιν εἶδεν. Φάβριζος δὲ Πέρσαις μὲν τοῖς ἄλλοις τοῦ ἐν Πέτρᾳ φυλακτηρίου ἐπιμελεῖσθαι πάσῃ δυνάμει ἐπέστελλε καὶ τὰ ἐς πολιορκίαν ὡς ἀσφαλέστατα ἐξαρτύεσθαι, αὐτὸς δὲ ξὺν τοῖς τριακοσίοις ἐπ᾽ οἴκου ἄπρακτος ἀνεχώρησε. Γουβάζης δὲ ἀνενεγκὼν ἐς Ἰουστινιανὸν βασιλέα τὰ παρόντα σφί- D σι, τῶν μὲν τὰ πρότερα πεπραγμένων Λαζοῖς ἐδεῖτο συγγνώμονα εἶναι, ἀμῦναι δὲ σφίσι δυνάμει τῇ πάσῃ ἀπαλλαξείουσι τῆς Μή-

5. φαρσάνσης A hic et infra. *Pharsases* RV. *Βαρσάνσης* HP. 8. Φάβριζος] φαύριζος HL. *ibid.* Φαρσάνσην] *Βαρσάνσην* P, non H. 13. ἀγγέλλοι] Vulgo ἀγγέλοι. 14. Φαρσάνσης] Vulgo *Βαρσάνσης*.

sibi caetera curae fore. In Lazicam deportata materies repentino ictu fulminis deflagravit atque in cinerem redacta est. Quo postquam Phabrizus cum trecentis pervenit, operam dedit, ut quae in Gubazem habebat a Chosroe mandata, conficeret. Barsanses, nobilis Colchus, Gubazem cum offendisset, in eius odium incurrerat, conspectumque verebatur. Quo cognito Phabrizus, Barsansi accito consilium impertit, ex eoque aggrediendi facinoris rationem quaerit. Re in commune consulta, in eam sententiam itum est, uti Gubazem accerseret Phabrizus Petram, quasi communicare cum eo vellet, quae rex Chosroes e re Lazorum esse iudicaret. Sed paratum dolum Barsanses Gubazi clam indicavit. Quare Phabrizum adeo non convenit Gubazes, ut aperte ad defectionem spectare coeperit. Phabrizus, ubi caeteris Persis praecepit, ut Petram diligentius custodirent, seque ad obsidionem ferendam tutissime accingerent, re infecta cum trecentis remigravit. Gubazes quem in locum suae res venissent Iustiniano Aug. significavit, et ab eo veniam in praeteritum, validamque opem in praesens petivit Lazis, Medorum iugum excu-

V 334 δων ἀρχῆς. οὐ γὰρ κατὰ μόνας δυνήσεσθαι Κόλχους ἀποκρού-
σασθαι τὴν Περσῶν δύναμιν.

Ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσε, περιχαρὴς γε-
νόμενος ἄνδρας ἑπτακισχιλίους καὶ Δαγισθαῖον ἄρχοντα καὶ Τζά-
νους χιλίους ἐς ἐπικουρίαν Λαζοῖς ἔπεμψεν. οἳ δὴ ἐν γῇ τῇ Κολ-
P 164 χίδι γενόμενοι ἅμα Λαζοῖς τε καὶ τῷ Γουβάζῃ ἐνστρατοπεδευσάμενοι
ἀμφὶ τὸν Πέτρας περίβολον ἐς πολιορκίαν καθίσταντο. Περσῶν
δὲ τῶν ἐνταῦθα ὄντων καρτερώτατα ἐκ τοῦ περιβόλου ἀμυνομέ-
νων, χρόνον τῇ προσεδρείᾳ πολὺν τετρίφθαι ξυνέβη, ἐπεὶ καὶ
τὰ ἐδώδιμα ἐναποθέμενοι σφίσιν οἱ Πέρσαι διαρκῶς ἔτυχον. τού-
τοις δὲ ὁ Χοσρόης ξυνταραχθεὶς στρατιὰν πολλὴν ἱππέων τε καὶ
πεζῶν ἐπ' αὐτοὺς ἔστελλεν, οἷς δὴ ἄρχοντα Μερμερόην ἐπέστη-
σεν. ὧνπερ ὁ Γουβάζης αἰσθόμενος τῷ τε Δαγισθαίῳ ἐπίκοινα
βουλευσάμενος ἐποίει τάδε.

Βόας ὁ ποταμὸς ἔξεισιν ἄγχιστά πη τῶν Τζανικῆς ὁρίων ἐν
Ἀρμενίοις, οἳ δὴ ἀμφὶ τὸ Φαράγγιον ᾤκηνται. καὶ τὰ μὲν πρῶ-
B τα ἐν δεξιᾷ ἐπὶ πλεῖστον χωρεῖ, βραχύς τε ἰὼν καὶ πόνῳ οὐδενὶ
γενόμενος ἐσβατὸς ἅπασιν ἄχρι ἐς χῶρον, οὗ δὴ ἐν δεξιᾷ μὲν
Ἰβήρων τὰ ὁριά ἐστι, καταντικρὺ δὲ τελευτᾷ ὄρος ὁ Καύκασος.
ἐνταῦθα ἔθνη ἄλλα τε πολλὰ καὶ Ἀλανοί τε καὶ Ἀβασγοὶ ᾤκηνται
Χριστιανοῖς τε καὶ Ῥωμαίοις φίλοι ἐκ παλαιοῦ ὄντες, Ζῆχοί τε
H 87 καὶ μετ' αὐτοὺς Οὖννοι, οἳ Σάβειροι ἐπικαλοῦνται. ἐπειδὰν δὲ
ὁ ποταμὸς οὗτος ἀφίκηται ἵνα δὴ τοῦ τε Καυκάσου καὶ Ἰβηρίας
τὰ ὁριά ἐστιν, ἐνταῦθα ἐπιγινομένων οἱ καὶ ἄλλων ὑδάτων μεί-

15. Βόας] Vulgo Βοάς.

tere peroptantibus: quod pares per se soli non forent Persicis viribus repellendis.

Hoc laetus nuntio Iustinianus Aug. Romanorum VII. M. Dagisthaeo duce, cum Tzanis mille, suppetias Lazis afferre iubet. Hi castris ad Petrae moenia cum Lazis et Gubaze coniunctis, obsidionem aggressi sunt: quae diuturna admodum fuit, Persico praesidio e muris urbem fortissime defensante, uberique annona instructo. Quarum rerum nuntio turbatus Chosroes, eo magnas equitum peditumque copias misit, duce illis praefecto Mermeroe. Quod ubi intellexit Gubazes, communicato cum Dagisthaeo consilio, ita, ut mox dicam, se gessit.

Apud Armenios Pharangii accolas, proxime Tzanicae fines, oritur fluvius Boas: qui dextra longissime procurrit, a fonte modicus, et cuivis facile superabilis ad id loci, ubi ad dextram quidem est Iberiae limes, e regione vero extremus Caucasus. Ibi cum aliae gentes multae sedes habent, tum Alani atque Abasgi, veteres Christianorum ac Romanorum amici: Zechi praeterea, postque hos Hunni cognomento Sabiri. Eo progressus his fluvius, ubi et Caucasus et Iberia terminantur, con-

ζων τε παρὰ πολὺ γίνεται καὶ Φᾶσις ἀντὶ Βόα τὸ ἐνθένδε καλούμενος φέρεται, ναυσίπορος γεγενημένος ἄχρι ἐς τὸν Εὔξεινον καλούμενον πόντον, οὗ δή οἱ καὶ τὰς ἐκβολὰς ξυμβαίνει εἶναι, καὶ C αὐτοῦ ἐφ' ἑκάτερα Λαζική ἐστιν. ἀλλ' ἐν δεξιᾷ μὲν ξύμπασα ἐπὶ πλεῖστον ἡ χώρα πρὸς τῶν τῇδε ἀνθρώπων οἰκεῖται μέχρι τῶν Ἰβηρίας ὁρίων. κῶμαί τε γὰρ αἱ Λαζῶν πᾶσαι τοῦ ποταμοῦ ἐντὸς ἐνταῦθά εἰσι καὶ πολίσματα ἐκ παλαιοῦ σφίσι ταύτῃ πεποίηνται, ἐν τοῖς Ἀρχαιόπολις, ἐχυρωτάτη οὖσα, Σεβαστόπολίς τε ἐνταῦθα καὶ τὸ Πιτιοῦντος φρούριόν ἐστι Σκάνδα τε καὶ Σαραπανὶς πρὸς τοῖς Ἰβηρίας ὁρίοις. πόλεις μέντοι ἀξιολογώταται ἐνταῦθά εἰσι Ῥοδόπολις καὶ Μοχόρησις. τοῦ δὲ ποταμοῦ ἐν ἀριστερᾷ Λαζικῆς μὲν τὰ ὅριά ἐστι μέχρι ἐς ἡμέρας ὁδὸν εὐζώνῳ ἀνδρί, ἔρημον δὲ ξυμβαίνει ἀνθρώπων τὴν χώραν εἶναι. ταύτην προσοικοῦσι Ῥωμαῖοι τὴν χώραν, οἳ Ποντικοὶ ἐπικαλοῦνται. ἐν μὲν οὖν τοῖς Λαζικῆς ὁρίοις, ἔνθα δὴ ἄν- D θρωποι οὐδαμῇ ᾤκηντο, Πέτραν Ἰουστινιανὸς βασιλεὺς τὴν πόλιν ἐν τοῖς κατ' ἐμὲ χρόνοις ἐδείματο. οὗπερ Ἰωάννης, ὁ Τζίβος ἐπικαλούμενος, τὸ μονοπώλιον καταστησάμενος, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, αἴτιος τῆς ἀποστάσεως Λαζοῖς γέγονεν. ἐκ δὲ Πέτρας πόλεως ἰόντι εὐθὺς πρὸς ἄνεμον νότον οἱ Ῥωμαίων ὅροι ἐκδέχονται, χωρία τε πολυάνθρωπα ἐνταῦθά ἐστι, τό τε Ῥίζαιον καλούμενον καὶ Ἀθῆναι ἄλλα τε ἄττα μέχρι Τραπεζουντίων. ἡνίκα μὲν οὖν ἐπήγαγον τὸν Χοσρόην Λαζοὶ Βόαν ποταμὸν διαβάντες, τόν τε Φᾶσιν ἐν δεξιᾷ ἔχοντες ἐς Πέ-

19. ἐρρήθη] ἐῤῥέθη P.

fluentium aquarum vi multum increscit, et mutato Boae cum Phasidis nomine, cursum prosequitur, navigiorum patiens ad Pontum usque Euxinum, in quem sese exonerat. Hic ab utraque ripa est Lazica. Ac dextra quidem regionem totam, quam longissime ad Iberiae fines porrigitur, indigenae tenent. Ibi enim cis flumen siti sunt omnes Lazorum vici et antiqua oppida: inter quae est urbs munitissima Archaeopolis. Hic etiam Sebastopolis: hic Pitiuntis castellum: Scanda autem et Sarapanis ad Iberiae confinia: omnium nobilissimae urbes Rhodopolis ac Mochoresis. Ab amnis laeva ad Lazicae limitem non est plus itineris quam quod uno die viator expeditus conficiat. Plagam hanc cultu vacantem Romani Pontici accolunt. In huius autem Lazicae desertae finibus aetate nostra Iustinianus Aug. urbem Petram condidit: ubi Ioannes cognomine Tzibus instituto, ut supra dixi, monopolio, Lazis causam praebuit defectionis. Ab urbe Petra ad austrum pergenti occurrunt statim Rom. Imperii fines. Hic sunt incolis frequentia loca, Rhizaeum, Athenae, et alia quaedam usque Trapezuntem. Porro Lazi, quando duxerunt Chosroem, transito Boa flumine, Petram iverunt, habentes a dextra Phasin:

τραν ἦλθον, τῷ μὲν λόγῳ προνοήσοντες ὡς μὴ χρόνῳ τε καὶ πό-
νῳ πολλῷ διαπορθμεύεσθαι ἀναγκάζωνται ποταμὸν Φᾶσιν, οὐ
P 165 βουλόμενοι δὲ τὰ σφέτερα οἰκία Πέρσαις ἐνδείκνυσθαι. καίτοι
δύσοδος πανταχόθι Λαζική ἐστιν ἐντός τε καὶ ἐκτὸς ποταμοῦ
Φάσιδος. σκόπελοι γὰρ ὑπερφυεῖς ἐφ᾽ ἑκάτερα τῆς χώρας ὄντες
στενωποὺς ἐπὶ μακρότατον ἐνταῦθα ποιοῦνται· κλεισούρας ἑλλη-
νίζοντες τὰς τοιαύτας ὁδοὺς Ῥωμαῖοι καλοῦσιν. ἀλλ᾽ ἐπεὶ τότε
Λαζικὴ ἀφύλακτος ἐτύγχανεν οὖσα, ῥᾷστα δὴ ἐν Πέτρᾳ ξὺν τοῖς
ἡγεμόσι Λαζοῖς ἐγένοντο Πέρσαι.

Νῦν δὲ ὁ Γουβάζης μαθὼν τὴν Περσῶν ἔφοδον τῷ Δαγι-
σθαίῳ ἐπέστελλε πέμψαι μέν τινας, οἳ φυλάξουσι τὸν στενωπὸν
ἰσχυρότατα, ὃς ἐκτὸς Φάσιδος ποταμοῦ ἐστι, τὴν μέντοι προσε-
δρείαν ὡς ἥκιστα λύειν, ἕως τήν τε Πέτραν καὶ Πέρσας τοὺς ἐν-
ταῦθα ἐξελεῖν δύνωνται. αὐτὸς δὲ παντὶ τῷ Κόλχων στρατῷ
V 335 ἐς τὰ Λαζικῆς ἔσχατα ἦλθεν, ὡς τὸν ἐνταῦθα στενωπὸν διαφυ-
B λάξων δυνάμει τῇ πάσῃ· ἐτύγχανε δὲ οὐ πολλῷ πρότερον Ἀλα-
νούς τε καὶ Σαβείρους ἐς ξυμμαχίαν ἐπαγόμενος, οἵπερ ὡμολό-
γησαν κεντηναρίων τριῶν οὐχ ὅσον ἀδῄωτον Λαζοῖς ξυμφυλάξειν
τὴν γῆν, ἀλλὰ καὶ Ἰβηρίαν οὕτω καταστήσεσθαι ἀνδρῶν ἔρημον
ὡς μηδὲ Πέρσαις ἐνθένδε τὸ λοιπὸν ἰέναι δυνατὰ ἔσεσθαι. ταῦτά
τε σφίσι τὰ χρήματα βασιλέα Γουβάζης ὑπέσχετο δώσειν. αὐτὸς
μὲν οὖν ἀνενεγκὼν εἰς βασιλέα Ἰουστινιανὸν τὰ ξυγκείμενα τοῖς

1. προνοήσοντες AHL. προνοήσαντες P. 3. καίτοι] Vulgo καί τι. 16. οὐ πολλῷ πρότερον] οὐ om. HL. *paulo ante* RV. 20. μηδὲ] μὴ L.

quo facto fingebant se providere, ne multum temporis atque operae in traiectu Phasidis ponere cogerentur: verum autem consilium erat, ne sedes resque suas Persis monstrarent. Quanquam ubique, qua cis, qua trans fluvium Phasin, confragosa est Lazica. Utrinque enim ita horrent immanes scopuli, ut ibi angustias longis anfractibus impeditas efficiant: cuiusmodi vias Romani, qui Graecam affectant linguam, Clisuras vocant. At quoniam incustodita tum erat Lazica, facile Persae, Lazorum ductu, Petram attigerunt.

Iam vero Gubazes, ubi de Persarum adventu cognovit, Dagisthaeo praescripsit, ut e suis mitteret, qui fauces, quae trans Phasin sunt, validissime tuerentur, nec tamen absisteret obsidione, donec Petram eiusque praesidium Persicum expugnasset. Ipse cum omnibus Colchorum copiis extremam Lazicae oram petiit, ut in custodiam angustiarum pro virili parte incumberet. Idem paulo ante Alanos et Sabiros in belli societatem induxerat. Hi pacta mercede ter centum pondo auri spoponderant, se non modo Colchidem ab hostili iniuria tutam servaturos cum Lazis, sed Iberiam etiam ita nudaturos incolis, ut nunquam in posterum inde Persae possent erumpere. Eam summam Gubazes ipsis ab Impera-

τε βαρβάροις τὰ χρήματα ταῦτα ἱκέτευε πέμπειν καὶ Λαζοῖς ἄγαν κεκακωμένοις παραψυχήν προΐεσθαι τινά. ἔφασκε δὲ καί οἱ αὐτῷ τὸ δημόσιον τὰς συντάξεις ὀφείλειν ἐνιαυτῶν δέκα, ἐπεὶ ἐν τοῖς σιλεντιαρίοις ἐν παλατίῳ τασσόμενος οὐδὲν κεκομισμένος ἐνθένδε C εἴη, ἐξ οὗ δὴ ἐς γῆν τὴν Κολχίδα Χοσρόης ἦλθε. βασιλεὺς δὲ Ἰουστινιανὸς ἐπιτελέσειν μὲν διενοεῖτο τὴν αἴτησιν, ἐπιγενομένης δέ οἱ ἀσχολίας τινὸς οὐκ ἔπεμψε τῷ καθήκοντι χρόνῳ τὰ χρήματα. Γουβάζης μὲν οὖν ταῦτα ἐποίει.

Δαγισθαῖος δὲ (ἦν γάρ τις νεανίας πόλεμόν τε διενεγκεῖν Μηδικὸν οὐδαμῆ ἀξιόχρεως) τοῖς παροῦσιν οὐκ ἐπιτηδείως ἐχρῆτο. δέον οὖν ἀμέλει τὸ πλεῖστον τοῦ στρατοῦ ἐς τὸν στενωπὸν στεῖλαι, τάχα δ᾽ ἂν που καὶ αὐτὸν τῷ ἔργῳ παραγενέσθαι, ἐς ἑκατὸν ἄνδρας, ὥσπερ τι πάρεργον διαχειρίζων, ἔπεμψε μόνους· αὐτὸς δὲ Πέτραν πολιορκῶν παντὶ τῷ στρατῷ οὐδὲν ἤνυε, καίπερ τῶν πολεμίων ὀλίγων ὄντων. κατ᾽ ἀρχὰς μὲν γὰρ οὐχ ἧσσους D ἢ πεντακόσιοι καὶ χίλιοι ἦσαν. πρὸς Ῥωμαίων δὲ καὶ Λαζῶν ἐν χρόνῳ πολλῷ τειχομαχούντων βαλλόμενοι καὶ ἀρετὴν ἐπιδεικνύμενοι μάλιστα πάντων ὧν ἡμεῖς ἴσμεν, θνήσκουσί τε πολλοὶ καὶ σφίσιν ἐς ὀλίγους κομιδῆ ἀποκεκρίσθαι ξυνέπεσε. Πέρσαι μὲν οὖν ἐς ἀπόγνωσίν τε καὶ ἀπορίαν ἐμπεπτωκότες ἡσυχῆ ἔμενον, H 38 Ῥωμαῖοι δὲ ἀμφὶ τὸ τεῖχος διώρυχα ἐν χώρῳ ὀλίγῳ πεποίηνται, P 166

4. σιλεντιαρίοις] σιλεντηαρίοις AH. 17. βαλλόμενοι] τε βαλλόμενοι HL. βαλλόμενοί τε Hm.

tore promiserat. Quare Iustinianum Aug. de pacto monitum rogavit ut Barbaris pecuniam mitteret, Lazisque attritis levamenti aliquid impertiret. Sibi quoque de aerario solvenda annorum decem stipendia deberi dixit: quoniam cum esset ascriptus in silentiariorum Palatii numerum, nihil inde ad se rediisset, ex quo venisset in Colchidem Chosroes. Postulatui qnidem satisfacere habebat in animo Iustinianus Aug. sed quodam intercurrente negotio pecuniam tempori non misit. Ita quidem se gessit Gubazes.

Dagisthaeus vero, ut adolescens erat, belloque impar administrando Persico, rem ex usu praesenti gerere nesciebat. Enimvero cum montium fauces maxima copiarum parte insidere, quin ipse etiam forte adesse praesens debuisset, quasi nihil nisi operis appendiculam tractaret, centum solummodo milites eo destinavit: ipse omnem exercitum Petrae obsidendae adhibens, quamvis exiguus esset hostium numerus, operam lusit. Initio quidem pauciores non erant MD. sed a Romanis Lazisque oppugnatione diutina impetiti, ac virtutem edentes, quantam omnium, quos equidem novimus, nemo ostendit, multis caesis, ad paucos eppido redacti fuerant. Hinc orta desperatione, consilii inopes, nihil movebant. Romani angusto in loco cuniculum egerunt ad murum, qui, ubi suffossus

ὅ τε ταύτῃ περίβολος εὐθὺς ἔπεσεν. ἀλλὰ ξυνέβη τούτου δὴ τοῦ
χώρου ἐντὸς οἴκημα εἶναι οὐδὲν τοῦ περιβόλου διεστηκὸς, ὃ δὴ
ἐξικνεῖτο ἐς τὸ πεπτωκὸς ἐφεξῆς ὅλον. καὶ ἀντὶ τοῦ τείχους πο-
λιορκουμένοις γενόμενον ἐν τῷ ἀσφαλεῖ οὐδέν τι ἧσσον αὐτοὺς
καθίστη. ὅπερ Ῥωμαίους ξυνταράξαι οὐδαμῇ ἔσχεν. εὖ γὰρ
εἰδότες ὡς αὐτὸ δὴ τοῦτο ἐργαζόμενοι ἑτέρωθι τὴν πόλιν ῥᾶστα
B αἱρήσουσιν εὐέλπιδες πολλῷ ἔτι μᾶλλον ἐγένοντο. διὸ δὴ Δαγι-
σθαῖος βασιλεῖ μὲν τὰ ξυνενεχθέντα ἐδήλου, ἆθλα δέ οἱ τῆς νί-
κης ἐν παρασκευῇ εἶναι προὐτείνετο, σημήνας ὅσοις δὴ αὐτόν τε
καὶ τὸν ἀδελφὸν τὸν αὐτοῦ χρῆν βασιλέα δωρήσασθαι· Πέτραν
γὰρ αἱρήσειν οὐ πολλῷ ὕστερον. Πέρσαι μὲν οὖν Ῥωμαίους τε
καὶ Τζάνους καρτερώτατα τειχομαχοῦντας παρὰ δόξαν ὑφίσταν-
το, καίπερ ὀλίγοι ἀπολελειμμένοι ἐς ἄγαν. ἐπεὶ δὲ Ῥωμαῖοι τει-
χομαχοῦντες οὐδὲν ἤνυον, ἐπὶ τὸ διορύσσειν αὖθις ἐτράποντο.
C ἐς τόσον τε τοῦ ἔργου τούτου ἀφίκοντο, ὥς μηκέτι ἐπ' ἐδάφους
τὰ τοῦ περιβόλου θεμέλια εἶναι, ἀλλ' ἐπὶ κενοῦ ἐκ τοῦ ἐπὶ πλεῖ-
στον ἑστάναι, πεσούμενα, ὡς τὸ εἰκὸς, αὐτίκα δὴ μάλα. καὶ
εἰ μὲν Δαγισθαῖος εὐθὺς ἤθελε πῦρ τοῖς θεμελίοις ἐνάψαι, οἶμαι
εὐθυωρὸν σφίσι τὴν πόλιν ἁλῶναι· νῦν δὲ τὰς ἐκ βασιλέως καρα-
δοκῶν ἐλπίδας μέλλων τε ἀεὶ καὶ τρίβων τὸν χρόνον ἡσυχῇ ἔμενε.
ταῦτα μὲν οὖν ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἐπράσσετο τῇδε.
V 336 λ'. Μερμερόης δὲ, ἐπεὶ τοὺς Ἰβηρίας ὅρους παντὶ τῷ
D Μήδων στρατῷ ἤμειψε, πρόσω ἐχώρει, ποταμὸν Φᾶσιν ἐν δε-

13. ὀλίγοι] οἱ λόγοι H. 22. ἐπεὶ] ἐπὶ H. 23. ἤμειψε] ἴσ. ἀμείψας Hm.

fuerat, statim corruit. At domus, quae intus erat sub moenibus, toti penitus ruinae subtenta, ac muri vicem obsessis praestans, eos nihilo minus tutabatur. Quod Romanos adeo non turbavit, ut spe meliori compleverit, probe scientes, si id ipsum alibi molirentur, se facillime capturos urbem. Quapropter Dagisthaeus quo rem deduxisset Imperatori significavit, ac sibi ut victoriae praemium pararetur poposcit, ausus scilicet indicare, quibus se fratremque suum ornari ab Augusto muneribus aequum esset, Petram propediem recepturos. Caeterum Persae validas Romanorum Tzanorumque impressiones praeter opinionem sustinebant, quamvis perquam pauci restarent. Videntes Romani frustra a se verberari moenia, denuo se ad cuniculos convertunt. Quod opus eo promoverunt, ut non solo insiderent fundamento muri, sed pars eorum magna super inani staret, iamiam, ut vero proximum videbatur, casura. Ac si Dagisthaeus ignem statim subiicere voluisset, momento urbs, mea quidem sententia, in Romanorum potestatem venisset. Nunc autem avide quid spei sibi ab Augusto offerretur expectans, diemque ex die ducens, ac terens tempus, cessabat. Haec in castris Romanorum.

30. At Mermeroes Iberiae fines transgressus, porro cum exercitu universo pergebat, fluvium Phasin a dextra habens. Nolebat enim per

ξιᾷ ἔχων· διὰ γὰρ τῶν ἐπὶ Λαζικῆς χωρίων ἰέναι οὐδαμῇ ἤθελε, τοῦ μή τί οἱ ταύτῃ ἐμπόδισμα ὑπαντιάσαι. Πέτραν γὰρ πόλιν καὶ Πέρσας τοὺς ἐνταῦθα διασώσασθαι ἐν σπουδῇ εἶχε, καίτοι καὶ μοῖρά τις τοῦ περιβόλου καταπεπτώκει ἐξαπιναίως. ἠώρητο γάρ, ὥσπερ μοι εἴρητο· ἄνδρες τε τοῦ Ῥωμαίων στρατοῦ ἐς πεντήκοντα ἐθελούσιοι ἐν τῇ πόλει γενόμενοι βασιλέα Ἰουστινιανὸν ἀνεβόων καλλίνικον. ἡγεῖτο δὲ αὐτῶν νεανίας τις Ἀρμένιος γένος, Ἰωάννης ὄνομα, Θωμᾶ υἱός, ὅνπερ Γούζην ἐπίκλησιν P 167 *ἐκάλουν. οὗτος ὁ Θωμᾶς πολλὰ τῶν ἀμφὶ τὴν Λαζικὴν ὀχυρωμάτων ἐδείματο, βασιλέως οἱ ἐπαγγείλαντος, καὶ τῶν ἐκείνῃ στρατιωτῶν ἦρξεν, ἔμφρων τε βασιλεῖ ἔδοξεν εἶναι. ὁ μὲν Ἰωάννης, Περσῶν σφίσιν ἐς χεῖρας ἐλθόντων, πληγεὶς αὐτίκα ξὺν τοῖς ἑπομένοις εἰς τὸ στρατόπεδον ἀνεχώρησεν, ἐπεί οἱ οὐδεὶς τῶν ἐκ τοῦ Ῥωμαίων στρατοῦ ἕτερος ἀμύνων ἦλθε· Πέρσης δὲ ἀνήρ, Μιρράνης ὄνομα, ὅσπερ τοῦ ἐν Πέτρᾳ φυλακτηρίου ἦρχεν, ἀμφὶ τῇ πόλει δείσας, Πέρσαις μὲν πᾶσιν ἐπέστελλε τῆς φυλακῆς ἐς τὸ ἀκριβὲς μάλιστα ἔχεσθαι, αὐτὸς δὲ παρὰ Δαγισθαῖον σταλεὶς θῶπάς τε καὶ ἀπατηλοὺς προὔτείνετο λόγους,* B *οὐδενὶ πόνῳ ὁμολογῶν οὐ πολλῷ ὕστερον ἐνδώσειν τὴν πόλιν. ταύτῃ τε παρακρούσασθαι ἴσχυσεν, ὡς μὴ ἐς τὴν πόλιν αὐτίκα τῷ Ῥωμαίων στρατῷ ἐσιτητὰ εἶναι.*

Οἱ δ', ἐπειδὴ οἱ ἀμφὶ Μερμερόην ἀφίκοντο ἐς τὸν στενωπόν, ἐνταῦθα σφίσι τὸ Ῥωμαίων φυλακτήριον ὑπηντίαζον ἐς ἑκατὸν ὄντες, καρτερῶς τε ἠμύναντο, καὶ τοὺς τῆς εἰσόδου

21. *εἶναι* **Pm.** *ἰέναι.* **P. 24.** *ἠμύναντο*] *ἠμύνοντο* **L.**

eas partes, quas Lazi incolunt, iter facere, ne quem obicem ibi offenderet, Petram ac praesidium Persicum servare maturans. Iam certe pars muri, qui, ut dixi, in inani pendebat, repentina ruina erat collapsa, deque Romano exercitu viri L. ultroneo impetu urbem ingressi, Iustinianum Aug. Victorem egregium proclamaverant, duce Armenio quodam adolescente, Thomae filio, cui nomen Ioanni, cognomen Guzi. Thomas is est, qui Imperatoris iussu multis Lazicam munitionibus cinxit, et militibus ibi positis praefuit, vir habitus ab eo prudens. Ioannes a Persis manum consereatibus sauciatus, cum suis illico se recepit in castra; quoniam nemo unus omnium e Romanorum exercitu succurrebat. Praesidio Petrae Praefectus, Mirrhanes nomine, natione Persa, urbi timens, cum Persas omnes in custodiam diligentissime intendere iussisset, Dagisthaeum adiit, et adulatoria fraudulentaque oratione illi palpum obtrusit, brevi se urbem facile deditarum pollicitans. Itaque effecit, ut ne subinde urbem Romanus miles ingrederetur.

Ubi vero Mermeroës ad montis fauces pervenit, occurrunt centeni illi custodes Romani, ac repugnando fortiter, aditum tentantes prohi-

ἀποπειρωμένους ἀνέστελλον. Πέρσαι δὲ οὐδαμοῦ ὑπεχώρουν, ἀλλὰ τοὺς κτεινομένους ἀεὶ ἕτεροι ἐκδεχόμενοι πρόσω ἐχώρουν, παντὶ σθένει τὴν εἴσοδον βιαζόμενοι. θνήσκουσι μὲν Πέρσαι πλέον ἢ χίλιοι, κτείνοντες δὲ Ῥωμαῖοι ἀπεῖπον, τοῦ τε ὁμίλου C *σφᾶς βιαζομένου ὑπεχώρησάν τε καὶ ἐς τῶν ἐκείνῃ ὀρῶν τὰς ὑπερβολὰς ἀναδραμόντες διεσώθησαν. ταῦτα Δαγισθαῖος μαθὼν αὐτίκα τὴν προσεδρείαν διέλυσεν, οὐδὲν τῷ στρατῷ ἐπιστείλας, ἐπὶ Φᾶσίν τε ποταμὸν ἤλαυνε· καὶ οἱ Ῥωμαῖοι ξύμπαντες εἵποντο, τὰ σφέτερα αὐτῶν ἐν τῷ στρατοπέδῳ ἀπολιπόντες. Πέρσαι δὲ τὰ ποιούμενα κατιδόντες τάς τε πύλας ἀνέῳγον καὶ ἐπεξελθόντες ἀμφὶ τὰς καλύβας τῶν πολεμίων ἦλθον, ὡς τὸ στρατόπεδον ἐξαιρήσοντες. Τζάνοι δὲ (οὐδὲ γὰρ Δαγισθαίῳ ἐπισπόμενοι ἔτυχον) ἐβοήθουν ἐνταῦθα δρόμῳ, τρεψάμενοί τε πόνῳ οὐδενὶ τοὺς πολεμίους πολλοὺς ἔκτειναν. Πέρσαι μὲν οὖν* D *φεύγοντες ἐντὸς τοῦ περιβόλου ἐγένοντο, Τζάνοι δὲ ληισάμενοι τὸ Ῥωμαίων στρατόπεδον εὐθὺ τοῦ Ῥιζαίου ἐχώρησαν. ἔνθεν δὲ ἐς Ἀθήνας ἐλθόντες διὰ Τραπεζουντίων ἐπ' οἴκου ἀπεκομίσθησαν.*

Μερμερόης δὲ καὶ ὁ Μήδων στρατὸς ἐνταῦθα ἦλθον ἡμέρᾳ μετὰ τὴν Δαγισθαίου ὑπαγωγὴν ἐνάτῃ· οὗ δὴ ἀπολελειμμένους H 89 *ἐκ τοῦ Περσῶν φυλακτηρίου τραυματίας μὲν καὶ ἀπομάχους γεγενημένους πεντήκοντα καὶ τριακοσίους εὗρον, ἀκραιφνεῖς δὲ πεντήκοντα καὶ ἑκατὸν μόνους· οἱ γὰρ ἄλλοι ἅπαντες ἐτεθνήκεσαν.*

16. *εὐθὺ*] Vulgo *εὐθύς*. *ibid.* *ἔνθεν δὲ*] *ἐνθένδε* Hoeschelius.
20. *ἐνάτῃ* L. *ἐννάτῃ* P.

bent. Pedem Persae nusquam referunt: sed cadentibus alii continuo atque alii succedentes, totisque aditum viribus perrumpentes procedunt. Peremptis plus mille Persis, fatiscunt edenda caede Romani: tum a confluente multitudine per vim exacti, subducunt sese; et cursu verticibus montium occupatis, incolumes evadunt. Quae simul ac Dagisthaeus accepit, nihil edicens exercitui, solvit obsidionem, et ad fluvium Phasin contendit. Eum Romani omnes secuti sunt, non sumpto spatio ad convasandum. Rem Persae contemplati, portas pandunt, effusique accedunt ad hostium tabernacula, ut castra diripiant. Accurrunt eo Tzani (neque enim Dagisthaeum secuti fuerant) ac facile versis in fugam hostibus, non paucos occidunt. Fugientes Persae committunt se urbi. Tzani vero Romana castra depraedati, recta Rhizaeum, hinc petierunt Athenas: unde per Trapezuntios domum redierunt.

Tandem die nono a Dagisthaei discessu Mermeroës cum Medorum exercitu Petram attigit. Ubi e praesidiariis Persis residuos reperit graves vulneribus et causarios CCCL. integros CL. solum: caeteri fato cesserant: quorum cadavera socii superstites non proiecerant extra moenia; sed ne hostem ad obsidionem urgendam accenderent maxima suorum pro-

ὧν τὰ σώματα οἱ περιόντες τοῦ περιβόλου ἐκτὸς οὐδαμῇ ἔρριψαν, ἀλλὰ τῷ τῆς ὀσμῆς δυσώδει ἀποπνιγόμενοι παρὰ δόξαν ἀντεῖχον, ὡς μή τινα ἐς τὸ πολιορκεῖν προθυμίαν τοῖς πολεμίοις ἅτε τῶν πλείστων ἀπολωλότων σφίσι παρέχωνται. ὅ τε Μερμερόης ἐπι- V 337 τωθάζων δακρύων τε καὶ θρήνων ἀξίαν Ῥωμαίων τὴν πολιτείαν P 168 ἔφασκεν εἶναι, οἷς γε δὴ ἐς τοῦτο ἀσθενείας περιεστήκει τὰ πράγματα, ὡς πεντήκοντά τε καὶ ἑκατὸν ἀτειχίστους Πέρσας μηδεμιᾷ μηχανῇ ἐξελεῖν δεδυνῆσθαι. καὶ τοῦ μὲν περιβόλου ἀνοικοδομήσασθαι ὅσα καταπεπτώκει ἐν σπουδῇ ἐποιεῖτο· ἐπεὶ δὲ οὔτε τίτανον ἐν τῷ παραυτίκα οὔτε τι ἄλλο τῶν ἐς τὴν οἰκοδομίαν ἐπιτηδείων ἐν παρασκευῇ εἶχεν, ἐπενόει τάδε. θυλάκους λινοῦς, οἷς δὴ Πέρσαι τὰ ἐπιτήδεια σφίσιν ἐσεκομίσαντο ἐς γῆν τὴν Κολχίδα, ψάμμου ἐμπλησάμενος ἐς τῶν λίθων τὴν χώραν ἐτίθετο, οἳ δὴ ἐνταῦθα βαλλόμενοι ἀντὶ τοῦ τοίχου ἐγένοντο. καὶ τρισχιλίους μὲν τῶν μαχίμων ἀπολεξάμενος αὐτοῦ εἴασεν, οἷσπερ τὰ B ἐδώδιμα οὐκ ἐς χρόνου κατέθετο μῆκος, ἐπιστείλας τοῦ περιβόλου τῆς οἰκοδομίας ἐπιμελεῖσθαι· αὐτὸς δὲ παντὶ τῷ ἄλλῳ στρατῷ ὀπίσω ἀπήλαυνεν· ἐπεὶ τέ οἱ ὁδῷ τῇ αὐτῇ ἐνθένδε ἰόντι οὐδεὶς τῶν ἀναγκαίων ἐγίνετο πόρος, ἅπαντα ἐν Πέτρᾳ λιπόντι, ἅπερ ἐπιφερόμενος ἐξ Ἰβηρίας ὁ στρατὸς ἔτυχεν, ἄλλην τινὰ πορείαν ἰέναι διὰ τῶν ταύτῃ ὀρῶν διενοεῖτο, ἵνα δὴ ἀνθρώπους οἰκεῖν ἔμαθεν, ὅπως ληιζόμενοι ἀποζῆν δύνωνται. ἐν ταύτῃ τῇ πορείᾳ τῶν τις ἐν Λαζοῖς λογίμων, Φούβελις ὄνομα, Πέρσας

3. ἅτε A. ἀπὸ P. 4. σφίσι L. σφίσιν P. 23. φούβελις AHm. Φουβέλιος HP.

dita clade, teterrimum odorem, quo praefocabantur, incredibili constantia pertulerant. Tum Romanos ridens Mermeroës, lugendam esse dixit ac deplorandam eorum rempublicam, quorum tanta esset infirmitas, ut Persis omnino CL. eosque moenibus spoliatos, nullo expugnare pacto valuissent. Ac muri ruinas omnes instaurare contendens, quoniam nec calx in praesenti, nec quidquam aliud aedificationi idoneum suppeditabat, hoc invento usus est. Saccos lineos, quibus Persae cibaria in Colchidem comportaverant, sabulo refertos, ubi facta labes erat, vice lapidum ita posuit, ut ibi congesti pro muro extiterint. Delectu habito, bellicosiorum militum tria millia in urbe reliquit cum brevi angustaque annona, atque extruendis moenibus operam navare sedulam iussit; ipse cum caeteris omnibus copiis retro discessit. Et quoniam, si eadem via reverteretur, defuturi erant commeatus, quippe reliquerat Petrae quidquid rei cibariae exercitus attulerat ex Iberia; iter aliud per montes, quos hominum domiciliis nitere audierat, tenere constituit, ut populationibus victum sibi parare possent. Qua in profectione Phubelius nobilis Lazus,

αὐλιζομένους ἐνήδρευσε, Δαγισθαῖον ἅμα Ῥωμαίων δισχιλίοις ἐπαγόμενος, οἳ δὴ τῶν Περσῶν ἐξ ἐπιδρομῆς ἵππους νέμοντάς C τινας ἔκτειναν, ἵππους τε ληισάμενοι δι' ὀλίγου τὴν ἀναχώρησιν ἐποιήσαντο. οὕτω μὲν ὁ Μερμερόης τῷ Μήδων στρατῷ ἐνθένδε ᾔει.

Ὁ δὲ Γουβάζης, μαθὼν ὅσα δὴ Ῥωμαίοις ἔν τε τῇ Πέτρᾳ καὶ τῷ στενωπῷ ξυνηνέχθη γενέσθαι, οὐδ' ὣς ἔδεισεν, οὐδὲ τὴν ἐν τῷ κατ' αὐτὸν στενωπῷ φυλακὴν εἴασεν, ἐνταῦθα σφίσι τὴν κεφαλὴν τῆς ἐλπίδος οἰόμενος εἶναι. ἐξηπίστατο γὰρ ὡς, ἢν καὶ Ῥωμαίους ἐκτὸς Φάσιδος ποταμοῦ βιασάμενοι Πέρσαι τόν τε στενωπὸν διαβῆναι καὶ ἐν Πέτρᾳ γενέσθαι δεδύνηνται, οὐδὲν ἂν ἐνθένδε Λαζῶν τῇ χώρᾳ προστρίψαιντο βλάβος, Φᾶσιν D διαβῆναι οὐδεμιᾷ μηχανῇ ἔχοντες, ἄλλως τε καὶ νηῶν οὐ παρουσῶν σφίσιν. ὁ γὰρ ποταμὸς οὗτος βάθους μὲν εἴπερ τις ἄλλος ἱκανώτατα ἔχει, εὖρους δὲ ἐπὶ πλεῖστον διήκει. τῆς μέντοι ῥύμης αὐτῷ τοσοῦτον περίεστιν ὥστε δὴ ἐς τὴν θάλασσαν ἐκβαλὼν ἐπὶ μακρότατον κατὰ μόνας χωρεῖ, οὐδαμῇ ταύτῃ ἐπιμιγνύμενος. ὕδωρ ἀμέλει πότιμον τοῖς ἐκείνῃ ναυτιλλομένοις ὑδρεύεσθαι πάρεστιν ἐν μέσῳ πελάγει. καὶ φυλακτήρια μέντοι τοῦ ποταμοῦ ἐντὸς πεποίηνται πανταχόθεν Λαζοί, τοῦ μηδὲ ναυσὶ διαπορθμευομένοις τοῖς πολεμίοις ἀπόβασιν ἐς τὴν γῆν εἶναι. βασιλεὺς δὲ Ἰουστινιανὸς Σαβείρων μὲν τῷ ἔθνει τὰ ξυγκείμενα χρήματα ἔπεμψε, Γουβάζην δὲ καὶ Λαζοὺς χρήμασιν

8. φυλακὴν AHm. φυλακτικὴν HP. 14. μὲν εἴπερ τις ἄλλος] μὲν post ἄλλος HL. 16. τοσοῦτον] τοσοῦτο L. 20. λαζοὶ A. Λαζῶν P. λαζὸν L.

Persis, quietis causa subsidentibus, tetendit insidias, Dagisthaeum cum Romanis bis mille ducens. Hi turma Persarum, qui equos pascebant, cursim ferro concisa, et abreptis equis, continuo se receperunt. Inde Mermeroës cum exercitu Medorum abscessit.

Gubazes vero audita Romanorum ad Petram et montis angustias vice, ne ob id quidem concidit animo, nec faucium, quas occupaverat, abiecit custodiam, in hac summam ducens esse positam spei suae. Nam id probe tenebat, quamvis contingeret ut praevalentes Persae fauces transirent, deiectis per vim Romanis, et Petram attingerent, detrimenti inde nihil accepturam Lazicam, propterea quod illi Phasin traiicere non possent, maxime cum cymbis carerent. Hic enim fluvius tam altus, quam qui maxime, latissime etiam patet, adeo rapidus, ut postquam erupit in mare, discretus atque integer longissime procurrat, et hac navigantibus aquam dulcem praebeat in medio pelago. Porro in ora Lazis citima amnem passim praetexunt munitiones, eo extructae, ut vel navibus traiiciens hostis exscensu prohibeatur. Tum temporis Iustinianus Aug. pactam Sabiris pecuniam, et congiaria Gubazi Lazisque misit. Nec ita

ἄλλοις δεδώρηται. ἐτύγχανε δὲ πολλῷ πρότερον καὶ ἄλλο στρά- P 169 τευμα λόγου ἄξιον ἐς Λαζικὴν πέμψας, οἳ οὔπω ἀφικόμενοι ἐνταῦθα ἔτυχον. ἦρχε δὲ αὐτῶν Ῥεκίθαγγος ἐκ Θρᾴκης, ἀνὴρ ξυνετός τε καὶ ἀγαθὸς τὰ πολέμια. ταῦτα μὲν οὖν ταύτῃ πῃ εἶχε.

Γενόμενος δὲ ὁ Μερμερόης ἐν τοῖς ὄρεσιν, ὥσπερ μοι εἴρηται, Πέτραν ἐνθένδε τῶν ἐπιτηδείων ἐμπιπλάναι ἐν σπουδῇ εἶχεν. ἐπαρκέσειν γὰρ τῷ ἐνταῦθα φυλακτηρίῳ ἐς τρισχιλίους ὄντι τὰ ἐδώδιμα οὐδαμῇ ᾤετο, ἅπερ ἐσκομισάμενοι ξὺν αὐτοῖς ἔτυχον. ἀλλ' ἐπεὶ τὰ ἐν ποσὶ σφίσι γινόμενα μόλις ἀπέχρη ἐς τὴν δαπάνην τῇ στρατιᾷ ταύτῃ, οὐχ ἧσσον ἢ τρισμυρίων οὔσῃ, καὶ ἀπ' αὐτοῦ οὐδὲν ὅ τι καὶ λόγου ἄξιον πέμπειν εἰς τὴν Πέτραν οἷοί B τε ἦσαν, λογισάμενος εὕρισκε σφίσιν ἄμεινον εἶναι τὸ μὲν πλέον τοῦ στρατοῦ ἀπαλλάσσεσθαι ἐκ γῆς τῆς Κολχίδος, ὀλίγους δέ τινας ἐνταῦθα μεῖναι, οἳ δὴ ἔμελλον τῶν ἐπιτηδείων, οἷς ἂν ἐντύχοιεν, πολλὰ μὲν ἐς τὸ ἐν Πέτρᾳ φυλακτήριον ἐσκομίζεσθαι, τοῖς δὲ ἄλλοις αὐτοὶ διαρκῶς χρῆσθαι. ἄνδρας οὖν ἐς πεντακισχιλίους ἀπολεξάμενος αὐτοῦ εἴασεν, οἷς δὴ ἄρχοντας ἄλλους τε τρεῖς καὶ Φάβριζον κατεστήσατο. πλείους γὰρ ἐνταῦθα λείπεσθαι οὔ οἱ ἔδοξεν ἐπάναγκες εἶναι, πολεμίων οὐδαμῇ ὄντων. V 338 αὐτὸς δὲ τῷ ἄλλῳ στρατῷ ἐς τὴν Περσαρμενίαν ἐλθὼν ἡσύχαζεν ἐν τοῖς ἀμφὶ Δούβιος χωρίοις.

Οἱ δὲ πεντακισχίλιοι, ἐπεὶ ἐγγυτέρω τῶν Λαζικῆς ἐσχάτων H 90 ἦλθον, παρὰ ποταμὸν Φᾶσιν ἐστρατοπεδεύσαντο ἅπαντες, ἐν- C

18. Φάβριζον Hm. Vulgo Φαύριζον.

pridem in Lazicam alterum destinarat exercitum haud contemnendum, qui nondum eo pervenerat. Illi praeerat Rhecithangus natione Thrax, vir prudentia ac bellica virtute egregius. Atque haec ita quidem habebant.

Mermeroës autem postquam, ut dixi, ad montes evasit, convectis inde commeatibus Petram affatim instruere enitebatur. Neque enim ter mille praesidiariis suffectura cibaria, quae secum ipsi detulerant, existimabat. Sed quoniam quidquid occurrebat, vix satis erat alendo exercitui, qui non minus triginta constabat virorum millibus, eamque ob caussam nihil, quod alicuius esset momenti, Petram mitti poterat; cogitanti secum visum est satius esse, maiorem copiarum partem e Colchide demigrare, ac restare paucos, qui quam nacti essent annonam, haud maligne cum Petrae praesidio partirentur. Itaque militum delecta quinque millia ibi reliquit, quibus, praeter tres alios duces, Phabrisum praeposuit, supervacuum ratus plures relinquere, cum hostes nusquam adessent. Ipse cum reliquo exercitu ubi venit in Persarmeniam, stativa circa Dubios habuit.

Illa demum quina Persarum millia cum ad extremam Lazicam accessissent, castris propter Phasin positis, manipulatim circumcursando, prae-

θεν τε κατ' ὀλίγους περιιόντες ἐληΐζοντο τὰ ἐκείνῃ χωρία. ὧν δὴ ὁ Γουβάζης αἰσθόμενος τῷ Δαγισθαίῳ ἐπέστελλε βοηθεῖν ἐνταῦθα σπουδῇ· δράσειν γὰρ σφίσι τοὺς πολεμίους κακόν τι μέγα δυνατὰ ἔσεσθαι. ὁ δὲ κατὰ ταῦτα ἐποίει, παντί τε τῷ Ῥωμαίων στρατῷ ἐπίπροσθεν ᾔει, ἐν ἀριστερᾷ ἔχων ποταμὸν Φᾶσιν, ἕως ἐς χῶρον ἀφίκετο ἵνα δὴ οἱ Λαζοὶ ἐστρατοπεδεύοντο ἐν τῇ ἑτέρᾳ τοῦ ποταμοῦ ὄχθῃ. ἐτύγχανε δὲ ταύτῃ ὁ Φᾶσις διαβατὸς ὤν, ὅπερ Ῥωμαῖοι μὲν καὶ Πέρσαι ἀπειρίᾳ τῶν ἐκείνῃ D *χωρίων ὡς ἥκιστα ὑπετόπαζον, Λαζοὶ μέντοι ἐξεπιστάμενοι ἐνταῦθα διέβησαν ἐξαπιναίως καὶ ἀνεμίγνυντο τῷ Ῥωμαίων στρατῷ· Πέρσαι δὲ ἄνδρας χιλίους τῶν ἐν σφίσι δοκίμων ἀπολεξάμενοι ἔπεμψαν, ὡς μή τις ἐπὶ τὸ στρατόπεδον κακουργήσων ἴοι. ὧνπερ δύο ἐπὶ κατασκοπῇ προτερήσαντες καὶ παρὰ δόξαν ἐς τοὺς πολεμίους ἐμπεπτωκότες τὸν πάντα λόγον ἐσήγγειλαν. διὸ δὴ Ῥωμαῖοί τε καὶ Λαζοὶ τοῖς χιλίοις ἐξαπιναίως ἐπέστησαν, οὐδείς τε αὐτῶν διαφυγεῖν ἔσχεν, ἀλλ' οἱ μὲν πολλοὶ διεφθάρησαν, τινὰς δὲ αὐτῶν καὶ ζωγρήσαντες οἵ τε ἀμφὶ Γουβάζην καὶ Δαγισθαῖον τό τε μέτρον τοῦ Μήδων στρατοῦ καὶ τὸ τῆς ὁδοῦ μῆκος* P 170 *μαθεῖν ἴσχυσαν, καὶ ὅπῃ ποτὲ αὐτοῖς τὰ παρόντα ἔχοι. ἄραντες οὖν παντὶ τῷ στρατῷ ἐπ' αὐτοὺς ᾔεσαν, διαριθμούμενοι ὅπως πόρρω που τῶν νυκτῶν ἐπιπέσοιεν σφίσι· τετρακισχίλιοι δὲ καὶ μύριοι ἦσαν. οἱ μὲν οὖν Πέρσαι πολέμιον οὐδὲν ἐν νῷ ἔχοντες μακρόν τινα ὕπνον ἐκάθευδον· τόν τε γὰρ ποταμὸν ἀπόρευτον ᾤοντο εἶναι καὶ τοὺς χιλίους, οὐδενὸς σφίσιν ὑπαντιάσαντος,*

6. *χῶρον* AHm. *χώραν* HP.

dam faciebant. Gubazes re intellecta Dagisthaeo mandat, ut suppetias eo veniat propere, oblata iam facultate pessime accipiendi hostis. Ille dicto audiens, Romanas omnes copias promovit qua parte Phasis ad laevam erat: donec locum attigit, cui respondebant Lazorum castra, in adversa ripa fluminis collocata. Ibi Phasis vadum habebat: quod Romani iuxta ac Persae locorum inscii minime suspicabantur. At horum periti apprime Lazi, fluvio confestim transito, se Romanis admiscent. Persae, ne quis ad castra nociturus subiret, lectissimos mille emiserant: quo ex numero bini, qui praevii exploratum ibant, in hostes nec opinato delapsi, rem omnem indicarunt. Tum Romanis Lazisque in illos Persas mille de repente invectis, effugere nemo potuit; sed plerisque caesis, nonnullos Gubazes et Dagisthaeus cepere vivos, a quibus de Medorum in exercitu numero, de viae longitudine, de rerum apud illos statu facti sunt certiores. Ergo movent, et cum exercitu universo in hostes tendunt, viam ita cum tempore commetientes, ut eos multa adhuc nocte invaderent. Porro quatuordecim millia numero erant. Interea Persae longiori somno indulgebant, nihil hostile suspicantes. Nam et insuperabilem esse

ἐπὶ μακρότατόν πη ὁδῷ ἰέναι. Ῥωμαῖοι δὲ αὐτοῖς καὶ Λαζοὶ ὄρθρου βαθέος ἀπροσδόκητοι ἐπιπεσόντες τοὺς μὲν ἔτι ὕπνον αἱρουμένους εὗρον, τοὺς δὲ ἄρτι ἐξ ὕπνου ἐγηγερμένους καὶ γυμνοὺς ἐπὶ τῶν στρωμάτων κειμένους. διὸ δὴ αὐτῶν οὐδενὶ ἐς ἀλκὴν ἰδεῖν ξυνηνέχθη, ἀλλ' οἱ μὲν πλεῖστοι καταλαμβανόμενοι ἔθνη- B σκον, τινὰς δὲ καὶ ἐζώγρησαν οἱ πολέμιοι, ἐν τοῖς καὶ τῶν ἀρχόντων ἕνα τετύχηκεν εἶναι, ὀλίγοι δέ τινες ἐν σκότῳ διαφυγόντες ἐσώθησαν. τό τε στρατόπεδον Ῥωμαῖοι καὶ Λαζοὶ αἱροῦσι καὶ τὰ σημεῖα πάντα, ὅπλα τε πολλὰ καὶ χρήματα μεγάλα ἐλησαντο, καὶ ἵππων τε καὶ ἡμιόνων μέγα τι χρῆμα. ἐπὶ μακρότατον δὲ τὴν δίωξιν ποιησάμενοι καὶ Ἰβηρίας πόρρω ἀφίκοντο. ἔνθα δὴ καὶ ἄλλοις τισὶ Περσῶν ἐντυχόντες πολλοὺς ἔκτειναν. οὕτω μὲν ἐκ Λαζικῆς Πέρσαι ἀπήλλαξαν, Ῥωμαῖοι δὲ καὶ Λαζοὶ τά τε ἄλλα ἐπιτήδεια καὶ ἄλευρα παμπληθῆ ἐνταῦθα εὑρόντες ἅπαντα ἔκαυσαν ἅπερ ἐξ Ἰβηρίας οἱ βάρβαροι ἐπηγάγοντο, ἐφ' C ᾧ ἐς Πέτραν ἐσκομίσονται. Λαζῶν τε πολλοὺς ἐλίποντο ἐν τῷ στενωπῷ, ὡς μηκέτι Πέρσαις ἐς Πέτραν τὰ ἐπιτήδεια ἐσκομίζεσθαι δυνατὰ εἴη, ξύν τε τῇ ἄλλῃ λείᾳ καὶ τοῖς αἰχμαλώτοις ἀνέστρεφον. καὶ τέταρτον ἔτος ἐτελεύτα Ῥωμαίοις τῆς ἐς Πέρσας ἐκεχειρίας, τρίτον καὶ εἰκοστὸν ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.

2. ἀπροσδόκητοι] ἀπροσδόκητον A, quod ex Reg. affert Maltretus. 12. ἔκτειναν L. ἔκτεινον P. 19. „ἀνέστραφον Reg." Malt. ἀνέστραφον P.

fluvii transitum, et commilitones suos mille, nemine obviam facto, longissime processisse putabant. Eos itaque summo mane Romani cum Lazis adorti de improviso, alios dormientes adhuc, alios modo quidem expergefactos, sed nudos etiamnum iacentes in stratis offendunt. Quapropter nemine ad vim exerendam spectante, deprehensi plurimi conciderunt: quidam, atque in his unus e ducibus, venerunt vivi in manus hostium: pauci beneficio tenebrarum incolumes elapsi sunt. Castra Romani Lazique obtinent: et signis omnibus, armorum ac pecuniae magna vi, equorum mulorumque ingenti numero potiuntur. Dein longissime insecuti fugaces, in Iberiam procul penetrarunt: ubi cum in alios quosdam Persas incidissent, multos interemerunt. Ita demum Persae e Lazica excessere. Romani vero et Lazi cum caetera cibaria, tum copiam farinae maximam nacti, igni omnia corrupere, quae ex Iberia Barbari convectaverant, ut ea Petram inferrent. Quo ne amplius a Persis commeatus importari possent, validum Lazorum praesidium montis faucibus imposuerunt: ipsi cum omni praeda et captivis remigrarunt, anno induciarum, quas Romani cum Persis pepigerant, quarto exeunte, Imperii tertium ac vicesimum agente Iustiniano Augusto.

HAVERFIELD LIBRARY
OF ANCIENT HISTORY
OXFORD

Ἰωάννης τε ὁ Καππαδόκης ἐνιαυτῷ πρότερον βασιλεῖ ἐς Βυζάντιον μετάπεμπτος ἦλθε. τηνικάδε γὰρ Θεοδώρᾳ τῇ βασι-
D λίδι ἐπεγένετο ἡ τέλειος ἡμέρα τοῦ βίου. τῶν μέντοι πρόσθεν ἀξιωμάτων ἀνασώσασθαι οὐδ' ὁτιοῦν ἔσχεν, ἀλλ' ἐπὶ τῆς ἀκουσίου τιμῆς ἱερεὺς ἔμεινε· καίτοι φαντάσματα τῷ ἀνθρώπῳ ἐγεγόνει πολλάκις ὡς εἰς βασιλείαν ἀφίξεται. φιλεῖ γὰρ τὸ δαιμόνιον, ὅπερ ἐς τοὺς ἀνθρώπους ὡραΐζεσθαι πέφυκεν, ἀπὸ μειζόνων τε καὶ ὑψηλοτέρων ἐλπίδων κρεμᾶν οἷς δὴ οὐκ ἐπὶ στερρᾶς
V 339 φύσεως τὴν διάνοιαν ἑστάναι ξυμβαίνει. καὶ τούτῳ γοῦν τῷ Ἰωάννῃ ἄλλας τε πολλὰς τερατολόγοι φαντάσεις ἐς ἀεὶ προὔλεγον καὶ ὡς χρὴ αὐτὸν τὸ τοῦ Αὐγούστου ἀμπέχεσθαι σχῆμα. ἦν δέ τις ἐν Βυζαντίῳ ἱερεύς, Αὔγουστος ὄνομα, ὃς δὴ τῶν κειμη-
P 171 λίων τοῦ τῆς Σοφίας ἱεροῦ φυλακὴν εἶχεν. ἡνίκα τοίνυν Ἰωάννης ἀποθριξάμενος τῆς ἱερωσύνης ἠξίωτο βίᾳ, οὐ γὰρ ἦν αὐτῷ ἐσθὴς ἱερεῖ πρέπουσα, τούτου δὴ τοῦ Αὐγούστου, ἐγγύς πη ὄντος, τόν τε φαινόλην καὶ τὸν χιτῶνα ἐνδιδύσκεσθαι πρὸς τῶν τῷ ἔργῳ ἐφεστώτων ἠνάγκαστο, ἐς τοῦτό τε αὐτῷ ἀπεκρίθη, οἶμαι, ἡ πρόρρησις.

4. ἀκουσίου τιμῆς et 14. τῆς ἱερωσύνης ἠξίωτο] Conf. p. 135, 6.

5. τῷ ἀνθρώπῳ] τῷ om. L. 8. στερρᾶς] στερᾶς L, ε a m. sec. στερεοῖς Hm. 10. φαντάσεις] φαντασίας? 11. „χρὴ Reg." Vulgo χρῆν. 15. ἐσθὴς om. L.

Anno superiore Ioannes Cappadox Byzantium venerat ab Imperatore accitus: tunc enim Theodora Augusta supremum diem obierat. Caeterum ille ex honoribus pristinis recuperare nullum potuit; sed quod invitus inierat, tenuit sacerdotium: tametsi oblata ipsi phantasmata Imperium saepe promiserant. Nimirum hic est daemonis mos, ut quod inter mortales splendore suo commendari maxime solet, id e maiori ac sublimiori spe suspendat illis, quibus mens est natura levis. Isti sane Ioanni cum alia multa inania praedicebant prodigiorum narratores, tum eum hoc fato natum esse, ut habitum Augusti indueret. Quidam autem sacerdos erat Byzantii, sacrae suppellectilis templi Sophiae custos, cui nomen Augusto. Igitur quando tonsus, renitens licet, et sacerdotio inauguratus est Ioannes, tum veste sacerdotem decente carens, huius Augusti prope astantis penulam ac tunicam induere coactus ab iis est, qui rei praeerant. Atque ipsi in hunc demum exitum, mea quidem sententia, praedictio recidit.

EPITOME LIBRI II. P 17

DE BELLO PERSICO. V 340

E BIBLIOTH. PHOTII, COD. LXIII.

INTERPRETE ANDREA SCHOTTO, E SOC. IESU.

α'. β'. Ἐν τῷ δευτέρῳ λόγῳ διέξεισιν ὅπως τε Χοσρόην μελετῶντα λῦσαι τὰς σπονδὰς διὰ τὴν τῶν Ῥωμαίων κατὰ Λιβύην ἐπικράτειαν (φθόνῳ γὰρ ἐβάλλετο) Οὐίττιγις ὁ τῶν Γότθων βασιλεὺς διά τινων Λιγούρων κοινολογησάμενος μᾶλλον ἐπώτρυνεν· εἶτα καὶ Βασσάκου

(γ'.) ἅμα τῶν Ἀρμενίων ἀποστάντων μὲν Ῥωμαίων καὶ Σίτταν τὸν στρατηγὸν ἐν μάχῃ ἀνελόντων, Πέρσαις δὲ προσχωρησάντων, τὰς ἀπεράντους σπονδὰς καλουμένας λύσας Χοσρόης B
πόλεμεῖν ἔγνω,

2. τῶν add. Bess. 3. Οὐίττιγις] ὁ Τίττιγις P hic et infra. 5. βασσάκου ἅμα Bess. Βασάκου. ὅτε ἅμα P. 6. τῶν Ῥωμαίων P. τῶν om. Bess. 7. Σίτταν] Σίταν P. 8. σπονδὰς καλουμένας Bess. καλουμένας σπονδὰς P.

1. 2. Libro secundo rerum Persicarum ista refert. Chosroem invidia stimulatum quod Africae ditionem Romani tenerent, pacisque propterea foedera solvere parantem, Vittiges Gotthorum Rex per Ligures quosdam legatos, dein et per Bassacum collocutus, magis inflammavit.

3. Quo cum item tempore Armenii a Romanis defecissent, Sitta duce pugnando interempto, Persisque se permisissent; perpetua illa, ut vocant, pacis foedera rumpere Chosroes, bellumque gerere animum induxit.

δ'. Ἰουστινιανὸς δὲ μαθὼν παραίνεσιν αὐτῷ δι' Ἀναστασίου προσῆγε μὴ παρασπονδεῖν. ἐν τούτῳ καὶ Οὐίττιγις αἰχμάλωτος παρὰ Βελισαρίου εἰς Βυζάντιον ἀνεπέμφθη.

ε'. Χοσρόης δὲ τὰ Ῥωμαίων ὅρια καταδραμὼν τὴν Σούρων πόλιν εἷλε, καὶ Σουρηνοὺς ἠνδραποδίσατο. ὕστερον μέντοι εἰς δισχιλίους καὶ μυρίους ὄντας τοὺς αἰχμαλώτους δυοῖν ὁμολο-
C γίᾳ κεντηναρίων ἀφῆκεν ἅπαντας, Κανδίδου τοῦ ἐπισκόπου Σεργιουπόλεως ἐκτῖσαι τὸ χρέος ὑποσχομένου. ὁ δὲ τῆς ὑποσχέσεως ἀλογήσας τὴν δικαίαν εἰσεπράττετο ἔκτισιν.

ϛ'. Χοσρόης δὲ τὴν Ἱεράπολιν πολιορκεῖν ἀρξάμενος, ἐπεὶ ὁ Βεροίας αὐτῷ ἐπίσκοπος ἀργύρου σταθμὰ δισχίλια ἔθετο, ἀπέστη τῆς πολιορκίας, ὁμολογήσας καὶ πάσης ἀποστῆναι τῆς ἑῴας, εἰ δέκα χρυσοῦ κεντηνάρια λάβοι. Βούζης δὲ ὁ τῆς ἑῴας στρα-
D τηγὸς ἀξιόμαχον ἑαυτὸν οὐκ οἰόμενος τῷ Χοσρόῃ, ὧδε κἀκεῖσε περιεπλανᾶτο.

ζ'. Χοσρόης δὲ ἐπὶ Βέροιαν στρατεύσας ᾔτει μὲν πολλὰ χρήματα, λαβὼν δὲ δισχίλια σταθμὰ ἀργύρου ἄλλα τοσαῦτα προσεπεζήτει, μὴ διδόντων δὲ ἰσχυρῶς ἐπολιόρκει. τοῦ δὲ σφῶν ἐπισκόπου παραγενομένου (Μέγας ἦν ὄνομα αὐτῷ) καὶ
P 173 Χοσρόην λιπαροῦντος, τοὺς μὲν Βεροιαίους κακῶν ἀπαθεῖς ἀφῆ-

3. ἀνεπέμφθη Bess. ἀπεπέμφθη P. 4. σούρων Pm et Bess. Σύραν P. 5. Σουρηνοὺς] Σουρίνους Pm. Συρίνους P. σουρήνας Bess. 6. εἰς add. Bess. 11. βεροίας Bess. Βεῤῥοίας P. Et sic infra. 17. ἀργύρου] Vulgo ἀργυρίου. 18. διδόντων] διδούντων Bess. 19. παραγενομένου] παραγεναμένου Bess.

4. Iustinianus Imp. re cognita, Anastasium legatum misit hortatum, ne pacem solveret. Eadem tempestate et Vittiges a Belisario captus Constantinopolim est missus.

5. Chosroes nihilominus Romanorum fines invadens, Surorum oppidum cepit, Surinosque in servitutem abduxit. Sed tandem XII. captivorum millia ducentis auri pondo permutans, liberos omnes dimisit, Candido Sergiopolis Episcopo pecuniam pollicito: qui cum promissis non staret, ad iustam dissolutionem adactus est.

6. Chosroes dein Hierapolim obsidere coeperat, cum ille Berrhoeae Episcopus pondo argenti duo millia promisit. Solvit itaque obsidionem Rex, pollicitus ad haec omni adeo Orientis Romanorum ditione se excessurum, si mille auri pondo caperet. Interea Buzes dux Orientis, viribus suis diffisus, cum Chosroe pugnare detrectans, circum circa oberrabat.

7. Ergo Berrhooae admoto exercitu, Chosroes pecuniarum nimium quantum postulavit: acceptisque pondo argenti duobus millibus, alterum tantum exegit: quam quia cives summam non pendebant, valide urbem oppugnat. Verum accedente Magno oppidi Episcopo et Chosroen deprecante, Berrhoeensibus immunes liberosque abire permisit, quo quisque

κεν ἰέναι ὅπη φίλον ἑκάστῳ εἴη· οἱ δὲ στρατιῶται οἱ πλεῖστοι ἑκόντες εἵποντο συστρατευόμενοι Χοσρόῃ, ὅτι αὐτοὺς ὁ βασιλεὺς τῶν συντάξεων ἀπεστέρει.

η'. Χοσρόης δὲ, ἐπεὶ χρήματα Ἀντιοχεῖς αἰτήσας οὐκ ἔλαβεν, ἐπολιόρκει τὴν Ἀντιόχειαν. σφοδρῶς δὲ πολιορκουμένης Θεόκτιστος καὶ Μουλάτζης, ἅμα τῶν ἑπομένων αὐτοῖς ἀπὸ τοῦ Λιβάνου στρατιωτῶν, ὑπεξελθόντες ἔφυγον, καὶ οὕτω Χοσρόης ἀταλαιπώρως Ἀντιόχειαν παρεστήσατο καὶ τοὺς ἐν αὐτῇ ἠνδραποδίσατο.

θ'. ι'. Πρέσβεων δὲ παρ' αὐτὸν ἡκόντων Ἰωάννου τε τοῦ V 341
Ῥουφίνου καὶ Ἰουλιανοῦ τοῦ γραμματέως τῶν ἀπορρήτων, καὶ B
πολλῆς δικαιολογίας ἀναμεταξὺ αὐτῶν τε καὶ Χοσρόου γεγενημένης, τέλος ἀλλήλοις συνέβησαν ἐφ' ᾧ Χοσρόην ἐν μὲν τῷ παραυτίκα κεντηνάρια πεντήκοντα παρὰ Ῥωμαίων λαβόντα, πέντε δὲ φερόμενον ἐπέτειον ἄλλον δασμὸν εἰς τὸν πάντα αἰῶνα, μηδὲν αὐτοὺς ἐργάσεσθαι περαιτέρω κακόν· πρέσβεις τε πάλιν παρὰ βασιλέως στελλομένους τὰς ἀμφὶ τῇ εἰρήνῃ σπονδὰς ἐμβεβαιωθήσεσθαι.

ια'. Ἀλλὰ καίτοι ταῦτα θέμενος Χοσρόης, ἐπί τε τὴν Ἀπάμειαν ἥει, Θωμᾶ τότε ἀρχιερατεύοντος, καὶ χρήματα μεγάλα C
εἰσεπράττετο, τέλος τά τε ἱερὰ καὶ τὰ ἀναθήματα πάντα λαβὼν ἀπιὼν ᾤχετο. ἐν ᾧ καὶ περὶ τῶν τιμίων καὶ ζωοποιῶν ξύλων τε-

15. ἄλλον Pm et Bess. μᾶλλον P. 16. ἐργάσεσθαι] ἐργάσασθαι Bess. 17. τῇ εἰρήνῃ Bess. τὴν εἰρήνην P.

vellet. Hinc plerique etiam militum ad Chosroem sua sponte transierunt, quod stipendiis eos Imperator fraudasset.

8. Ab Antiochenis similiter pecuniam Chosroes postulans nec impetrans, arcte Antiochiam cinxit. Cumque Rex urgeret obsidium, Theoctistus et Mulatzes, una cum iis militibus, quos a Libano secum duxerant, clam urbe egressi, fugerunt. Ita Chosroes sine labore Antiochiam ad deditionem compulit, civesque in servitutem redegit.

9. 10. Inde legati ad illum missi, Ioannes Rufini filius, et Iulianus secretorum scriba, multisque ultro citroque de aequis conditionibus habitis sermonibus, tandem convenit, ut Chosroae statim Romani quinque millia auri pondo numerarent, quingenta vero quotannis, tributi alterius nomine, perpetuo penderent, nihil se deinceps molestiae allaturum promittenti: utque missi iterum ab Imperatore legati pacis conventa firmarent.

11. Verum etiam his ita compositis, Chosroes Apameam profectus, ubi Thomas Episcopus praesidebat, magnam ei pecuniarum vim imperavit, ac tandem sacra vasa templisque dedicata universa secum auferens

θαυματούργηται. εἴρηται καὶ ὅπως Χοσρόης ἱπποδρόμιον ἐκεῖ ἐθεάσατο.

ιβ'. Ἀλλ' ἐκεῖθεν Χοσρόης ἐπὶ Χαλκίδα πόλιν ἐπορεύετο, ὑπὲρ ἧς δύο λαβὼν κεντηνάρια παρὰ τῶν οἰκούντων ἀπολιόρκητον εἴασε· καὶ ἐπὶ Ἔδεσσαν δὲ πορευθεὶς, δύο λαβὼν κεντηνάρια, τισὶ δὲ καὶ θεοσημείαις ἀπειληθεὶς, ἀπολιόρκητον εἴασε κἀκείνην. αὕτη ἐστὶν Ἔδεσσα, ἐν ᾗ Αὔγαρός τε καὶ τὰ περὶ Αὔγαρον πάλαι πρὸς Χριστοῦ ἐπράχθη. οὗτος δὲ ὁ Αὔγαρος καὶ παρ' Αὔ-
D γουστον τὸν τότε Ῥωμαίων αὐτοκράτορα παραγεγονὼς φίλος τε ἐς τὰ μάλιστα ἐχρημάτισε καὶ τὴν ἐς τὰ οἰκεῖα ἐπάνοδον σοφίᾳ κατεπράξατο. ἀλλ' ὅ γε Χοσρόης ἐξ Ἐδέσσης ἀπάρας ἐπορεύετο.

ιγ'. Τότε καὶ Ἰουστινιανὸς ἔγραψε τοῖς πρέσβεσιν, ἐπιτελέσειν τὰ συντεθέντα ὁμολογῶν. Χοσρόης δὲ ἔτι Κωνσταντιαίους χρήματα εἰσεπράττετο, καὶ ἐπὶ Δάρας ἐλθὼν ἐπολιόρκει τὴν πόλιν, Μαρτίνου τοῦ στρατηγοῦ ἔνδον μαχομένου. ἀπορήσας δὲ τῆς πολιορκίας καὶ χίλια σταθμὰ ἀργύρου λαβὼν ἐς τὰ Περσῶν ἤθη ἐχώρει.

P 174 ιδ'. ιε'. ις'. ιζ'. Καὶ τοὺς Ἀντιοχεῖς ἅπαντας, πόλιν ἐν Ἀσσυρίοις δειμάμενος ὁδὸν ἡμέρας ἀπὸ Κτησιφῶντος διέχουσαν, Ἀντιόχειάν τε τὴν Χοσρόου καλέσας, ἐν αὐτῇ συνῴκισε, πολλῇ

3. πόλιν] πάλιν Bess. 5. λαβὼν κεντηνάρια Bess. κεντηνάρια λαβὼν P. 5. δὲ add. Bess. 6. καὶ add. Bess. 8. ὁ add. Bess. 16. ἀργύρου Bess. ἀργυρίου P. 18. ἅπαντας Bess. πάντας P. 19. ἀσσυρίοις Bess. Ἀσσυρίᾳ P.

discessit. Inter quae circa adorandae ac vivificae Crucis lignum miraculum contigit. Narratur etiam ludos equestres ibidem spectasse.

12. Inde ad Chalcidem urbem progressus est, et ducentis auri pondo ab incolis exactis, sine obsidione recessit. Venit hinc Edessam et tantumdem abstulit, ac signis quibusdam divinis deterritus, hanc quoque urbem non obsedit. Haec Edessa illa est, in qua Augarus, quaeque in illo antiquitus per Christum patrata: idemque hic Augarus, qui ad Augustum tunc Romanorum Imperatorem profectus, amico eo in primis usus, ut illi ad suos redire nonnisi solertia quadam sit datum. Sic igitur Chosroes Edessa discessit.

13. Ea etiam tempestate legatis suis Iustinianus rescripsit, paratum se pacta conventa pacis perficere. Chosroes nihilominus Constantiacis pecuniam imperavit, et Daras delatus, urbem cinxit: quam tamen Martino duce hanc propugnante, de obsidionis successu diffidens, non oppugnavit: sed acceptis mille argenti pondo in Persidem concessit.

14. 15. 16. 17. Antiochenos vero in recens a se condita urbe in in Assyria, quae diei itinere a Ctesiphonte distabat, et Antiochia Chosroae appellabatur, una omnes habitare iussit, tanta benevolentiae signifi-

φιλοφροσύνῃ καὶ χάριτι ἐς αὐτοὺς χρησάμενος, καὶ οὐδενὶ ὑποκεῖσθαι αὐτοὺς τῶν ἀρχόντων πλὴν ἑαυτῷ θεσπίσας, ἱπποδρομίοις τε καὶ ταῖς ἄλλαις ἐψυχαγώγει τέρψεσιν. ὅτι Βελισάριος ἐξ Ἰταλίας μετακληθεὶς στρατηγὸς ἐπὶ Χοσρόην καὶ Πέρσας ἅμα ἦρι ἀρχομένῳ ἐστάλη, καὶ ἐν Μεσοποταμίᾳ γενόμενος ἄνοπλον ὄντα σχεδόν τι τὸν στρατὸν καὶ κατεπτηχότα τὸ Περσῶν ὄνομα ὥπλιζέ B τε ἐπιμελῶς καὶ ἐπεθάρρυνε. Χοσρόης δέ, Λαζῶν αὐτὸν ἐπαγομένων, ἅτε δὴ αὐτῶν τε καὶ Γουβάζου τοῦ σφῶν ἡγεμόνος Πέρσαις προσκεχωρηκότων διὰ τὴν Ἰωάννου φορολογίαν τε καὶ καπηλείαν, ἐπὶ Πέτρας τὴν πόλιν, ἐπιθαλασσίαν οὖσαν ἐν Κόλχοις πρὸς τῷ Εὐξείνῳ καλουμένῳ πόντῳ, ἠπείγετο, καὶ ταύτην πολιορκῶν, ἕως μὲν Ἰωάννης περιῆν, οὐδὲν ἤνυεν, ἐπεὶ δὲ βέλει τρωθεὶς τὸν τράχηλον ἐτελεύτησε, τὴν πόλιν παρεστήσατο. τοὺς μέντοι ἐνοικοῦντας ἀπαθεῖς κακῶν ἀφῆκεν· ὁμολογίᾳ γὰρ αὐτοὺς προσελάβετο, καὶ μόνα τὰ τοῦ Ἰωάννου χρήματα, ἅπερ ἀπὸ τοῦ C μονοπωλίου αὐτῷ συνείλεκτο, ἐληίσατο πολυπληθῆ ὄντα.

ιη'. ιθ'. Βελισάριος δὲ Νισίβιδος μὲν ἀποπειράσας οὐδὲν ἴσχυσε, τὴν Σισαύρων δὲ πόλιν πολιορκήσας καὶ βιασάμενος ὁμολογίᾳ παρεστήσατο. Βλησχάμην τε τὸν στρατηγὸν καὶ τοὺς λογιωτάτους Περσῶν ἐν αὐτῷ λαβὼν ἐς τὸ Βυζάντιον ἔπεμψε. καὶ Ἀρέθαν ἅμα στρατῷ ἐν Ἀσσυρίοις πέμψας τὰ ἐκείνῃ χωρία ἐληίζετο. ἐξ ἧς χρήματα πολλὰ οἱ περὶ Ἀρέθαν περιβαλλόμενοι D

16. πολυπληθῆ] πολὺ πλῆθος Bess. 19. τε Bess. δὲ P. 21. ἐν ἀσσυρίοις Bess. πρὸς Ἀσσυρίους P. *ibid.* ἐκείνῃ Bess. ἐκεῖσε P.

catione ac gratia in eos usus, ut principium nemini, praeterquam sibi, parere voluerit: hippodromiis quoque aliisque voluptatibus illorum animos ibi oblectans. Belisarius ex Italia dux revocatus, adversus Chosroen et Persas ineunte vere missus, et in Mesopotamia versans, nudum fere ab armis exercitum, et ad Persarum nomen trepidantem, accurate armavit animavitque. Chosroes vero, Lazis eum invitantibus, qui cum suo duce Gubaze iam Persis sese adiunxerant, propterea quod sordidius Ioannes cauponaretur, atque tributa exigeret, adversus Petras urbem movit: quae urbs Colchidis maritima est, ad Pontum Euxinum sita. Hanc dum obsidet, quandiu quidem Ioannes superstes fuit, nihil profecit: cum vero iaculo Ioannes iugulum traiectus periit, urbem occupavit. Inquilinos tamen ab iniuria liberos dimisit: sponsione enim illos in deditionem accepit: et solius Ioannis bona plurima, quae monopoliis ille quaesierat, invasit omnia.

18. 19. Belisarius interim, Nisibi frustra tentata, Sisaurorum urbem obsidens, vique oppugnans, pactis conditionibus cepit, et Bleschamem ducem Persarumque viros gravissimos ibi captos Constantinopolim misit. Arethas quoque cum exercitu contra Assyrios missus, eam oram depraedatus est. Unde magna pecuniarum vi ab Arethae sociis parata, ad Be-

V 342 *οὐκ ἤθελον ὑποστρέφειν ἐπὶ Βελισάριον. Βελισάριος δὲ, τοῦ στρατοῦ νοσοῦντος καὶ τῶν περὶ Ἀρέθαν ἀγνοουμένων, καὶ Ῥεκιθάγγου καὶ Θεοκτίστου ἀποπορεύεσθαι μελλόντων ἐς φυλακὴν τῶν περὶ Φοινίκην χωρίων, ἃ ὑπὸ Ἀλαμουνδάρου κατετρέχετο, διὰ ταῦτα ἐξ ἠθῶν τῶν Περσῶν εἰς τὰ οἰκεῖα ἐπανῄει, καὶ ἐς Βυζάντιον παρὰ βασιλέως μετεπέμπετο.*

1. ὑποστρέφειν Bess. ἐπιστρέφειν P. 4. κατετρέχετο Bess. κατεστρέφετο P. 6. Post μετεπέμπετο in Bess. lacuna trium columnarum.

lisarium redire detrectarunt. Belisarius ipse, tentato morbis exercitu, et rebus ab Aretha gestis nondum cognitis, Recithango insuper et Theoctisto discedere parantibus ad Phoenicum oram custodiendam, quam Alamundarus vastabat: sic e Persarum regione domum revertit, et Constantinopolim ad Iustinianum Augustum accersitus est.

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ P 175 V 343 H 91

ΙΣΤΟΡΙΩΝ ΤΗΣ Α' ΤΕΤΡΑΔΟΣ Η Γ'.

ΙΣΤΟΡΙΩΝ — Η Γ'.] *ΤΗΣ ΠΡΩΤΗΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Γ'.* P. **ἐκ τῆς ὀκτάδος τῶν ἱστοριῶν αὐτοῦ πρώτης τετράδος ἡ τρίτη ABL, nisi quod BL addunt ἀρχὴ τῆς τρίτης.**

PROCOPII CAESARIENSIS

HISTORIARUM TETRADIS I.

LIBER III.

ARGUMENTUM.

EX EDITIONE MALTRETI.

Divisum bifariam Imperium Rom. Antiqua Orbis divisio in Asiam et Europam. Septum, castellum. Freti Gaditani et Hellesponti latitudo. Imperii Rom. mensura secundum littora maris mediterranei. Imperii Occidentalis mensura et Orientalis. (Cap. 1.) *Gotthi, Vandali, Visigotthi ac Gepaedes quinam et unde. Gepaedum eruptio. Visigotthorum perfidia. Honorii Aug. fuga. Roma astu capta ab Alarico. Honorius Romam gallinam inepte amat. Proba matrona Romana. Alaricus Attalum Imp. creat. Britanniae defectio. Constantinus ab exercitu fit Imp. Adest deus Honorio. Gotthorum eruptio.* (2.) *Vandalorum et Alanorum migrationes. Annorum* xxx. *praescriptio. Ioannes tyrannus. Pravi mores Valentiniani III. Insignis fraus Aetii in Bonifacium. Hic Vandalos accersit in Africam: quos deinde frustra ablegare nititur. Hipponem regium obsidentes Barbari repelluntur: postea Romanos acie superant.* (3.) *Marciano captivo aquila dat omen Imperii, et libertatem Gizericus. Huius filius Honoricus apud Valentinianum obses. Placidiae obitus. Valentiniani fraus turpissima in Maximum senatorem. Caedes Aetii. Aquileiam capit Attila. Valentinianum tollit e medio Maximus. Eudoxia Gizerici opem implorat.* (4.) *Maximi caedes. Gizericus direpta Roma, uxorem et filias Valentiniani captivas abducit. Res in Africa constituit. Siciliam, Italiam, aliasque regiones populatur.* (5.) *Leo Imp. arma movet in Vandalos: bellum dat Basilisco, cuius*

fidem Aspar corrumpit. Imperator Occidentis Anthemius. Marcellianus Sardiniam, Heraclius Tripolin occupat, exactis Vandalis. Perfida Basilisci cunctatio. Gizerici fraus. Praelium navale. Ioannis facinus. Basilisco ob rem male gestam creatur periculum. Asparis et Ardaburii caedes. (6.) *Anthemii et Olybrii caedes. Leonis utriusque obitus. Maiorinus bellum parat in Vandalos. Prodigium. Nepos, Glycerius, et Augustulus. Basiliscus ab Armato proditus Zenoni dat poenas. Pax a Gizerico cum Zenone sancita quandiu steterit. Gizerici testamentum et obitus.* (7.) *Honoricus Gizerico succedit: vexat Catholicos, qui, excisis linguis, loquuntur, praeterquam libidinosi duo. Mauri a Vandalis deficiunt. Crudeliter Gundamundus, blande Trasamundus Orthodoxos persequuntur. Amalafrida Trasamundo nubit. Cabaonis Mauri insignis pietas in templa Catholicorum, deque Vandalis victoria.* (8.) *Trasamundi successor Ildericus a Gotthis dissidet: Iustiniani amicus: a Gelimere coniicitur in vincula. Mutuae Iustiniani et Gelimeris literae. Iustinianus de bello Vandalico cogitat.* (9.) *Belli Vandalici difficultates. Id Ioannes Praefectus Praetorio dissuadet. Suadet Episcopus. Tripolis et Sardinia in Iustiniani ditionem veniunt.* (10.) *Copiarum numerus: ducum nomina: classis descriptio. Summum imperium Belisarii. Gelimeris conatus. Ex Iustiniani dicto captum omen.* (11.) *Epiphanius Archiep. CP. classi bene precatur. Procopii somnium. Classis discessus. Severitas Belisarii. Eiusdem concio duce Christiano dignissima.* (12.) *Belisarii providentia. Classis ad Maleam in discrimen adducitur: malacia Methonae tenetur. Ioannis Praefecti Praet. quaestus ex pane male cocto, cuius esus interitum multis attulit. Quonam arte aquam dulcem Antonina incorruptam servaverit.* (13.) *Appulsus in Siciliam Belisarius, Procopium Syracusas mittit, de Vandalorum rebus percontaturum. Suo Procopius munere egregie fungitur. Classis Africam petit.* (14.) *Ad oram Africae de exscensu faciendo deliberatur. Eo facto ponuntur castra. Ex aqua mirabiliter erumpente Procopius omen victoriae ducit.* (15.) *Belisarius suos ad disciplinam militarem et modestiam hortatur. Syllecti deditio. Equi cursus publici dantur Belisario, a quo veredarius literas Iustiniani ad Vandalos principes accipit.* (16.) *Belisarius instructa acie procedit. Exhibita Syllecti modestia Afros demeretur. Gelimer Ilderici Regis caedem Ammatae fratri suo demandat, et caute Rom. exercitum sequitur.* (17.) *Procopii de divina circa bellum hoc providentia iudicium. Ammatae et Gibamundi clades. Privilegium cuiusdam Massagetae.* (18.) *Belisarii concio militaris: Foederatorum terror ex adventu Gelimeris. Huius imprudentia et turpis fuga.* (19.) *Belisarii et Romanae classis adventus Carthaginem. Egregia in Romanos voluntas civium. Solvuntur vincti. Belisarius urbem ingreditur: sedet in Gelimeris solio. Divina in Calonymum periurum animadversio.* (20.) *Delphica et Palatium unde dicta. Laus Belisarii ex modestia militum. Victoria ludicro puerorum vaticinio praedicta, et promissa Catholicis a D. Cypriano secundum quietem viso. Huius templum ab Arianis ornatum recipiunt Catholici.* (21.) *Gizerico datum olim consilium a quodam Vandalo praesagiente cladem suae gentis in Africa. Crudelitatem Gizerici, praesertim in Zacynthios, deus in nepotibus eius punit.* (22.) *Gelimer praemiis capita Rom. addicit. Egregium Diogenis facinus. Muri Carthaginis a Belisario restituti.* (23.) *Tzazonis ad Gelimerem literae de recepta Sardinia. Gelimer Theudin Visigotthorum Regem ad armorum societatem sero invitat. Cyrillus Carthaginem navigat. Salomon ad Imp. nuntius mittitur.* (24.) *Gelimer suos colligit. Maurorum Reguli principatus insignia a Belisario petunt. Gelimer Tzazonem e Sardinia revocat. Vandalorum comploratio.* (25.)

α'. Ὁ μὲν οὖν Μηδικὸς πόλεμος Ἰουστινιανῷ βασιλεῖ ἐς τοῦτο ἐτελεύτα· ἐγὼ δὲ ὅσα ἔς τε Βανδίλους καὶ Μαυρουσίους αὐτῷ εἴργασται, φράσων ἔρχομαι. λελέξεται δὲ πρῶτον ὅθεν ὁ Βαν- P 176 δίλων στρατὸς τῇ Ῥωμαίων ἐπέσκηψε χώρᾳ. ἐπειδὴ Θεοδόσιος ὁ Ῥωμαίων αὐτοκράτωρ ἐξ ἀνθρώπων ἠφάνιστο, ἀνὴρ δίκαιος ἐν τοῖς μάλιστα γεγονὼς καὶ ἀγαθὸς τὰ πολέμια, διεδεξάσθην αὐτοῦ τὴν βασιλείαν ἄμφω τὼ παῖδε, Ἀρκάδιος μὲν ὁ πρεσβύτερος τῆς ἕω, Ὁνώριος δὲ ὁ νεώτερος τῆς πρὸς ἡλίου δυσμαῖς ἐκράτησε. διῄρητο δὲ ὧδε τὸ Ῥωμαίων κράτος ἄνωθεν ἀπό τε Κωνσταντίνου καὶ τῶν αὐτοῦ παίδων, ὃς τὴν βασιλείαν ἐς Βυζάντιον μεταθέμενος, μείζω τε τὴν πόλιν καὶ πολλῷ ἐπιφανεστέραν καταστησάμενος, ἀπ' αὐτοῦ ἀφῆκε προσαγορεύεσθαι.

Περιλαμβάνει μὲν κύκλῳ τὴν γῆν ὠκεανὸς ἢ ξύμπασαν ἢ B τὴν πολλήν· οὐ γάρ πω σαφές τι ἀμφ' αὐτῷ ἴσμεν· σχίζει δὲ ταύτην δίχα ἐς ἠπείρους δύο ἐκροή τις ἀπ' αὐτοῦ κατὰ τὴν ἑσπέριον εἰσβάλλουσα μοῖραν, καὶ ταύτην δὴ ποιουμένη τὴν θάλασσαν, ἀπὸ Γαδείρων μὲν ἀρξαμένη, ἐς αὐτὴν δὲ τὴν Μαιῶτιν διήκουσα λίμνην. ταύταιν ταῖν ἠπείροιν ἁτέρα μὲν ἐν δεξιᾷ ἐσπλέοντι τὴν θάλασσαν μέχρι καὶ ἐς τὴν λίμνην Ἀσία κέκληται,

7. Ἀρκάδιος — ἐκράτησε] ἀρκάδιος μὲν ὁ πρεσβύτερος τὴν ἑῴαν μοῖραν, τὴν ἑσπερίαν δὲ ὀνώριος ὁ νεώτερος B. ἀρκάδιος μὲν ὁ νεώτερος H, reliquis omissis: sed in margine posuit scripturam in P receptam. 8. τῆς ἕω — ἐκράτησε om. L. 12. ἀφῆκε BL. ἀφεῖκε P. 18. ταῖν om. L.

Illum quidem exitum belli Persici Iustinianus Aug. habuit: ego vero quaecunque idem adversus Vandalos ac Mauros gessit, ea iam narrare aggredior, dicturus primo, unde Vandalicus exercitus in oras Romanorum eruperit. Postquam Theodosius Aug. vir iustitiae laude et bellica virtute excellens, e vita abiit, in imperium ipsius duo filii successerunt. Maior natu Arcadius Orientem tenuit; minor Honorius Occidentem: quo modo ditionem Romanam Constantinus eiusque filii iam ante diviserant. Hic ille est, qui translata Byzantium Imperii sede, cum urbem et ambitu et splendore multum auxisset, eam ob causam suum illi nomen concessit.

Sic autem terram ambit Oceanus, vel (quod nobis adhuc incompertum est) universam, vel certe magna ex parte, ut bifariam eam scindat in continentes duas ab Occidente influens, et hoc nobis infundens mare a Gadibus ad paludem usque Maeotidem. Harum continentium altera, quae a dextera sita est intro navigantium, Asia dicitur, nomine ad pa-

ἀπό τε Γαδείρων καὶ τῆς ἑτέρας τῶν Ἡρακλέους στηλῶν. Σεπτὸν καλοῦσι τὸ ἐκείνῃ φρούριον οἱ ἐπιχώριοι, λόφων τινῶν ἑπτὰ φαινομένων ἐνταῦθα· τὸ γὰρ σέπτον ἑπτὰ τῇ Λατίνων φωνῇ δύναται. ἡ δὲ ἀντιπέρας αὐτῇ ξύμπασα Εὐρώπη ἐκλήθη. καὶ [C] ὁ μὲν ταύτῃ πορθμὸς τέτταρσι καὶ ὀγδοήκοντα σταδίοις μάλιστα ἤπειρον ἑκατέραν διείργει, τὸ δὲ ἐντεῦθεν πελάγεσι μεγάλοις ἀλλήλαιν διέχετον μέχρις Ἑλλησπόντου. ταύτῃ γὰρ ξυνίασιν αὖθις ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον, καὶ πάλιν ἔν τε Βυζαντίῳ καὶ Καλχηδόνι μέχρι τῶν πάλαι κυανέων λεγομένων πετρῶν, οὗ καὶ [V 344] νῦν Ἱερὸν ὀνομάζεται. ἐν τούτοις γὰρ δὴ τοῖς χωρίοις μέτρῳ δεκασταδίῳ τε καὶ τούτου ἐλάσσονι διείργεσθον ἀλλήλαιν.

Ἀπὸ δὲ τῆς ἑτέρας τῶν Ἡρακλέους στηλῶν μέχρι ἐς τὴν ἑτέραν διὰ τῆς ᾐόνος ἰόντι, καὶ οὐ περιερχομένῳ κόλπον τε τὸν [D] Ἰόνιον καὶ τὸν Εὔξεινον καλούμενον πόντον, ἀλλ' ἔκ τε Καλχηδόνος ἐς Βυζάντιον ἔκ τε Ὑδροῦντος ἐς ἤπειρον τὴν ἀντιπέρας καταίροντι, πέντε καὶ ὀγδοήκοντα καὶ διακοσίων ὁδὸς ἡμερῶν ἐστιν εὐζώνῳ ἀνδρί. τὰ γὰρ ἀμφὶ τὸν Εὔξεινον πόντον, ὃς ἐκ Βυζαντίου χωρεῖ ἐς τὴν λίμνην, ἅπαντα ἀκριβολογεῖσθαι ἀμήχανα ἦν, βαρβάρων τῶν ὑπὲρ ποταμὸν Ἴστρον, ὃν καὶ Δανούβιον καλοῦσι, Ῥωμαίοις βατὴν ἥκιστα ποιουμένων τὴν ἐκείνῃ ἀκτήν,

3. σέπτον] σέπτεμ Pm. 5. τέτταρσι] τέταρσι P. 13. ᾐόνος] ἠϊόνος P. 14. Καλχηδόνος] Χαλκηδόνος H. καρχηδόνος BHm. *Carthagine* RV. 15. Ὑδροῦντος] δρυοῦντος HL. *Hydrunte* RV. *Dyrrhachium* posuit Kanngiesserus hic et p. 311, 9. 18. ἐς] εἰς BL.

ludem Maeotidem a Gadibus et columnarum Herculearum altera propagato: qua in ora quia colles exurgunt septem, propterea conditum ibi castellum indigenae Septum appellant: quod enim ἑπτά Graece, idem Latine vox *Septem* valet. Opposita continens, quantacunque est, Europae vocabulo comprehenditur. Porro fretum Gaditanum utramque continentem intervallo stadiorum fere LXXXIV. discernit. Inde vastis marium tractibus a se invicem dirimuntur usque ad Hellespontum: siquidem hic denuo coeunt apud Sestum et Abydum: dein quoque Byzantii et Calchedone ad cautes usque dictas olim Cyaneas: ubi Hieri nomen etiamnum manet. Quibus in locis nonnisi spatio stadiorum X. immo vero minori distant.

Ab altera Herculis columna ad alteram, legenti littus expedito viro, nec sinum Ionium Pontumque Euxinum circumeunti, sed Calchedone Byzantium, et Hydrunte in adversae continentis oram traiicienti, iter est dierum CCLXXXV. Quod attinet ad Ponti ambitum Euxini, qui a Byzantio ad paludem diffunditur, nequit is plene et accurate describi, quoniam Barbari trans fluvium Istrum, quem et Danubium nominant, positi, Romanis in regionum illarum littora aditum negant. Hoc unum constat,

πλήν γε δὴ ὅτι ἐκ Βυζαντίου μὲν ἐς τὰς τοῦ Ἴστρου ἐκβολὰς ἡμερῶν ἐστιν ὁδὸς δύο καὶ εἴκοσιν, ἅσπερ τῇ Εὐρώπῃ λογιζομένους ἐντιθέναι προσήκει. κατὰ δὲ τὴν τῆς Ἀσίας μοῖραν, εἴη δ' ἂν ἐκ Καλχηδόνος ἐς ποταμὸν Φᾶσιν, ὃς ῥέων ἐκ Κόλχων κάτεισιν ἐς τὸν πόντον, ἀνύεται τεσσαράκοντα ὁδὸς ἡμερῶν. ὥστε ξύμ- P 177 *πασα ἡ Ῥωμαίων ἐπικράτεια κατά γε τὴν ἐπὶ θαλάσσῃ ὁδὸν ἐς ἑπτὰ καὶ τεσσαράκοντα καὶ τριακοσίων ἡμερῶν ξύνεισι μέτρον, ἥν τις, ὅπερ εἴρηται, τὸν Ἰόνιον κόλπον ἐς ὀκτακοσίους μάλιστα διήκοντα σταδίους ἐξ Ὑδροῦντος διαπορθμεύηται. ἡ γὰρ τοῦ κόλπου περίοδος ἐς ὁδὸν ἡμερῶν διήκει οὐχ ἧσσον ἢ τεσσάρων.* H 92 *τοσαύτη μὲν ἡ Ῥωμαίων ἀρχὴ κατά γε τὸν παλαιὸν ἐγένετο χρόνον.*

Ἐπέβαλλε δὲ τῷ μὲν τὸ τῆς ἑσπερίας ἔχοντι κράτος Λιβύης B *τὰ πλεῖστα διήκοντα ἐς ἐνενήκοντα ὁδὸν ἡμερῶν· τοσοῦτον γὰρ τὸ ἐκ Γαδείρων ἐς τὰ ὅρια τῆς ἐν Λιβύῃ Τριπόλεώς ἐστιν· ἐν δὲ δὴ τῇ Εὐρώπῃ πέντε καὶ ἑβδομήκοντα ὁδὸν ἡμερῶν ἔλαχε. τοσαύτη γὰρ ἡ ἐκ τῆς ἑτέρας τῶν Ἡρακλέους στηλῶν ἐς κόλπον τὸν Ἰόνιον τυγχάνει οὖσα. προσθείη δὲ ἄν τις καὶ τὴν τοῦ κόλπου περίοδον. βασιλεὺς δὲ ὁ τῆς ἕω ἡμερῶν εἴκοσι καὶ ἑκατὸν ὁδὸν ἐκληρώσατο ἐκ τῶν Κυρήνης ὁρίων τῆς ἐν Λιβύῃ μέχρι Ἐπιδά-* C

4. *Καλχηδόνος*] *χαλκηδόνος* BH. 6. *ἡ* om. L. 9. *ἐξ Ὑδροῦντος*] *ἐκ δρυοῦντος* ABHL. *ex Hydrunte* RV. In ABL scholion *δρυοῦς ἐστὶ τὸ νῦν βαρβαρικῶς λεγόμενον ὄτροντον* (*ὅτροντον* B: *Otranto* dicit), *ἤπειρος δὲ ὁ νῦν αὐλών. αὐτόθεν γὰρ ἡ λεγομένη ἤπειρος ἄρχεται, καταλήγει δὲ εἰς τὸν βελλὰν* (*τὴν βελλᾶν* B), *ἥτις ἐλέγετο φωτική.* 10. *περίοδος*] *πάροδος* Maltretus. 14. *ἐνενήκοντα*] Vulgo *ἐννενήκοντα*.

a Byzantio ad Istri ostia iter esse dierum xxii. quod spatium ad Europae itinerarium pertinet. In Asiae vero parte obeunda a Calchedone ad fluvium Phasin, qui in Pontum e Colchide defluit, xl. dies exiguntur. Itaque omnis Romana ditio, secundum mare peragrata, dierum iter complectitur cccxlvii. si quis, ut dictum est, Hydrunte solvens, sinum Ionium transmittat, latum stadia circiter dccc. nam qua in sinum illum intratur, traiectus est dierum non minus iv. Atque haec quondam Imperii Rom. mensura fuit.

Ad Imperatorem Occidentis pertinebat pars Africae maxima, quae dierum xc. iter patebat: tantundem enim distat a Gadibus limes Tripoleos, quae est in Africa. Eidem in Europa obtigerat quantum quis diebus lxxv. percurreret: et vero tantum est viae ab altera columna Herculis ad sinum Ionium: cuius etiam ambitus huic ipsi sorti ascribi potest. At in portione, quae Imperatori Orientis obvenerat, dierum iter erat cxx. a finibus Cyrenes Africae ad Epidamnum (hodie Dyrrhachium vo-

μνου, ἣ πρὸς αὐτῷ τῷ Ἰονίῳ κεῖται κόλπῳ, Δυρράχιον τανῦν καλουμένη, καὶ ὅση ἀμφὶ τὸν Εὔξεινον πόντον, ὡς ἔμπροσθεν εἴρηται, ὑπὸ Ῥωμαίοις ἐστί. μιᾶς δὲ ἡμέρας ὁδὸς ἐς δέκα καὶ διακοσίους διήκει σταδίους, ὅσον Ἀθήνηθεν Μέγαράδε ἰέναι. οὕτω μὲν ἤπειρον ἑκατέραν οἱ Ῥωμαίων αὐτοκράτορες διείλοντο σφίσι. τῶν δὲ δὴ νήσων Βρεττανία μέν, ἡ ἐκτὸς στηλῶν τῶν Ἡρακλείων, νήσων ἁπασῶν μεγίστη παρὰ πολὺ οὖσα, μετὰ τῆς D ἑσπερίας, ὡς γε τὸ εἰκός, ἐτάττετο μοίρας· ἐντὸς δὲ αὐτῶν Ἔβουσα, ὥσπερ ἐν Προποντίδι τῇ μετὰ τὴν ὠκεανοῦ ἐσβολὴν ἐν θαλάσσῃ κειμένη, ἐς ἑπτὰ ἡμερῶν ὁδὸν μάλιστα διήκουσα, καὶ δύο ἀμφ' αὐτὴν ἕτεραι, Μαϊόρικά τε καὶ Μινόρικα ἐπιχωρίως καλούμεναι. τῶν δὲ κατὰ θάλασσαν νήσων ἑκάστη θατέρῳ τοῖν βασιλέοιν ἐπέβαλλεν, ὡς αὐτὴ ἐντός που τῶν ἐκείνου ὁρίων ξυνέβαινε κεῖσθαι.

P 178 V 345 β'. Ὀνωρίου δὲ τὴν πρὸς ἡλίου δυσμαῖς ἔχοντος βασιλείαν βάρβαροι τὴν ἐκείνου κατέλαβον χώραν. οἵτινες δὲ καὶ ὅτῳ τρόπῳ, λελέξεται. Γοτθικὰ ἔθνη πολλὰ μὲν καὶ ἄλλα πρότερόν τε ἦν καὶ τανῦν ἐστι, τὰ δὲ δὴ πάντων μέγιστά τε καὶ ἀξιολογώτατα Γότθοι τέ εἰσι καὶ Βανδίλοι καὶ Οὐισίγοτθοι καὶ Γήπαιδες. πάλαι μέντοι Σαυρομάται καὶ Μελάγχλαινοι ὠνομάζοντο. εἰσὶ δὲ οἳ καὶ Γετικὰ ἔθνη ταῦτ' ἐκάλουν. οὗτοι ἅπαντες ὀνόμασι μὲν

1. *Δυρράχιον*] δυράχιον L. 3. ὁδὸς P et A corr. ὁδῷ AHL. ibid. δέκα καὶ διακοσίους] ἤτοι μιλ. κη': τὰ γὰρ ζς'' (h. e. 7½) στάδ. μιλ. α' schol. AL. 6. *Βρεττανία*] βρεταννία L. ibid. τῶν om. L.

cant) urbem appositam Ionio sinui, et quidquid Romanis in ora Ponti Euxini, ut supra memoravimus, paret. Unius autem diei iter ad stadia ccx. evadit, quantum conficit qui Athenis Megaram petit. Ita demum utramque continentem Imperatores Romani inter se diviserant. Quod ad insulas spectat, iacens extra columnas Herculeas omnium longe maxima insularum Britannia Imperio Occidentali, ut situs poscebat, fuerat contributa. Item cis columnas Ebusa, quae sic in mari post meatum, quo insinuat se Oceanus, tanquam in Propontide posita est, atque iter VII. fere dierum colligit. Praeterea vicinae huic aliae duae, quae patria lingua Maiorica ac Minorica nominantur. Denique insularum quaeque maritimarum alteri Imperatorum parebat, prout contigerat ut ipsius finibus includeretur.

2. Imperium Occidentale tenente Honorio, ditionem eius invasere Barbari: quinam ii fuerint, et qua illud via perfecerint, mox declarabo. Plurimae quidem superioribus fuere temporibus hodieque sunt nationes Gotthicae; sed inter illas Gotthi, Vandali, Visigotthi et Gepaedes cum numero tum dignitate praestant. Olim Sauromatae dicebantur ac Melanchlaeni: quidam etiam Getarum nomen ipsis tribuerunt. Vocabulis

ἀλλήλων διαφέρουσιν, ὥσπερ εἴρηται, ἄλλῳ δὲ τῶν πάντων οὐ- B δενὶ διαλλάσσουσι. λευκοὶ γὰρ ἅπαντες τὰ σώματά τέ εἰσι καὶ τὰς κόμας ξανθοί, εὐμήκεις τε καὶ ἀγαθοὶ τὰς ὄψεις, καὶ νόμοις μὲν τοῖς αὐτοῖς χρῶνται, ὁμοίως δὲ τὰ ἐς τὸν θεὸν αὐτοῖς ἤσκηται. τῆς γὰρ Ἀρείου δόξης εἰσὶν ἅπαντες, φωνή τε αὐτοῖς ἐστι μία, Γοτθικὴ λεγομένη, καί μοι δοκοῦν ἐξ ἑνὸς μὲν εἶναι ἅπαντες τὸ παλαιὸν ἔθνους, ὀνόμασι δὲ ὕστερον τῶν ἑκάστοις ἡγησαμένων διακεκρίσθαι. οὗτος ὁ λεὼς ὑπὲρ ποταμὸν Ἴστρον ἐκ παλαιοῦ ᾤκουν. ἔπειτα Γήπαιδες μὲν τὰ ἀμφὶ Σιγγηδόνα τε καὶ Σίρμιον χωρία ἔσχον, ἐντός τε καὶ ἐκτὸς ποταμοῦ Ἴστρου, ἔνθα C δὴ καὶ ἐς ἐμὲ ἵδρυνται.

Τῶν δὲ δὴ ἄλλων Οὐισίγοτθοι μὲν ἐνθένδε ἀναστάντες τὰ μὲν πρῶτα ἐς ξυμμαχίαν Ἀρκαδίου βασιλέως ἀφίκοντο, χρόνῳ δὲ ὕστερον (οὐ γὰρ οἶδε βαρβάροις ἐνδιαιτᾶσθαι ἡ ἐς Ῥωμαίους πίστις), ἡγουμένου αὐτοῖς Ἀλαρίχου, ἐς ἐπιβουλὴν ἑκατέρου βασιλέως ἐτράποντο, ἐκ Θρᾴκης τε ἀρξάμενοι ξυμπάσῃ Εὐρώπῃ ὡς πολεμίᾳ ἐχρήσαντο. βασιλεὺς δὲ Ὁνώριος πρότερον μὲν ἐν Ῥώμῃ καθῆστο, οὐδὲν ὅ τι καὶ πολέμιον ἐν νῷ ἔχων, ἀλλ' ἀγαπῶν, D οἶμαι, ἤν τις αὐτὸν ἐν τοῖς βασιλείοις ἡσυχάζειν ἐῴη· ἐπεὶ δὲ οὐχ ἄποθεν οἱ βάρβαροι, ἀλλά που ἐν Ταυλαντίοις εἶναι στρατῷ μεγάλῳ ἠγγέλλοντο, καταλιπὼν τὰ βασίλεια οὐδενὶ κόσμῳ ἐς Ῥά-

6. δοκοῦν] δοκοῦσιν vel δοκοῦντες? ibid. ἅπαντες AL. ἅπαντος H. ἅπαντας P et A corr. 13. χρόνῳ δὲ] οὐδὲ χρόνῳ δὲ AmHmL. [οἱ δὲ] χρόνῳ δὲ H. 14. οἶδε] οἱ δὲ (sic) L. οὐδὲ Lm. 15. Ἀλαρίχου] Vulgo Ἀλλαρίχου. 17. Ὁνώριος] Honorii et Honorichi nomina in H et, ut videtur, in codicibus cum spiritu leni efferuntur. 21. Ῥάβενναν] Ῥάβεναν P.

quidem omnes, ut dictum est, nulla vero re praeterea inter se differunt. Cutis omnibus candida, flava caesaries, corpus procerum, facies liberalis, eaedem leges, eadem sacra, Ariana scilicet, una demum lingua, quam Gotthicam vocamus: ita ut ad unam universos gentem pertinuisse quondam, ac suorum deinde ducum nominibus discretos fuisse existimem. Antiquae eorum sedes trans flumen Istrum. Exin Gepaedes Singedonem ac Sirmium cum vicino tractu, qua cis, qua ultra fluvium Istrum, ubi etiamnum habitant, occuparunt.

Quod ad caeteros attinet, egressi inde Visigotthi, primum in societatem Arcadii Aug. se contulerunt. At cum apud Barbaros manere nesciat pacta Romanis fides, paulo post ad inferendam utrique Imperatori perniciem converterunt operam, duce Alarico, et incipientes a Thracia, Europam omnem pro terra hostili habuere. Ac prius quidem Honorius Aug. Romae sedebat, nihil de bello cogitans, eaque re, opinor, una contentus, ut otium, quo in aula fruebatur, nemo turbaret. Ubi vero Barbarum cum ingentibus copiis non procul, nimirum apud Taulantios, esse audiit, relicta aula Ravennam, urbem in extremo sinu Ionio munitam,

βενναν φεύγει, πόλιν ἐχυρὰν ἐς αὐτόν που λήγοντα κειμένην τὸν
Ἰόνιον κόλπον. εἰσὶ δὲ οἳ καὶ φασὶν αὐτὸν τοὺς βαρβάρους ἐπα-
γαγέσθαι, στάσεως αὐτῷ πρὸς τῶν ὑπηκόων γεγενημένης, ἐμοὶ
P 179 μὲν οὐ πιστὰ λέγοντες, ὅσα γε τὸ τοῦ ἀνθρώπου ἐκλογίζεσθαι
ἦθος. οἱ δὲ βάρβαροι, ἐπεὶ οὐδὲν σφίσιν ἀπήντα πολέμιον, γί-
νονται ὠμότατοι ἀνθρώπων ἁπάντων. πόλεις τε γάρ, ὅσας εἶ-
λον, οὕτω κατειργάσαντο ὥστε οὐδὲν εἰς ἐμὲ αὐταῖς ἀπολέλειπται
γνώρισμα, ἄλλως τε καὶ ἐντὸς τοῦ Ἰονίου κόλπου, πλήν γε δὴ ὅτι
πύργον ἕνα ἢ πύλην μίαν ἤ τι τοιοῦτο αὐταῖς περιεῖναι ξυνέβη·
τούς τε ἀνθρώπους ἅπαντας ἔκτεινον, ὅσοι ἐγένοντο ἐν ποσίν,
ὁμοίως μὲν πρεσβύτας, ὁμοίως δὲ νέους, οὔτε γυναικῶν οὔτε
παίδων φειδόμενοι. ὅθεν εἰς ἔτι καὶ νῦν ὀλιγάνθρωπον τὴν Ἰτα-
H 93 λίαν ξυμβαίνει εἶναι. χρήματα δὲ ἅπαντα ἐληίσαντο ἐκ πάσης
Εὐρώπης, καί, τό γε κεφάλαιον, ἐν Ῥώμῃ τῶν τε δημοσίων τῶν
B τε ἰδίων οὐδ᾽ ὁτιοῦν ἀπολιπόντες ἐπὶ Γαλλίας ἐχώρησαν. τρόπῳ
δὲ ὅτῳ Ῥώμην Ἀλάριχος εἷλεν, ἐγὼ δηλώσω.

Ἐπειδὴ χρόνος τέ οἱ πολὺς ἐν τῇ προσεδρείᾳ ἐτέτριπτο καὶ
οὔτε βίᾳ οὔτε τινὶ μηχανῇ ἄλλῃ ἴσχυσε τὸ χωρίον ἑλεῖν, ἐπενόει
τάδε. τῶν ἐν τῷ στρατῷ νεανιῶν οὔπω γενειασκόντων, ἀλλ᾽
ἄρτι ἡβηκότων, τριακοσίους ἀπολεξάμενος, οὕσπερ εὖ τε γεγονέ-
ναι καὶ ὑπὲρ τὴν ἡλικίαν ἀρετῆς μεταποιεῖσθαι ἠπίστατο, ἔφασκε
μὲν αὐτοῖς κρύφα ὡς σφίσι τῶν ἐν Ῥώμῃ πατρικίων τινάς, ἅτε
V 346 δούλοις οὖσι δῆθεν τῷ λόγῳ, δωρήσεσθαι μέλλοι. παρήγγελλε

12. εἰς ἔτι] εἰςέτι H. 16. Ἀλάριχος] Vulgo Ἀλλάριχος. 19. τῷ στρατῷ] τῷ om. A.

petiit, trepide fugiens et incomposite. Sunt qui dicant evocatos ab ipso Barbaros, cum in eum subditi rebellassent: sed mihi, quantum ex illius indole coniicere licet, parum id credibile videretur. Porro nusquam nacti obicem Barbari, se mortalium omnium crudelissimos praebebant. Captas enim urbes ita delebant, ut praeter unam turrim, aut portam, vel si quid eiusmodi adhuc restat, nullum ad meam aetatem earum vestigium extiterit, praesertim citra sinum Ionium. Obvios quosque perimebant, senes iuxta ac iuvenes, nec feminis parcentes, nec pueris: hinc illa, quae in Italia etiamnum est, hominum infrequentia. Europam exhauserunt pecunia, ac postquam (quod caput est) Romam opibus cum publicis tum privatis spoliarunt omnino, in Galliam commigrarunt. Quo autem modo Romam ceperit Alaricus narrabo.

Multo iam tempore in obsidione consumpto, et urbe qua vi qua dolo saepe frustra tentata, consilium hoc excogitavit. Cum ex adolescentulis exercitus, nondum prima vestitis lanugine, sed recens pubertatem ingressis, trecentos delegisset, quos videbat et genere claros esse, et teneram aetatem animo praeterire, clam illos praemonuit, se Patriciis Romanis ipsos, tanquam servulos, ficte scilicet atque in speciem, donaturum. Si-

δὲ ὥστε, ἐπειδὰν ἐν ταῖς ἐκείνων οἰκίαις τάχιστα γένωνται, πρᾳότητα πολλὴν καὶ σωφροσύνην ἐνδεικνυμένους ἅπαντα προθύμως C ὑπηρετεῖν, ἅπερ ἂν αὐτοῖς πρὸς τῶν κεκτημένων ἐπικείμενα ᾖ· ἔπειτα οὐ πολλῷ ὕστερον καὶ ἐν ἡμέρᾳ τακτῇ ἀμφὶ ἡμέραν μάλιστα μέσην, ἁπάντων ἤδη τῶν αὐτοὺς ληψομένων ὕπνον, ὡς τὸ εἰκὸς, μετὰ τὰ σιτία αἱρουμένων, ἐν πύλῃ ἅπαντας τῇ Σαλαρίᾳ καλουμένῃ γενέσθαι, καὶ τούς τε φύλακας οὐδὲν προαισθομένους ἐξ ἐπιδρομῆς κτεῖναι τάς τε πύλας ἀνοιγνύναι ὡς τάχιστα. ταῦτα ἐπαγγείλας Ἀλάριχος τοῖς νεανίαις, πρέσβεις αὐτίκα πρὸς τοὺς ἐκ βουλῆς ἔπεμψε, δηλῶν ὅτι ἀγασθείη μὲν αὐτοὺς τῆς ἐς τὸν σφῶν βασιλέα εὐνοίας, οὐκέτι δὲ τὸ λοιπὸν ἐνοχλήσει, τῆς τε ἀρετῆς καὶ πίστεως ἕνεκα, ἧς ἐς ἄγαν μεταποιεῖσθαί εἰσιν ἔνδη- D λοι, ὅπως τε αὐτοῦ μνημεῖα παρ' ἀνδράσι καλοῖς τε καὶ ἀγαθοῖς σώζοιτο, οἰκέταις τισὶ δωρεῖσθαι βούλοιτο αὐτῶν ἕκαστον. ταῦτα σημήνας καὶ τοὺς νεανίας οὐκ ἐς μακρὰν στείλας, συσκευάζεσθαι ἐς τὴν ἄφοδον τοὺς βαρβάρους ἐκέλευε, τούτου τε αἴσθησιν Ῥωμαίοις παρεῖχεν. οἱ δὴ τούς τε λόγους ἄσμενοι ἤκουσαν καὶ τὰ δῶρα δεξάμενοι ἐν πολλῇ εὐπαθείᾳ ἐγένοντο, ἑκαστάτω τῆς τοῦ βαρβάρου ἐπιβουλῆς ὄντες. οἵ τε γὰρ νέοι τῷ εὐπειθέστεροι τοῖς κεκτημένοις εἶναι τὸ ὕποπτον ἀπεκρούοντο, τοῦ τε στρατοπέδου οἱ μὲν ἤδη ἐξανιστάμενοί τε καὶ διαλύοντες τὴν προσεδρείαν ἐφαί- P 180 νοντο, οἱ δὲ ὅσον οὔπω ταὐτὸ τοῦτο ποιήσειν ἐπίδοξοι ἦσαν.

1. γένωνται HL. γίνωνται P. 16. ἄφοδον Pm. ἔφοδον P. Conf. p. 188 a. 18. ἑκαστάτω — ὄντες] Suidas s. v. ἑκαστάτω. 21. καὶ] ᾗ L, qui sic saepissime.

mul iniunxit, ut commodam prae se indolem ferentes ac singularem modestiam, alacriter omnia dominorum mandata peragerent, statim a suo in eorum aedes ingressu: modico post intervallo, praestituto die, circiter meridiem, dum omnes, a quibus essent accipiendi, post prandium, somnum, ut ea fert hora, caperent, ad portam ipsi Salariam convolarent, subito impetu custodes e medio tollerent incautos, mox et portam panderent. Ubi his Alaricus mandatis instruxit adolescentes, confestim Senatui per legatos renuntiavit, mirari se vehementer ipsorum erga suum principem studium; a se in posterum quietem fore; cupere se virtutis ergo ac fidei, quae summa in ipsis eluceret, singulis dare servos, ut aliquod sui monumentum apud praeclaros ac fortes viros relinqueret. Quibus significatis, missoque haud multo post adolescentum examine, ita ad discessum convasare Barbaros iussit, ut Romanis id notissimum esset. Aures iis faciles illi dederunt: iamque acceptis donis genium liberaliter curabant, nihil minus quam insidias a Barbaro metuentes. Etenim adolescentes egregio erga heros obsequio suspicionem omnem amovebant. Ad haec in castris partem cernere erat vellentem signa et solventem obsidium; pars idem factura continuo videbatur. Tandem Alaricus eo die, quem assi-

ἐπεὶ δὲ ἡ κυρία παρῆν, Ἀλάριχος μὲν ἅπαν ἐξοπλίσας τὸ στράτευμα ὡς ἐς τὴν ἔφοδον ἐν παρασκευῇ εἶχεν ἄγχιστα πύλης τῆς Σαλαρίας· ἐνταῦθα γὰρ ἐνστρατοπεδευσάμενος τῆς πολιορκίας κατ' ἀρχὰς ἔτυχε. ξύμπαντες δὲ οἱ νεανίαι καιρῷ τῆς ἡμέρας τῷ ξυγκειμένῳ ἐς ταύτην δὴ τὴν πύλην γενόμενοι τούς τε φύλακας ἐκ τοῦ αἰφνιδίου ἐπελθόντες ἅπαντας ἔκτειναν, τάς τε πύλας ἀνακλίναντες κατ' ἐξουσίαν Ἀλάριχόν τε καὶ τὴν στρατιὰν τῇ πόλει ἐδέξαντο, οἱ δὲ τάς τε οἰκίας ἐνέπρησαν, αἳ τῆς πύλης ἄγχιστα
B *ἦσαν, ἐν αἷς ἦν καὶ ἡ Σαλουστίου, τοῦ Ῥωμαίοις τὸ παλαιὸν τὴν ἱστορίαν γράψαντος, ἧς δὴ τὰ πλεῖστα ἡμίκαυτα καὶ ἐς ἐμὲ ἕστηκε. τήν τε πόλιν ὅλην ληισάμενοι καὶ Ῥωμαίων τοὺς πλείστους διαφθείραντες πρόσω ἐχώρουν. τότε λέγουσιν ἐν Ῥαβέννῃ Ὀνωρίῳ τῷ βασιλεῖ τῶν τινα εὐνούχων δηλονότι ὀρνιθοκόμον ἀγγεῖλαι ὅτι δὴ Ῥώμη ἀπόλωλε. καὶ τὸν ἀναβοήσαντα φάναι „Καίτοι ἔναγχος ἐδήδοκεν ἐκ χειρῶν τῶν ἐμῶν." εἶναι γάρ οἱ ἀλεκτρυόνα ὑπερμεγέθη, Ῥώμην ὄνομα, καὶ τὸν μὲν εὐνοῦχον ξυνέντα τοῦ λόγου εἰπεῖν Ῥώμην τὴν πόλιν πρὸς Ἀλαρίχου ἀπολωλέναι. ἀνενεγκόντα δὲ τὸν βασιλέα ὑπολαβεῖν „Ἀλλ' ἔγωγε, ὦ ἑταῖρε, Ῥώμην μοι ἀπολωλέναι τὴν ὄρνιν ᾠήθην." τοσαύτῃ ἀμαθίᾳ τὸν βασιλέα τοῦτον ἔχεσθαι λέγουσι.*

Τινὲς δὲ οὐχ οὕτω Ῥώμην Ἀλαρίχῳ ἁλῶναί φασιν, ἀλλὰ Πρόβην γυναῖκα, πλούτῳ τε καὶ δόξῃ ἔν γε τῇ Ῥωμαίων βουλῇ

1.7.17.21. Ἀλ—] Vulgo Ἀλλ—. 1. ἅπαν] ἅπαντα L. 6. „ἅπαντας ἔκτειναν Reg." Malt. ἀπέκτειναν P. ἅπαντ' ἔκτειναν A a m. sec. ἅπαν ἔκτειναν L. ἅπαντα ἔκτειναν Hm. 21. οὕτω] οὕτως L.

gnaverat, copias omnes, arma perinde iussas induere, ac si tum esset abeundum, proxime portam Salariam in procinctu habuit: ibi enim iam inde ab obsidionis initio sederat. Hora condicta, ad eam confluunt portam adolescentes; facto derepente in custodes impetu, illos mactant, et valvis, prohibente nemine, patefactis, Alaricum in urbem accipiunt cum exercitu: a quo mox iniectis facibus, tecta portae vicina deflagrarunt. In his fuit Salustii, antiqui Historiae Romanae scriptoris domus: cuius pars maxima ad hanc diem stetit incendio deformata. Demum Barbari, urbe prorsus direpta, atque edita Romanorum ingenti strage, ire porro perrexerunt. Quo tempore Ravennae eunuchus quidam aviarius Honorio Aug. nuntiavit, ut perhibent, actum esse de Roma. Hic ille cum exclamatione, *Atqui*, inquit, *e manibus meis modo pabulum sumpsit*. Habebat enim eximiae magnitudinis gallinam, quam Romae nomine insigniverat. Tum eunuchus mentem eius intelligens, urbem Romam periisse dixit, captam ab Alarico. At Imperator, *Ego vero*, ait, *amice*, *Romam gallinam mihi periisse rebar*. Adeo ineptum Imperatorem istum fuisse tradunt.

Non ita potitum Roma Alaricum nonnulli memorant: sed feminam, cui nomen Probae, et quae in ordine Senatorio opibus ac splendore no-

ἐπιφανεστάτην μάλιστα οὖσαν οἰκτεῖραι μὲν λιμῷ τε καὶ τῇ ἄλλῃ κακοπαθείᾳ διαφθειρομένους Ῥωμαίους, οἵ γε καὶ ἀλλήλων ἤδη ἐγεύοντο· ὁρῶσαν δὲ ὡς πᾶσα αὐτοὺς ἐλπὶς ἀγαθὴ ἐπιλελοίπει, τοῦ τε ποταμοῦ καὶ τοῦ λιμένος ἐχομένου πρὸς τῶν πολεμίων, τοῖς οἰκέταις ἐγκελεύσασθαι νύκτωρ ἀνοιγνύναι τὰς πύλας. ἐπειδὴ δὲ Ἀλάριχος ἐκ Ῥώμης ἐξανίστασθαι ἔμελλεν, Ἄτταλον τῶν τινα εὐπατριδῶν βασιλέα Ῥωμαίων ἀνεῖπε, περιθέμενος αὐτῷ τό τε D διάδημα καὶ τὴν ἁλουργίδα καὶ εἴ τι ἄλλο ἐς βασιλικὸν ἀξίωμα ἥκει. ἔπρασσε δὲ ταῦτα ὡς παραλύσων μὲν τῆς βασιλείας Ὀνώριον, παραδώσων δὲ ἅπαν Ἀττάλῳ τὸ ἑσπέριον κράτος. τοιαύ- H 94 τῃ μὲν γνώμῃ Ἄτταλός τε καὶ Ἀλάριχος ἐπὶ Ῥάβενναν στρατῷ πολλῷ ᾔεσαν. ἦν δὲ Ἄτταλος οὗτος οὔτε αὐτός τι νοεῖν ἱκανὸς οὔτε τῳ εὖ εἰπόντι πεισθῆναι. Ἀλαρίχου γοῦν ἥκιστα ἐπαινοῦντος ἐς Λιβύην στρατιᾶς χωρὶς ἄρχοντας ἔπεμψε. ταῦτα μὲν οὖν ἐπράσσετο τῇδε.

Βρεττανία δὲ ἡ νῆσος Ῥωμαίων ἀπέστη, οἵ τε ἐκείνῃ στρα- V 347 P 181 τιῶται βασιλέα σφίσι Κωνσταντῖνον εἵλοντο, οὐκ ἀφανῆ ἄνδρα. ὃς δὴ αὐτίκα στόλον τε ἀγείρας νηῶν καὶ στρατιὰν λόγου ἀξίαν ἐς Ἰσπανίαν τε καὶ Γαλλίαν ὡς δουλωσόμενος στρατῷ μεγάλῳ ἐσέβαλλεν. Ὀνώριος δὲ πλοῖα μὲν ἐν παρασκευῇ εἶχε, προσεδέχετο

6. 11. 13. Ἀλ—] Vulgo Ἀλλ—. 12. οὔτε αὐτός — πεισθῆναι] Hesiod. Ἔργ. 291. οὗτος μὲν πανάριστος ὃς αὐτὸς πάντα νοήσῃ, ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται.

minis praecellebat, miseratam Romanos, fame et omni aerumnarum genere tabescentes, iamque mutua inter se vescentes carne; cum spem illis reliquam esse nullam videret, obtinente amnem et portum hoste, famulis praecepisse ferunt, ut portas noctu reserarent. Caeterum Alaricus, sub discessum ex urbe, Patricium quendam, nomine Attalum, Imperatorem Rom. pronuntiavit, diademate, purpura, caeterisque Imperatoriae maiestatis insignibus ornatum. Quo facto eum finem petebat, ut imperium abrogaret Honorio, totumque Occidentem in potestatem Attali traderet. Eo certe animo Ravennam cum numeroso exercitu uterque petiit: sed is erat Attalus, ut sapiens consilium nec per se inire, nec datum ab alio amplecti sciret. Itaque duces sine copiis in Africam destinavit, Alarico dissentiente. Ibi quidem haec gesta sunt.

Insula vero Britannia a Romanis descivit, positique illic milites Imperatorem sibi crearunt Constantinum, virum non obscurum: qui statim collecta classe ac florenti exercitu, in Hispaniam Galliamque, ut eas subigeret, validis copiis succinctus irrupit. Interea loci naves Honorius in

δὲ τὰς ἐκ Λιβύης τύχας, ὅπως, ἢν μὲν ἀποκρουσθεῖεν οἱ παρὰ Ἀττάλου σταλέντες, πλέοι τε αὐτὸς ἐπὶ Λιβύης καὶ μοῖράν τινα B τῆς βασιλείας αὐτοῦ ἔχοι, ἢν δὲ ἀπ' ἐναντίας αὐτῷ τὰ ἐκείνῃ πράγματα ἴοι, ἐς Θεοδόσιόν τε ἵκοιτο καὶ σὺν αὐτῷ εἴη. Ἀρκαδίου τε γὰρ ἤδη πολλῷ πρότερον τελευτήσαντος, Θεοδόσιος ἐκείνου υἱός, ἔτι παῖς ὢν κομιδῇ, εἶχε τὴν ἑῴαν ἀρχήν. ταῦτα Ὁνωρίῳ καραδοκοῦντι καὶ ἐν τρικυμίαις φερομένῳ τῆς τύχης εὐτυχήματα θαυμάσια ἡλίκα ξυνηνέχθη γενέσθαι. φιλεῖ γὰρ ὁ θεὸς τοῖς οὔτε ἀγχίνοις οὔτε τι οἴκοθεν μηχανᾶσθαι οἵοις τε οὖσιν, ἢν μὴ πονηροὶ εἶεν, ἀπορουμένοις τὰ ἔσχατα ἐπικουρεῖν τε C καὶ ξυλλαμβάνεσθαι. ὁποῖον δή τι καὶ τῷ βασιλεῖ τούτῳ τετύχηκεν. ἔκ τε γὰρ Λιβύης ὡς διαφθαρεῖεν οἱ Ἀττάλου ἄρχοντες ἄφνω ἠγγέλλετο καὶ νηῶν πλῆθος ἐκ Βυζαντίου στρατιώτας ἔχουσαι ὅτι πλείστους ἐς ἐπικουρίαν αὐτῷ ἀφικομένους οὐ προσδεχομένῳ παρῆσαν, διάφορός τε Ἀττάλῳ γεγονὼς Ἀλάριχος τό τε τοῦ βασιλέως αὐτὸν ἀφαιρεῖται σχῆμα καὶ ἐν ἰδιώτου ἤδη τελοῦντα μοίρᾳ ἐν φυλακῇ εἶχε. μετὰ δὲ Ἀλάριχος μὲν τελευτᾷ D νόσῳ, ὁ δὲ τῶν Οὐισιγότθων στρατὸς, ἡγουμένου σφίσιν Ἀδαούλφου, ἐπὶ Γαλλίας ἐχώρησαν, καὶ Κωνσταντῖνος μάχῃ ἡσσηθεὶς ξὺν παισὶ θνήσκει. Βρεττανίαν μέντοι Ῥωμαῖοι ἀνασώσασθαι οὐκέτι ἔσχον, ἀλλ' οὖσα ὑπὸ τυράννοις ἀπ' αὐτοῦ ἔμενε.

2. πλέοι] πλέει A. 9. οἴκοθεν A. οἴκοθε P. 15. 17. Ἀλάριχος] Vulgo Ἀλλάριχος. 18. σφίσιν L. σφίσι P. 19. ἐπὶ Γαλλίας] ἐπ' ἰταλίας H: illud Hm.

promptu habebat, expectans quo res Africae vergerent: ut si forte missi ab Attalo repulsam paterentur, navigaret ipse in Africam, ac partem regni eius aliquam obtineret: sin parum ex sententia res ibi cederent, ad Theodosium conferret sese, et cum illo conviveret. Nam mortuo iam multo ante Arcadio, Orientis Imperator erat eius filius Theodosius, adhuc porro puer. Tali in expectatione, decumanis fluctibus iactato Honorio secundus fortunae flatus mirabiles eventus attulit. Enimvero quibus solertia ac per se quidquam agitandi vis deest, illis Deus, si non sunt improbi, in summis rerum angustiis praesto esse solet et opem ferre, quam hic Imperator expertus est. Quippe ex Africa nuntius de interitu ducum, quos Attalus eo miserat, subito venit, et classis auxilia plurima Byzantio vehens praeter expectationem affuit. Praeterea alienatus ab Attalo Alaricus, ipsum exuit Augusti cultu, et ad vitae privatae conditionem redactum habuit in custodia. Post morbo obiit Alaricus: Visigotthorum exercitus, duce Adaulpho, concessit in Galliam: Constantinus praelio victus cum filiis occidit: nec tamen Britanniam recuperare unquam Romani potuerunt: sed ex eo tempore in tyrannorum

Γότθοι δὲ τὴν ἐπὶ τοῦ Ἴστρου διάβασιν ποιησάμενοι Παννονίαν μὲν τὰ πρῶτα ἔσχον, ἔπειτα δὲ βασιλέως δόντος ᾤκησαν τὰ ἐπὶ τῆς Θρᾴκης χωρία. ἐνταῦθά τε οὐ πολὺν διατρίψαντες χρόνον τῆς ἑσπερίας ἐκράτησαν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς περὶ Γότθων εἰρήσεται.

γ΄. Βανδίλοι δὲ ἀμφὶ τὴν Μαιῶτιν ᾠκημένοι λίμνην, ἐπειδὴ λιμῷ ἐπιέζοντο, ἐς Γερμανούς τε, οἳ νῦν Φράγγοι καλοῦνται, καὶ ποταμὸν Ῥῆνον ἐχώρουν, Ἀλανοὺς ἑταιρισάμενοι, Γοτθικὸν ἔθνος. εἶτα ἐνθένδε, ἡγουμένου αὐτοῖς Γοδιγίσκλου, ἐν Ἱσπανίᾳ ἱδρύσαντο, ἣ πρώτη ἐστὶν ἐξ ὠκεανοῦ χώρα τῆς Ῥωμαίων ἀρχῆς. τότε ξυμβαίνει Γοδιγίσκλῳ Ὀνώριος ἐφ᾽ ᾧ δὴ οὐκ ἐπὶ λύμῃ τῆς χώρας ἐνταῦθα ἱδρύσονται. νόμου δὲ ὄντος Ῥωμαίοις, ἤν τινες οὐχ ὑπὸ ταῖς οἰκείαις χερσὶ τὰ σφέτερα αὐτῶν ἔχοιεν καὶ τρίβοιτο χρόνος εἰς τριάκοντα ἐνιαυτοὺς ἥκων, τούτοις δὲ οὐκέτι εἶναι κυρίοις ἐπὶ τοὺς βιασαμένους ἰέναι, ἀλλ᾽ ἐς παραγραφὴν αὐτοῖς ἀποκεκρίσθαι τὴν ἐς τὸ δικαστήριον εἴσοδον, νόμον ἔγραψεν ὅπως ὁ τῶν Βανδίλων χρόνος, ὃν ἔν γε τῇ Ῥωμαίων ἀρχῇ διατρίβοιεν, ἐς ταύτην δὴ τὴν τριακοντοῦτιν παραγραφὴν ἥκιστα φέροιτο. Ὀνώριος μὲν ἐς τοῦτό οἱ τῆς ἑσπερίας ἐληλαμέ-

P 182 … B

1. *Παννονίαν*] *πανοννίαν* A. 4. *ἑσπερίας*] *εὐπερίας* HL: *ἐσπερίας* Hm. 5. *εἰρήσεται*] *εἴρηται* L. 9. *Γοδιγίσκλου*] *Gogidiscus* hic et infra apud RV. 15. „*ἀλλ᾽ ἐς παραγραφὴν*] Eruditissimus Cuiacus cap. 30. *πραγματ.* de diversis temporum praescriptionibus haec ita exhibet, *ἀλλὰ παραγραφὴν αὐτοῖς ἀποκεκλεῖσθαι τὴν εἰς τὸ δικαστήριον εἴσοδον.*" Malt. 17. *ἐν*] *ἂν* L.

ditione fuit. Gotthi autem, traiecto Istro, primum occuparunt Pannoniam: deinde sedem illis in Thracia Imperator concessit: ibi non diu morati, in Occidentis imperium involarunt. Sed de his postmodum in Historia Gotthica.

3. Vandali Maeotidis paludis accolae, fame pressi, ad Germanos, quos hodie Francos nominant, et fluvium Rhenum se receperunt, tractis in societatem Alanis, natione Gotthica. Inde Godigiscli ductu in ea parte Hispaniae, quae oram habet Imperii Romani primam ab Oceano, sedes fixerunt ea conditione, de qua tunc inter Honorium et Godigisclum convenit, ut illis partibus nihil nocerent. Cum autem haec esset Romana lex, si qui sua non possiderent, spatiumque efflueret annorum xxx. illis non esse amplius actionem adversus malae fidei possessores, at praescriptione desiisse ius adeundi ad iudicem, lege cavit Honorius, ne tempus, quo Vandali in Rom. Imperio commorarentur, ad eam xxx. annorum praescriptionem evaderet. Occidente in hunc statum redacto, Honorium morbus extinxit. An-

νης ἐτελεύτησε νόσῳ. ἐτύγχανε δὲ πρότερον ξὺν τῷ Ὁνωρίῳ
τὴν βασιλείαν Κωνστάντιος ἔχων, τῆς Ἀρκαδίου τε καὶ Ὁνωρίου
ἀδελφῆς Πλακιδίας ἀνήρ, ὃς ἡμέρας τῇ ἀρχῇ ἐπιβιοὺς ὀλίγας,
C πονηρῶς τε νοσήσας εἶτα ἀπέθανεν, Ὁνωρίου ζῶντος οὔτε τι εἰπεῖν
λόγου ἄξιον οὔτε πρᾶξαι ἰσχύσας. οὐ γὰρ αὐτῷ ἐπήρκει ὁ χρό-
V 348 νος, ὃν ἐν τῇ βασιλείᾳ ἐβίου. τούτου δὴ τοῦ Κωνσταντίου παῖς
Οὐαλεντινιανός, ἄρτι τοῦ τιτθοῦ ἀπαλλαγείς, ἐν τοῖς Θεοδοσίου

1. ἐτύγχανε δὲ —] Scholion in A Θεοδοσίου μητρὸς καὶς Πλακιδία, Ἀρκαδίου καὶ Ὁνωρίου ἀδελφή. ἐξ ἧς καὶ Κωνσταντίου Οὐαλεντινιανὸς ὁ μικρὸς ὁ ἀνὴρ Εὐδοξίας θυγατρὸς τοῦ μικροῦ Θεοδοσίου. Οὐαλεντινιανὸς δὲ καὶ Εὐδοξία γεννῶσιν Εὐδοκίαν καὶ Πλακιδίαν τὴν τοῦ Ὀλυμβρίου γυναῖκα. Οὐαλεντινιανὸς ὁ μέγας ὁ μετὰ Ἰοβανὸν (Ἰοβιανὸν) γυναῖκας ἔσχε δύο

Σεβήραν, ἐξ ἧς Γρατιανόν | Ἰουστίναν θυγατέρα Ἰούστου συγκλητικοῦ ἐξ ἧσπερ

Ἰοῦστα | Στράτα | Στάλλα γυνὴ Θεοδοσίου τοῦ μεγάλου, ἐξ ὧν Οὐαλεντινιανὸς ὁ γαμβρὸς Θεοδοσίου τοῦ μικροῦ εἰς Εὐδοξίαν

Θεοδόσιος ὁ μέγας ἐκ Πλακίλλης γεννᾷ

Ἀρκάδιον, ἐξ οὗπερ καὶ Εὐδοξίας ἐγεννήθη Θεοδόσιος ὁ μικρὸς καὶ Πουλχερία | καὶ Ὁνώριον

Θεοδόσιος ὁ μικρός, ἐξ Εὐδοξίας γεννᾷ

Εὐδοξίαν, τὴν γυναῖκα Οὐαλεντινιανοῦ | Εὐδοκίαν τὴν τοῦ Ὀνωρίχου τοῦ Βανδίλου | Πλακιδίαν τὴν τοῦ Ὀλυμβρίου

Quae corrupta in his sunt, facile emendari possunt ex locis scriptorum quos Ruhnkenius collegit in disputatione de Galla Placidia Augusta. Genealogiam Valentiniani ab Nicephoro in chronographia compendiaria appositam (p. 755. ed. meae) emendavit Ruhnkenius disputatione posteriore extrema. 4. πονηρῶς] πονήρως P. ibid. οὔτε τι] Aberat τι. 7. οὐαλεντινιανὸς A a m. sec. βουαλεντινιανὸς L. Βαλεντινιανὸς P.

tea consors Imperii fuerat Constantius Placidiae, quae Arcadii et Honorii soror erat, maritus. Hic paucos dies fruitus principatu, gravi morbo correptus decessit, superstite Honorio, cum ei nec dicto, nec facto ullo memorabili nomen commendare suum licuisset per temporis, quo imperium tenuit, brevitatem. Istius Constantii filius Valentinianus, non ita pridem depulsus ab ubere, in aula Theodosii educabatur, quando Impe-

βασιλείοις ἐτρέφετο, οἱ δὲ τῆς ἐν Ῥώμῃ βασιλέως αὐλῆς τῶν τινα ἐκείνῃ στρατιωτῶν, Ἰωάννην ὄνομα, βασιλέα αἱροῦνται. ἦν δὲ οὗτος ἀνὴρ πρᾷός τε καὶ ξυνέσεως εὖ ἥκων καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιστάμενος. πέντε γοῦν ἔτη τὴν τυραννίδα ἔχων μετρίως ἐξηγήσατο, καὶ οὔτε τοῖς διαβάλλουσι τὴν ἀκοὴν ὑπέσχεν οὔτε D φόνον ἄδικον εἰργάσατο ἑκών γε εἶναι οὔτε χρημάτων ἀφαιρέσει ἐπέθετο· ἐς δὲ βαρβάρους οὐδὲν ὅ τι καὶ πρᾶξαι οἷός τε ἐγεγόνει, ἐπεὶ οἱ τὰ ἐκ Βυζαντίου πολέμια ἦν. ἐπὶ τοῦτον τὸν Ἰωάννην Θεοδόσιος ὁ Ἀρκαδίου στρατὸν πολὺν πέμψας καὶ στρατηγοὺς H 95 Ἄσπαρά τε καὶ Ἀρδαβούριον τὸν Ἄσπαρος υἱὸν, αὐτόν τε ἀφαιρεῖται τὴν τυραννίδα καὶ Οὐαλεντινιανῷ ἔτι παιδὶ ὄντι τὴν βασι- P 183 λείαν παρέδωκε. ζῶντα δὲ Οὐαλεντινιανὸς Ἰωάννην λαβὼν ἔν τε τῷ Ἀκυληίας ἱπποδρομίῳ τὴν ἑτέραν ταῖν χεροῖν ἀποκοπέντα εἰσῆγεν ἐπόμπευσέ τε ὄνῳ ὀχούμενον, καὶ πολλὰ παρὰ τῶν ἀπὸ σκηνῆς ἐνταῦθα παθόντα τε καὶ ἀκούσαντα ἔκτεινεν. οὕτω μὲν Οὐαλεντινιανὸς τὸ τῆς ἑσπερίας παρέλαβε κράτος. Πλακιδία δὲ ἡ αὐτοῦ μήτηρ θηλυνομένην παιδείαν τε καὶ τροφὴν τὸν βασιλέα τοῦτον ἐξέθρεψέ τε καὶ ἐπαίδευσε, καὶ ἀπ' αὐτοῦ κακίας ἔμπλεως ἐκ παιδὸς γέγονε. φαρμακεῦσί τε γὰρ τὰ πολλὰ καὶ τοῖς ἐς τὰ ἄστρα περιέργως ὡμίλει, ἔς τε ἀλλοτρίων γυναικῶν ἔρωτας δαιμονίως ἐσπουδακὼς πολλῇ ἐχρῆτο ἐς τὴν δίαιταν παρανομίᾳ, καίπερ γυ- B

3. μεταποιεῖσθαι] ἀντιποιεῖσθαι Suidas s. v. Ἰωάννης. 5.6. οὔτε ter] οὐδὲ ter P et Suidas. 7. ἐπέθετο Suidas. Vulgo ἐπείθετο. 11. Οὐαλεντινιανῷ] βουαλεντινιανῷ L. Et sic infra aliquoties. 14. ἀπὸ σκηνῆς] ἐπὶ σκηνῆς Pm indocte. 15. ἔκτεινεν] ἔκτειναν H. 16. Οὐαλεντινιανὸς] Βαλεντινιανὸς P. 17. παιδείαν τε καὶ τροφὴν] παιδείᾳ καὶ τροφῇ A a pr. m.

ratorem creavit aula Romana Ioannem Praetorianum militem, commodis moribus, singulari prudentia ac virtute perspecta virum. Per annos quinque, quos in tyrannide exegit, potestatem exercuit moderatissime: nunquam calumniatoribus aurem substrinxit: nullam caedem iniustam patravit sciens: semper abstinentissimus fuit. Nihil in Barbaros agere potuit, bello districtus, quod e Byzantio inferebatur. Tandem Theodosius Arcadii filius adversus Ioannem misso exercitu, Aspare filioque Asparis Ardaburio ducibus, ipsum tyrannide spoliat, ac Valentiniano adhuc puero Imperium tradit. Captum is Ioannem vivum in Circum Aquileiensem induxit altera truncatum manu, traduxitque asello vectum, ac multa ibi indigne passum probrisque concisum ab histrionibus, neci dedidit. Atque ita quidem Valentinianus Imperium capessit Occidentis. Hunc autem Imperatorem Placidia mater innutriit mollitici effeminatae, et voluptaria educatione instituit: quo factum est, ut ipsi ad plenum accreverit improbitas a puero. Veneficis et sideralis scientiae curiosis indagatoribus familiariter utebatur. Ex alienarum amore coniugum in rationem vitae flagitiosissimam sese effudit, quamvis uxorem haberet forma praecellentissi-

ναικὶ ξυνοικῶν εὐπρεπεῖ τὴν ὄψιν ἐς ἄγαν οὔσῃ. ταῦτά τοι οὐδέ τι ἀνεσώσατο τῇ βασιλείᾳ ὧν ἀφῄρητο πρότερον, ἀλλὰ καὶ Λιβύην προσαπώλεσε καὶ αὐτὸς ἐφθάρη. καὶ ἐπειδὴ ἐτελεύτησε, τῇ τε γυναικὶ ταῖς τε παισὶ δοριαλώτοις γενέσθαι ξυνέπεσε. γέγονε δὲ ὧδε τὸ ἐν Λιβύῃ πάθος.

Στρατηγὼ δύο Ῥωμαίοι ἤστην, Ἀέτιός τε καὶ Βονιφάτιος, καρτερώ τε ἐς τὰ μάλιστα καὶ πολλῶν πολέμων ἐμπείρω τῶν γε κατ' ἐκεῖνον τὸν χρόνον οὐδενὸς ἧσσον. τούτω τὼ ἄνδρε διαφόρω μὲν τὰ πολιτικὰ ἐγενέσθην, ἐς τοσοῦτον δὲ μεγαλοψυχίας
C τε καὶ τῆς ἄλλης ἀρετῆς ἡκέτην ὥστε, εἴ τις αὐτοῖν ἑκάτερον ἄνδρα Ῥωμαίων ὕστατον εἴποι, οὐκ ἂν ἁμάρτοι· οὕτω τὴν Ῥωμαίων ἀρετὴν ξύμπασαν ἐς τούτω τὼ ἄνδρε ἀποκεκρίσθαι τετύχηκε. τούτοιν τὸν ἕτερον Βονιφάτιον ἡ Πλακιδία στρατηγὸν ἀπέδειξε Λιβύης ἁπάσης. τοῦτο δὲ οὐ βουλομένῳ ἦν Ἀετίῳ, ἀλλ' ἥκιστά γε ὡς αὐτὸν οὐκ ἀρέσκει ἐξήνεγκεν. οὔπω γὰρ αὐτοῖν ἡ ἔχθρα ἐς φῶς ἐληλύθει, ἀλλ' ὑπὸ τῷ προσωπείῳ ἑκατέρῳ ἐκρύπτετο. ἐπεὶ δὲ ὁ Βονιφάτιος ἐκποδὼν ἐγεγόνει, διέβαλλεν αὐτὸν ἐς τὴν Πλακιδίαν ὡς τυραννοίη, ἀποστερήσας αὐτήν τε καὶ βασιλέα Λιβύης ἁπάσης, ῥᾴδιόν τε εἶναι αὐτῇ ἔλεγε τἀληθὲς ἐξ-
D ευρεῖν· ἢν γὰρ μεταπέμποιτο Βονιφάτιον ἐς Ῥώμην, οὐ μή ποτε ἔλθῃ. ἐπεὶ δὲ ταῦτα ἤκουσεν ἡ γυνή, εὖ τέ οἱ εἰπεῖν Ἀέτιος ἔδοξε καὶ κατὰ ταῦτα ἐποίει. προτερήσας δὲ Ἀέτιος ἔγραψε πρὸς Βονιφάτιον λάθρα ὡς ἐπιβουλεύοι αὐτῷ ἡ βασιλέως μήτηρ

23. ἐπιβουλεύοι] ἐπιβουλεύει A.

mam. Quare adeo non eorum quidquam, quae prius ablata fuerant, Imperio recuperavit, ut insuper Africam, immo vero vitam amiserit, eoque mortuo, in manus hostium venerit capta cum filiabus uxor: sic demum, ut dicam, Africae calamitas contigit.

Duces erant Romani duo, Aëtius et Bonifacius, fortissimi, nec minus quam quivis hominum, quos illa tulit aetas, usu bellorum exercitі. Illi quidem in administranda Republica inter se discrepabant; tanta vero animi magnitudine, eoque virtutis cumulo praediti erant, ut vere dici possit uterque vir summus Romanorum: nimirum Romana virtus omnis in par illud confluxerat. Cum Bonifacium universae comitem Africae Placidia declarasset, aegre id quidem Aëtius, obscure tamen ac dissimulanter ferebat. Nondum enim eorum simultates eruperant, sed vultu uterque mentito odium occultabat. Postea vero quam discessit Bonifacius, ad Placidiam Aëtius detulit, Africam omnem ipsi et Imperatori ab illo iam tyranno ereptam: subiecit, verum deprehendi facile posse: nunquam enim venturum Bonifacium, si Romam acciretur. His auditis, probavit consilium femina, et explevit. Praemiserat iam Aëtius arcanas ad Bonifacium literas, per quas significabat insidiari ipsi Imperatoris ma-

καὶ βούλοιτο αὐτὸν ἐκποδὼν ποιήσασθαι. καί οἱ τεκμήριον τῆς ἐπιβουλῆς προηγόρευεν ἔσεσθαι μέγα· ἐξ αἰτίας γὰρ οὐδεμιᾶς αὐτίκα μάλα μετάπεμπτος ἔσται. ταῦτα μὲν ἡ ἐπιστολὴ ἐδήλου. Βονιφάτιος δὲ οὐκ ἀλογήσας τὰ γεγραμμένα, ἐπειδὴ τάχιστα παρῆσαν οἱ αὐτὸν ἐς βασιλέα ἐκάλουν, ἀπεῖπε τὸ μὴ βασιλεῖ τε καὶ τῇ αὐτοῦ μητρὶ ἐπακούειν, οὐδενὶ τὴν Ἀετίου ὑποθήκην ἐκφήνας. Πλακιδία μὲν οὖν ὡς ταῦτα ἤκουσεν, Ἀέτιόν τε τοῖς βασιλέως πράγμασιν εὔνουν ἐς τὰ μάλιστα ᾤετο καὶ τὰ ἀπὸ Βονι- P 184 φατίου ἐν βουλῇ εἶχε. Βονιφάτιος δὲ (καὶ γὰρ οἱ οὔτε βασιλεῖ ἐδόκει ἀντιτάξασθαι οἵῳ τε εἶναι, ἐς Ῥώμην τε ἀπιόντι οὐδεμία σωτηρία ἐφαίνετο) βουλεύεται ὅπως οἱ, ἢν δύνηται, ὁμαιχμία ἐς τοὺς Βανδίλους ἔσται, οἳ ἐν Ἰσπανίᾳ, ὡς πρόσθεν εἴρηται, οὐ πόρρω Λιβύης ἱδρύσαντο. ἔνθα δὴ Γοδίγισκλος μὲν ἐτεθνήκει, διεδεξάσθην δὲ τὴν ἀρχὴν οἱ ἐκείνου παῖδες, Γόνθαρις μὲν ἐκ V 349 γυναικὸς αὐτῷ γεγονὼς γαμετῆς, Γιζέριχος δὲ νόθος. ἀλλ' ὁ μὲν ἔτι τε ἦν παῖς καὶ τὸ δραστήριον οὐ σφόδρα ἔχων, Γιζέριχος δὲ τά τε πολέμια ὡς ἄριστα ἐξήσκητο καὶ δεινότατος ἦν ἀνθρώ- B πων ἁπάντων. πέμψας οὖν ἐς Ἰσπανίαν Βονιφάτιος τοὺς αὐτῷ μάλιστα ἐπιτηδείους ἑκάτερον τῶν Γοδιγίσκλου παίδων ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ προσεποιήσατο, ἐφ' ᾧ αὐτῶν ἕκαστον τὸ Λιβύης τριτημόριον ἔχοντα τῶν κατ' αὐτὸν ἄρχειν· ἢν δέ τις ἐπ' αὐτῶν τινα ἴοι πολεμήσων, κοινῇ τοὺς ἐπιόντας ἀμύνασθαι. ἐπὶ ταύτη τῇ ὁμολογίᾳ Βανδίλοι τὸν ἐν Γαδείροις πορθμὸν διαβάντες ἐς

4. τὰ γεγραμμένα] ἴσ. τῶν γεγραμμένων Hm. 15. Γιζέριχος] ζιγέριχος AH. 21. αὐτῶν] αὐτόν HL.

trem, et eripere vitam velle: praemonebat magnum machinationis indicium allatum iri: fore enim propediem ut indicta causa revocaretur. Haec erat literarum sententia: quam minime negligens Bonifacius, ut primum affuere qui ipsum accersebant ad principem, et huic, et matri eius parere abnuit, nemini prodita Aëtii commonitione. Certior de his facta Placidia, sibi persuasit res Imperatoris maxime cordi esse Aëtio, quidque in Bonifacium oporteret suscipi inquisivit. Bonifacius vero, cum nec resistere se posse Imperatori videret, nec, si Romam peteret, salutis ulla spes oboriretur, statuit omni ope eniti, ut societatem coiret cum Vandalis, quos supra dixi in Hispania prope Africam sedes fixisse: ubi iam mortuo Godigisclo, dominatum susceperant eius filii, Gontharis, ex iusta ipsi uxore natus, et Gizerichus nothus: verum ille adhuc puer, et natura parum industrius; hic in armis optime exercitatus, ac mortalium omnium solertissimus. Igitur nonnullos ex intimis in Hispaniam misit, sibique ambos Godigiscli filios adiunxit aequali conditione et his legibus, ut Africae tertiam quisque partem obtineret, ac seorsum praeesset suis: quod si quis ipsorum bello peteretur, aggressorem coniuncte repellerent. Ad eam pactionem accessere Vandali, transmissoque freto Gaditano, pe-

Λιβύην ἀφίκοντο καὶ Οὐισίγοτθοι ἐν τῷ ὑστέρῳ χρόνῳ ἐν Ἱσπα-
νίᾳ ἱδρύσαντο. ἐν δὲ τῇ Ῥώμῃ οἱ Βονιφατίῳ ἐπιτήδειοι, τοῦ
H 96 *τε τρόπου ἐνθυμούμενοι τοῦ ἀνθρώπου ἐκλογιζόμενοί τε ἡλίκος ὁ*
C *παράλογος ἦν, ἐν θαύματι μεγάλῳ ἐποιοῦντο, εἰ Βονιφάτιος τυ-*
ραννοίη, τινὲς δὲ αὐτῶν Πλακιδίας ἐπαγγελλούσης ἐς Καρχη-
δόνα ἦλθον. ἔνθα δὴ Βονιφατίῳ συγγενόμενοι τά τε Ἀετίου
γράμματα εἶδον καὶ τὸν πάντα λόγον ἀκούσαντες ἐς Ῥώμην ὡς
εἶχον τάχους ἀνέστρεφον, καὶ ὅπως αὐτῇ Βονιφάτιος ἔχοι ἀπήγ-
γελλον. καταπλαγεῖσα δὲ ἡ γυνὴ Ἀέτιον μὲν οὐδὲν εἰργάσατο
ἄχαρι, οὐδέ τι ὠνείδισεν ὧν αὐτῷ ἐς τὸν βασιλέως οἶκον ἐπέπρα-
κτο, ἐπεὶ αὐτός τε δυνάμει μεγάλῃ ἐχρῆτο καὶ τὰ τῆς βασιλείας
πράγματα πονηρὰ ἤδη ἦν· τοῖς δὲ Βονιφατίου φίλοις τήν τε Ἀε-
D *τίου ὑποθήκην ἔφραζε καὶ πίστεις παρεχομένη καὶ ὅρκια ἔχρῃζεν*
αὐτῶν ὅπως τὸν ἄνδρα, ἢν δύνωνται, πείσωσιν ἐπανήκειν ἐς τὰ
πάτρια ἤθη, οὐ περιιδόντα ὑπὸ βαρβάροις κειμένην τὴν Ῥωμαίων
ἀρχήν. ἐπεὶ δὲ ὁ Βονιφάτιος ἤκουσε ταῦτα, τῆς τε πράξεως
αὐτῷ καὶ τῆς ἐς τοὺς βαρβάρους ὁμολογίας μετέμελε, καὶ αὐτοὺς
ἐλιπάρει μύρια πάντα ὑποσχόμενος ἀπὸ Λιβύης ἀνίστασθαι. τῶν
δὲ οὐκ ἐνδεχομένων τοὺς λόγους, ἀλλὰ περιυβρίζεσθαι οἰομέ-
νων, ἐς χεῖρας αὐτοῖς ἐλθεῖν ἠναγκάσθη καὶ ἡσσηθεὶς τῇ μάχῃ
ἐς Ἱππονερέγιον ἀνεχώρησε, πόλιν ἐχυρὰν ἐν Νουμιδίᾳ τῇ ἐπὶ

5. *Καρχηδόνα*] *καλχηδόνα* HL. 12. *πονηρὰ*] *πόνηρα* P. 13. *καὶ ὅρκια*] *ἢ ὅρκια* L. 17. *μετέμελε*] *μετέβαλε* HL. *μετέλαβε* Hm, quod ex Reg. affert Maltretus. 21. *Ἱππονερέγιον*] *ἱπποναράγιον* LHm. *ἱππῶνα ῥέγιον* LmPm. Conf. ad p. 185 a. 244 c. 245 a. b. c.

dem in Africa posuere. Postea Visigotthi Hispaniam tenuerunt. Romae autem qui Bonifacium familiarius noverant, illis considerantibus viri mores, ac reputantibus quam esset inopinabile quod audiebant, permirum videbatur occupasse tyrannidem Bonifacium. Eorum quidam Placidiae iussu Carthaginem iverunt: ubi, cum in congressum Bonifacii venissent, legerunt Aëtii literas: tum omnia ordine edocti, Romam quam celerrime reversi sunt, et Placidiae, quo in ipsam esset animo Bonifacius, enuntiarunt. His obstupefacta Placidia, quoniam plurimum pollebat Aëtius, resque Imperii iam aegrae et inclinatae erant, idcirco, quae in Augusti domum ille peccaverat, ea ulcisci, immo vero exprobrare tunc supersedit. Sed monita, quibus ab Aëtio occupata fuerat, edidit amicis Bonifacii, et fidem dans ac iureiurando devinciens obsecravit, ut, si quo modo possent, ei reditum in patriam persuaderent, atque instarent, ne a Barbaris Imperium Rom. proculcari sineret. Quibus auditis Bonifacius, facti poenitens et pactionis cum Barbaris initae, illos, ut ex Africa demigrarent, et precibus, et promissis amplissimis inducere contendit. Qui cum dicta respuerent, haberi se ludibrio rati, acie decernere coactus est, victusque Hipponem Regium se recepit, Numidiae munitam ac maritimam urbem,

θαλάσσῃ κειμένην. ἔνθα δὴ οἱ Βανδίλοι στρατοπεδευσάμενοι Γιζερίχου σφίσιν ἡγουμένου ἐπολιόρκουν· Γόνθαρις γὰρ ἤδη ἐτεθνήκει. φασὶ δὲ αὐτὸν πρὸς τοῦ ἀδελφοῦ ἀπολέσθαι. Βανδίλοι P 185 δὲ τούτοις οὐχ ὁμολογοῦντες Γόνθαρίν φασιν ἐν Ἱσπανίᾳ πρὸς Γερμανῶν ξυλληφθέντα ἐν μάχῃ ἀνασκολοπισθῆναι, καὶ Γιζέριχον ἤδη αὐτοκράτορα ὄντα Βανδίλοις ἐς Λιβύην ἡγήσασθαι. ταῦτα μὲν δὴ οὕτω πρὸς Βανδίλων ἀκήκοα. χρόνου δὲ πολλοῦ διελθόντος, ἐπεὶ οὔτε βίᾳ οὔτε ὁμολογίᾳ τὸ Ἱπποneρέγιον παραστήσασθαι οἷοί τε ἦσαν καὶ τῷ λιμῷ ἐπιέζοντο, τὴν προσεδρείαν διέλυσαν. ὀλίγῳ δὲ ὕστερον χρόνῳ Βονιφάτιός τε καὶ οἱ ἐν Λιβύῃ Ῥωμαῖοι, ἐπεὶ αὐτοῖς ἔκ τε Ῥώμης καὶ Βυζαντίου πολὺς στρατὸς ἦλθε καὶ στρατηγὸς Ἄσπαρ, ἀναμαχέσασθαί τε ἠξίουν B καὶ μάχης καρτερᾶς γενομένης παρὰ πολὺ ἡσσημένοι τῶν πολεμίων ὅπῃ ἕκαστος ἐδύναντο ἐς φυγὴν ὥρμηντο. καὶ ὅ τε Ἄσπαρ ἐπ' οἴκου ἀπεκομίσθη καὶ Βονιφάτιος ὡς Πλακιδίαν ἀφικόμενος τὴν ὑποψίαν διέλυεν, ὡς οὐκ ἐξ ἀληθοῦς αἰτίας ἐς αὐτὸν γένοιτο.

δ'. Τὴν μὲν δὴ Λιβύην οὕτω Βανδίλοι Ῥωμαίους ἀφελόμενοι V 350 C ἔσχον. τῶν δὲ πολεμίων οὓς λάβοιεν ζῶντας ἐς ἀνδραπόδων ποιούμενοι μοῖραν ἐν φυλακῇ εἶχον. ἐν τούτοις δὲ καὶ Μαρκιανὸν ξυνέπεσεν εἶναι, ὃς ὕστερον Θεοδοσίου τελευτήσαντος τὴν βασιλείαν παρέλαβε. τότε μέντοι Γιζέριχος ἐν τῇ βασιλέως αὐλῇ

8. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. Conf. p. 330, 8. *ibid.* Ἱπποnερέγιον] Ἱππονεράγιον LHm. 12. ἀναμαχέσασθαι] ἀναμάχεσθαι LHm. 14. ὅ τε] Vulgo ὅτε. *ibid.* ὁ Ἄσπαρ P. ὁ om. AL. 21. παρέλαβε L. παρέλαβεν P.

quam Barbari castris positis obsederunt, duce Gizericho. Iam enim Gontharis diem obierat, fratre auctore mortis, ut fama est: cui refragantes Vandali, in Hispania a Germanis captum in proelio, crucique affixum Gontharin, et Vandalos a Gizericho, cum solus regnaret, ductos in Africam fuisse ferunt: sic a Vandalis ipsis accepi. Demum multo elapso tempore, postquam nec vi Hipponem Regium, nec conventione in suam potestatem redigere valuerunt, illos ab obsidione fames abstraxit. Aliquanto post Bonifacius, et qui erant in Africa Romani, aucti copiis, quae Roma et Byzantio magno numero venerant cum Aspare Magistro militum, pugnam depoposcerunt: qua fortiter edita, ab hostibus affecti insigni clade, in fugam, prout erat cuique copia, se coniecerunt. Tum Aspar domum rediit, et Bonifacius cum ad Placidiam se retulisset, suspicionem in se falso collatam diluit.

4. Ita quidem, ut dictum est, Vandali erepta Romanis Africa potiti sunt: hostibus autem, quos vivos ceperant, servitute iniuncta, illos custodiis asservarunt. In eo forte numero Marcianus erat, is, qui deinde, Theodosio mortuo, Imperium adeptus est. Adesse tum in aula Regia captivos iussit Gizericus, ut perspiceret cui quisque hero infra dignita-

παρεῖναι τοὺς αἰχμαλώτους ἐκέλευεν, ὅπως μέν οἱ εἰδέναι σκοπου-
μένῳ ἐξῇ ὅτῳ ἂν δεσπότῃ αὐτῶν ἕκαστος οὐκ ἀπὸ τῆς αὐτοῦ ἀξίας
δουλεύοι. καὶ ἐπειδὴ συνελέγησαν αἴθριοι, ἀμφὶ ἡμέραν μέσην
D ὥρᾳ θέρους ἀχθόμενοι τῷ ἡλίῳ ἐκάθηντο. ἐν αὐτοῖς δὲ καὶ
Μαρκιανὸς ὅπου δὴ ἀπημελημένως ἐκάθευδε. καί τις αὐτοῦ ἀε-
τὸς ὑπερίπτατο, τὰ πτερά, ὥς λέγουσι, διαπετάσας, ἀεί τε μέ-
νων ἐν τῇ αὐτῇ τοῦ ἀέρος χώρᾳ μόνον τὸν Μαρκιανὸν ἐπεσκία-
ζεν. ἐκ δὲ τῶν ὑπερῴων τὸ ποιούμενον ἰδὼν Γιζέριχος, ἀγχίνους
τις ὢν μάλιστα, θεῖόν τε εἶναι τὸ πρᾶγμα ὑπώπτευσε καὶ τὸν ἄν-
θρωπον μεταπεμψάμενος ἐπυνθάνετο αὐτοῦ ὅστις ποτὲ εἴη. ὁ δὲ
τῶν ἀπορρήτων Ἄσπαρι ἔφη κοινωνὸς εἶναι· δομέστικον δὲ τοῦ-
τον τῇ σφετέρᾳ γλώσσῃ καλοῦσι Ῥωμαῖοι. ταῦτα Γιζερίχῳ ἀκού-
P 186 σαντι καὶ ξυμβαλομένῳ μὲν τὸ τοῦ ὄρνιθος ἔργον, τὴν δὲ Ἄσπα-
ρος δύναμιν ἐν νῷ ἔχοντι ὅσῃ ἐν Βυζαντίῳ ἐχρῆτο, καταφανὲς
ἐγίνετο ὡς ἀνὴρ ἄγοιτο. κτεῖναι μὲν οὖν αὐτὸν ἥκιστα ἐδικαίου,
ἐκλογιζόμενος ὡς, ἢν μὲν ἐξ ἀνθρώπων αὐτὸν ἀφανίζῃ, εὔδηλον
ἔσται ὡς οὐδὲν ἂν τὸ τῷ ὄρνιθι ποιηθὲν εἴη (οὐ γὰρ βασιλέα τῇ
σκιᾷ θεραπεύοι, ὅς γε αὐτίκα δὴ ἀπολεῖσθαι ἔμελλε), λόγῳ τε
αὐτὸν οὐδενὶ κτείνοι· ἢν δέ γε χρῆν ἐν τῷ ὑστέρῳ χρόνῳ βασι-
λεῦσαι τὸν ἄνθρωπον, οὐ μήποτέ οἱ θανάτῳ καταληπτὸς ἔσται·
τὰ γὰρ τοῦ θεοῦ ἐς βουλὴν ἥκοντα οὐκ ἂν δύναιτο ἀνθρώπου
γνώμῃ κωλυτὰ εἶναι. ὅρκοις δὲ αὐτὸν καταλαμβάνει ὡς, ἢν ἐπ'

2. ἀπὸ] ἄπω (sic) L. 4. ἡλίῳ — εἰσάγουσιν εἴς τι (p. 187 a.) om. HL: habent AVP et vertit RV. *ibid.* δὲ καὶ V. Aberat καὶ. 5. ὅπου] ὅπῃ A. 9. θεῖόν τε V. θεῖον δὲ P.

tem suam serviret. Illi sub dium coacti, circiter meridiem, cum a sole, quippe aestivo, languescerent, sederant: inter quos Marcianus, nullo habito delectu loci, negligenter stratus ducebat somnum, quadam interim, ut perhibent, aquila supervolante, quae passis alis ita se librabat, eundemque in aëre locum insistebat, ut umbra blandiretur uni Marciano. Rem Gizericus e superiori contemplatus aedium parte, atque, ut erat sagacissimo vir ingenio, divinum ostentum interpretatus, hominem ad se accitum, quis tandem sit, rogat. Hic se Aspari ab arcanis esse respondit (Domesticum sua lingua Romani vocant). Quo Gizericus audito, avis omen coniectura pendens, atque animo reputans quantis Aspar opibus Byzantii polleret, virum haberi strenuum Marcianum manifesto collegit: nec fas esse duxit eum vita spoliare, secum ita cogitans, si ipsum e medio tolleret, evidens fore, nihil volucrem portendisse: neque enim umbra officiosa gratificaretur Imperatori, qui continuo post interiturus esset: praeterea caedem eius iniquam fore. Sin Deus illi destinasset imperium, nunquam penes se futurum arbitrium ipsius necis, cum divina consilia humanis impediri nequeant. Caeterum iureiurando eum obstrinxit, ut si

αὐτῷ ἔσται, οὔποτε πρός γε Βανδίλους ἐν ὅπλοις γένηται. οὕτω B δὴ Μαρκιανὸς ἀφειμένος ἐς Βυζάντιον ἀφίκετο καὶ Θεοδοσίου χρόνῳ ὕστερον τελευτήσαντος ἐξεδέξατο τὴν βασιλείαν. καὶ τὰ μὲν ἄλλα ξύμπαντα βασιλεὺς ἐγεγόνει ἀγαθός, τὰ δὲ ἀμφὶ Λιβύην ἐν οὐδενὶ ἐποιήσατο λόγῳ. ἀλλὰ ταῦτα μὲν ἐν τῷ ὑστέρῳ χρόνῳ ἐγένετο.

Γιζέριχος δὲ τότε Ἄσπαρά τε καὶ Βονιφάτιον μάχῃ νικήσας, πρόνοιάν τε ἐπιδειξάμενος ἀφηγήσεως ἀξίαν, τὴν εὐτυχίαν ὡς μάλιστα ἐκρατύνατο. δείσας γάρ, ἢν καὶ αὖθις ἔκ τε Ῥώμης καὶ Βυζαντίου στρατὸς ἐπ' αὐτὸν ἴοι, μὴ οὐχ οἷοί τε ὦσιν οἱ Βανδίλοι τῇ τε ῥώμῃ καὶ τῇ τύχῃ ὁμοίᾳ χρῆσθαι, ἐπεὶ τὰ ἀνθρώπεια C τοῖς τε θείοις σφάλλεσθαι καὶ τοῖς σώμασι φιλεῖ ἐλασσοῦσθαι, οὐχ οἷς εὐημέρησεν ἐπηρμένος, ἀλλ' οἷς ἔδεισε μέτριος γεγονώς, σπονδὰς πρὸς βασιλέα Οὐαλεντινιανὸν ποιεῖται ἐφ' ᾧ ἐς ἕκαστον ἔτος δασμοὺς ἐκ Λιβύης βασιλεῖ φέρειν, ἕνα τε τῶν παίδων Ὀνώριχον ἐν ὁμήρου μοίρᾳ ἐπὶ ταύτῃ δὴ τῇ ὁμολογίᾳ παρέδωκε. Γιζέριχος μὲν οὖν ἔν τε τῇ μάχῃ ἐγένετο ἀνὴρ ἀγαθὸς καὶ τὴν νίκην ὡς ἀσφαλέστατα διεφύλαξε καὶ Ὀνώριχον τὸν παῖδα τῆς φιλίας αὐτοῖς ἐς μέγα χωρούσης ἀπέλαβεν. ἐν δὲ δὴ Ῥώμῃ Πλακιδία μὲν πρότερον ἐτελεύτα, ἔπειτα δὲ Οὐαλεντινιανὸς ὁ ταύτης υἱός, ἄπαις ἄρσενος γόνου, θυγατέρε μέντοι αὐτῷ δύο ἐξ Εὐδοξίας τῆς D

3. ἐξεδέξατο] ἐδέξατο V. 14. Οὐαλεντ—] Vulgo Βαλεντ— hic et ter deinceps. 15. 18. ὀνώριχον A. ὀνόριχον V. Ὀνόριχον P. Ὁνορίχῳ scriptum in Excerpt. Legat. p. 219, 1. ed. Niebuhr.: sed Ὁνωρ— ibid. p. 157, 11. 239, 10. 19. δὴ V. τῇ P. 20. δὲ V. δὲ ὁ P.

quando sui iuris ac mancipii fuerit, nunquam bello Vandalos petat. Itaque dimissus Marcianus Byzantium venit, vitaque functo post Theodosio, cum Imperium suscepisset, praeclarus caetera ac generosus princeps, res Africae omnino neglexit. Sed haec postea.

Tum autem acie victis Aspare et Bonifacio, sibi felicitatem memorabili providentia Gizericus asseruit. Etenim veritus ne si alter contra ipsum exercitus Roma ac Byzantio mitteretur, non iisdem viribus Vandali nec pari uterentur fortuna, cum ea sit rerum humanarum conditio, ut opem Deo subtrahente ruant, et pariter cum corporibus senescant ac debilitentur, idcirco non elatus successu, sed metu provido animum ad moderationem componens, pacem cum Valentiniano Aug. hac lege pepigit, ut ex Africa tributum annuum Imperatori mitteret: cuius pacti conventi obsidem e suis unum liberis tradidit, Honoricum. Igitur Gizericus re fortiter gesta in praelio, victoriam firmissime retinuit, itaque crevit amicitia, ut Honoricum filium receperit. Romae extremum diem morte confecit primum Placidia, deinde eius filius Valentinianus, nulla sobole relicta

Θεοδοσίου παιδὸς ἐγενέσθην. ὅτῳ δὲ τρόπῳ Οὐαλεντινιανὸς ἐτελεύτα, λέξων ἔρχομαι.

Μάξιμος ἦν τις ἐκ γερουσίας ἀνὴρ Ῥωμαῖος, ἐκ τῆς ἐκεί-
V 351 *νου Μαξίμου οἰκίας, ὃν πρεσβύτερος Θεοδόσιος τυραννοῦντα καθελὼν ἔκτεινεν· ὑπὲρ οὗ δὴ καὶ τὴν ἐνιαύσιον ἑορτὴν ἄγουσι Ῥωμαῖοι τῆς τοῦ Μαξίμου ἥσσης ἐπώνυμον. οὗτος ὁ νεώτερος Μάξιμος γυναικὶ ξυνῴκει σώφρονί τε τὸν τρόπον καὶ τὸ κάλλος διαβοήτῳ ἐς ἄγαν οὔσῃ. διὸ δὴ αὐτῇ ἐς κοίτην ἐλθεῖν Οὐαλεντινιανῷ τις ἐπιθυμία ἐγένετο. καὶ ἐπεὶ βουλομένῳ αὐτῇ ξυγγενέσθαι ἀμήχανα ἦν, ἐβούλευσέ τε ἀνόσια ἔργα καὶ ἐπιτελῆ ταῦτα*
P 187 *ἐποίησε. μεταπεμψάμενος γὰρ τὸν Μάξιμον ἐς παλάτιον ξὺν αὐτῷ ἐς τὸ πεττεύειν καθίστατο, καὶ χρυσίον ῥητὸν ἐτέτακτο ἡ ζημία τῷ ἡσσηθέντι· νενικηκὼς δὲ ὁ βασιλεὺς ἐν τούτῳ τῷ ἔργῳ καὶ τὸν Μαξίμου δακτύλιον ἐνέχυρον τῷ ξυγκειμένῳ κεκομισμένος ἐς τὴν ἐκείνου οἰκίαν πέμπει, εἰπεῖν ἐπιστείλας τῇ γυναικὶ ὅτι δὴ αὐτὴν κελεύει Μάξιμος ὡς τάχιστα ἐς παλάτιον ἥκειν τὴν βασιλίδα Εὐδοξίαν ἀσπασομένην. καὶ ἡ μὲν τὸν λόγον τῷ δακτυλίῳ τεκμηραμένη Μαξίμου εἶναι ἐσβᾶσα ἐς τὸ φορεῖον κομίζεται ἐς τὴν βασιλέως αὐλήν. λαβόντες δὲ αὐτὴν οἷς δὴ αὕτη ἐκ βασιλέως ἡ ὑπουργία ἐπέκειτο, εἰσάγουσιν εἴς τι δωμάτιον τῆς γυναικωνίτιδος μακρὰν ἄποθεν, οὗ δὴ αὐτῇ ὁ Οὐαλεντινιανὸς ἐντυχὼν οὔτι*

8. *ἦν τις*] *τις ἦν* A. 10. *ἀμήχανα* AV. *ἀμήχανον* P. 14. *τῷ ξυγκειμένῳ* (*συγκειμένῳ* V)] *τοῦ ξυγκειμένου* Pm. 18. *ἐς* A. *εἰς* PV. *ibid.* *ἐς τὸ* A. *εἰς τὸ* PV. 19. *λαβόντες δὲ αὐτὴν* addidi ex V. *ibid.* *δὴ* AV. *δὲ* P. *ibid.* *αὕτη* om. A. 21. *οὗ*] *οὐ* P. *ibid.* *οὐαλεντινιανὸς* H. *βουαλεντινιανὸς* L. *Βαλεντινιανὸς* P.

mascula, sed filiarum duntaxat pari, quas ex Eudoxia Theodosii filia susceperat. Nunc ad mortis eius narrationem transeo.

Maximus quidam erat senator Romanus, a stirpe ortus illius Maximi, quem Theodosius maior cum tyrannide, tum vita expulit: cuius rei gratia Romani festum solenne de nomine cladis Maximi dictum concelebrant. Minor hic Maximus uxorem habebat singulari continentia et forma commendatissimae famae praeditam. Hinc nata concubitus obscoeni libidine ardens Valentinianus, cum ad optatum feminae congressum nulla via daretur, nefarium hoc excogitavit consilium et peregit. Accito in palatium Maximo, cum eo coepit latrunculis ludere, dicto prius, quod auri numero mulctaretur qui victus esset. Superior princeps pignori accipit ex compacto annulum Maximi: mox domum mittit qui ipsius uxori significent velle Maximum ut in palatium quamprimum veniat, salutem dictura Augustae. Illa mandatum vere a Maximo perferri coniecit ex annulo: tum lecticam ingressa et ad aulam delata Imperatoris, a lenocinii ministris in quoddam cubiculum inducitur a gynaeceo remotius, ubi ipsam Valentinianus convenit, vimque attulit obluctanti. Post foedam corporis

ἑκουσίαν βιάζεται. ἡ δὲ μετὰ τὴν ὕβριν ἐς τοῦ ἀνδρὸς τὴν οἰκίαν B *ἐλθοῦσα δεδακρυμένη τε καὶ τῇ συμφορᾷ ὡς ἔνι μάλιστα συναλγοῦσα πολλὰς ἐπέβαλλε τῷ Μαξίμῳ ἀρὰς, ἅτε τοῖς πεπραγμένοις τὴν αἰτίαν παρασχομένῳ. περιώδυνος τοίνυν ὁ Μάξιμος τοῖς ξυμπεσοῦσι γενόμενος αὐτίκα μὲν ἐς ἐπιβουλὴν τοῦ βασιλέως καθίστατο, ὡς δὲ τὸν Ἀέτιον ἑώρα μέγα δυνάμενον, ὃς καὶ Ἀττίλαν ἄρτι ἐνενικήκει στρατῷ μεγάλῳ, Μασσαγετῶν τε καὶ τῶν ἄλλων Σκυθῶν ἐς τὴν Ῥωμαίων ἀρχὴν ἐσβαλόντων, ἐνθύμιόν οἱ ἐγένετο ὡς οἱ Ἀέτιος ἐς τὰ πρασσόμενα ἐμπόδιος ἔσται. ταῦτά τε διανοουμένῳ ἄμεινον ἔδοξεν εἶναι τὸν Ἀέτιον ἐκποδὼν ποιήσασθαι πρότερον, οὐδὲν ποιησαμένῳ ὅτι ἐς αὐτὸν περιέστηκε πᾶσα* C *ἡ Ῥωμαίων ἐλπίς. τῶν δὲ ἀμφὶ τὴν βασιλέως θεραπείαν εὐνούχων εὐνοϊκῶς οἱ ἐχόντων, ἀνέπεισε ταῖς αὐτῶν μηχαναῖς βασιλέα ὡς νεωτέροις πράγμασιν ἐγχειροίη Ἀέτιος. Οὐαλεντινιανὸς δὲ ἄλλῳ οὐδενὶ ὅτι μὴ τῇ Ἀετίου δυνάμει τε καὶ ἀρετῇ τεκμηριώσας τὸν λόγον ὑγιᾶ εἶναι κτείνει τὸν ἄνδρα, ὅτε δὴ καὶ Ῥωμαίων τις ἔπος εἰπὼν εὐδοκίμησεν. ἐρομένου γὰρ αὐτὸν βασιλέως εἴ οἱ καλῶς ὁ τοῦ Ἀετίου θάνατος ἐργασθείη, ἀπεκρίνατο λέγων οὐκ ἔχειν μὲν εἰδέναι τοῦτο εἴτε εὖ εἴτε πῃ ἄλλῃ αὐτῷ εἴργασται, ἐκεῖνο* H 97 *μέντοι ὡς ἄριστα ἐξεπίστασθαι ὅτι αὐτοῦ τὴν δεξιὰν τῇ ἑτέρᾳ χειρὶ ἀποτεμὼν εἴη.* D

7. *ἐνενικήκει*] *ἐκνενικήκει* A. 8. *ἐσβαλόντων*] *ἐσβαλλόντων* HL. 10. *διανοουμένῳ* Pm. *διανοούμενος* P. 14. *οὐαλεντινιανὸς* A. *βουαλ—* L. *Βαλεν—* P. 17. *εἰπὼν*] Vulgo *εἰπεῖν*. 20. *αὐτοῦ*] *αὑτοῦ* P.

iniuriam aedibus mariti reddita, cadentibus ubertim lacrimis, suam vicem gravissime lamentabatur, et Maximum, tanquam auctorem flagitii, onerabat imprecationibus. Quamobrem Maximus dolore furens, continuo mentem ad exitium principi parandum appulit. Et quoniam Aëtium, Attilae et ingentis exercitus Massagetarum Scytharumque aliorum, qui in Rom. Imperium proruperant, recenti clade inclytum, potentia valere plurimum videbat, eum coeptis impedimento fore putavit. Haec meditanti praestabilius visum est ante omnia Aëtium e medio tollere, nulla habita ratione spei publicae Romanorum, quae in eo prorsus residebat. Cum autem eunuchorum palatinorum benevolentiam collegisset, illorum artibus Valentinianum induxit ut Aëtium novis rebus studere crederet. Is, licet e nulla re alia, nisi ex opibus et magnanimitate Aëtii, nihil habere falsi delationem coniiceret, ipsi virum eripuit. Quo tempore Romanus quidam dicto egregio sibi famam confecit. Roganti enim Imperatori num factum bonum esset, quod sustulisset Aëtium? respondit scire se minime posse idne recte an secus fecisset; hoc tantum plane se intelligere, ipsum sibi manum dexteram altera abscidisse.

Ἀετίου γοῦν τελευτήσαντος Ἀττίλας, οὐδενός οἱ ἀντιπάλου
ὄντος, Εὐρώπην τε ξύμπασαν πόνῳ οὐδενὶ ἐληΐζετο καὶ βασιλείαν
ἑκατέραν ἐπακούουσαν ἐς φόρου ἀπαγωγὴν ἔσχε. δασμοὶ γὰρ αὐ-
τῷ πρὸς τῶν βασιλέων ἐπέμποντο ἀνὰ πᾶν ἔτος. τότε τῷ Ἀττίλᾳ
πόλιν Ἀκυληίαν πολιορκοῦντι μεγάλην τε καὶ ἀτεχνῶς πολυάν-
θρωπον, παραλίαν μὲν, ἐκτὸς δὲ κόλπου τοῦ Ἰονίου οὖσαν,
τοιόνδε φασὶν εὐτύχημα ξυνενεχθῆναι. λέγουσι γὰρ αὐτὸν, ἐπειδὴ
P 188 οὔτε βίᾳ οὔτε τῳ ἄλλῳ τρόπῳ οἷός τε ἦν τὸ χωρίον ἑλεῖν, πρός τε
τὴν προσεδρείαν ἀπειπεῖν, ἤδη ἐπὶ μακρότατον γεγενημένην, καὶ
ἅπαν κελεῦσαι τὸ στράτευμα τὰ ἐς τὴν ἀναχώρησιν ἐν παρασκευῇ
αὐτίκα δὴ μάλα ποιήσασθαι, ὅπως δὴ τῇ ὑστεραίᾳ ἐνθένδε
ἅπαντες ἐξανιστῶνται ἅμα ἡλίῳ ἀνίσχοντι. ἡμέρᾳ δὲ τῇ ἐπιγε-
νομένῃ ἀμφὶ ἡλίου ἀνατολὰς λύσαντας μὲν τὴν προσεδρείαν τοὺς
βαρβάρους τῆς ἀφόδου ἔχεσθαι ἤδη, ἕνα δὲ πελαργὸν ἐπὶ πύρ-
γου τινὸς τοῦ τῆς πόλεως περιβόλου καλιάν τε ἔχοντα καὶ νεοτ-
τοὺς τρέφοντα ἐνθένδε ἐκ τοῦ αἰφνιδίου ξὺν τοῖς τέκνοις ἐξανα-
στῆναι. καὶ τὸν μὲν πατέρα πελαργὸν ἵπτασθαι, τοὺς δὲ πε-
λαργιδεῖς, ἅτε οὔπω ἐκπετησίμους παντάπασιν ὄντας, τὰ μὲν
B αὐτῷ μετέχειν τῆς πτήσεως, τὰ δὲ ἐπὶ τοῦ νώτου τοῦ πατρὸς φέ-
ρεσθαι, οὕτω τε ἀποπτάντας τῆς πόλεως ἑκαστάτω γενέσθαι.
ὃ δὴ Ἀττίλαν κατιδόντα (ἦν γὰρ δεινότατος ξυνιδεῖν τε καὶ ξυμ-
βαλεῖν ἅπαντα) κελεῦσαι τὸν στρατὸν αὖθις ἐν χώρῳ τῷ αὐτῷ
μένειν, ἐπειπόντα οὐκ ἄν ποτε εἰκῇ ἐνθένδε ἀποπτάντα ξὺν τοῖς

3. φόρου] φόρον L. 5. Ἀκυληίαν] ἀκυληΐας AL. 6. Ἰονίου L. Ἰωνίου P. 11. μάλα A. μάλιστα P. 14. ἀφόδου L. ἐφό-δου P. Conf. p. 179 d.

Et vero post obitum Aëtii, neminem sibi parem adversarium offendens Attilas, omnem facile Europam depopulatus est, atque Imperium utrumque habuit vectigale, tributum annuum Augustis ipsi pendentibus. Qua tempestate, cum trans sinum Ionium Aquileiam urbem maritimam, magnitudine et civium frequentia insignem circumsederet, casum hunc felicem dicitur habuisse. Iamdiu coepta obsidione, postquam urbem nec vi nec alia quapiam ratione capere potuit, despondens animum, copiis omnibus edixit, quae ad profectionem opus essent haberent in expedito, ut postridie primo sole moverent. Postero die, sub solis ortum, soluta obsidione Barbari discedebant, cum ecce ciconia, quae in quadam turri murorum urbis nidulata pullos alebat, inde subito cum prole exit. Volabat pater: pulli nondum plane ad volatum habiles, partim eum una tentabant, partim vehebantur parentis dorso: ita demum ab urbe longissime avolarunt. Id ubi Attilas animadvertit, rerum omnium coniector egregius, subsistere exercitum iubet, haec addens, non illud temere factum, neque

νεοττοῖς τὸν ὄρνιν οἴχεσθαι, εἰ μή τι ἐμαντεύετο φλαῦρον οὐκ εἰς V 352 μακρὰν τῷ χωρίῳ ξυμβήσεσθαι. οὕτω μὲν τὸ τῶν βαρβάρων στρατόπεδον αὖθις ἐς τὴν πολιορκίαν καταστῆναί φασι, τοῦ δὲ περιβόλου μοῖράν τινα οὐ πολλῷ ὕστερον ἐκείνην, ἣ τὴν τοῦ ὄρνιθος τούτου καλιὰν εἶχεν, ἀπ' οὐδεμιᾶς αἰτίας ἐξαπιναίως καταπεσεῖν καὶ τοῖς πολεμίοις ταύτῃ ἐσιτητὰ ἐς τὴν πόλιν γενέσθαι, οὕτω τε τὴν Ἀκυληίαν κατὰ κράτος ἁλῶναι. C

Ὕστερον δὲ καὶ βασιλέα οὐδενὶ πόνῳ ἔκτεινε Μάξιμος καὶ τὴν τυραννίδα ἔσχε, τῇ τε Εὐδοξίᾳ ξυγγέγονε βίᾳ. γυνὴ γάρ, ἥπερ αὐτῷ ξυνῴκει, τετελευτήκει οὐ πολλῷ πρότερον, καί ποτε αὐτῇ ἐν τῇ κοίτῃ προσέφερε λόγον ὡς τοῦ αὐτῆς ἔρωτος εἵνεκα πάντα εἴη διαπεπραγμένος ἃ εἴργαστο. τήν τε Εὐδοξίαν ἀχθομένην Μαξίμῳ καὶ πρότερον τίσασθαί τε αὐτὸν τῆς ἐς Οὐαλεντινιανὸν ἀδικίας ἐπιθυμοῦσαν, ἔτι δὲ μᾶλλον ἐς αὐτὸν οἰδαίνειν ὁ λόγος ἐποίησεν, ἔς τε τὴν ἐπιβουλὴν ἐνῆκεν, ἐπεὶ τῷ ἀνδρὶ αὐτῆς ἕνεκα ξυμβῆναι τὴν συμφορὰν Μαξίμου λέγοντος ἤκουσε. καὶ ἐπειδὴ τάχιστα ἡμέρα ἐγένετο, πέμπει ἐς Καρχηδόνα, δεομένη Γιζερίχου, τιμωρεῖν Οὐαλεντινιανῷ ὑπ' ἀνδρὸς ἀνοσίου διαφθαρέντι, D αὐτοῦ τε ἀναξίως καὶ τῆς βασιλείας, καὶ αὐτὴν ῥύεσθαι πάσχουσαν πρὸς τοῦ τυράννου ἀνόσια. ἐπέσκηπτε δὲ ὡς φίλῳ τε καὶ ξυμμάχῳ ὄντι Γιζερίχῳ. καὶ τηλικούτου δὲ πάθους ἐς οἶκον τὸν βασιλέως ξυμβάντος τὸ μὴ οὐχὶ τιμωρῷ γενέσθαι οὐχ ὅσιόν ἐστιν. ἐκ Βυζαντίου γὰρ τιμωρίαν οὐδεμίαν ᾤετο ἔσεσθαι, Θεο-

13. *Οὐαλ—*] *Βαλ—* P. 18. *Οὐαλ—*] *Βαλ—* P. *βουαλ—* L.

inde volucrem avolasse cum pullis, nisi quid sinistri urbi imminens praesagiret. Itaque Barbaricum exercitum se ad obsidium retulisse; ac paulo post muri partem, ubi avis nidificaverat, improviso collapsam, aditum et viam hosti in urbem dedisse; demum Aquileiam vi captam fuisse tradunt.

Deinde Maximus nullo negotio Imperatorem occidit: invasit tyrannidem, et uxore non ita pridem mortua, rem cum Eudoxia per vim habuit: cui aliquando in toro dixit, nihil se, nisi ipsius amore impulsum, fecisse. His dictis, Eudoxiae, quae iam ante satis erat offensa Maximo, et ab ipso patratum in Valentinianum scelus ulcisci percupiebat, acrius in eum bilis intumuit, et ad consilium perdendi hominis tum maxime inarsit animus, cum sui causa allatum marito interitum ex ore Maximi didicit. Ut illuxit, statim mittit Carthaginem, rogatque Gizericum, ne Valentinianum, contra suam et Imperii dignitatem ab homine impio peremtum, iacere inultum sinat, ipsamque infandis modis a tyranno habitam vindicet: neque omittit amicitiae et societatis nomine urgere, religionem incutiens, si commissum in Augusti domum tale facinus punire nolit. Nec vero ul-

δοσίου μὲν ἤδη ἐξ ἀνθρώπων ἀφανισθέντος, Μαρκιανοῦ δὲ τὴν βασιλείαν παραλαβόντος.

P 189 ε'. Γιζέριχος δὲ δι' ἄλλο μὲν οὐδέν, ὅτι δὲ αὐτῷ χρήματα ἔσεσθαι ὑπετόπασε, στόλῳ πολλῷ ἐς Ἰταλίαν κατέπλευσε. ἀναβὰς δὲ ἐς Ῥώμην, ἐπεὶ οὐδεὶς οἱ ἐμποδὼν ἕστηκε, τῶν βασιλείων ἐκράτησε. Μάξιμον μὲν οὖν φεύγοντα Ῥωμαῖοι λίθοις βαλόντες διέφθειραν, καὶ τήν τε κεφαλὴν τῶν τε ἄλλων μελῶν ἕκαστον ἀποτεμόμενοι διείλοντο σφίσι. Γιζέριχος δὲ τήν τε Εὐδοξίαν ἅμα Εὐδοκίᾳ τε καὶ Πλακιδίᾳ, ταῖς αὐτῆς τε καὶ Οὐαλεν-
B τινιανοῦ παισίν, αἰχμάλωτον εἷλε, χρυσοῦ τε καὶ ἀργύρου καὶ τῶν ἄλλων βασιλέως κτημάτων πολύ τι χρῆμα ἐν ταῖς ναυσὶν ἐνθέμενος ἐς Καρχηδόνα ἔπλει, οὔτε χαλκοῦ οὔτε ἄλλου ὁτουοῦν ἐν τοῖς βασιλείοις φεισάμενος. ἐσύλησε δὲ καὶ τὸν τοῦ Διὸς τοῦ Καπιτωλίου νεὼν καὶ τοῦ τέγους τὴν ἡμίσειαν ἀφείλετο μοῖραν. τοῦτο δὲ τὸ τέγος χαλκοῦ μὲν τοῦ ἀρίστου ἐτύγχανεν ὄν, χρυσοῦ δὲ αὐτῷ ὑπερχυθέντος ἁδροῦ ὡς μάλιστα μεγαλοπρεπές τε καὶ θαύματος πολλοῦ ἄξιον διεφαίνετο. τῶν δὲ μετὰ Γιζερίχου νεῶν μίαν μέν, ἣ τὰς εἰκόνας ἔφερε, φασὶν ἀπολέσθαι, πάσαις δὲ
H 98 ταῖς ἄλλαις οἱ Βανδίλοι ἐς τὸν Καρχηδόνος λιμένα κατῆραν.
C Εὐδοκίαν μὲν οὖν Γιζέριχος Ὀνωρίχῳ τῷ τῶν παίδων πρεσβυτέρῳ ξυνῴκισε, τὴν δὲ δὴ ἑτέραν (ἀνδρὶ γὰρ ξυνῴκει Ὀλυβρίῳ, τῶν ἐν βουλῇ τῇ Ῥωμαίων εὐδοκιμωτάτῳ) ἅμα τῇ μητρὶ Εὐδοξίᾳ, ἐξαιτησαμένου βασιλέως, ἐς Βυζάντιον ἔπεμψεν. ἤδη δὲ τὸ τῶν

9. Οὐαλ —] Βαλ — P. 15. ἀρίστου] ἀριστεροῦ L. ἀρίστου Lm.
21. ξυνῴκισε] ξυνῴκησε HL.

torem quenquam expectabat illa Byzantio, ubi iam decesserat Theodosius, et Imperii gubernacula Marcianus susceperat.

5. Gizericus non officio, sed spe divite inductus, cum classe ingenti Italiam petit, ac Romam ingressus, obstante nemine regiam occupat. Romani fugientem Maximum lapidum ictibus conficiunt, abscissumque illius caput et dissecta membra inter se partiuntur. Eudoxia cum Eudocia ac Placidia, quas Valentinianus ex ipsa procreaverat, captiva in Gizerici potestatem venit: qui magna auri argentique vi et Imperatoria supellectili in naves imposita, Carthaginem vela fecit; cum in aula nec alienis, nec re demum ulla manum abstinuisset. Iovis quoque Capitolini templum diripuit, ac mediam partem abstulit tecti: quod ex aere optimo ductum erat, multoque auro illito magnificentissimum et singulari dignum admiratione videbatur. E navibus Gizerici unam, qua simulacra vehebantur, periisse ferunt: reliquis Vandali in portum Carthaginis delati sunt. Eudociam Gizericus matrimonio iunxit cum Honorico filiorum maiori natu: alteram Valentiniani filiam Olybrio Senatorum Romae spectatissimo nuptam, Byzantium cum matre Eudoxia Imperatoris postu-

ἑῴων κράτος ἐς Λέοντα περιεστήκει, Ἄσπαρος ἐς τοῦτο αὐτὸν καταστησαμένου, ἐπειδὴ Μαρκιανὸς ἐξ ἀνθρώπων ἀπήλλακτο.

Ὕστερον δὲ Γιζέριχος ἐπενόει τοιάδε. τῶν ἐν Λιβύῃ πόλεων, πλὴν Καρχηδόνος, τὰ τείχη καθεῖλεν, ὡς ἂν μήτε αὐτοὶ D Λίβυες τὰ Ῥωμαίων ἑλόμενοι ἔκ τε ἐχυροῦ ὁρμᾶσθαι καὶ νεωτερίζειν ἱκανοὶ εἶεν μήτε τοῖς ἐκ βασιλέως στελλομένοις ἐν ἐλπίδι ἔσται ὡς καὶ πόλιν καταλήψονται καὶ φρουρὰν ἐν αὐτῇ ποιησάμενοι πράγματα Βανδίλοις παρέξονται. τότε μὲν οὖν εὖ τε ἔδοξε βουλεύεσθαι καὶ τὴν εὐημερίαν Βανδίλοις ὡς ἀσφαλέστατα δια- V 353 σώσασθαι, χρόνῳ δὲ τῷ ὑστέρῳ, ὅτε δὴ ἀτείχιστοι οὖσαι ῥᾷόν τε καὶ ἀπονώτερον πρὸς Βελισαρίου αἱ πόλεις αὗται ἡλίσκοντο, πολύν τε γέλωτα ἤδη Γιζέριχος ὦφλε καὶ ἡ τέως δοκοῦσά οἱ εὐβουλία ἐς ἄνοιαν αὐτῷ ἀπεκρίθη. ταῖς γὰρ δὴ τύχαις ἀεὶ τὰς δόξας ἐπὶ τοῖς πρότερον βεβουλευμένοις ξυμμεταβάλλεσθαι φιλοῦσιν ἄνθρωποι. τῶν δὲ Λιβύων εἴ τι μὲν δόκιμον ἐτύγχανεν ὂν καὶ πλούτῳ ἀκμάζον, αὐτοῖς ἀγροῖς τε καὶ πᾶσι χρήμασιν ἐν P 190 ἀνδραπόδων μοίρᾳ παρέδωκε τοῖς παισὶν Ὁνωρίχῳ τε καὶ Γένζωνι. Θεόδωρος γὰρ ὁ νεώτατος ἐτελεύτα ἤδη, ἄπαις τὸ παράπαν ἄρρενός τε καὶ θήλεος γόνου. Λίβυας δὲ τοὺς ἄλλους ἀφείλετο μὲν τοὺς ἀγρούς, οἳ πλεῖστοί τε ἦσαν καὶ ἄριστοι, ἐς δὲ τὸ τῶν Βανδίλων διένειμεν ἔθνος, καὶ ἀπ᾽ αὐτοῦ κλῆροι Βανδίλων οἱ ἀγροὶ οὗτοι ἐς τόδε καλοῦνται τοῦ χρόνου. τοῖς δὲ δὴ

2. Μαρκιανὸς] μαρκινιανὸς H. 5. ἐχυροῦ AL. ἰσχυροῦ P. 8. παρέξονται] Vulgo παρέξωνται. 13. ἀπεκρίθη] ἀπεκρίσθη H. 19. θήλεος AL. θήλεως P. 22. ἀγροὶ] ἐκεὶ L. οἶκοι Lm.

lata misit. Tunc penes Leonem erat Imperium Orientis, factione Asparis ipsi traditum, post obitum Marciani.

Dehinc placuit Gizerico urbium Africae, praeterquam Carthaginis, muros diruere, ut nec Afri studiosi Romanae partis e munito loco erumpere, novaque moliri possent, nec iis, quos Imperator mitteret, reliqua spes ulla esset obtinendae urbis cuiusquam, et imposito praesidio Vandalos infestandi. Sapienter tum ille quidem decernere, ac secundam fortunam optime Vandalis asserere visus est: ac postea cum Belisarius nuda moenibus oppida facilius atque expeditius caperet, multum sane tum risum debuit Gizericus, et prudens visum olim consilium, amens tandem habitum est; sic ferente hominum more, ut conceptae de consiliis quondam initis opiniones pariter cum eventis mutentur. Si qui inter Afros nobilitate et opibus florebant, eos ipsorumque latifundia ac rem omnem familiarem cum onere servitutis addixit filiis suis Honorico atque Genzoni: quorum frater natu minimus Theodorus iam ante obierat, nulla nec virili nec sequioris sexus relicta prole. Agros caeteris ademit Afris, plurimos sane et optimos, ac Vandalis divisit; unde *Vandalorum sortes*

πάλαι κεκτημένοις τὰ χωρία ταῦτα πένεσθαί τε ὡς μάλιστα καὶ ἐλευθέροις εἶναι ξυνέβαινεν· ἦν δὲ αὐτοῖς ἐν ἐξουσίᾳ καὶ ὅπη βούλοιντο ἀπαλλάσσεσθαι. καὶ τὰ μὲν χωρία ξύμπαντα, ὅσα B τοῖς τε παισὶ καὶ τοῖς ἄλλοις Βανδίλοις Γιζέριχος παραδεδώκει, οὐδεμιᾶς φόρου ἀπαγωγῆς ὑποτελῆ ἐκέλευσεν εἶναι. τῆς δὲ γῆς ὅση οἱ οὐκ ἀγαθὴ ἔδοξεν εἶναι, ἀφῆκε τοῖς πρότερον ἔχουσι, τοσαῦτα ἐνθένδε τῷ δημοσίῳ φέρεσθαι τάξας ὥστε οὐδ᾽ ὁτιοῦν περιῆν τοῖς τὰ χωρία τὰ σφέτερα αὐτῶν ἔχουσιν. ἔφευγον δὲ πολλοὶ καὶ ἐκτείνοντο. αἰτίαι γὰρ αὐτοῖς πολλαί τε καὶ χαλεπαὶ προσεφέροντο. πασῶν δὲ μία μεγίστη δὴ ἐδόκει εἶναι ὅτι χρήματά τις οἰκεῖα ἔχων ἀπέκρυπτεν. οὕτω τοὺς Λίβυας πᾶσα ἰδέα συμφορᾶς περιέστη.

Τοὺς δὲ Βανδίλους τε καὶ Ἀλανοὺς ἐς λόχους καταστησάμενος, λοχαγοὺς αὐτοῖς ἐπέστησεν οὐχ ἧσσον ἢ ὀγδοήκοντα, C οὕσπερ χιλιάρχους ἐκάλεσε, δόκησιν παρέχων ὀκτὼ οἱ μυριάδας συνιέναι τὸν τῶν στρατευομένων λεών. καίτοι οὐ μᾶλλον ἢ ἐς μυριάδας πέντε τὸ τῶν Βανδίλων τε καὶ Ἀλανῶν πλῆθος ἔν γε τῷ πρὶν χρόνῳ ἐλέγετο εἶναι. ἔπειτα μέντοι τῇ τε κατὰ σφᾶς παιδοποιίᾳ καὶ ἄλλους βαρβάρους ἑταιρισάμενοι ἐς μεγάλην τινὰ πολυανθρωπίαν ἐχώρησαν. τὰ δὲ τῶν Ἀλανῶν καὶ τῶν ἄλλων βαρβάρων ὀνόματα, πλὴν Μαυρουσίων, ἐς τὸ τῶν Βανδίλων ἅπαντα ἀπεκρίθη. τότε δὲ Γιζέριχος Μαυρουσίους προσποιησάμενος, ἐπειδὴ Οὐαλεντινιανὸς ἐτελεύτησεν, ἀνὰ πᾶν ἔτος ἦρι

4. Βανδίλοις — πᾶσαν τὴν (p. 191 d.) om. HL: habent AVP et vertit RV. 15. ὀκτώ] εἰς ὀκτώ Pm. 23. Οὐαλ—] Βαλ— PV.

etiamnum vocantur. Redactis ad summam inopiam veteribus praediorum dominis, retenta libertate, integrum erat quo luberet concedere. Quoscunque Gizericus fundos filiis suis ac Vandalis assignaverat, immunes omnino omnes iussit esse: quidquid soli non adeo frugibus commodum iudicavit, id pristinis possessoribus reliquit, tantis vectigalibus obrutum, ut sua quamvis praedia obtinerent, inde tamen ad eos nihil rediret. Complures exilio, non pauci morte mulctabantur, multis gravibusque criminibus accersiti: quorum maximum ducebatur, si quis suas pecunias abdidisset. Sic Afros omnia calamitatum genera circumvenerant.

Contributis in cohortes Vandalis et Alanis duces Gizericus non minus LXXX. praefecit, quos chiliarchos seu mille virum tribunos ideo nominavit, ut habere sub signis LXXX. bellatorum millia crederetur. Ac superiori quidem tempore Vandali atque Alani non excedere dicebantur L. millia: deinde tamen qua liberorum procreatione, qua societatis coitione cum aliis Barbaris, eorum numerus maxime crevit. Porro in unum Vandalorum nomen Alani caeterique Barbari sua vocabula confuderunt, exceptis Mauris, quorum adeptus obsequia Gizericus a morte Valenti-

ἀρχομένῳ ἔς τε Σικελίαν καὶ Ἰταλίαν ἐσβολὰς ἐποιεῖτο καὶ τῶν
πόλεων τὰς μὲν ἀνδραποδίσας, τὰς δὲ καθελὼν ἐς ἔδαφος, ληι-
σάμενός τε ἅπαντα, ἐπεὶ ἀνθρώπων τε ἡ χώρα καὶ χρημάτων D
ἔρημος ἐγεγόνει, ἐς τὸ τοῦ ἑῴου βασιλέως ἐσέβαλλε κράτος. Ἰλ-
λυριοὺς οὖν ἐληΐζετο καὶ τῆς τε Πελοποννήσου τῆς τε ἄλλης Ἑλ-
λάδος τὰ πλεῖστα καὶ ὅσαι αὐτῇ νῆσοι ἐπίκεινται. αὖθις δὲ ἔς
τε Σικελίαν καὶ Ἰταλίαν ἀπέβαινεν, ἦγέ τε καὶ ἔφερεν ἐκ περιτρο-
πῆς ἅπαντα, καί ποτε αὐτὸν ἐς τὴν ναῦν ἐσβάντα ἐν τῷ Καρχη-
δόνος λιμένι, ἀνατεινομένων ἤδη τῶν ἱστίων, φασὶν ἐρέσθαι
τὸν κυβερνήτην ἐπὶ τίνας ποτὲ ἀνθρώπων ἱέναι κελεύοι. καὶ τὸν
ὑποκρινάμενον φάναι, δηλονότι ἐφ᾽ οὓς ὁ θεὸς ὤργισται. οὕ-
τως ἐξ οὐδεμιᾶς αἰτίας ἐφ᾽ οὓς ἂν τύχοι ἐσέβαλλεν.

ϛʹ. Τῶνδε ἕνεκα τίσασθαι Βανδίλους βασιλεὺς Λέων βου- P 191
λόμενος ξυνήγειρεν ἐπ᾽ αὐτοὺς στράτευμα. τοῦδε τοῦ στρατεύ- V 354
ματος λέγουσι τὸ πλῆθος ἐς δέκα μάλιστα μυριάδας γενέσθαι.
στόλον δὲ νεῶν ἐξ ἁπάσης τῆς πρὸς ἕω θαλάσσης ἀθροίσας πολ-
λὴν ἐπεδείξατο μεγαλοφροσύνην ἔς τε στρατιώτας καὶ ναύτας, δε-
διὼς μή τί οἱ ἐκ μικρολογίας ἐμποδὼν γένηται προθυμουμένῳ ἐς
τοὺς βαρβάρους ἐπιτελέσαι τὴν κόλασιν. φασὶ γοῦν αὐτῷ τρια-
κόσια καὶ χίλια κεντηνάρια ἐπ᾽ οὐδενὶ ἔργῳ δεδαπανῆσθαι. ἀλλ᾽ B
ἐπεὶ οὐκ ἔδει Βανδίλους τῷ στόλῳ τούτῳ ἀπολωλέναι, αὐτοκρά-

4. ἐσέβαλλε] ἐσέβαλε V. *ibid.* Ἰλλυριοὺς] ἰλλυρίους PV. 5. Πε-λοποννήσου] πελοπονήσου PV. 7. περιτροπῆς] περιτρόπου A. 9. ἐρέσθαι] ἔρεσθαι PV. αἱρεσθαι A. 11. ὤργισται] ὥρισται A. 12. ἐσέβαλλεν] ἐσέβαλεν V. 13. ἕνεκα] εἵνεκα V. *ibid.* Λέων] λέγων AV. 16. στόλον] στόλην A.

niani, in Siciliam atque Italiam quotannis vere novo se invehebat. Ibi urbibus partim missis in servitutem, partim solo aequatis, cum et omnia rapuisset, ac regiones non modo pecuniis exhausisset, verum etiam incolis, in ditionem Imperatoris Orientis irrupit. Illyricum, Peloponesi item et Graeciae partem maximam, necnon adiacentes insulas populatus, in Siciliam denuo atque Italiam exscensu facto, omnes in orbem oras incursans, agebat omnia ferebatque. Aliquando in portu Carthaginis cum navem conscendisset, ac vela iam panderentur, quaerenti gubernatori, quam ad gentem iuberet cursum intendere, respondisse memorant, *Ad eam cui Deus iratus est.* Ita nulla ex causa in quoscumque sors ferret invadebat.

6. Horum poenas facinorum a Vandalis recipere cum vellet Imperator Leo, exercitum in eos conscripsit, ad centum, ut tradunt, virorum millia; collectaque ex omnibus Orientis maribus classe, militibus ac nautis munificentiam singularem exhibuit, veritus ne quid obicis sibi castigare Barbaros peroptanti e parsimoniae sordibus nasceretur. Centenaria MCCC. sive auri pondo CXXX. millia impendisse fertur; sed sine ullo operae pretio. Nimirum quia Deo fixum erat classe ista Vandalos non

τορα τοῦ πολέμου ποιεῖται Βασιλίσκον, Βηρίνης τῆς γυναικὸς ἀδελφὸν ὄντα καὶ τῆς βασιλείας ἐκτόπως ἐρῶντα, ἥν οἱ ἤλπισεν ἀμαχητὶ ἔσεσθαι, τὴν Ἄσπαρος προσποιησάμενος φιλίαν. αὐτὸς γὰρ Ἄσπαρ τῆς Ἀρείου δόξης μεταποιούμενος, ταύτην τε οὐκ ἐννοῶν μετατίθεσθαι, παρελθεῖν μὲν εἰς τὴν βασιλείαν οὐχ οἷός τε ἦν, καταστήσασθαι δὲ ἐς αὐτὴν ἕτερον εὐπετῶς ἴσχυσεν, ἤδη τε Λέοντι τῷ βασιλεῖ ὡς ἐπιβουλεύσει προσκεκρουκότι ἐπίδοξος ἦν. λέγουσιν οὖν Ἄσπαρα τότε δείσαντα μὴ Βανδίλων ἡσσωμένων
C ὁ Λέων ὡς ἀσφαλέστατα τὴν βασιλείαν κρατύνηται, πολλὰ Βασιλίσκῳ ἐπισκήψαντα παρακαταθέσθαι οἱ Βανδίλους τε καὶ Γιζέριχον.

Λέων δὲ ἤδη πρότερον Ἀνθέμιον, ἄνδρα ἐκ γερουσίας, πλούτῳ τε καὶ γένει μέγαν, βασιλέα τῆς ἑσπερίας καταστησάμενος ἔπεμψεν, ὅπως οἱ τὰ ἐς τὸν Βανδιλικὸν συλλήψηται πόλεμον. καίτοι Γιζέριχος ἔχρῃζε καὶ πολλὰ ἐλιπάρει Ὀλυβρίῳ παραδοθῆναι τὴν βασιλείαν Πλακιδίᾳ τῇ Οὐαλεντινιανοῦ παιδὶ ξυνοικοῦντι καὶ διὰ τὸ κῆδος εὐνοϊκῶς αὐτῷ ἔχοντι, ἐπειδή τε τούτου
D ἠτύχησεν, ἔτι μᾶλλον ὠργίζετο καὶ πᾶσαν τὴν βασιλέως γῆν ἐληίζετο. ἦν δέ τις ἐν Δαλματίᾳ Μαρκελλιανὸς τῶν Ἀετίῳ γνωρίμων, ἀνὴρ δόκιμος, ὃς ἐπειδὴ Ἀέτιος ἐτελεύτησε τρόπῳ τῷ εἰρημένῳ, βασιλεῖ εἴκειν οὐκέτι ἠξίου, ἀλλὰ νεωτερίσας τε καὶ τοὺς ἄλλους ἅπαντας ἀποστήσας οὕτως εἶχε τὸ Δαλματίας κρά-

1. Βηρίνης] Βερίνης P. Recte p. 193 c. 2. ἐκτόπως] ἐκ τόπου A. 4. Ἄσπαρ τῆς] ἄσπαρι τοῦ A. 5. εἰς τὴν] τὴν om. V. 8. ἡσσωμένων A. ἡσσομένων V. ἡσσημένων P. 10. παρακαταθέσθαι] παρακαθέσθαι A. 14. ἔχρηζε A. ἔχρησε P. 15. Οὐαλ—] Βαλ — P. 21. οὕτως] οὗτος HL. οὕτως Hm.

exscindere, factum est ut Leo bellum dederit Basilisco, uxoris suae Verinae fratri, incredibiliter affectanti Imperium, quo se potiturum sine pugna sperabat, fretus Asparis amicitia. Nam Aspari Arianae sectae addicto, neque ab ea discedere cogitanti, praeclusus quidem erat ad Imperium aditus; at idem alium evehere eo facile poterat: iamque in Leonem Aug. a quo fuerat offensus, dirum aliquid coquere videbatur. Ergo Asparem perhibent tunc temporis, veritum ne clades Vandalica Leoni imperium firmissime stabiliret, Basilisco Vandalos ac Gizericum enixius commendavisse.

Anthemium senatorem, divitiis et splendore generis inclytum, ut arma adversus Vandalos coniuncte moveret, iam Leo praemiserat in Occidentem, cuius etiam Imperatorem ipsum creaverat, praeterito Olybrio, cui Gizericus, utpote Placidiae Valentiniani filiae marito, et propter affinitatem amico, Imperium petiverat maximopere. Repulsa irritatus, ditionem omnem Imperatoris vastavit. Erat in Dalmatia Marcellianus, vir nobilis, et olim familiaris Aëtio; quo, uti supra narravimus, interfecto, obsequium abnuerat Imperatori, quin etiam novatis rebus, et provincialibus ad defectionem pertractis Dalmatiae dominatum

τος, οὐδενός οἱ ἐς χεῖρας ἰέναι τολμήσαντος. τοῦτον δὴ τὸν Μαρκελλιανὸν τότε Λέων βασιλεὺς εὖ μάλα τιθασεύων προσεποιήσατο, καὶ ἐς Σαρδὼ τὴν νῆσον ἐκέλευεν ἰέναι, Βανδίλων P 192 κατήκοον οὖσαν. ὁ δὲ αὐτὴν Βανδίλους ἐξελάσας οὐ χαλεπῶς ἔσχεν. Ἡράκλειος δὲ σταλεὶς ἐκ Βυζαντίου εἰς Τρίπολιν τὴν ἐν Λιβύῃ, νικήσας τε μάχῃ τοὺς ταύτῃ Βανδίλους, τάς τε πόλεις ῥᾳδίως εἷλε καὶ τὰς ναῦς ἐνταῦθα ἀπολιπὼν πεζῇ τὸ στράτευμα ἐς Καρχηδόνα ἦγε. τὰ μὲν οὖν τοῦ πολέμου προοίμια τῇδε ἐφέρετο.

Βασιλίσκος δὲ τῷ παντὶ στόλῳ ἐς πόλισμα κατέπλευσε, Καρχηδόνος διέχον οὐχ ἧσσον ἢ ὀγδοήκοντά τε καὶ διακοσίοις σταδίοις (Ἑρμοῦ δὲ νεὼς ἐνταῦθα ἐκ παλαιοῦ ἐτύγχανεν ὤν, ἀφ' οὗ δὴ καὶ Μερκούριον ὁ τόπος ἐκλήθη· οὕτω γὰρ τὸν Ἑρμῆν καλοῦσι Ῥωμαῖοι), καὶ εἰ μὴ ἐθελοκακήσας ἐμέλλησεν, ἀλλ' εὐ- B θὺ ἐπεχείρησε Καρχηδόνος ἰέναι, αὐτήν τε ἂν αὐτοβοεὶ εἷλε καὶ Βανδίλους ἐς οὐδεμίαν ἀλκὴν τραπομένους κατεδουλώσατο. οὕτω Γιζέριχος Λέοντα ὡς ἄμαχον βασιλέα κατωρρώδησεν, ἐπεί οἱ Σαρδώ τε καὶ Τρίπολις ἁλοῦσαι ἠγγέλλοντο καὶ τὸν Βασιλίσκου στόλον ἑώρα οἷος οὐδείς πω ἐλέγετο Ῥωμαίοις πρότερον γεγενῆσθαι. νῦν δὲ τοῦτο ἐκώλυσεν ἡ τοῦ στρατηγοῦ μέλλησις, εἴτε κακότητι εἴτε προδοσίᾳ προσγενομένη. Γιζέριχος δὲ τῆς Βασιλίσκου ὀλιγωρίας ἀπολαύων ἐποίει τάδε. ὁπλίσας ἅπαντας ὡς V 355

2. τιθασεύων] τιθασσεύων P. 3. ἐκέλευεν AHL. ἐκέλευσεν P.
4. Βανδίλους] βανδήλους L. 10. παντὶ] Vulgo παντί τε.

invaserat, nemine se offerente, qui conferre manum auderet. Marcellianum hunc Leo blanditiis conciliatum perpulit, ut Sardiniam, tum subditam Vandalis, aggrederetur. Is haud aegre exactis Vandalis, insula potitus est. Tum quoque missus Byzantio Heraclius, ad Tripolin Africae fusis acie Vandalis, urbes facile cepit, atque ibi relictis navibus, copias terrestri itinere Carthaginem versus duxit. Ita se habebant belli praeludia.

Basiliscus vero universam classem ad oppidulum appulit, stadiis non minus 280. Carthagine dissitum; cui ex vetusto fano Mercurii (sic Romani appellant) datum est Mercurii nomen. Ac si tempus non duxisset, composito cessans, sed recta Carthaginem perrexisset, ipsam primo cepisset aditu, et Vandalos subegisset, quorum animi ad vim minime spectabant: adeo Gizericum Leo terruerat, visu illi Imperator invictus, ex quo nuntius de Sardinia ac Tripoli receptis venerat, et apparuerat eam esse Basilisci classem, cui parem nullam habuisse unquam Romani dicerentur. At successum impediit ducis cunctatio, quam vel ignavia, vel proditio peperit. Gizericus opportunitate, quam oscitatio Basilisci praebebat, apposite utens, hoc egit. Cum subditos, quoad eius facere poterat, omnes armasset, illis maiores naves implevit: vacuas ac celeres

ἄριστα εἶχε τοὺς ὑπηκόους ἐπλήρου τὰς ναῦς, ἄλλας τε κενὰς
C ἀνδρῶν καὶ ὡς τάχιστα πλεούσας ἐν παρασκευῇ εἶχε. πέμψας
δὲ πρέσβεις ὡς Βασιλίσκον ἐδεῖτο τὸν πόλεμον ἐς πέντε ἡμερῶν
ὑπερβαλέσθαι χρόνον, ὅπως μεταξὺ βουλευσάμενος ἐκεῖνα ποιοίη
ἃ δὴ μάλιστα βασιλεῖ βουλομένῳ εἴη. λέγουσι δὲ αὐτὸν καὶ χρυ-
σίου πολύ τι χρῆμα κρύφα τῆς Βασιλίσκου στρατιᾶς πέμψαντα
ταύτην δὴ τὴν ἐκεχειρίαν ὠνήσασθαι. ἔπρασσε δὲ ταῦτα οἰόμε-
νος, ὅπερ ἐγένετο, πνεῦμα ἐπίφορον ἐν τούτῳ οἱ τῷ χρόνῳ γε-
H 99 νήσεσθαι. Βασιλίσκος δὲ ἢ Ἄσπαρι καθάπερ ὑπέστη χαριζόμε-
νος ἢ τὸν καιρὸν χρημάτων ἀποδιδόμενος, ἢ καὶ βέλτιον αὐτῷ
ἐνομίσθη, ἐποίει τε τὰ αἰτούμενα καὶ ἡσύχαζεν ἐν τῷ στρατοπέ-
D δῳ, τὴν εὐκαιρίαν προσδεχόμενος τῶν πολεμίων. οἱ δὲ Βανδί-
λοι, ἐπειδὴ σφίσι τάχιστα τὸ πνεῦμα ἐγεγόνει, ὃ δὴ τέως καρα-
δοκοῦντες ἐκάθηντο, ἀράμενοί τε τὰ ἱστία καὶ τὰ πλοῖα ἀφέλκον-
τες ὅσα αὐτοῖς ἀνδρῶν κενά, ὥσπερ μοι πρότερον εἴρηται,
παρεσκεύαστο, ἔπλεον ἐπὶ τοὺς πολεμίους. ὡς δὲ ἀγχοῦ ἐγένον-
το, πῦρ ἐν τοῖς πλοίοις ἐνθέμενοι, ἃ δὴ αὐτοὶ ἐφέλκοντες ἦγον,
κεκολπωμένων αὐτοῖς τῶν ἱστίων, ἀφῆκαν ἐπὶ τὸ τῶν Ῥωμαίων
στρατόπεδον. ἅτε δὲ πλήθους ὄντος ἐνταῦθα νηῶν, ὅπη τὰ
πλοῖα ταῦτα προσπίπτοιεν, ἔκαιόν τε ῥᾳδίως καὶ αὐτὰ οἷς ἂν
P 193 ξυμμίξαιεν ἑτοίμως ξυνδιεφθείρετο. οὕτω δὲ τοῦ πυρὸς ἐπιφερο-

1. ἄλλας] ἴσ. ἄλλως Hm: frustra. 10. ἢ καὶ βέλτιον αὐτῷ ἐνομίσθη] Themistius p. 59, 13. ὅσοι δὲ ὑπ' ἀσθενείας ἢ τῆς πρὸς τὸ τελεῖν εὐλαβείας ἢ καὶ βέλτιον αὐτοῖς ἐνομίσθη μένειν, οὗτοι —. ubi Iacobsius ἢ ὅτι καὶ requirebat. 11. ἐποίει τε] ἐποίησέ L. 20. αὐτὰ] αὐτοὶ HL. αὐτοῖς Grotius.

cymbas praesto iussit esse: tum per caduceatores Basiliscum rogavit, ut praelium in diem ab illo quintum reiiceret: hoc interim spatio re deliberata, se confecturum promisit, quae maxime e sententia forent Imperatoris. Fertur etiam grandem auri summam misisse, inscieute exercitu Basilisci, itaque has inducias emisse. Quae quidem praestitit, ea spe ductus, fore ut, quod et contigit, secundus ventus hoc temporis intervallo oriretur. Basiliscus, sive, uti receperat, Aspari gratificaretur, sive tempus rei bene gerendae idoneum pecunia venderet, sive id satius sibi esse existimaret, postulatis annuit, seque continuit in castris, commodum hosti tempus opperiens. Vandali, simul ventus surrexit, quem avide exspectando, nondum se loco moverant; statim vela attollere, et navigia vacua, quae, ut supra monui, habebant in expedito, trahentes, ad hostem contendere. Provecti propius, ignem scaphis remulco actis iniiciunt, velisque sinuatis, eas in castra navalia Romanorum dimittunt: ubi quoniam densae rates erant, quocunque scaphae illae inciderent, flammam facile communicabant, et cum iis pariter, quibus erant permistae, protinus corrumpebantur. Ita grassante incendio, Romana classis ta-

μένου θόρυβός τε, ὡς τὸ εἰκὸς, εἶχε τὸν Ῥωμαίων στόλον καὶ κραυγῆς μέγεθος τῷ τε πνεύματι καὶ τῷ τῆς φλογὸς βόμβῳ ἀντιπαταγούσης μάλιστα, καὶ τῶν στρατιωτῶν ὁμοῦ τοῖς ναύταις ἀλλήλοις ἐγκελευομένων καὶ τοῖς κοντοῖς διωθουμένων τά τε πυρφόρα πλοῖα καὶ τὰς σφῶν αὐτῶν ναῦς ὑπ' ἀλλήλων διαφθειρομένας οὐδενὶ κόσμῳ. ἤδη δὲ καὶ οἱ Βανδίλοι παρῆσαν βάλλοντές τε καὶ καταδύοντες καὶ αὐτοῖς ὅπλοις τοὺς διαφεύγοντας τῶν στρατιωτῶν ληιζόμενοι. εἰσὶ δὲ οἳ καὶ ἄνδρες ἀγαθοὶ Ῥωμαίων ἐν τῷ πόνῳ τούτῳ ἐγένοντο, καὶ πάντων μάλιστα Ἰωάννης, ὑποστράτηγός τε ὢν Βασιλίσκου καὶ οὐδ' ὁπωστιοῦν τῆς ἐκείνου B *προδοσίας μεταλαχών. περιστάντος γὰρ ὁμίλου πολλοῦ τὴν αὐτοῦ ναῦν, ἔκτεινε μὲν ἐπιστροφάδην ἀπὸ τοῦ καταστρώματος πολύ τι τῶν πολεμίων πλῆθος, ὡς δὲ ἁλισκομένης ᾔσθετο τῆς νεὼς, ἥλατο ξὺν πάσῃ τῇ τῶν ὅπλων σκευῇ ἀπὸ τῶν ἰκρίων εἰς θάλασσαν. πολλὰ μὲν οὖν αὐτὸν ἐλιπάρει Γένζων ὁ Γιζερίχου, πιστά τε παρεχόμενος καὶ σωτηρίαν προτεινόμενος, ὁ δὲ οὐδὲν ἧσσον ἐς θάλασσαν καθῆκε τὸ σῶμα, ἐκεῖνο μόνον ἀποφθεγξάμενος, ὡς οὐ μή ποτε Ἰωάννης ὑπὸ χερσὶ κυνῶν γένηται. ὁ μὲν δὴ πόλεμος οὗτος ἐς τοῦτο ἐτελεύτα καὶ Ἡράκλειος ἐπ' οἴκου* C *ἀπεκομίσθη· Μαρκελλιανὸς γάρ πρός του τῶν συναρχόντων ἀπώλετο δόλῳ. Βασιλίσκος δὲ ἀφικόμενος ἐς Βυζάντιον ἱκέτης ἐκάθητο ἐς τὸ ἱερὸν τοῦ μεγάλου Χριστοῦ τοῦ θεοῦ (Σοφίας κα-*

2. *τῷ τῆς*] *τῷ τᾶς* L. 6. *Βανδίλοι*] Vulgo *Βάνδιλοι.* 8. *οἳ καὶ* HL. *καὶ* om. P. 11. *γὰρ*] *δὲ* L. 14. *ἥλατο*] *ἥλλατο* AL. 19. *Ἡράκλειος*] *ἡράκλεις* L. 22. *Σοφίας*] *σοφίαν* L.

multu, ut res ferebat, misceri, et confremere clamore insano; qui vento murmuranti ac flammis crepitantibus respondebat: scilicet hortatibus mutuis accendebant se milites et nautae inter se confusi, et cum scaphas incendiarias, tum suas etiam naves, quae in summa perturbatione sibi invicem erant exitio, contis trudebant. Iam etiam ingruere Vandali, tela mittere, mersare undis, et cum armis fugientem Romanum militem spoliare. Quanquam inter Romanos non defuere, qui se in hoc praelio viros animosos praestiterint. Primas tulit Ioannes Basilisci legatus, proditionis illius minime consors. Siquidem magno hostium numero circumvadente eius navim, ipse in orbem discursans, multos e foris cecidit, utque illam teneri vidit, cum armis omnibus praecipitem se in aequor egit ex tabulatis. Precibus quidem talem virum Genzo Gizerici filius revocabat, dans ipsi fidem ac salutem offerens: nihilo is minus se in profundum demersit, hoc unum effatus, nunquam venturum Ioannem in manus canum. Hic illius belli exitus fuit. Heraclius domum redit, iam extincto Marcelliano fraude cuiusdam ex ipsius collegis. Revectus Byzantium Basiliscus, asylum petiit, iacuitque supplex in aede, quae magno Christo Deo sacra est, et Sophiae templum dicitur a Byzantinis, hanc

λοῦσιν οἱ Βυζάντιοι τὸν νεὼν, ταύτην δὴ μάλιστα τῷ θεῷ πρέ-
πειν τὴν ἐπωνυμίαν ἡγούμενοι), ἐξαιτησαμένης δὲ Βηρίνης τῆς
βασιλίδος τὸν μὲν κίνδυνον τοῦτον διέφυγεν, ἐς βασιλείαν δὲ
τότε παρελθεῖν, ἧς δὴ ἕνεκα πάντα αὐτῷ εἴργαστο, οὐχ οἷός τε
ἦν. Λέων γὰρ βασιλεὺς οὐ πολλῷ ὕστερον Ἄσπαρά τε καὶ Ἀρ-
δαβούριον ἐν παλατίῳ διέφθειρεν, ἐπεί οἱ θάνατον ἐπιβουλεύειν
αὐτοὺς ὑπετόπησε. ταῦτα μὲν οὖν ἐγένετο τῇδε.
D ζ. Ἀνθέμιος δὲ ὁ τῶν δυσμῶν αὐτοκράτωρ πρὸς τοῦ κη-
V 356 δεστοῦ Ῥεκίμερος διαφθαρεὶς ἐτελεύτα, Ὀλύβριός τε τὴν βασι-
P 194 λείαν ἐκδεξάμενος ὀλίγῳ ὕστερον χρόνῳ τὴν ὁμοίαν πεπρωμένην
ἀνέπλησε. τελευτήσαντος δὲ καὶ Λέοντος ἐν Βυζαντίῳ, παρέ-
λαβε τὴν βασιλείαν Λέων ὁ Ζήνωνός τε καὶ Ἀριάδνης τῆς Λέον-
τος θυγατρὸς, ἐς ἡμερῶν ἔτι ὀλίγων που ἡλικίαν ἥκων. αἱρεθέν-
τος δὲ ξυμβασιλέως αὐτῷ τοῦ πατρὸς, αὐτίκα δὴ μάλα ὁ παῖς
ἐξ ἀνθρώπων ἠφάνιστο. ἄξιον δὲ καὶ Μαϊορίνου ἐπιμνησθῆναι,
ὃς δὴ πρότερον ἔσχε τὸ ἑσπέριον κράτος. οὗτος γὰρ ὁ Μαϊορῖ-
νος, ξύμπαντας τοὺς πώποτε Ῥωμαίων βεβασιλευκότας ὑπεραί-
ρων ἀρετῇ πάσῃ, τὸ Λιβύης πάθος οὐκ ἤνεγκε πρᾴως, ἀλλὰ
στρατιὰν ἐπὶ Βανδίλους ἀξιολογωτάτην ἀγείρας ἐν Λιγούροις ἐγέ-
B νετο, αὐτὸς τῷ στρατῷ ἐπὶ τοὺς πολεμίους ἐξηγεῖσθαι διανοού-
μενος, ἔς τε τοὺς ἄλλους πόνους καὶ οὐχ ἥκιστα ἐς τοὺς κινδύ-
νους κομιδῇ ἄοκνος. οὐκ ἀξύμφορον δέ οἱ ἡγούμενος εἶναι δύνα-
μίν τε τῶν Βανδίλων καὶ τὸ Γιζερίχου ἦθος διερευνήσασθαι πρό-

5. Ἀρδαβούριον] ἀνδαβούριον HL. Ardaburius supra p. 182 d. et saepius in Excerptis Legationum. 9. Ὀλύβριος] ὀλίβρυος HL. 16. ἔσχε A. εἶχε P. 19. ἀγείρας L. ἐγείρας P.

appellationem Deo aptissime convenire censentibus. Atque ille quidem Verinae Augustae deprecatione periculum evasit; sed Imperium, cuius causa nihil non egerat, tunc adipisci non potuit, ob consecutam brevi necem Asparis et Ardaburii, quos in palatio Leo Aug. occidi iussit, insidias vitae suae ab illis paratas suspicatus. Haec ibi ita gesta.

7. Imperator Occidentis Anthemius a Recimere genero confossus occubuit. Olybrius paucis post susceptum Imperium mensibus vitam fato simili clausit. Mortuo quoque Byzantii Leone, successit in eius locum alter Leo, Zenonis filius et Ariadnes filiae Leonis. Illi parum aetatis adhuc habenti consors adoptatus est pater: sed brevi puer ab hominibus demigravit. Ante haec, Occidentis Imperium obtinuerat Maiorinus, de quo sine iniuria tacere nequeo. Hic enim Romanis Imperatoribus, quotquot unquam fuerunt, antecellens virtute, cuius numeros omnes continebat, Africae cladem non remisso animo tulit; sed in Liguria florentissimum exercitum adversus Vandalos conflavit, utque vir erat ad labores quosvis et discrimina belli impiger, eum ipse constituit in hostes ducere. Ratus autem operae pretium esse, prius explorare et Vandalorum vires

τέρον καὶ ὅπῃ ποτὲ Μαυρούσιοί τε καὶ Λίβυες εὐνοίας τε καὶ
ἔχθους πέρι ἐς αὐτοὺς κατέστησαν, αὐτὸς τοῦ τοιούτου ἔργου
τελεστὴς γενέσθαι ἔγνω. πρεσβευτὴς οὖν ὡς δὴ ἐκ βασιλέως πα-
ρὰ τὸν Γιζέριχον ἐστάλη, ἄλλο τι αὐτῷ ὄνομα ξυμπεπλασμένον
ἐπενεγκών. δείσας δὲ μὴ καταφανὴς γεγονὼς αὐτός τε κακόν τι
λάβῃ καὶ τὰ πρασσόμενα διακωλύσῃ, μηχανᾶται τοιάδε. τὰς
ἐν τῇ κεφαλῇ τρίχας (διαβόητοι γὰρ ἦσαν ἐς πάντας ἀνθρώπους
ὅτι δὴ οὕτω ξανθαὶ εἶεν ὥστε χρυσῷ ἀκιβδήλῳ εἰκάζεσθαι) βαφῇ H 100
τινι χρίσας ἐς τοῦτο ἐξεπίτηδες ἐξευρημένῃ ἐπὶ καιροῦ μεταβαλεῖν C
ἐς τὸ κυάνεον παντελῶς ἴσχυσεν. ἐπεὶ δὲ Γιζερίχῳ ἐς ὄψιν ἦλ-
θε, τά τε ἄλλα ὁ Γιζέριχος αὐτὸν ἐνεχείρει δεδίσσεσθαι καὶ ἅτε
φίλον ἐπαγαγόμενος ἐς τὸ οἴκημα ἦλθεν, οὗ δὴ τὰ ὅπλα ξυνέκει-
το πάντα, πολλά τε καὶ ἀξιολογώτατα ὑπερφυῶς ὄντα. ἐνταῦ-
θά φασι τὰ ὅπλα κινηθέντα ἐκ τοῦ αὐτομάτου πάταγον οὐ μέ-
τριον οὐδὲ τὸν τυχόντα ἀφεῖναι, καὶ τότε μὲν τῷ Γιζερίχῳ σει-
σμόν τινα γεγονέναι δοκεῖν, ἔξω δὲ γινομένῳ ἀμφί τε τῷ σεισμῷ
ἀναπυνθανομένῳ, ἐπεί οἱ τῶν ἄλλων οὐδεὶς ὡμολόγει, θαῦμα
μὲν ἐπιπεσεῖν μέγα, οὐ μέντοι ξυμβαλεῖν τὸ γεγονὸς οἵῳ τε εἶναι.
ὁ μὲν οὖν Μαϊορῖνος διαπεπραγμένος ἅπερ ἐβούλετο ἐπὶ Λιγου- D
ρίας ἀπεκομίσθη, καὶ τῷ στρατῷ πεζῇ βαδίζοντι ἐξηγούμενος
ἐπὶ στήλας τὰς Ἡρακλείους ᾔει, διαβαίνειν μὲν διανοούμενος τὸν
ἐκείνῃ πορθμόν, ὁδῷ δὲ τὸ λοιπὸν ἐπὶ Καρχηδόνα ἐνθένδε ἰέναι.
ὤνπερ ὁ Γιζέριχος αἰσθόμενος καὶ ὅτι δὴ πρὸς Μαϊορίνου ἐν τῇ

1. καὶ ἔχθους] Vulgo ἢ ἔχθους. 4. αὐτῷ] αὑτῷ P. 9. μεταβαλεῖν] μεταλαβεῖν LHm.

et ingenium Gizerici: item quam bene vel male animati in ipsos essent tum Mauri, tum Afri; hanc provinciam sibi sumpsit. Itaque legati Caesarei induta persona cum fictitio quodam nomine, iter intendit ad Gizericum, ac veritus ne, si forte agnosceretur, infortunio multaretur aliquo, et incepta turbaret, artem huiusmodi excogitavit. Quoniam fama nota caesaries eius ubique erat, quippe adeo flava, ut speciem auri mundissimi redderet; pigmentum quoddam, hos in usus inventum, capillis tam scite illevit, ut ex tempore eos plane fuscaverit. Ubi ipsum Gizericus accepit, cum alia, tum hoc etiam egit, quo tacite ei metum offerret. Per speciem amicitiae deduxit in armamentarium, ubi arma cuiusquemodi et plurima et egregia disposita erant. Hic illa spontaneo impulsu collisa non mediocrem strepitum edidisse ferunt. Ac tum quidem tremuisse terram Gizericus putavit: egressus vero, deque terrae motu sciscitatus, cum omnes eum factum negarent, obstupuit, ignarus quem casum illud portentum ferret. Ergo Maiorinus propositum executus, in Liguriam revertitur: inde terrestri itinere copias ducens, ad columnas Herculeas contendit, fretum, quod illas interfluit, traiicere et recta Carthaginem petere in animo habens. Postquam haec geri Gizericus, seque a

πρεσβείᾳ φενακισθείη, ἔς τε ὀρρωδίαν ἐμπέπτωκε καὶ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο. οἵ τε Ῥωμαῖοι τεκμηριούμενοι τῇ Μαϊορίνου ἀρετῇ, εὔελπιδες ἤδη ἐγένοντο Λιβύην τῇ ἀρχῇ ἀνασώσασθαι. ἀλλὰ μεταξὺ νόσῳ δυσεντερίας ἁλοὺς ὁ Μαϊορῖνος διαφθείρεται, ἀνὴρ τὰ μὲν εἰς τοὺς ὑπηκόους μέτριος γεγονώς, φοβερὸς δὲ τὰ ἐς τοὺς πολεμίους. καὶ Νέπως δὲ τὴν βασιλείαν P 195 παραλαβὼν ὀλίγας τε ἡμέρας ἐπιβιοὺς ἐτελεύτησε νόσῳ, καὶ Γλυκέριος μετ' αὐτὸν ἐς ταύτην δὴ προελθὼν τὴν ἀρχὴν τύχην τὴν ὁμοίαν ἀνέπλησε. μεθ' ὃν δὴ Αὔγουστος τὴν αὐτοκράτορα ἀρχὴν ἔλαβε. βασιλεῖς μέντοι καὶ ἄλλοι πρότερον ἐν τῇ ἑσπερίᾳ γεγόνασιν, ὧνπερ τὰ ὀνόματα ἐξεπιστάμενος ὡς ἥκιστα ἐπιμνήσομαι. χρόνον τε γὰρ αὐτοῖς τῇ ἀρχῇ ὀλίγον τινὰ ἐπιβιῶναι καὶ ἀπ' αὐτοῦ λόγου ἄξιον οὐδὲν πεπραχέναι ξυνέπεσε. ταῦτα μὲν ἐν τῇ ἑσπερίᾳ ἐγένετο.

V 357 Ἐν δὲ Βυζαντίῳ ὁ Βασιλίσκος (οὐ γὰρ ἔτι οἷός τε ἦν τὸν ἔρωτα τῆς βασιλείας βιάζεσθαι) τυραννίδι ἐπιθέμενος ἐκράτησεν οὐδενὶ πόνῳ, Ζήνωνος ὁμοῦ τῇ γυναικὶ ἐς τὴν Ἰσαυρίαν, ἀφ' B ἧς δὴ ὡρμᾶτο, διαφυγόντος. ἔχοντι δὲ αὐτῷ τὴν τυραννίδα ἐνιαυτόν τε καὶ μῆνας ὀκτὼ οἵ τε ἄλλοι ὡς εἰπεῖν ξύμπαντες καὶ οἱ τῆς αὐλῆς στρατιῶται διὰ φιλοχρηματίας μέγεθος ἤχθοντο. ὧν δὴ Ζήνων αἰσθόμενος στρατιάν τε ἀγείρας ἐπ' αὐτὸν ᾔει. Βασιλίσκος δὲ στρατόν τε καὶ στρατηγὸν Ἅρματον ὡς ἀντιταξό-

9. Αὔγουστος] ὅτι αὔγουστος ὁ αὐτὸς ἦν καὶ ῥωμύλος ὁ ἐπὶ ζήνωνος κρατῶν ἐν ῥώμῃ Am. *Augustulus* RV. *ibid.* αὐτοκράτορα L. αὐτοκρατορίαν P. 22. Ἅρματον] ἅρματον LHm. In Excerptis Legationum modo Ἀρμάτος modo Ἁρμάτιος.

Maiorino in legatione circumscriptum cognovit, gravi metu correptus, quae ad bellum opus erant expediit. Romanis perspecta Maiorini virtus iam spem optimam fecerat, fore ut Africam Imperio recuperaret: verum dysenteria, ac subinde morte interceptus est, vir subditis commodus, hostibus formidabilis. Nepos adeptus Imperium, ac paucos dies superstes, morbo interiit: deinde Glycerius eandem dignitatem assecutus, eundem habuit vitae exitum. Post hunc rerum potitus est Augustus. Alii in Occidente fuerunt antea Imperatores: quorum etsi nomina teneo, tamen, quia nihil memorabile ob brevem in principatu vitam gessere, silentio praetermittam. Hactenus de rebus Occidentis.

Byzantii Basiliscus, cupidine regnandi victus, affectatam tyrannidem nullo negotio obtinuit, Zenone cum uxore sua in Isauriam, unde oriundus erat, fuga dilapso. Per annum unum mensesque octo tyrannus fuerat, cum Zeno et palatinos et caeteros fere omnes milites summa illius avaritia offensos audiens, contracto exercitu infestus venit. Emissus contra a Basilisco cum copiis Armatus dux, collatis castris, ea lege ex-

μενον Ζήνωνι ἔπεμψεν. ὡς δὲ πλησίον που ἀλλήλοις ἐστρατοπεδεύσαντο, παραδίδωσιν Ἅρματος Ζήνωνι τὸ αὐτοῦ στράτευμα, ἐφ' ᾧ Βασιλίσκον τὸν αὐτοῦ υἱὸν, κομιδῇ ὄντα παῖδα, Καίσαρά τε καταστήσεσθαι καὶ τελευτῶντι διάδοχον τῆς βασιλείας ἀπολιπεῖν. Βασιλίσκος δὲ πάντων ἔρημος γεγονὼς ἐς τὸ ἱερὸν καταφεύγει, οὗπερ καὶ πρότερον. καὶ αὐτὸν Ἀκάκιος, ὁ τῆς πόλεως ἱερεὺς, Ζήνωνι ἐνεχείρισεν, ἀσέβειάν τε αὐτῷ ἐπε- C νεγκὼν καὶ ὡς πολλὰ τοῦ Χριστιανῶν δόγματος ξυνετάραξέ τε καὶ ἐνεόχμωσεν, ἐς τὴν Εὐτύχους αἵρεσιν ἀποκλίνας. καὶ ἦν δὲ οὕτως. Ζήνων δὲ αὖθις τὴν βασιλείαν παραλαβὼν καὶ τὴν ἐς Ἅρματον πίστιν ἀφοσιούμενος, Βασιλίσκον τὸν αὐτοῦ παῖδα Καίσαρα καταστησάμενος, οὐ πολλῷ ὕστερον αὐτόν τε ἀφείλετο τὴν τιμὴν καὶ Ἅρματον ἔκτεινε. Βασιλίσκον δὲ ὁμοῦ τοῖς τε παισὶ καὶ τῇ γυναικὶ πέμψας ἐς Καππαδοκίαν χειμῶνος ὥρᾳ σιτίων τε καὶ ἱματίων καὶ τῆς ἄλλης ἐπιμελείας ἐρήμους ἐκέλευσεν εἶναι. ἔνθα δὴ ψύχει τε καὶ λιμῷ πιεζόμενοι ἔς τε ἀλλήλους καταφεύγουσι καὶ τὰ φίλτατα περιβαλόντες σώματα διεφθάρησαν. αὕτη D τε Βασιλίσκον τῶν πεπολιτευμένων κατέλαβε τίσις. ἀλλὰ ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.

Γιζέριχος δὲ τότε ἀπάτῃ τε περιελθὼν καὶ κατὰ κράτος ἐξελάσας, ὡς πρόσθεν εἴρηται, τοὺς πολεμίους, οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, ἦγέ τε τὰ Ῥωμαίων καὶ ἔφερε ξύμπαντα, ἕως αὐτῷ βασιλεὺς Ζήνων ἐς ὁμολογίαν ἀφίκετο σπονδαί τε αὐτοῖς

2. Ἅρματος] ἅρματος L. ibid. αὐτοῦ] αὐτοῦ P. 4. τελευτῶντι] τελευτῶντα L. 9. ἐνεόχμωσεν] ἐνεώχμωσεν AL. 10. 13. Ἅρματον] ἅρματον L.

ercitum Zenoni tradidit, ut Basiliscus filius suus, tunc admodum puer, crearetur ab eo Caesar, et in Imperium post obitum ipsius succederet. Desertus plane Basiliscus in idem illud templum, ubi prius asylum invenerat, confugit: sed Acacius urbis Antistes cum in Zenonis potestate posuit, obiurgata impietate, qua multa in fide Christiana miscuerat, et ex antiquo moverat, ad haeresin Eutychetis delapsus: neque id falso obiiciebatur. Zeno autem in Imperium restitutus, ut pactam Armato fidem absolveret, Basiliscum eius filium Caesarem renuntiavit: quem honorem ipsi haud multo post, et Armato vitam ademit. Porro Basiliscum tyrannum cum liberis atque uxore in Cappadociam hieme ablegatum, sine cibariis, sine vestibus, sine ulla ope degere iussit. Hic illos frigore et fame prementibus, alter ad alterum se applicare. Denique in corporum carissimorum complexu animam efflarunt. Hoc supplicio Basiliscus commissa in Remp. luit: verum haec postea contigerunt.

Tunc vero Gizericus qua dolo circumventis, qua vi depulsis, ut ante est dictum, hostibus, nihilo minus, quin etiam importunius per oras Rom. ferebat omnia ac rapiebat: donec Zeno Aug. cum eo transegit, et

ἀπέραντοι ξυνετέθησαν, μήτε Βανδίλους πολέμιόν τι ἐς τὸν πάντα αἰῶνα Ῥωμαίους ἐργάσασθαι μήτε αὐτοῖς πρὸς ἐκείνων ξυμβῆναι. ταύτας τε τὰς σπονδὰς Ζήνων τε αὐτὸς διεσώσατο καὶ ὃς μετ' ἐκεῖνον τὴν βασιλείαν παρέλαβεν Ἀναστάσιος. διέμειναν
H 101 δὲ καὶ ἐς Ἰουστῖνον αὐτοκράτορα. τούτου δὲ Ἰουστίνου ἀδελφι-
P 196 δοῦς ὢν Ἰουστινιανὸς διεδέξατο τὴν βασιλείαν. ἐπὶ τούτου Ἰουστινιανοῦ βασιλεύοντος ὁ πόλεμος κατέστη ὅδε, τρόπῳ ᾧ ἐν τοῖς ὄπισθεν λελέξεται χρόνοις. χρόνον δὲ ὀλίγον Γιζέριχος ἐπιβιοὺς ἐτελεύτα πόῤῥω που ἤδη ἡλικίας ἥκων, διαθήκας διαθέμενος, ἐν αἷς ἄλλα τε πολλὰ Βανδίλοις ἐπίσκηψε καὶ τὴν βασιλείαν ἀεὶ Βανδίλων ἐς τοῦτον ἰέναι ὃς ἂν ἐκ γόνου ἄῤῥενος αὐτῷ Γιζερίχῳ κατὰ γένος προσήκων πρῶτος ὢν ἁπάντων τῶν αὐτοῦ ξυγγενῶν τὴν ἡλικίαν τύχοι. Γιζέριχος μὲν οὖν ἄρξας Βανδίλων, ἐπειδὴ Καρχηδόνος ἐκράτησεν ἔτη ἐννέα καὶ τριάκοντα, ἐτελεύτησεν, ὥσπερ εἴρηται.

B η'. Ὁνώριχος δὲ, ὁ τῶν ἐκείνου παίδων πρεσβύτατος, διεδέξατο τὴν ἀρχὴν, Γένζωνος ἤδη ἐξ ἀνθρώπων ἀφανισθέντος. ἐπὶ τούτου Ὁνωρίχου Βανδίλων ἄρχοντος πόλεμος αὐτοῖς πρὸς οὐδένα ἀνθρώπων, ὅτι μὴ ἐς Μαυρουσίους, ἐγένετο. δέει γὰρ τῷ ἐκ Γιζερίχου ἡσυχάζοντες πρὸ τοῦ οἱ Μαυρούσιοι, ἐπειδὴ τάχιστα ἐκποδὼν ἐγεγόνει, ἔδρασάν τε πολλὰ τοὺς Βανδίλους κακὰ
V 358 καὶ αὐτοὶ ἔπαθον. γέγονε δὲ Ὁνώριχος ἐς τοὺς ἐν Λιβύῃ Χρι-
C στιανοὺς ὠμότατός τε καὶ ἀδικώτατος ἀνθρώπων ἁπάντων. βιαζόμενος γὰρ αὐτοὺς ἐς τὴν Ἀρειανῶν μετατίθεσθαι δόξαν, ὅσους

perpetuam composuit pacem: cautum enim diserte fuit, ne unquam Vandali in Romanos hostile quidquam patrarent, neque ab his vicissim illi paterentur. Atque haec pacta conventa cum Zeno ipse servavit, tum eius successor Anastasius: nec Iustinus dissolvit: cuius ex sorore nepos Iustinianus ad Imperii clavum successit. Hoc principe, bellum Vandalicum ita commissum est, ut in temporum inferiorum historia describemus. Haud diu superstes Gizericus, grandaevus decessit, condito testamento, quo, praeter alia multa, illud Vandalis mandavit, ut regnum Vandalicum ei semper obveniret, qui per virilem stirpem recta serie propinquitatis Gizericum ipsum attingens, cognatos suos aetate praecurreret, Igitur Gizericus, cum a capta Carthagine annos xxxix. Vandalis imperasset, fato, uti diximus, functus est.

8. Regnum Gizericus filiorum natu maximo Honorico reliquit, Genzone iam mortuo. Quandiu Vandalis praefuit Honoricus, cum nulla gente bellum gesserunt, exceptis Mauris: qui quidem antea Gizerici metu coerciti nihil moverant; at statim ut ille excessit, detrimenta plurima attulere Vandalis, et ab his rursus accepere. Christianos Africae tam crudeliter, tamque iniuste nemo vexavit, quam Honoricus. Cum enim illos ad sectam Arianam compelleret, quoscunque parum ad obsequendum prom-

ἂν λάβοι οὐχ ἑτοίμους αὐτῷ εἴκοντας, ἔκαιέ τε καὶ ἄλλαις θανάτου ἰδέαις διέφθειρε, πολλῶν δὲ καὶ τὰς γλώσσας ἀπέτεμεν ἀπ' αὐτῆς φάρυγγος, οἳ ἔτι καὶ ἐς ἐμὲ περιόντες ἐν Βυζαντίῳ ἐχρῶντο ἀκραιφνεῖ τῇ φωνῇ, οὐδ' ὁπωστιοῦν ταύτης δὴ τῆς τιμωρίας ἐπαισθανόμενοι· ὧν δὴ δύο, ἐπειδὴ γυναιξὶν ἑταίραις πλησιάζειν ἔγνωσαν, οὐκέτι φθέγγεσθαι τὸ λοιπὸν ἴσχυσαν. ἔτη τε ὀκτὼ Βανδίλων ἄρξας ἐτελεύτησε νόσῳ, Μαυρουσίων ἤδη τῶν ἐν τῷ Αὐρασίῳ ὄρει ᾠκημένων ἀποστάντων τε ἀπὸ Βανδίλων καὶ D αὐτονόμων ὄντων (ἔστι δὲ τὸ Αὐράσιον ἐν Νουμιδίᾳ τριῶν καὶ δέκα ἡμερῶν ὁδὸν μάλιστα Καρχηδόνος διέχον, τετραμμένον τε πρὸς μεσημβρίαν), οἳ οὐκέτι ὑπὸ Βανδίλοις ἐγένοντο, οὐ δυναμένων Βανδίλων ἐν ὄρει δυσόδῳ τε καὶ ἀνάντει λίαν πόλεμον πρὸς Μαυρουσίους διενεγκεῖν.

Τελευτήσαντος δὲ Ὀνωρίχου τὸ τῶν Βανδίλων κράτος ἐς P 197 Γουνδαμοῦνδον ἦλθε τὸν Γένζωνος τοῦ Γιζερίχου. ἐς αὐτὸν γὰρ ὁ χρόνος ἔφερε τὰ πρωτεῖα τοῦ Γιζερίχου γένους. οὗτος ὁ Γουνδαμοῦνδος πλείοσι μὲν πρὸς Μαυρουσίους ἐμαχέσατο ξυμβολαῖς, μείζοσι δὲ τοὺς Χριστιανοὺς ὑπαγαγὼν πάθεσιν ἐτελεύτησε νοσήσας, ἤδη που μεσοῦντος τοῦ δωδεκάτου τῆς ἀρχῆς ἔτους. ἀδελφός τε αὐτοῦ Τρασαμοῦνδος παρέλαβε τὴν βασιλείαν, εἴδους τε καὶ ξυνέσεως ἐς τὰ μάλιστα καὶ μεγαλοψυχίας εὖ ἥκων. τοὺς μέντοι Χριστιανοὺς ἐβιάζετο μεταβαλέσθαι τὴν πάτριον δόξαν,

1. ἑτοίμους] ἑτοίμως Pm. 5. ἑταίραις] ἑτέραις H. 7. τῶν ἐν HL et Maltretus in annot. τῶν om. P. 8. Αὐρασίῳ] αὐρασίων HL: illud Hm. 20. τε] δὲ HL.

ptos deprehendebat, igne aliisque suppliciis excruciatos necabat. Multis linguam faucium tenus abscidit, qui nostra etiam aetate superstites Byzantii, explanate loquebantur, nullum capientes sensum illius poenae. Ex his duo rem habere ausi cum meretricibus, sermonis usum amiserunt. Annos demum octo Vandalis dominatus, morbo oppetiit, cum iam Mauri, qui montem Aurasium incolebant, a Vandalis defecissent, suumque ad arbitrium viverent. Est vero Aurasius in Numidia, et ab urbe Carthagine dierum itinere fere XIII. distat, ad Austrum vergens. Mauros illos Vandali nunquam ad obsequium reduxerunt, iniquissima acclivitate montis prohibiti, quominus bellum ipsis inferrent.

Extincto Honorico, in manus Gundamundi, cuius pater Genzo Gizerici filius fuerat, sceptrum Vandalicum devenit, aetatis iure, quae in Gizerici stirpe locum ei principem dabat. Saepius cum Mauris Gundamundus armis decrevit, et Christianos excarnificavit atrocius. Provecto ad medium anno regni duodecimo, implicitus morbo, e vita discessit. Habenas rerum capessiit Trasamundus, ipsius frater, vir oris dignitate, prudentia, atque animi magnitudine singulari. Hic quoque Christianos ad avitam religionem eiurandam impellebat, non eorum, qui praecesse-

B οὐκ αἰκιζόμενος τὰ σώματα ὥσπερ οἱ πρότεροι, ἀλλὰ τιμαῖς τε καὶ ἀρχαῖς μετιὼν καὶ χρήμασι μεγάλοις δωρούμενος, καὶ τοὺς ἀπειθοῦντας, ὁποῖοί ποτε εἶεν, ἥκιστά γε εἰδέναι ποιούμενος. εἰ δέ τινας λάβοι μεγάλοις ἁμαρτήμασιν ἐνόχους ἢ γνώμῃ ἢ τύχῃ γεγενημένους, τούτοις δὴ μεταβαλλομένοις τὴν δόξαν μισθὸν προὐτίθει μὴ δοῦναι τὴν δίκην ὧν ἡμάρτανον. ἐπειδὴ δὲ ἡ γυνὴ ἐτελεύτα, οὐ γενομένη μήτηρ οὔτε ἄρσενος οὔτε θήλεος γόνου, κρατῦναι ὡς ἄριστα τὴν βασιλείαν βουλόμενος, ἐς Θευδέριχον τὸν Γότθων βασιλέα πέμψας ᾔτει οἱ γυναῖκα τὴν ἀδελφὴν Ἀμαλαφρίδαν διδόναι, ἧς δὴ ἄρτι ὁ ἀνὴρ ἐτεθνήκει. ὁ δέ οἱ τὴν
C ἀδελφὴν ἔπεμψε καὶ Γότθων δοκίμων χιλίους ἐν δορυφόρων λόγῳ, οἷς δὴ ὅμιλος θεραπείας εἵπετο ἐς πέντε μάλιστα χιλιάδας ἀνδρῶν μαχίμων. ἐδωρήσατο δὲ τὴν ἀδελφὴν Θευδέριχος καὶ τῶν Σικελίας ἀκρωτηρίων ὄντων ἕν, ὃ δὴ καλοῦσι Λιλύβαιον, καὶ ἀπ' αὐτοῦ ἔδοξεν ὁ Τρασαμοῦνδος πάντων δὴ τῶν ἐν Βανδίλοις ἡγησαμένων κρείσσων τε εἶναι καὶ δυνατώτατος. ἐγένετο δὲ φίλος καὶ Ἀναστασίῳ βασιλεῖ ἐς τὰ μάλιστα. ἐπὶ τούτου βασιλεύοντος ξυνέπεσε Βανδίλοις πάθος τι παθεῖν πρὸς Μαυρουσίων οἷον πρὸ τοῦ οὔπω ξυνηνέχθη γενέσθαι.

Καβάων ἦν τις ἄρχων τῶν ἀμφὶ Τρίπολιν Μαυρουσίων, πολέμων τε πολλῶν ἔμπειρος καὶ λίαν ἀγχίνους. οὗτος ὁ Καβάων ἐπειδὴ ἐπ' αὐτὸν στρατεύεσθαι Βανδίλους ἐπύθετο, ἐποίει

5. δὴ Hm. δὲ HL. om. P. *ibid.* μεταβαλλομένοις L. μεταλαμβανομένοις P. 6. δὲ] δέ οἱ Hm. 7. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 14. ἓν] ἐνὶ AL.

rant, more, corporum scilicet laniena, sed mandatis honoribus ac magistratibus, effusaque largitione sollicitabat, minime se nosse simulans in proposito obfirmatos, quicunque essent. Si quos magnis criminibus vel voluntate vel casu obnoxios teneret, his delictorum impunitatem in religionis mutatae praemium proponebat. Coniuge, nec marem unquam nec feminam enixa, viduatus, ut regnum optime stabiliret, missa ad Theodoricum Gotthorum regem legatione, sibi uxorem poposcit sororem eius Amalafridam, a recenti viri funere viduam. Sororem ille misit cum comitatu Gotthorum mille nobilium, qui stipatorum munus obirent: hos secuta sunt ministeria e viris bellicosis collecta ad quina circiter millia. Unum item e Siciliae promontoriis (Lilybaeum appellant) sorori Theodoricus donavit. Quamobrem regum omnium Vandalorum praestantissimus audiit ac potentissimus Trasamundus: Anastasio quoque Aug. carus in paucis fuit. Hoc regnante, Vandali clade omnium maxima, quas unquam pertulerant, a Mauris affecti sunt.

Mauris Tripolin circumcolentibus Cabao quidam, vir usu bellorum exercitus ac solertissimus, praeerat: qui susceptae contra se a Vandalis

τοιάδε. πρῶτα μὲν τοῖς ὑπηκόοις ἐπήγγελλεν ἀδικίας τε πάσης D
καὶ βρώσεως ἐς τρυφὴν ἀγούσης καὶ πάντων μάλιστα γυναικῶν
ξυνουσίας ἀπέχεσθαι, χαρακώματά τε δύο πηξάμενος ἐν θατέρῳ
μὲν αὐτὸς ξὺν πᾶσιν ἐστρατοπεδεύσατο τοῖς ἀνδράσιν, ἐν δὲ δὴ H 102
τῷ ἑτέρῳ τὰς γυναῖκας καθεῖρξε, θάνατόν τε τὴν ζημίαν ἠπεί-
λησεν ἔσεσθαι, ἤν τις ἐπὶ τὸ τῶν γυναικῶν χαράκωμα ἴοι. μετὰ
δὲ πέμψας ἐς Καρχηδόνα κατασκόπους ἐπέταττε τάδε· ἐπειδὰν
οἱ Βανδίλοι ἐπὶ τὴν στρατιὰν βαδίζοντες ἔς τινα νεὼν ὑβρίσωσιν,
ὃν οἱ Χριστιανοὶ σέβονται, αὐτοὺς μὲν ἐφορᾶν τὰ γινόμενα· ἢν
δὲ οἱ Βανδίλοι τὸ χωρίον ἀμείψωσιν, ἅπαντα ποιεῖν τἀναντία ἐς P 198
τὸ ἱερὸν ὧν ἐκεῖνοι δράσαντες οἴχονται. ἐπειπεῖν δὲ αὐτὸν καὶ
τοῦτό φασιν, ὡς ἀγνοοίη μὲν τὸν θεὸν, ὃν Χριστιανοὶ σέβον-
ται, εἰκὸς δὲ αὐτὸν, εἴπερ ἰσχυρός ἐστιν, ὡς λέγεται, τίσασθαι
μὲν τοὺς ὑβρίζοντας, ἀμῦναι δὲ τοῖς θεραπεύουσιν. οἱ μὲν οὖν
κατάσκοποι ἐς Καρχηδόνα ἐλθόντες ἡσύχαζον, τὴν παρασκευὴν V 359
τῶν Βανδίλων θεώμενοι, ἐπεὶ δὲ τὸ στράτευμα τὴν ἐπὶ Τρίπο-
λιν ᾔει, σχήματα περιβεβλημένοι ταπεινὰ εἵποντο. οἱ δὲ Βαν-
δίλοι ὡς ἡμέρᾳ τῇ πρώτῃ ηὐλίσαντο, ἐς τῶν Χριστιανῶν τοὺς
νεὼς τούς τε ἵππους τά τε ἄλλα ζῷα ἐπαγαγόντες, ὕβρεώς τε
οὐδεμιᾶς ἀπελείποντο καὶ αὐτοὶ ἀκολασίᾳ τῇ σφετέρᾳ ἐχρήσαντο, B
τούς τε ἱερέας, οὓς ἂν λάβοιεν, ἐρράπιζόν τε καὶ ξαίνοντες κατὰ
τοῦ νώτου πολλὰς ὑπηρετεῖν σφίσιν ἐκέλευον ὅσα δὴ ἐπίχειν τῶν

4. ξὺν πᾶσιν] ξυμπᾶσιν L. 12. ἀγνοοίη A. ἀγνοοῖ L. ἀγνοεῖ P. 22. ἐπίχειν] De hoc usu verbi dixit Reiskius ad Constant. Porphyr. vol. II. p. 859.

expeditionis certior factus, ita se gessit. Principio subditis edixit, ut non modo omni scelere, sed cibis etiam mollitiem inducentibus, ac praesertim feminarum consuetudine prorsus abstinerent. Tum duplex molitus vallum, sibi virisque omnibus optavit in castra alterum; alteri feminas commisit, mortem interminatus, si quis pedem in hoc septum inferret. Deinde missis Carthaginem exploratoribus mandavit, ut sicubi Vandali, contra Maurorum exercitum venientes, sacram aliquam Christianorum aedem profanarent, ipsi, re inspecta, post Vandalorum ex eo loco discessum, templo honores impenderent plane contrarios indignitati, qua illi admissa abiissent. Id etiam subiecisse fertur: se quidem notionem Dei, quem Christiani colerent, non habere; sed, nisi fama de illius potentia mentiretur, qui ipsum contumeliose laederent, ab eo plecti, qui cultu afficerent, protegi oportere. Ubi Carthaginem pervenerunt exploratores, ibi tandiu substiterunt, apparatum Vandalicum inspectantes, donec viam, quae fert Tripolin, ingresso exercitu, hunc ipsi, cultu succincti tenui, secuti sunt. Vandali, vel primis castris, cum equos caeterasque pecudes in Christianorum templis stabulassent, effusa ad quidvis audendum licentia, nullum iniuriae foedae genus praetermiserunt. Captis

οἰκετῶν τοῖς ἀτιμοτάτοις εἰώθεσαν. καὶ ἐπειδὴ τάχιστα ἐνθένδε ἀπηλλάγησαν, ἐποίουν οἱ τοῦ Καβάωνος κατάσκοποι ὅσα αὐτοῖς ἐπετέτακτο· τά τε γὰρ ἱερὰ ἐκάθηραν αὐτίκα τήν τε κόπρον καὶ εἴ τι ἄλλο οὐχ ὁσίως ἐπέκειτο ξὺν ἐπιμελείᾳ πολλῇ ἀφελόμενοι, τά τε λύχνα ἔκαυσαν ἅπαντα καὶ τοὺς ἱερέας αἰδοῖ τε πολλῇ προσεκύνησαν καὶ τῇ ἄλλῃ φιλοφροσύνῃ ἠσπάσαντο· ἀργύριά τε τοῖς πολλοῖς δόντες, οἳ ἀμφὶ τὰ ἱερὰ ταῦτα ἐκάθηντο, οὕτω δὴ τῇ C τῶν Βανδίλων στρατιᾷ εἵποντο. καὶ ἀπὸ τούτου κατὰ τὴν ὁδὸν ξύμπασαν οἵ τε Βανδίλοι κατὰ ταῦτα ἡμάρτανον καὶ οἱ κατάσκοποι ἐθεράπευον. ἐπεὶ δὲ ἀγχοῦ ἔσεσθαι ἔμελλον, προτερήσαντες οἱ κατάσκοποι ἀγγέλλουσι τῷ Καβάωνι ὅσα Βανδίλοις τε καὶ σφίσιν ἐς τὰ Χριστιανῶν ἱερὰ εἴργαστο καὶ ὡς ἐγγύς που οἱ πολέμιοι εἶεν. ὁ δὲ ἀκούσας ἐς τὴν ξυμβολὴν καθίστατο ὧδε. κύκλον ἀπολαβὼν ἐν τῷ πεδίῳ, ἔνθα δὴ τὸ χαράκωμα ποιεῖσθαι ἔμελλε, τὰς καμήλους ἔρυμα τῷ στρατοπέδῳ ἐγκαρσίας ἐν κύκλῳ καθίστη, κατὰ δώδεκα μάλιστα καμήλους ποιησάμενος τὸ τοῦ D μετώπου βάθος. παῖδας μὲν οὖν καὶ γυναῖκας καὶ εἴ τι αὐτοῖς ἀπόμαχον ἦν, ὁμοῦ τοῖς χρήμασιν ἐς μέσον ἐτίθετο, τὸν δὲ τῶν μαχίμων λεὼν ἐς τῶν ζώων ἐκείνων τοὺς πόδας ἐν μέσῳ φραξαμένους ταῖς ἀσπίσιν ἐκέλευεν ἱέναι. οὕτω δὲ Μαυρουσίοις ἐχούσης τῆς φάλαγγος οἱ Βανδίλοι ἐν ἀπόρῳ εἶχον θέσθαι τὸ παρόν· οὔτε γὰρ ἀκοντισταὶ οὔτε τοξόται ἀγαθοὶ ἦσαν οὔτε πεζοὶ ἐς μάχην ἰέ-

5. λύχνα] λύχνια Pm. Conf. p. 209 b. 223 b. 7. πολλοῖς] πτωχοῖς Pm. 20. ἱέναι] Vulgo εἶναι. 22. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

sacerdotibus colaphos infringebant, et plagarum grandine tundentes dorsum, quae vilissimis famulis ministeria solebant iniungere, eadem illis imperabant. Simul autem inde moverunt, mandata implent Cabaonis speculatores. Confestim purgare templa; fimum, et quaecunque loci religionem dedecebant, accuratissime eradere et exportare; lychnos omnes accendere; sacerdotes reverentissime adorare, et omni comitate complecti: denique mendicis haec circum templa sedentibus argenteos dilargiti, Vandalicum exercitum subsecuti sunt. In reliqua deinceps via peccabant haec Vandali, et exploratores piabant. Non longe aberant a Mauris Vandali, cum hos praegressi speculatores, quae ab impiis et a se circa templa Christianorum acta varie fuerant Cabaoni narrarunt, iamque hostem in propinquo esse dixerunt. Quo ille audito, ita se accinxit ad praelium. Facto orbe in campo, ubi vallum praeducere debebat, camelis transversis castra circummunivit, aciei fronte ita disposita, ut altitudinis eius ordines singuli camelis fere duodenis constarent. Pueros, feminas, omnemque imbellem turbam cum pecuniis in medio reposuit: pugnae idoneos ad illorum pedes animalium, anteriores inter et posteriores, locavit protectos clypeis. In hunc modum instructa Maurorum acie, Vandali e re nata quid consilii caperent nesciebant. Nam nec iaculato-

ναι ἠπίσταντο, ἀλλ' ἱππεῖς τε ἦσαν ἅπαντες, δόρασί τε ὡς ἐπὶ
πλεῖστον καὶ ξίφεσιν ἐχρῶντο, καὶ ἀπ' αὐτοῦ ἄποθέν τε οὐδὲν
ἐργάζεσθαι κακὸν τοὺς πολεμίους οἷοί τ' ἦσαν, ἥ τε ἵππος αὐ-
τοῖς, ἀχθομένη τῇ τῶν καμήλων ὄψει, ἐπὶ τοὺς πολεμίους ἥκι-
στα ἤγετο. ἐπειδή τε συχνὰ ἐς αὐτοὺς ἀκοντίζοντες ἐκ τοῦ ἀσφα- P 199
λοῦς οἱ πολέμιοι τούς τε ἵππους καὶ αὐτούς, ἅτε πλήθους ὄντος,
οὐ χαλεπῶς ἔκτεινον, ἔφυγόν τε καὶ τῶν Μαυρουσίων ἐπεξιόντων
οἱ μὲν πολλοὶ διεφθάρησαν, εἰσὶ δὲ οἳ καὶ ὑπὸ τοῖς πολεμίοις ἐγέ-
νοντο, ὀλίγοι τε κομιδῇ ἐκ τοῦ στρατοῦ τούτου ἐπ' οἴκου ἀπεκο-
μίσθησαν. ταῦτα μὲν Τρασαμούνδῳ παθεῖν πρὸς Μαυρουσίων
ξυνέπεσεν. ἐτελεύτα δὲ χρόνῳ ὕστερον ἑπτά τε καὶ εἴκοσιν ἔτη
Βανδίλων ἄρξας.

θʹ. Ἰλδέριχος δὲ Ὀνωρίχου τοῦ Γιζερίχου παῖς τὴν βασι- B
λείαν παρέλαβεν, ὃς τὰ μὲν ἐς τοὺς ὑπηκόους εὐπρόσοδός τε ἦν
καὶ ὅλως πρᾶος, καὶ οὔτε Χριστιανοῖς οὔτε τῳ ἄλλῳ χαλεπὸς ἐγε-
γόνει, τὰ δὲ ἐς τὸν πόλεμον μαλθακός τε λίαν καὶ οὐδὲ ἄχρι ἐς
τὰ ὦτα τὸ πρᾶγμά οἱ τοῦτο ἐθέλων ἰέναι. Ὁάμερ γοῦν ἀνεψιός
τε ὢν αὐτῷ καὶ ἀνὴρ ἀγαθὸς τὰ πολέμια ἐστρατήγει ἐφ' οὓς ἂν
στρατεύοιντο Βανδίλοι· ὃν δὴ καὶ Ἀχιλλέα Βανδίλων ἐκάλουν.
ἐπὶ τούτου Ἰλδερίχου ἡσσήθησάν τε μάχῃ οἱ Βανδίλοι πρὸς Μαυ-
ρουσίων τῶν ἐν Βυζακίῳ, ὧν ἦρχεν Ἀντάλλας, καὶ σφίσι ξυνη- C
νέχθη Θευδερίχῳ τε καὶ Γότθοις ἐν Ἰταλίᾳ ἔκ τε συμμάχων καὶ V 360
φίλων πολεμίοις γενέσθαι. τήν τε γὰρ Ἀμαλαφρίδαν ἐν φυλακῇ H 103

7. ἔφυγον] ἔφευγον L. 10. Τρασαμούνδῳ] Θρασαμούνδῳ HL. 11. εἴκοσιν L. εἴκοσι P. 15. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

res, nec sagittarii periti erant, nec didicerant praeliari pedibus: sed equites erant omnes, et hastis maxime atque ensibus utebantur: damno proinde nullo hostem eminus afficere poterant: at neque equos admovere, camelorum specie territos. Cumque interea ab hostibus densa e tuto tela mittentibus tum equi, tum sessores ipsi facile conficerentur, quippe quia conferti erant; in fugam se coniecerunt. Egressi Mauri interfecerunt multos, multos ceperunt: ita ut oppido pauci ex illo exercitu domum redierint. Haec illa est clades, quam a Mauris Trasamundus accepit: qui posteaquam Vandalis annos XXVII. imperavit, diem supremum obiit.

9. In regnum successit Ildericus Honorici filius ac Gizerici nepos, vir subditis affabilis, totus ad mansuetudinem natus, qui nullo unquam modo Christianos vexavit: at idem valde imbellis, res militares ne auribus quidem admittebat. Quamobrem fratris ipsius filius Hoamer, vir bello praeclarus, Vandalorum expeditionibus praeerat, sic, ut eorum Achilles nominaretur. Regnante Ilderico Mauri Byzaceni, qui parebant Antallae, praelio fudere Vandalos hisce societatem et amicitiam renuntiarunt Theodoricus et Gotthi, ideo facti hostes, quod Amalafrida in

ἔσχον καὶ τοὺς Γότθους διέφθειραν ἅπαντας, ἐπενεγκόντες αὐτοῖς νεωτερίζειν ἔς τε Βανδίλους καὶ Ἰλδέριχον. τίσις μέντοι οὐδεμία πρὸς Θευδερίχου ἐγένετο, ἐπεὶ ἀδύνατος ἐνόμισεν εἶναι στόλῳ μεγάλῳ ἐς Λιβύην στρατεῦσαι. Ἰλδέριχος δὲ φίλος ἐς τὰ D μάλιστα Ἰουστινιανῷ τε καὶ ξένος ἐγένετο, οὔπω μὲν ἥκοντι ἐς βασιλείαν, διοικουμένῳ δὲ αὐτὴν κατ' ἐξουσίαν, ἐπεί οἱ ὁ θεῖος Ἰουστῖνος ὑπέργηρώς τε ὢν ἐβασίλευε καὶ τῶν κατὰ τὴν πολιτείαν πραγμάτων οὐ παντελῶς ἔμπειρος. χρήμασί τε μεγάλοις ἀλλήλους ἐδωροῦντο.

Ἦν δέ τις ἐν τῷ Γιζερίχου γένει Γελίμερ ὁ Γελάριδος τοῦ Γένζωνος τοῦ Γιζερίχου πόρρω που ἡλικίας ἥκων μετὰ Ἰλδέριχον, καὶ διὰ τοῦτο ἐπίδοξός τε ὢν αὐτίκα μάλα ἐς τὴν βασιλείαν ἀφίξεσθαι· ὃς τὰ μὲν πολέμια ἐδόκει τῶν καθ' ἑαυτὸν ἄριστος εἶναι, ἄλλως δὲ δεινός τε ἦν καὶ κακοήθης καὶ πράγμασί τε νεωτέροις καὶ χρήμασιν ἐπιτίθεσθαι ἀλλοτρίοις ἐξεπιστάμενος. οὗτος P 200 ὁ Γελίμερ ἐπεί οἱ μέλλουσαν ἑώρα τὴν ἀρχήν, οὐκ ἐδύνατο ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν, ἀλλὰ τὰ βασιλέως ἔργα προσποιησάμενος ἐπεβάτευε τῆς τιμῆς, ἀώρου γε αὐτῷ οὔσης, καὶ Ἰλδερίχου δι' ἐπιείκειαν ἐνδιδόντος κατέχειν οὐκέτι οἷός τε ἦν τὴν διάνοιαν, ἀλλὰ Βανδίλων ἑταιρισάμενος εἴ τι ἄριστον ἦν, ἀναπείθει ἀφελέσθαι μὲν Ἰλδέριχον τὴν βασιλείαν, ὡς ἀπόλεμόν τε

10. Γελάριδος] γειλάριδος A. γελιλάριδος LHm. 16. ἐν τῷ καθεστῶτι τρόπῳ βιοτεύειν] Conf. p. 56, 3.

custodiis asservaretur, caesique ad internecionem Gotthi fuissent, impacto illis crimine coniurationis in Vandalos et Ildericum. Minime tamen ultum ivit Theodoricus, suas opes intelligens non sufficere comparandae ingenti classi, qua bellum in Africam portaret. Erat Ildericus arctissimo amicitiae vinculo atque hospitio iunctus Iustiniano, nondum quidem adepto Imperium, id tamen ad arbitrium moderanti, quoniam Iustinus Imp. eius avunculus senio confectus erat, ac Reip. tractandae haud peritus omnino. Mutuis etiam pecuniae donis Iustinianus et Ildericus liberalissime certabant.

Quidam erat e Gizerici stirpe Gelimer, Gelaridis filius, Genzonis nepos, pronepos Gizerici, iam grandis natu, uno praecedente aetate Ilderico; ideoque ad regnum, ut existimabatur, propediem perventurus. Is quidem aetatis suae bellicosissimus habebatur; at idem vafro in primis ac maligno vir ingenio, movere nova, et in alienas opes involare callebat. Cum autem nimium differri sibi regnum videret, se intra legem ac praescriptum tenere non poterat: verum sibi munia regis arrogans, honorem ante diem usurpabat, et Ilderico facili indulgentique utens, impotentia animi efferebatur. Tandem Vandalorum fortissimis quibusque in suas partes pertractis, suasit ut regnum Vandalicum sibi traderent, deiecto a gubernaculis Ilderico, tum ob ignaviam et illatam a Mauris cla-

καὶ ἡσσημένον πρὸς Μαυρουσίων, καὶ Ἰουστίνῳ βασιλεῖ καταπροδιδόντα τὸ τῶν Βανδίλων κράτος, ὡς μὴ ἐς αὐτὸν ἐκ τῆς ἄλλης οἰκίας ὄντα ἡ βασιλεία ἥκοι (τοῦτο γάρ οἱ βούλεσθαι τὴν ἐς Βυζάντιον πρεσβείαν διέβαλλεν), αὐτῷ δὲ παραδιδόναι τὸ Βανδίλων κράτος. οἱ δὲ ἀναπεισθέντες κατὰ ταῦτα ἐποίουν. οὕτω δὴ Γελίμερ τῆς ἡγεμονίας ἐπιλαβόμενος Ἰλδέριχόν τε, ἕβδομον B ἔτος Βανδίλων ἄρξαντα, καὶ Ὀάμερα καὶ τὸν ἀδελφὸν Εὐαγέην ἐν φυλακῇ ἔσχεν.

Ἐπεὶ δὲ ταῦτα Ἰουστινιανὸς ἤκουσεν, ἤδη τὴν βασιλείαν παραλαβὼν, πρέσβεις ἐς Λιβύην πρὸς Γελίμερα πέμψας ἔγραφε τάδε „Οὐχ ὅσια ποιεῖς οὐδὲ τῶν Γιζερίχου διαθηκῶν ἄξια, γέροντά τε καὶ ξυγγενῆ καὶ βασιλέα Βανδίλων, εἴ τι τῶν Γιζερίχῳ βεβουλευμένων ὄφελός ἐστιν, ἐν φυλακῇ ἔχων, καὶ βίᾳ τὴν ἀρχὴν ἀφαιρούμενος, ἐξὸν αὐτὴν ὀλίγῳ ὕστερον χρόνῳ κατὰ νόμον λαβεῖν. μηδὲν οὖν ἐργάσῃ περαιτέρω κακὸν μηδὲ τοῦ βασιλέως ὀνόματος ἀνταλλάξῃ τὴν τοῦ τυράννου προσηγορίαν, βραχεῖ προτερεύουσαν χρόνῳ. ἀλλὰ τοῦτον μὲν, ἄνδρα ὅσον οὔπω τεθνηξόμενον, C ἔα φέρεσθαι τῷ λόγῳ τὴν τῆς βασιλείας εἰκόνα, σὺ δὲ ἅπαντα πρᾶττε ὅσα βασιλέα πράττειν εἰκός· προσδέχου τε ἀπὸ τοῦ χρόνου καὶ τοῦ Γιζερίχου νόμου μόνον λαβεῖν τὸ τοῦ πράγματος ὄνομα. ταῦτα γάρ σοι ποιοῦντι τά τε ἀπὸ τοῦ κρείττονος εὐμενῆ ἔσται καὶ τὰ παρ' ἡμῶν φίλια." τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Γελίμερ δὲ τοὺς πρέσβεις ἀπράκτους ἀπέπεμψε, καὶ τόν τε Ὀάμερα ἐξετύφλωσε τόν τε Ἰλδέριχον καὶ Εὐαγέην ἐν μεί-

dem, tum quod Iustino Aug. Vandalorum opes eo proderet animo, ne ipse, ex alio gentis regiae ramo editus regnum obtineret, eo spectare calumnians missam Byzantium legationem. His illi inducti, rem exequuntur. Ita dominatum occupat Gelimer, et Ildericum VII. annos regno potitum, cum Hoamere eiusque fratre Euagee in custodiam tradit.

De his certior factus Iustinianus, iam Imperator, legatos in Africam ad Gelimerem cum hisce literis misit. *Contra ius et reverentiam, quam Giserici testamento debes, in eo peccas, quod senem, eumque propinquum tuum, ac, si quid Giserici decreta valent, Vandalorum regem habes in vinculis, et per vim regno spolias, cum prope adsit, ut legitime id assequaris. Absiste iniuria, nec iusto regis nomini praeopta tyranni appellationem tantulo praeviam intervallo: sed viro huic propediem morituro per te liceat regiae dignitatis speciem titulo tenus sustinere: tu partes regis imple, et expecta dum temporis beneficio et Giserici lege, quod unum tibi deest, rei nomen accipias. Quae si feceris, Deum propitium, nosque amicos habebis.* Haec quidem significabat epistola: Gelimer vero legatos remisit, frustratus eorum operam. Immo vero Hoamerem luminibus orbavit: Ildericum atque Euageem arctiori cu-

ζονι φυλακῇ ἐποιήσατο, ἐπικαλέσας φυγὴν ἐς Βυζάντιον μελετᾶν.
ὡς δὲ καὶ ταῦτα βασιλεὺς Ἰουστινιανὸς ἤκουσε, πρέσβεις ἑτέρους
πέμψας ἔγραψε τάδε „Ἡμεῖς μὲν οἰόμενοί σε οὔποτε τῆς ἡμετέ-
D ρας συμβουλῆς ἀπ' ἐναντίας ἥξειν ἐγράψαμεν τὴν προτέραν ἐπι-
στολήν. ἐπεὶ δὲ ἀρέσκει σοι τὴν βασιλείαν οὕτω κεκτῆσθαι ὡς
νῦν ἔχεις, λαβὼν ἀπόλαβε ὅ τι ἂν ἐξ αὐτῆς ὁ δαίμων διδῷ. σὺ
δὲ Ἰλδέριχόν τε καὶ Ὁάμερα τὸν πηρὸν καὶ τούτου τὸν ἀδελφὸν
ὡς ἡμᾶς πέμπε, παραψυχὴν ἕξοντας ἣν ἔχειν εἰσὶ δυνατοὶ ὅσοι
τὴν βασιλείαν ἢ τὴν ὄψιν ὑφῄρηνται. ὡς οὐκ ἐπιτρέψομέν γε,
ἢν μὴ ταῦτα ποιῇς. ἐνάγει γὰρ ἡμᾶς ἡ ἐλπίς, ἣν εἰς τὴν ἡμε-
τέραν φιλίαν ἔσχον. αἵ τε σπονδαὶ ἡμῖν αἱ πρὸς Γιζέριχον ἐκ-
ποδὼν στήσονται. τῷ γὰρ ἐκδεξαμένῳ τὴν ἐκείνου βασιλείαν
ἐρχόμεθα οὐ πολεμήσοντες, ἀλλὰ τὰ δυνατὰ τιμωρήσοντες."
P 201 Ταῦτα Γελίμερ ἀναλεξάμενος ἠμείβετο τοῖσδε „Βασιλεὺς
V 361 Γελίμερ Ἰουστινιανῷ βασιλεῖ. οὔτε βίᾳ τὴν ἀρχὴν ἔλαβον οὔτε
τι ἀνόσιον ἐς ξυγγενεῖς τοὺς ἐμοὺς εἴργασται. Ἰλδέριχον γὰρ
νεώτερα πράσσοντα ἐς οἶκον τὸν Γιζερίχου καθεῖλε τὸ τῶν Βαν-
δίλων ἔθνος· ἐμὲ δὲ ὁ χρόνος ἐς τὴν βασιλείαν ἐκάλεσε, κατά γε
τὸν νόμον τὰ πρεσβεῖα διδούς. τὴν δὲ ὑπάρχουσαν ἡγεμονίαν
αὐτόν τινα διοικεῖσθαι καλὸν καὶ μὴ ἀλλοτρίας οἰκειοῦσθαι φρον-
H 104 τίδας. ὥστε καὶ σοὶ βασιλείαν ἔχοντι τὸ περιέργῳ εἶναι οὐ δίκαιον·
λύοντι δέ σοι τὰς σπονδὰς καὶ ἐφ' ἡμᾶς ἰόντι ἀπαντήσομεν ὅση

6. ἐξ αὐτῆς] „ἐξαυτῆς si ὑφὲν legas, idem erit quod εὐθέως, ut apud Philonem lib. περὶ τῶν μετονομαζομένων." Hoeschel. 9. ἐπιτρέψομεν] ἐπιστρέψομεν LHm. 10. ἢν μὴ] ἦν μοι H. ibid. ποιῇς Grotius. ποιεῖς P. 11. ἐκποδὼν] ἐκποδῶν P.

stodia sepsit, peccati insimulatos, quod Byzantium aufugere meditarentur. His quoque auditis, Iustinianus legationem alteram misit, et literas in hanc sententiam scriptas: *Priorem ad te epistolam scripsimus, id persuasum habentes, te nunquam consilio nostro adversaturum. Nunc, quando libet ita regnum tenere, ut tenes, cape sis quidquid inde fortuna tibi dederit. Ad nos tantum Ildericum et Hoamerem caecum cum fratre mitte, solatio levandos, quod admittere possunt, qui vel regnum, vel oculos amisere. Ac nisi sponte petitioni concesseris, rem arbitrio tuo non permittemus. Movet enim nos fiducia, quae illis in nostra amicitia fuit. Nec nobis obstabit pax cum Gizerico composita: nam eius legitimo successori non inferemus bellum; sed illatam iniuriam ulciscemur.*

His lectis Gelimer ita rescripsit. *Rex Gelimer Iustiniano Imp. Nec per vim sceptrum obtinui, nec propinquis meis ulla iniuria facta est. Etenim Vandali Ildericum in Gizerici domum nova cudentem de dignitatis gradu dimoverunt: me vero ad regnum aetas vocavit, praerogativam mihi iure concedens. Porro is pulcre facit, qui suo Imperio administrando intentus, alieni curas non suscipit. Tibi igitur, cum sis Imperator, nefas*

δύναμις, μαρτυρόμενοι τοὺς ὅρκους τοὺς Ζήνωνι ὀμωμοσμένους, οὗ τὴν βασιλείαν παραλαβὼν ἔχεις.“ ταῦτα λαβὼν Ἰουστινιανὸς βασιλεὺς τὰ γράμματα, ἔχων καὶ πρότερον δι' ὀργῆς Γελίμερα, ἔτι μᾶλλον ἐς τὴν τιμωρίαν ἐπῆρτο. καί οἱ ἔδοξε καταλύσαντι ὡς τάχιστα τὸν Μηδικὸν πόλεμον ἐς Λιβύην στρατεῦσαι· ἦν γὰρ ἐπινοῆσαί τε ὀξὺς καὶ ἄοκνος τὰ βεβουλευμένα ἐπιτελέσαι. παρῆν μὲν αὐτῷ μετάπεμπτος ὁ τῆς ἑῴας στρατηγὸς Βελισάριος, οὐχ ὅτι ἐς Λιβύην στρατηγήσειν μέλλοι προειρημένον αὐτῷ ἢ ἄλλῳ ὁτῳοῦν, ἀλλὰ τῷ λόγῳ παραλέλυτο ἧς εἶχεν ἀρχῆς. γεγόνασι δὲ αὐτίκα αἱ πρὸς Πέρσας σπονδαί, ὡς ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη. B

ι'. Βασιλεὺς δὲ Ἰουστινιανὸς, ἐπεί οἱ τά τε οἴκοι καὶ τὰ ἐς τοὺς Πέρσας ὡς ἄριστα εἶχε, τὰ ἐν Λιβύῃ πράγματα ἐν βουλῇ ἐποιεῖτο. ἐπεὶ δὲ ἐς τὰς ἀρχὰς ἐξήνεγκεν ὡς στρατιὰν ἀγείροι ἐπὶ Βανδίλους τε καὶ Γελίμερα, οἱ πλεῖστοι ἤδη ἐδυσχέραινόν τε καὶ ἐν ξυμφορᾷ ἦσαν, τόν τε Λέοντος τοῦ βασιλέως στόλον καὶ τὸ τοῦ Βασιλίσκου πάθος ἀνανεούμενοί τε καὶ ἀποστοματίζοντες στρατιώτας μὲν ὅσοι ἀπέθανον, χρήματα δὲ ὅσα τὸ δημόσιον ὤφειλε. μάλιστα δὲ ἤλγουν τε καὶ περιώδυνοι τῇ μερίμνῃ ἐγίνοντο ὅ τε τῆς αὐλῆς ὕπαρχος, ὃν δὴ πραίτωρα καλοῦσι Ῥωμαῖοι, καὶ ὁ τοῦ ταμιείου ἡγούμενος καὶ ὅτῳ ἄλλῳ φόρου ξυλλογὴ δημοσίου ἢ βασιλικοῦ ἐπετέτακτο, λογιζόμενοι ὅτι αὐτοῖς εἰς τὴν C D

5. πόλεμον om. L. 11. ἐρρήθη] ἐῤῥέθη P. 14. ἐποιεῖτο] εἶχεν AL. γρ. ἐποιεῖτο Am. *ibid.* ἀγείροι] ἐγείροι H: illud Hm. 19. ὤφειλε LHm. ὦφλε HP. 22. εἰς om. HL.

est alio distrahi curiositate: foedifrago autem, nosque adorienti pro viribus obsistemus, testantes iusiurandum Zenonis, a quo Imperium ad te devenit. Iratus iam satis Gelimeri Iustinianus Aug. cum has literas accepisset, ad ultionis cupiditatem exarsit acrius, censuitque, ut consilia acute inveniebat et impigre exequebatur, bellum sine mora cum Persis dirimendum esse, et in Africam transferendum. Aderat Belisarius Magister militum Orientis, quem revocaverat, cum illum expeditionis Africanae ducem futurum, nec ipsi, nec alii cuiquam ante dixisset. Eidem, in speciem scilicet, magistratum, quem habebat, abrogavit: subinde pax cum Persis, uti in superioribus libris narravimus, composita est.

10. Postquam res domesticas Iustinianus Aug. et quas cum Persis susceptas habebat, optime constituit, Libycas in deliberationem adduxit. Ubi vero proceribus declaravit, se exercitum adversus Vandalos ac Gelimerem conflare, plerosque angor invasit, memoria repetentes Leonis Aug. classem cladem que Basilisci, et numerum referentes tum militum qui perierant, tum pecuniae, quam aerarium debebat. In primis Praefectus Praetorio (Romani Praetorem vocant) et Praefectus aerarii, et quicunque vectigalia vel publica vel Caesarea colligebant, dolore animi et gravi sollicitudine urebantur, secum reputantes necesse fore, ut, in

τοῦ πολέμου χρείαν δεήσει ἄμετρα φέρουσιν οὔτε ξυγγνώμης τινὸς
οὔτε ἀναβολῆς ἀξίοις εἶναι. τῶν δὲ στρατηγῶν αὐτὸς ἕκαστος
στρατηγήσειν οἰόμενος κατωρρώδει τε καὶ ἀπώκνει τοῦ κινδύνου
P 202 τὸ μέγεθος, εἴ οἱ ἀναγκαῖον εἴη διασωθέντι ἐκ τῶν ἐν θαλάσσῃ
κακῶν στρατοπεδεύεσθαι μὲν ἐν τῇ πολεμίᾳ, ἐκ δὲ τῶν νεῶν ὡρ-
μημένῳ διαμάχεσθαι πρὸς βασιλείαν μεγάλην τε καὶ λόγου ἀξίαν.
οἱ δὲ στρατιῶται ἄρτι ἐκ πολέμου μακροῦ τε καὶ χαλεποῦ ἐπανή-
κοντες οὔπω τε ὅλῃ γλώσσῃ ἀγαθῶν τῶν κατὰ τὴν οἰκίαν γευσά-
μενοι ἐν ἀμηχανίᾳ ἐγένοντο, ἔς τε ναυμαχίαν ἀγόμενοι, ἣν οὐδὲ
ἀκοῇ πρότερον παραλαβόντες ἐτύγχανον, καὶ ἀπὸ τῶν ἑῴων ὁρίων
στελλόμενοι ἐς τὰς τοῦ ἡλίου δυσμὰς, ἐφ᾽ ᾧ διακινδυνεύσουσι
πρός τε Βανδίλους καὶ Μαυρουσίους. οἱ δὲ δὴ ἄλλοι, ἅπερ ἐν
B ὁμίλῳ φιλεῖ γίγνεσθαι, νεωτέρων πραγμάτων ἤθελον διὰ κινδύ-
νων ἀλλοτρίων θεαταὶ γενέσθαι.

Βασιλεῖ μέντοι εἰπεῖν τι ἐπὶ κωλύμῃ τῆς στρατιᾶς οὐδεὶς, ὅτι μὴ ὁ Καππαδόκης Ἰωάννης, ἐτόλμησεν, ὁ τῆς αὐλῆς ἔπαρχος, θρασύτατός τε ὢν καὶ δεινότατος τῶν κατ᾽ αὐτὸν ἁπάντων. οὗτος γὰρ ὁ Ἰωάννης τῶν ἄλλων σιωπῇ τὰς παρούσας ὀδυρομένων τύχας παρελθὼν εἰς βασιλέα ἔλεξε τοιάδε „Τὸ πιστὸν, ὦ βασιλεῦ, τῆς ἐς τοὺς ὑπηκόους τοὺς σοὺς ὁμιλίας τὴν παρρησίαν ἡμῖν ἀναπετάννυσι ποιεῖν τε καὶ λέγειν ὅ τι ἂν μέλλῃ τῇ πολιτείᾳ ξυνοίσειν τῇ σῇ, ἣν καὶ μὴ πρὸς ἡδονήν σοι τὰ λεγόμενά τε καὶ

11. διακινδυνεύσουσι] διακινδυνεύουσι L. 22. ξυνοίσειν] ξυνήσειν H.

praebendis ad belli usus sumptibus infinitis, nec venia nec laxamento ullo dignarentur. Ducum vero, cum quisque sibi bellum hoc datum iri existimaret, nemo non formidabat, ac periculi magnitudinem refugiebat, si quidem facere non posset, quin casibus incommodisque maris defunctus, in hostili solo castra poneret, statimque ab excensione cum magno ac florentissimo regno pugnaret. Milites quoque e diuturno difficilique bello non ita pridem reduces, libatis tantum, necdum tota, quod aiunt, lingua gustatis otii domestici deliciis, haesitabant; ob id praesertim, quod ad navalia praelia, rem sibi hactenus inauditam, ducerentur, et ab ultimo Oriente mitterentur ad Occasum solis, ut cum Vandalis Maurisque dimicarent. Ac caeteri (ut fit in multitudine) rerum novarum spectatores esse alieno periculo cupiebant.

Tunc praeter Ioannem Cappadocem, Praefectum Praet. audacissimum hominem atque ingeniosissimum aevi sui, nemo quisquam quo expeditionem dissuaderet, Imperatori dicere ausus est. Nam caeteris iniquitatem temporis tacite deplorantibus, Ioannes ad Augustum in hanc sententiam dixit. *Familiaris huius tui cum subditis usus fiducia, Auguste, eam nobis libertatem offert, ut quae rationibus tuis conducunt, et dicere audeamus et facere; quamvis dicta illa factaque nostra ad voluptatem tuam comparata*

πρασσόμενα ᾖ. οὕτω γάρ σοι κεράννυσι τῷ δικαίῳ τὴν ἐξουσίαν C
ἡ σύνεσις, ὥστε οὐ τὸν ὑπηρετήσαντα πάντως εὔνουν εἶναι ἡγῇ
τοῖς σαυτοῦ πράγμασιν, οὐδὲ τῷ ἀντειπόντι χαλεπῶς ἔχεις, ἀλλὰ V 862
μόνῳ τῷ τῆς διανοίας ἀκραιφνεῖ πάντα σταθμώμενος ἀκίνδυνον
ἡμῖν ἀπέδειξας πολλάκις τὸ τοῖς σοῖς ἀντιστῆναι βουλεύμασι.
τούτοις ἠγμένος, ὦ βασιλεῦ, κατέστην εἰς ξυμβουλὴν τήνδε,
προσκρούσων μὲν τὸ παραυτίκα ἴσως, ἂν οὕτω τύχοι, ἐς δὲ τὸ
μέλλον τὴν εὔνοιαν τὴν ἐμὴν καταφανῆ δείξων, ταύτης τέ σε
μάρτυρα παρεξόμενος. ἢν γὰρ ἀπειθῶν τοῖς λεγομένοις ἐξοίσεις
ἐς Βανδίλους τὸν πόλεμον, μηκυνομένης σοι τῆς ἀγωνίας τὴν
ἐμὴν παραίνεσιν εὐδοκιμῆσαι ξυμβήσεται. εἰ μὲν γὰρ ὡς κρατή- D
σεις τῶν πολεμίων τὸ θαρρεῖν ἔχεις, οὐδὲν ἀπεικὸς σὲ τά τε σώ-
ματα προΐεσθαι καὶ χρημάτων δαπανᾶν πλῆθος, καὶ τοὺς ὑπὲρ
τῶν ἀγώνων ὑφίστασθαι πόνους. νίκη γὰρ ἐπιγενομένη πάντα
καλύπτει τὰ τοῦ πολέμου πάθη. εἰ δὲ ταῦτα μὲν ἐν τοῖς τοῦ
θεοῦ γόνασι κεῖται, παραδείγμασι δὲ τῶν προγεγενημένων χρω-
μένους ἡμᾶς ἀνάγκη δεδιέναι τὸ τοῦ πολέμου πέρας, πῶς οὐχὶ H 105
τῶν ἐν τοῖς ἀγῶσι κινδύνων τὸ τὴν ἡσυχίαν ἀγαπᾶν ἄμεινον; ἐπὶ
Καρχηδόνα διανοῇ στρατεύειν, εἰς ἣν κατὰ μὲν τὴν ἤπειρον ἰόντι
ὁδὸς τεσσαράκοντα καὶ ἑκατὸν ἡμερῶν ἐστι, πλέοντι δὲ ἀνάγκη
τὸ πέλαγος ὅλον ἀμειψαμένῳ πρὸς τὰς ἐσχατιὰς τῆς θαλάσσης
ἐλθεῖν. ὥστε τῶν ἐν τῷ στρατοπέδῳ ξυμβησομένων ἐνιαύσιόν
σοι δεήσει τὸν ἄγγελον ἥκειν. προσθείη δὲ ἄν τις ὡς, ἢν μὲν P 203

7. μὲν τὸ] μέντοι L corr. Hm. 10. ἀγωνίας] εὐωνίας L: illud Lm. 15. δὲ ταῦτα L. δέ τ' αὖ P. 21. ἀμειψαμένῳ] ἐψαμένῳ L.

non sint. In te enim sic potentiam aequitate admista temperat sapientia, ut, si quis tibi morem ubique gerat, non continuo fidum addictumque rebus tuis existimes, nec rursus contradicenti succenseas. At omnia recti iudicii momentis ponderans, saepe planum fecisti posse nos tuis sententiis absque periculo refragari. His inductus, Auguste, ad hanc deliberationem accessi: in cuius primo aditu te fortassis offendam; sed meum postea patebit studium, eiusque testem te ipsum habebo. Enimvero si ab oratione mea aversus, Vandalis bellum indixeris, dum eius diuturnitas animi tui aestum intendet, tunc meam commonitionem probatis. Te quidem, si spes victoriae tenet explorata, nec sanguini, nec pecuniae, nec Martis laboribus parcere consentaneum fuerit: nam omnes belli calamitates consequens victoria tegit. Sin illa in arbitrio Dei posita latet, ac maiorum exempla eo nos necessario ducunt, ut belli exitum timeamus, nonne satius est otium, quam praeliorum aleam sequi? Armis petere vis Carthaginem: quo nimirum si per continentem itur, dierum iter est CXL. *si navigio, necesse est, emenso pelago, ad extremas maris oras applicare. Quare nonnisi post annum pervenire ad te poterit rerum nuntius, quae in castris geruntur. Ad*

κρατήσῃς τῶν πολεμίων, Λιβύης μεταποιεῖσθαι οὐκ ἂν δύναιο, τῆς τε Σικελίας καὶ Ἰταλίας ὑφ' ἑτέροις κειμένης· ἢν δέ τι καὶ πταίσῃς, ὦ βασιλεῦ, λελυμένων ἤδη σοι τῶν σπονδῶν ἐς τὴν ἡμετέραν τὸν κίνδυνον ἄξεις, ξυνελόντι τε εἰπεῖν οὔτε ἀπόνασθαι παρέσται σοι τῆς νίκης καὶ τὸ τῆς τύχης ἐναντίωμα λυμανεῖται τοῖς εὖ καθεστῶσι. πρὸ τῶν πραγμάτων τὸ τῆς εὐβουλίας ὄφελός ἐστι. τοῖς μὲν γὰρ ἐπταικόσι τὸ μεταμέλειν ἀνόητον, πρὸ δὲ τῶν δεινῶν τὸ μεταμανθάνειν ἀκίνδυνον. οὐκοῦν ξυνοίσει πάντων μάλιστα τὸ τοῖς καιροῖς ἐν δέοντι χρῆσθαι."

B *Ἰωάννης μὲν τοσαῦτα εἶπεν. ἀποδεξάμενος δὲ ὁ βασιλεὺς τὴν ἐς τὸν πόλεμον προθυμίαν κατέπαυσε. τῶν δέ τις ἱερέων, οὓς δὴ ἐπισκόπους καλοῦσιν, ἐκ τῆς ἑῴας ἥκων ἔφη ἐς λόγους τῷ βασιλεῖ ἐλθεῖν βούλεσθαι. καὶ ἐπειδὴ αὐτῷ ξυνέμιξεν, ἔλεγέν οἱ τὸν θεὸν ἐπισκῆψαι ὄναρ γενέσθαι τε ὡς βασιλέα καὶ αὐτὸν αἰτιάσασθαι ὅτι δὴ Χριστιανοὺς τοὺς ἐν Λιβύῃ ῥύεσθαι ἐκ τυράννων ὑποδεξάμενος εἶτα λόγῳ οὐδενὶ κατωρρώδησε· „καίτοι αὐτὸς" ἔφη „οἱ πολεμοῦντι ξυλλήψομαι Λιβύης τε κύριον θήσομαι." ταῦτα βασιλεὺς ἐπεὶ ἤκουσε, κατέχειν τὴν διάνοιαν* C *οὐκέτι ἐδύνατο, ἀλλὰ τήν τε στρατιὰν καὶ τὰς ναῦς ἤγειρεν, ὅπλα τε καὶ σιτία ἡτοίμαζε καὶ Βελισαρίῳ ἐν παρασκευῇ ἐπήγγελλεν εἶναι ὡς ἐν Λιβύῃ στρατηγήσοντι αὐτίκα μάλα. Τρίπολιν*

4. *ἄξεις*] Vulgo *ἄξοις*. 10. *ὁ βασιλεὺς*] Aberat *ὁ*. 20. *ἐπήγγελλεν*] *ἐπήγγελεν* L. 21. *ἐν Λιβύῃ*] *ἐς λιβύην* L.

haec, si hostium forte victor evaseris, ideo tamen quia Sicilia atque Italia in aliena sunt ditione, Africam in tua tenere nequis. Quod si male res tibi cesserit, Auguste, pax a te rupta bellum in fines nostros accerset. Atque, ut uno verbo absolvam, fructum e victoria nullum capere poteris; contra ex adverso fortunae casu magnum detrimentum contrahet iam optimus Reip. status. Ante coeptum opus consilium sanum usui est: post rem male gestam inutilis est poenitentia: tuta vero ac salutaris mutatio sententiae, priusquam mala contigerint. Quae cum ita sint, maxime expediet, operam occasionibus accommodare.

Huic Ioannis orationi assensus Imperator, studium ingens belli remisit. Tum quidam ex ordine sacerdotum, quos Episcopos vocant, ab Oriente profectus, habere se dixit quae cum Augusto communicaret. Ad colloquium introductus, asseruit se a Deo secundum quietem mandata haec accepisse, ut Imperatorem adiret incusaretque, quod cum Africae Christianos tyrannide exempturum se recepisset, vano deinde metu esset deterritus. *At*, inquit, *haec dixit Dominus: Bellanti ipsi adero, subque eius imperium Africam subiungam.* Quo audito, continere se Augustus non potuit, quin milites ac naves cogeret, arma et commeatus pararet, ac praeciperet Belisario, uti se accingeret ad exercitum primo quoque die ducendum in Africam. Interea Tripolin Africae quidam e civibus (Pu-

δὲ τὴν ἐν Λιβύῃ τῶν τις ἐπιχωρίων Πουδέντιος ἀπὸ Βανδίλων ἀπέστησε. πέμψας τε ὡς βασιλέα ἐδεῖτό οἱ στρατιὰν στεῖλαι· πόνῳ γὰρ αὐτῷ τὴν χώραν οὐδενὶ προσποιήσειν· ὁ δέ οἱ ἄρχοντά τε Ταττιμοὺθ καὶ στράτευμα οὐ πολὺ ἔστειλεν. ὃ δὴ ἑταιρισάμενος Πουδέντιος Βανδίλων οὐ παρόντων τήν τε χώραν ἔσχε καὶ βασιλεῖ προσεποίησε. τῷ δὲ Γελίμερι τιμωρεῖν βουλομένῳ Πουδέντιον ἐναντίωμα ξυνέπεσε τόδε.

Γώδας τις ἦν ἐν τοῖς Γελίμερος δούλοις, Γότθος τὸ γένος, D *θυμοειδὴς μὲν καὶ δραστήριος καὶ πρὸς ἰσχὺν ἱκανῶς πεφυκώς, εὐνοϊκῶς δὲ δοκῶν ἐς τὰ τοῦ δεσπότου πράγματα ἔχειν. τούτῳ τῷ Γώδᾳ ὁ Γελίμερ Σαρδὼ τὴν νῆσον ἐπέτρεψε, φυλακῆς τε ἕνεκα καὶ φόρον τὸν ἐπέτειον ἀποφέρειν. ὁ δὲ τὴν ἀπὸ τῆς τύχης εὐημερίαν οὔτε καταπέψαι οὔτε τῇ ψυχῇ φέρειν οἷός τε ὢν τυραννίδι ἐπεχείρησε, καὶ οὐδὲ τὴν τοῦ φόρου ἀπαγωγὴν ἀποφέρειν ἔτι ἠξίου, ἀλλὰ καὶ τὴν νῆσον αὐτὸς Βανδίλων ἀποστήσας εἶχε. καὶ ἐπεὶ ᾔσθετο βασιλέα Ἰουστινιανὸν πολεμησείοντα ἐπί τε Λιβύην* V 363 *καὶ Γελίμερα, ἔγραψε πρὸς αὐτὸν τάδε „Οὔτε ἀγνωμοσύνῃ εἴκων* P 204 *οὔτε τι ἄχαρι πρὸς δεσπότου παθὼν τοῦ ἐμοῦ ἐς ἀπόστασιν εἶδον, ἀλλὰ τἀνδρὸς ἰδὼν τὴν ὠμότητα ἰσχυρὰν οἵαν ἔς τε τὸ ξυγγενὲς καὶ ὑπήκοον μετέχειν τῆς ἀπανθρωπίας οὐκ ἂν δόξαιμι ἑκών γε εἶναι. ἄμεινον γὰρ βασιλεῖ δικαίῳ ὑπηρετεῖν ἢ τυράννῳ τὰ οὐκ*

13. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. *ibid.* καταπέψαι LHm. καταπέμψαι P. 15. νῆσον] νῆσσον HL. 17. εἴκων A, ut coniecit Maltretus. ἥκων P. 18. οὔτε τι L. Aberat τι. 19. ξυγγενὲς HL. συγγενὲς P.

dentio nomen erat) a Vandalis defectione seiunxit, et per nuntios ab Augusto copias petiit, spondens se in eius ditionem nullo negotio provinciam redacturum. Ille ducem Tattimuth eo misit cum parvo exercitu, quo instructus Pudentius provinciam, absentibus Vandalis, occupavit, subdiditque Imperatori. Quominus autem Gelimer poenas, uti destinaverat, e Pudentio sumeret, novus iste casus impediit.

Quidam erat inter subditos Gelimeris Godas, natione Gotthus: animosus vir, strenuus, et robore singulari praeditus: qui rebus domini impense studere videbatur. Propterea Gelimer Sardiniam ei commiserat cum annui tributi onere. Is vero cum infirmioris esset animi, quam ut fortunae gratiam, difficili cibo similem, coqueret ac salubriter ferret; in tyrannidem incubuit, nec solum tributo, sed ipsa etiam insula Vandalos spoliavit: atque ubi Iustinianum Aug. belli in Africam et Gelimerem movendi cupidine teneri sensit, has ad ipsum literas dedit. *A domino meo descivi, quamvis ab eo nunquam indigne vel acerbe habitus: sed postquam illum in propinquos subditosque suos crudelissimum animadverti, committere nolui ut inhumanitatis particeps viderer esse. Certe praestat Imperatori*

ἔννομα ἐπαγγέλλοντι. ἀλλ' ὅπως μὲν συλλήψῃ μοι ταῦτα σπουδάζοντι, ὅπως δὲ στρατιώτας πέμποις ὥστε με ἀμύνασθαι τοὺς ἐπιόντας ἱκανῶς ἔχειν.“ ταύτην βασιλεὺς ἄσμενος λαβὼν τὴν ἐπιστολὴν Εὐλόγιον πρεσβευτὴν ἔπεμψε καὶ γράμματα ἔγραψεν, ἐπαινῶν τὸν Γώδαν τῆς τε ξυνέσεως καὶ τῆς ἐς τὴν δικαιοσύνην
B προθυμίας, ξυμμαχίαν τε ἐπαγγελλόμενος καὶ στρατιώτας καὶ στρατηγόν, ὃς αὐτῷ ξυμφυλάξαι τὴν νῆσον οἷός τε εἴη καὶ τὰ ἄλλα ξυλλήψεσθαι, ὥστε αὐτῷ δύσκολον μηδὲν πρὸς Βανδίλων ξυμβῆναι. Εὐλόγιος δὲ ἀφικόμενος ἐς Σαρδὼ εὗρισκε Γώδαν ὄνομά τε καὶ σχῆμα βασιλέως περιβαλλόμενον καὶ δορυφόρους προσποιησάμενον. ὃς ἐπειδὴ τὴν βασιλέως ἐπιστολὴν ἀνελέξατο, στρατιώτας μὲν ἔφη ἐς ξυμμαχίαν ἐλθεῖν βουλομένῳ εἶναι, ἄρχοντος δὲ οὐ πάνυ χρῄζειν. κατὰ ταῦτά τε πρὸς βασιλέα γράψας τὸν Εὐλόγιον ἀπεπέμψατο.

C ια'. Ταῦτα βασιλεὺς οὔπω πεπυσμένος τετρακοσίους τε
H 106 στρατιώτας καὶ ἄρχοντα Κύριλλον ὡς τὴν νῆσον ξυμφυλάξοντας Γώδᾳ ἡτοίμαζεν. ἤδη δὲ ξὺν αὐτοῖς καὶ τὴν ἐς Καρχηδόνα στρατείαν ἐν παρασκευῇ εἶχε, πεζοὺς μὲν στρατιώτας μυρίους, ἱππέας δὲ πεντακισχιλίους, ἔκ τε στρατιωτῶν καὶ φοιδεράτων ξυνειλεγμένους. ἐν δὲ δὴ φοιδεράτοις πρότερον μὲν μόνοι βάρβαροι κατελέγοντο, ὅσοι οὐκ ἐπὶ τὸ δοῦλοι εἶναι, ἅτε μὴ πρὸς Ῥωμαίων
D ἡσσημένοι, ἀλλ' ἐπὶ τῇ ἴσῃ καὶ τῇ ὁμοίᾳ ἐς τὴν πολιτείαν ἀφίκοιντο. φοίδερα γὰρ τὰς πρὸς τοὺς πολεμίους σπονδὰς καλοῦσι

1. συλλήψῃ μοι A. συλλήψοιμι P.

iusto quam tyranno iniqua iubenti servire. Tu vide ut in hac re enitenti mihi opituleris, et militem mittas, quo possim aggressores repellere. His laetus litteris Augustus legavit Eulogium, scriptaque epistolâ, Godae prudentiam et erectum ad iustitiam tuendam animum laudavit; armorum etiam societatem promisit, et cum copiis ducem, qui coniuncte custodire insulam posset: demum ita se subventurum, ut nihil Vandali interpellaturi ipsum essent. In Sardiniam pervectus Eulogius Godam offendit regio iam nomine habituque insignem et satellitio stipatum: qui lectis Augusti litteris, milites quidem ut venirent socias vires iuncturi secum, cupere se dixit; ducem vero non adeo opus esse. In hanc rationem scriptis ad Augustum litteris, remisit Eulogium.

11. Nondum haec Augustus acceperat, cum milites CD. expedivit, Sardiniam Cyrillo duce una cum Goda custodituros. Simul etiam exercitum ad Punicam expeditionem paravit, peditum millibus constantem X. equitum V. quos cum e Romanis militibus, tum e foederatis collegit. Olim in foederatorum ordine soli Barbari censebantur: qui cum a Romanis victi non fuissent, non inferiore, sed aequali conditione ad Remp. se adiunxerant. Et vero Romanum vocabulum *foedera* iunctam cum hoste

*Ῥωμαῖοι. τὸ δὲ νῦν ἅπασι τοῦ ὀνόματος τούτου ἐπιβατεύειν οὐκ
ἐν κωλύμῃ ἐστὶ, τοῦ χρόνου τὰς προσηγορίας ἐφ' ὧν τέθεινται
ἥκιστα ἀξιοῦντος τηρεῖν, ἀλλὰ τῶν πραγμάτων ἀεὶ περιφερομέ-
νων, ᾗ ταῦτα ἄγειν ἐθέλουσιν ἄνθρωποι, τῶν πρόσθεν αὐτοῖς
ὠνομασμένων ὀλιγωροῦντες. ἄρχοντες δὲ ἦσαν φοιδεράτων μὲν
Δωρόθεός τε, ὁ τῶν ἐν Ἀρμενίοις καταλόγων στρατηγὸς, καὶ
Σολόμων, ὃς τὴν Βελισαρίου ἐπετρόπευε στρατηγίαν· (δομέστι-
κον τοῦτον καλοῦσι Ῥωμαῖοι. ὁ δὲ Σολόμων οὗτος εὐνοῦχος μὲν* P 205
*ἦν, οὐκ ἐξ ἐπιβουλῆς δὲ ἀνθρώπου τὰ αἰδοῖα ἐτύγχανεν ἀποτμη-
θεὶς, ἀλλά τις αὐτῷ τύχη ἐν σπαργάνοις ὄντι τοῦτο ἐβράβευσε·)
καὶ Κυπριανὸς καὶ Βαλεριανὸς καὶ Μαρτῖνος καὶ Ἀλθίας καὶ
Ἰωάννης καὶ Μάρκελλος καὶ Κύριλλος, οὗ πρόσθεν ἐμνήσθην·
στρατιωτῶν δὲ ἱππέων μὲν Ῥουφῖνός τε καὶ Αἰγᾶν, ἐκ τῆς Βελι-
σαρίου οἰκίας ὄντες, καὶ Βαρβᾶτος καὶ Πάππος, πεζῶν δὲ ὁ
Θεόδωρος, ὅνπερ Κτενᾶτον ἐπίκλησιν ἐκάλουν, καὶ Τερέντιός τε
καὶ Ζάϊδος καὶ Μαρκιανὸς καὶ Σάραπις. Ἰωάννης δέ τις ἐξ Ἐπι-
δάμνου ὁρμώμενος, ἣ νῦν Δυρράχιον καλεῖται, τοῖς τῶν πεζῶν
ἡγεμόσιν ἅπασιν ἐφειστήκει. τούτων ἁπάντων Σολόμων ἑῷος μὲν* B
*ἐτύγχανεν ὢν ἐκ τῆς Ῥωμαίων ἐσχατιᾶς αὐτῆς, οὗ νῦν πόλις οἰ-
κεῖται Δάρας, Αἰγᾶν δὲ ἦν Μασσαγέτης γένος, οὓς νῦν Οὔν-
νους καλοῦσιν. οἱ δὲ λοιποὶ σχεδόν τι ἅπαντες τὰ ἐπὶ τῆς Θρᾴ-*

2. *τέθεινται*] *τέθειται* HL: illud Hm. 7. *Βελισαρίου*] * *βελισάριον* H. 11. *Βαλεριανὸς*] *βαλλεριανὸς* HL. *ibid.* *Ἀλθίας* P cum RV. *ἀλθέας* LHm. 14. *Βαρβᾶτος*] *Βαρβάτος* P. 15. *Κτενάτον* (nam sic P)] *κτενωτὸν* Grotius. *Parthenium* RV. 16. *Σάραπις*] *Saraias* RV.

amicitiam et societatem significat. Nunc licet omnibus nomen hoc sibi arrogare, ut fit temporis lapsu, quo appellationes a rebus suis interea abeunt, dum ipsae res mutantur, prout placet hominibus, nihil pensi habentibus, rectene an secus pristina nomina impleantur. Foederatis praeerant Dorotheus numerorum militarium Armeniae dux, et Salomon, quem Belisarius Magisterii militiae administrum habebat (Domesticum Romani vocant). Erat hic spado, non consilio, sed casu ei quondam in cunis excisa virilitate. Ducebant etiam foederatos Cyprianus, Valerianus, Martinus, Althias, Ioannes, Marcellus et, cuius mentio supra incidit, Cyrillus. Romanorum militum ductores erant, equitum quidem Rufinus et Aigan domestici Belisarii, Barbatus item et Pappus; peditum vero Theodorus cognomento Ctenatus, Terentius, Zaidus, Marcianus et Sarapis. Peditatus ducibus imperabat Ioannes, ex urbe Epidamno, quam hodie Dyrrhachium appellant, oriundus. Erat patria Salomonis in Oriente, ad ipsum Imperii Rom. limitem, ubi nunc urbs Dara colitur. Aigan parentes habuit Massagetas, sive, ut iam vocitant, Hunnos: caeteri fere Thraces

κης χωρία ᾤκουν. εἵποντο δὲ αὐτοῖς Ἔρουλοι τετρακόσιοι, ὧν Φάρας ἦρχε, καὶ ξύμμαχοι βάρβαροι ἑξακόσιοι μάλιστα ἐκ τοῦ Μασσαγετῶν ἔθνους, ἱπποτοξόται πάντες· ὧν δὴ ἡγοῦντο Σιννίων τε καὶ Βάλας, ἀνδρείας τε καὶ καρτερίας ἐς ἄκρον ἥκοντες. ναῦς δὲ ἡ ξύμπασα στρατιὰ πενταχοσίας ἦγε, καὶ αὐτῶν οὐδε- V 364 μία πλέον ἢ κατὰ μυριάδας πέντε μεδίμνων φέρειν οἵα τε ἦν, οὐ μὴν οὐδὲ ἔλασσον ἢ κατὰ τρισχιλίους. ναῦται δὲ δισμύριοι ἐπέ- C πλεον ἁπάσαις, Αἰγύπτιοί τε καὶ Ἴωνες οἱ πλεῖστοι καὶ Κίλικες, ἀρχηγός τε εἷς ἐπὶ ταῖς ναυσὶν ἁπάσαις Καλώνυμος Ἀλεξανδρεὺς ἀποδέδεικτο. ἦσαν δὲ αὐτοῖς καὶ πλοῖα μακρὰ, ὡς ἐς ναυμαχίαν παρεσκευασμένα, ἐνενήκοντα δύο, μονήρη μέντοι καὶ ὀροφὰς ὕπερθεν ἔχοντα, ὅπως οἱ ταῦτα ἐρέσσοντες πρὸς τῶν πολεμίων ὡς ἥκιστα βάλλοιντο. δρόμωνας καλοῦσι τὰ πλοῖα ταῦτα οἱ νῦν ἄνθρωποι· πλεῖν γὰρ κατὰ τάχος δύνανται μάλιστα. ἐν τούτοις δὴ Βυζάντιοι δισχίλιοι ἔπλεον, αὐτερέται πάντες· περίνεως γὰρ ἦν ἐν τούτοις οὐδείς. ἐστέλλετο δὲ καὶ Ἀρχέλαος, ἀνὴρ ἐς πατρικίους τελῶν, ἤδη μὲν τῆς αὐλῆς ὕπαρχος ἔν τε Βυζαντίῳ καὶ D Ἰλλυριοῖς γεγονὼς, τότε δὲ τοῦ στρατοπέδου καταστὰς ὕπαρχος. οὕτω γὰρ ὁ τῆς δαπάνης χορηγὸς ὀνομάζεται. στρατηγὸν δὲ αὐτοκράτορα ἐφ᾽ ἅπασι Βελισάριον βασιλεὺς ἔστελλεν, ὃς τῶν ἑῴων αὖθις καταλόγων ἦρχε. καὶ αὐτῷ πολλοὶ μὲν δορυφόροι, πολλοὶ δὲ ὑπασπισταὶ εἵποντο, ἄνδρες τε ἀγαθοὶ τὰ πολέμια καὶ τῶν περὶ ταῦτα κινδύνων ἀτεχνῶς ἔμπειροι. γράμματά τε αὐτῷ βα-

2. τοῦ] Vulgo τῶν. 7. ἐπέπλεον] ἐνέπλεον Pm.

erant. Eos sequebantur cd. Eruli, duce Phara: et socii Barbari ferme dc. Massagetae, qui erant omnes equites sagittarii, et Sinnioni ac Balae, generosissimis fortissimisque viris, parebant. Naves quingentas agebat universus exercitus: quarum nulla amplius l. medimnum millia ferre poterat, nec minus iii. m. Iis omnibus vehebantur nautae xx. m. maximam partem Aegyptii, Iones, Cilicesque, praefecto classi Calonymo Alexandrino. Longas naves ad maritimum praelium instructas habebant xcii. quae uno remorum ordine agebantur, tectis munitae, ne ab hoste remiges telis figerentur: eas nunc dromonas nominant, quod sint ad cursum expeditissimae. In iis navigabant Byzantii bis mille, et quidem ipsimet remiges ad unum omnes: nullum enim, qui solum vector esset, in suo numero habebant. Archelaus quoque profectionem suscipiebat, vir Patricius, ac prius quidem functus Praefectura Praetorii tum Byzantii, tum in Illyrico; tunc autem creatus Quaestor exercitus: sic vocatur sumptuum praebitor. Denique Belisarius, iam iterum Magister militum Orientis, ab Augusto cum summo in omnes imperio mittebatur, ingenti septus comitatu hastatorum scutatorumque satellitum, qui bellatores erant egregii, et armorum periculis multum exerciti. Caeterum per literas potestatem ei

σιλεὺς ἔγραφε, δρᾶν ἕκαστα ὅπη ἂν αὐτῷ δοκοίη ἄριστα ἔχειν, ταῦτά τε κύρια εἶναι, ἅτε αὐτοῦ βασιλέως αὐτὰ διαπεπραγμένου. βασιλέως γὰρ αὐτῷ ῥοπὴν τὰ γράμματα ἐποίει. ὥρμητο δὲ ὁ Βελισάριος ἐκ Γερμανίας, ἣ Θρᾳκῶν τε καὶ Ἰλλυριῶν μεταξὺ κεῖται. ταῦτα μὲν οὖν ἐγένετο τῇδε.

Γελίμερ δὲ Τριπόλεώς τε πρὸς Πουδεντίου καὶ Σαρδοῦς P 206 *πρὸς Γώδα ἐστερημένος, Τρίπολιν μὲν ἀνασώσασθαι μόλις ἤλπισεν, ἀπωτέρω τέ οἱ κειμένην καὶ Ῥωμαίων ἤδη τοῖς ἀποστᾶσι ξυλλαμβανόντων, ἐφ' οὓς δὴ μὴ αὐτίκα στρατεύειν ἔδοξέν οἱ ἄριστα ἔχειν· ἐς δὲ τὴν νῆσον προτερῆσαι ἠπείγετο, πρὶν ἢ καὶ ἐς ταύτην ξυμμαχίαν ἐκ βασιλέως ἥκειν. ἀπολέξας οὖν Βανδίλων χιλιάδας πέντε καὶ ναῦς εἴκοσι καὶ ἑκατὸν τὰς ἄριστα πλεούσας στρατηγόν τε ἀποδείξας Τζάζωνα τὸν ἀδελφὸν ἔστελλε. καὶ* H 107 *οἱ μὲν ἐπὶ Γώδαν τε καὶ Σαρδὼ θυμῷ τε πολλῷ καὶ σπουδῇ χρώ-* B *μενοι ἔπλεον, βασιλεὺς δὲ Ἰουστινιανὸς Βαλεριανόν τε καὶ Μαρτῖνον προτέρους ἔστελλεν, ἐφ' ᾧ προσδέξονται τὴν ἄλλην στρατιὰν ἐς τὰ ἐν Πελοποννήσῳ χωρία. καὶ ἐπειδὴ ἐν ταῖς ναυσὶν ἄμφω ἐγενέσθην, ἐνθύμιον βασιλεῖ ἐγένετο ἐντέλλεσθαί τι αὐτοῖν· ὃ καὶ πρότερον ἐθέλοντα λέγειν ἀσχολία τις λόγων ἑτέρων τὴν διάνοιαν περιλαβοῦσα ἐξέκρουσε. μεταπεμψάμενος οὖν αὐτοῖς λέγειν ἔμελλεν ἃ ἠβούλετο, ἀλλὰ ξυμβαλὼν εὕρισκεν ὡς οὐκ ἂν*

1. *δοκοίη* HmLm. *δοκεῖν* P. 8. *τέ οἱ* Grotius. Vulgo *τε ὡς*. 10. *πρὶν ἢ*] Vulgo *πρινή*. 16. *προσδέξονται* L. *προσδέξωνται* P. 17. *Πελοποννήσῳ*] Vulgo *Πελοπονήσῳ*. 20. *περιλαβοῦσα*] *προλαβοῦσα* HmLm. *ibid.* *αὐτοῖς*] *αὐτῷ* HL. 21. *ἠβούλετο*] *ἐβούλετο* L.

fecit Augustus omnia administrandi, prout maxime in rem esse censeret; ea rata perinde haberi volens, ac si essent per se transacta: ei namque auctoritatis Caesareae pondus illae literae tribuebant. Originem autem ducebat Belisarius ex Germania, quae inter Thraces et Illyrios sita est. Haec ita se habebant.

Interea Gelimer, cum ipsius ditioni Pudentius Tripolin, Godas Sardiniam subduxissent, Tripolin quidem vix se recepturum sperabat, quippe quae distaret longius, ac iam Romani rebellibus subsidio venissent. Quamobrem optime se facturum putavit, si differret exercitum eo ducere, et festinaret insulam prius invadere, quam adessent Imperatoris auxilia. Igitur delectis Vandalorum v. м. navibusque celerrimis cxx. Tzazonem fratrem suum praefecit, et in Sardiniam misit. Atque illi quidem Godam insulamque magna contentione petebant, ira vehementer impulsi. Iustinianus vero Aug. Valerianum ac Martinum praemisit, reliquas copias in Peloponeso opperiri iussos. Iamque ambo navem conscenderant, cum Augusto in mentem venit ipsis aliquid mandare, quod antea dicere volenti, sermonibus aliis occupata mente, exciderat. Missis igitur, qui illos accirent, quae habebat in animo parabat edere: sed re per coniecturam ex-

C αὐτοῖς αἴσιον εἴη τὴν πορείαν ἐκκόψαι. ἔπεμψεν οὖν τινας ἀπεροῦντας αὐτοῖν μήτε ἀναστρέφειν ἐς αὐτὸν αὖθις μήτε ἐκ τῶν νεῶν ἀποβαίνειν. οἱ δέ, ἐπεὶ τῶν νεῶν ἄγχου ἐγένοντο, ἐκέλευον ξὺν βοῇ τε καὶ θορύβῳ πολλῷ μηδαμῶς ἀναστρέφειν, ἔδοξέ τε τοῖς παροῦσιν οἰωνός τε εἶναι οὐκ ἀγαθὸς τὸ γινόμενον καὶ οὔποτε τῶν ἐν ταῖς ναυσὶν ἐκείναις τινὰ ἐκ Λιβύης ἐς Βυζάντιον ἐπανήξειν. πρὸς γὰρ δὴ τῷ οἰωνῷ καὶ ἀρὰν ἐς αὐτοὺς ἥκειν ἐκ βασιλέως οὔτι ἑκόντος, ὥστε μὴ ἀναστρέφειν ὑπώπτευον. καὶ εἰ D μέν τις αὐτὰ ἐς τὼ ἄρχοντε τούτω, Βαλεριανόν τε καὶ Μαρτῖνον, ξυμβάλλοιτο, οὐκ ἀληθῆ εὑρήσει τὰ ἐξ ἀρχῆς δόξαντα. ἦν δέ τις ἐν τοῖς Μαρτίνου δορυφόροις Στότζας, ὃς δὴ καὶ βασιλεῖ πολέμιος ἔμελλεν ἔσεσθαι καὶ τυραννίδι ἐπιθέσθαι καὶ ἐς Βυζάντιον ἥκιστα ἀναστρέφειν, ἐφ' ὃν δὴ τὴν ἀρὰν ἐκείνην ὑποπτεύσειεν ἄν τις ξυνενεγκεῖν τὸ δαιμόνιον. ἀλλὰ ταῦτα μὲν εἴτε ταύτῃ εἴτε πῃ ἄλλῃ ἔχει, ἀφίημι ἑκάστῳ ὅπῃ ἄν τις βούληται ἐκλογίζεσθαι. ὅπως δὲ ὅ τε στρατηγὸς Βελισάριος καὶ τὸ στράτευμα ἐστάλη, ἐρῶν ἔρχομαι.

P 207 V 365 ιβ'. Ἕβδομον ἤδη ἔτος τὴν αὐτοκράτορα ἀρχὴν ἔχων Ἰουστινιανὸς βασιλεὺς ἀμφὶ θερινὰς τροπὰς τὴν στρατηγίδα ἐκέλευσε ναῦν ὁρμίσασθαι ἐς τὴν ἀκτήν, ἣ πρὸ τῆς βασιλέως αὐλῆς τυγχάνει οὖσα. ἐνταῦθα Ἐπιφάνιος ἀφικόμενος, ὁ τῆς πόλεως ἀρχιερεύς, εὐξάμενός τε ὅσα εἰκὸς ἦν τῶν τινα στρατιωτῶν ἄρτι βεβαπτισμένον τε καὶ τοῦ Χριστιανῶν ὀνόματος μεταλαχόντα ἐς

4. ξὺν βοῇ] ξυμβοῇ HL: illud Hm. 23. ἐς L. εἰς P.

pensa, iudicavit mali id fore ominis, si profectionem interrumperet. Quare alios subinde misit, qui redire et navibus efferre pedem vetarent. Illi ad naves progressi, clamando tumultuandoque edixere ne reverterentur. Quae verba astantibus visa sunt male ominata, eoque valitura, ut vectorum aliquis nunquam esset Byzantium ex Africa reversurus. Etenim ab Augusto, quamvis nolente, ominosam esse missam execrationem, qua illis reditus rumperetur, putarunt. Haec si quis ad eos duces, Valerianum inquam et Martinum, spectasse existimet, falsam esse deprehendet sententiam, quae prius arridebat. At inter Martini satellites quidam erat Stotzas, Augusti futurus aliquando hostis, ac tyrannus, nec Byzantium unquam rediturus; in cuius caput execrationem illam a daemone conversam fuisse iure quis suspicetur. Verum haec itane an secus habeant, per me licet pro suo quisque sensu exquirat: ego vero ad Belisarii exercitusque profectionem narrandam accedo.

12. Iustinianus Aug. anno imperii septimo, circiter solstitium aestivum, navem Praetoriam ad littus, quod Imperatoris aulae praeiacet, applicari iussit. Huc Epiphanius urbis Archiepiscopus sese contulit, ac rite Deum precatus, militem quendam a baptismo recentem, et modo con-

τὴν ναῦν εἰσεβίβασεν. οὕτω τοίνυν ὅ τε στρατηγὸς Βελισάριος καὶ Ἀντωνίνα ἡ γυνὴ ἔπλεον. ξυνῆν δὲ αὐτοῖς καὶ Προκόπιος, ὃς τάδε ξυνέγραψε, πρότερον μὲν καὶ μάλα κατορρωδήσας τὸν [B] κίνδυνον, ὄψιν δὲ ὀνείρου ἰδὼν ὕστερον, ἣ αὐτὸν θαρσῆσαί τε ἐποίησε καὶ ἐς τὸ στρατεύεσθαι ὥρμησεν. ἐδόκει γὰρ ἐν τῷ ὀνείρῳ εἶναι μὲν ἐν τῇ Βελισαρίου οἰκίᾳ, εἰσελθόντα δὲ ἀγγεῖλαι τῶν οἰκετῶν ἕνα ὡς ἥκοιέν τινες δῶρα φέροντες· καὶ Βελισάριον διασκοπεῖσθαι κελεύειν αὐτὸν ὁποῖά ποτε εἴη τὰ δῶρα, καὶ αὐτὸν ἐν τῇ μεταύλῳ γενόμενον ἄνδρας ἰδεῖν, οἳ ἔφερον ἐπὶ τῶν ὤμων γῆν αὐτοῖς ἄνθεσι. τούτους δὲ ἐς τὴν οἰκίαν εἰσαγαγόντα κελεῦσαι καταθεῖναι ἐν τῷ προστῴῳ ἣν ἔφερον γῆν· οὗ δὴ Βελισάριον ἅμα τοῖς δορυφόροις ἥκοντα, αὐτόν τε κατακλίνεσθαι ἐν τῇ γῇ ἐκείνῃ [C] καὶ τὰ ἄνθη ἐσθίειν, τοῖς τε ἄλλοις αὐτὸ δὴ τοῦτο ποιεῖν ἐγκελεύεσθαι, κατακλινομένοις τε σφίσι καὶ ἐσθίουσιν ὥσπερ ἐπὶ στιβάδος ἡδεῖαν κομιδῇ τὴν βρῶσιν φανῆναι. τὰ μὲν δὴ τῆς ὄψεως τοῦ ὀνείρου ταύτῃ πῃ ἔσχεν.

Ὁ δὲ ξύμπας στόλος τῇ στρατηγίδι νηὶ εἵπετο, καὶ προσέσχε Περίνθῳ, ἣ νῦν Ἡράκλεια ἐπικαλεῖται, ἔνθα δὴ πέντε ἡμερῶν χρόνος τῇ στρατιᾷ ἐτρίβη, ἐπεὶ βασιλεὺς ἵπποις ὅτι μάλιστα πλείστοις τὸν στρατηγὸν ἐνταῦθα ἐδωρεῖτο ἐκ τῶν βασιλικῶν ἱπποφορβίων, ἃ οἱ νέμονται ἐς τὰ ἐπὶ Θρᾴκης χωρία. ὅθεν δὴ [D] ἀπάραντες Ἀβύδῳ προσωρμίσαντο, καὶ σφίσι ξυνέπεσε τῇδε διὰ

3. ξυνέγραψε L. ξυνέγραψεν P. 17. προσέσχε] προσέσχεν P. προσέχειν L.

sortem factum nominis Christiani, in navem immisit. Tum demum vela fecit Belisarius cum Antonina uxore sua, atque historiae scriptore huius Procopio, qui sane belli istius pericula principio reformidabat; sed oblatum illi postea somnium fiduciam addidit, eumque perpulit ad sequendam expeditionem. Nam in somnis sibi esse videbatur in domo Belisarii, cum ecce ingressus famulus, quosdam cum muneribus adesse renuntiat: tum sibi visus a Belisario mandatum accipere quaenam illa essent inspicienda: ubi ianuam, qua ad interiorem aulam a prima est aditus, attigit, vidisse homines terram floribus vestitam humeris deferentes, iisque domum introductis praecepisse, ut in porticus vestibulo terram, quam portabant, deponerent: Belisarius deinde cum stipatoribus egredi visus est, atque in ea terra recumbere, et flores manducare: mox alios quoque, idem ut facerent, hortari; illi vero quasi super toro discumbentes atque edentes, dulcissimi saporis laudem cibo tribuere. Huiusmodi fuit somnii species.

Caeterum navem Praetoriam sequebatur classis universa, qua ad urbem Perinthum (Heracleam hodie vocant) appulsa, dies ibi quinque exercitus idcirco substitit, quia Magistro militum Augustus equos quamplurimos dono dedit, ex Imperatoriis delectos equitiis, quae pascuntur in Thracia. Cum inde solvissent, Abydo classem applicuerunt: ubi dies quatuor

τὴν νηνεμίαν ἡμέρας διατρίβουσι τέσσαρας πρᾶγμα τοιόνδε ξυνενεχθῆναι. Μασσαγέται δύο τῶν τινα ἑταίρων ἐν τῇ ἀκρατοποσίᾳ ἐρεσχελοῦντα σφᾶς, ἅτε οἰνωμένω, ἀνειλέτην. πάντων γὰρ ἀνθρώπων μάλιστά εἰσιν ἀκρατοπόται οἱ Μασσαγέται. Βελισάριος οὖν αὐτίκα τὼ ἄνδρε τούτω ἐν τῷ κολωνῷ, ὃς ἄγχι Ἀβύδου P 208 *ἐστὶν, ἀνεσκολόπισε. καὶ ἐπειδὴ οἵ τε ἄλλοι καὶ οἱ τοῖν ἀνδροῖν ξυγγενεῖς ἐδυσχέραινόν τε καὶ ἔφασκον οὐκ ἐπὶ τιμωρίᾳ οὐδ' ἐπὶ τῷ ὑπεύθυνοι εἶναι Ῥωμαίων νόμοις ἐς ξυμμαχίαν ἥκειν (τὰ γὰρ δὴ σφῶν νόμιμα οὐ τοιάσδε τῶν φόνων ποιεῖσθαι τὰς τίσεις), ξυνεθρύλουν δὲ αὐτοῖς τὴν ἐς τὸν στρατηγὸν αἰτίαν καὶ στρατιῶ-* H 108 *ται Ῥωμαῖοι, οἷς δὴ ἐπιμελὲς ἐγεγόνει τῶν ἁμαρτανομένων μὴ εἶναι δίκας, τούς τε Μασσαγέτας καὶ τὸ ἄλλο στράτευμα ξυγκαλέσας Βελισάριος ἔλεξε τοιάδε „Εἰ μὲν πρὸς ἄνδρας νῦν πρῶτον ἐς πόλεμον καθισταμένους οἱ λόγοι ἐγίνοντο, μακροῦ ἄν μοι ἐδέησε χρόνου λέξαντα πεῖσαι ὑμᾶς ἡλίκον ἐστὶν ἐφόδιον ἐς τροπαίου* B *κτῆσιν τὸ δίκαιον. οἱ γὰρ οὐκ ἐξεπιστάμενοι τὰς τῶν τοιούτων ἀγώνων τύχας ἐν ταῖς χερσὶ μόναις οἴονται εἶναι τὸ τοῦ πολέμου πέρας. ὑμεῖς δὲ, οἳ πολλάκις μὲν νενικήκατε πολεμίους οὔτε τοῖς σώμασιν ἐλασσουμένους καὶ πρὸς ἀνδρείαν ἱκανῶς πεφυκότας, πολλάκις δὲ τῶν ἐναντίων ἐν πείρᾳ γεγένησθε, οὐκ ἀγνοεῖτε, οἶμαι, ὡς μάχονται μὲν ἐξ ἑκατέρας ἀεὶ στρατιᾶς ἄνθρωποι, βραβεύει δὲ ὁ θεὸς ὅπως ποτὲ αὐτῷ δοκεῖ καὶ τὸ τοῦ πολέμου δίδωσι*

3. *ἐρεσχελοῦντα*] *ἐρεσχηλοῦντα* L. 10. *ξυνεθρύλουν*] Vulgo *ξυνεθρύλλουν*. 18. *οὔτε*] *οὐδὲ* P.

moram facere malacia coactis, id contigit. Massagetae duo inter potandum cavillis a quodam sodali suo proritati, ipsum peremerunt iam ebrii; ut sunt merobibi supra mortales universos Massagetae. Extemplo Belisarius in colle, qui Abydo imminet, percussorem utrumque arbori infelici suspendit. Factum caeteri, in primis eorum cognati, iniquissime ferentes, iactabant, se non ea conditione ad societatem Romanorum accessisse, ut poenas luerent, quasi legibus eorum obnoxii: cum a patriis institutis abhorrerent caedium animadversiones eiusmodi. Et quoniam Romani milites, quibus cordi erat delictorum impunitas, una cum illis de Belisario querebantur, is, ubi Massagetas omnemque exercitum convocasset, sic verba fecit. *Si nunc tirones alloquerer, prolixa opus esset oratione, ut vobis, quantum Iustitia ad victoriam momentum afferat, demonstrarem. Nam qui casuum laboribus bellicis intercurrentium ignari sunt, in suis tantum manibus exitum belli positum putant. At vos, qui et saepe vicistis hostes, nec numero vobis nec robore inferiores, nec mediocri animi fortitudine praeditos, et iidem saepe contraria estis experti, id, opinor, non ignoratis, solere quidem homines ex utraque acie praelium edere, sed eius arbitrum esse Deum, et ad libitum victoriam dare. Quae cum ita se*

κράτος. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει, τήν τε τοῦ σώματος εὐεξίαν
καὶ τὴν ἐν τοῖς ὅπλοις ἐπιμέλειαν καὶ τὴν ἄλλην τοῦ πολέμου πα-
ρασκευὴν περὶ ἐλάσσονος προσήκει τοῦ τε δικαίου καὶ τῶν εἰς V 366
θεὸν ἡκόντων ποιεῖσθαι. τὸ γὰρ μάλιστα ξυνενεγκεῖν τοῖς δεο-
μένοις δυνάμενον μᾶλλον ἂν εἰκότως πρὸς ἐκείνων τιμῷτο. πρῶ- C
τον δ' ἂν τοῦ δικαίου γένοιτο γνώρισμα ἡ τῶν ἀδίκως ἀνῃρηκό-
των ποινή. εἰ τὸ δίκαιον γὰρ καὶ τὸ ἄδικον κρίνειν τε καὶ ὀνομάζειν
ἐκ τῶν ἐς τοὺς πέλας ἀεὶ πρασσομένων ἐπάναγκες, οὐδὲν ἂν γέ-
νοιτο μᾶλλον ἀνθρώπῳ τῆς ψυχῆς ἔντιμον. εἰ δέ τις βάρβαρος,
ὅτι τὸν ξυγγενῆ μεθύων ἀνεῖλεν, ἀξιοῖ ξυγγνώμην ἔχειν τὴν δίκην,
δι' ὧν ἀπολύεσθαι τὰς αἰτίας φησὶ χείρω εἰκότως εἶναι ποιεῖ τὰ
ἐγκλήματα. οὔτε γὰρ οὕτω μεθύειν ἄξιον ἄλλως τε καὶ τὸν ἐν
στρατοπέδῳ βαδίζοντα, ὥστε ἀναιρεῖν τοὺς φιλτάτους ἑτοίμως,
ἀλλ' αὐτή γε ἡ μέθη, κἂν ὁ φόνος ἥκιστα ἐπιγένηται, ποινῆς
ἀξία, τό τε ξυγγενὲς ἀδικούμενον περὶ πλείονος ἂν τῶν οὐ προση-
κόντων ἐς τιμωρίαν τοῖς γε νοῦν ἔχουσι φαίνοιτο. τὸ μὲν οὖν D
παράδειγμα καὶ ἡ τῶν πραττομένων ἀπόβασις ὁποία ποτέ ἐστιν
ὁρᾶν πάρεστιν. ὑμᾶς δὲ προσήκει μήτε χειρῶν ἄρχειν ἀδίκων μήτε
τι φέρεσθαι τῶν ἀλλοτρίων· ὡς οὐ περιόψομαί γε οὐδὲ ὑμῶν τινα
συστρατιώτην ἐμὸν ἡγήσομαι εἶναι, κἂν πάνυ φοβερὸς τοῖς πο-
λεμίοις εἶναι δοκῇ ὃς ἂν μὴ καθαραῖς ταῖς χερσὶν ἐς τοὺς ἀντι-
πάλους δύνηται χρῆσθαι. τὸ γὰρ ἀνδρεῖον οὐκ ἂν νικῴη μὴ με-

1. ὅτε] ὅτι P. 7. εἰ τὸ δίκαιον γὰρ AHL. εἰ omisit P.
11. φησὶ] φήσει AL.

habeant, corporis firmitas, armorum sedula exercitatio, omnisque belli apparatus, aequitati et rebus, quae ad Deum spectant, longo postponenda sunt intervallo. Quod enim opis egentibus opitulari maxime potest, id illi impensius colere debent. Prima autem iustitiae nota est homicidarum iniustorum supplicium: siquidem aequi et iniqui cum notitiam tum nomen ex iis capiamus necesse est, quae vicinis fiunt. Porro nihil habet homo pretiosius vita. Quod si Barbarus aliquis, ideo quia propinquum occidit ebrius, dicam, quae ipsi impingitur, venalem esse contendit, eo ipso, quo dilui crimen asseverat, causam suam peiorem facit, et quidem merito. Neque enim cuiquam fas est, maxime vero si castra sequitur, ita inebriari, ut vel amicissimos iugulare non dubitet. Immo etiam ipsa per se temulentia, quamvis caedes absit, poenam meretur. Denique nemo est sanae mentis, quin iudicet, gravius plectendum esse qui necessarios, quam qui extraneos iniuria afficit. Iam vero quale exemplum statutum sit, et quem habuerit scelus exitum, videre licet. Certe vobis expedit non modo non movere rixam, sed alieno etiam abstinere. Nihil negligam hac in parte, nec quemquam vestrum, quantumvis hosti formidabilis videatur, commilitonem agnoscam meum, nisi puras manus in hostem ferat. Neque enim fieri potest

τὰ τοῦ δικαίου ταττόμενον.“ Βελισάριος μὲν τοσαῦτα εἶπεν. ἡ δὲ στρατιὰ ξύμπασα, ἐπειδὴ τά τε λεγόμενα ἤκουσαν καὶ ἐς τὼ P 209 ἀνεσκολοπισμένω ἀπέβλεψαν, ἐς δέος τι ἀμήχανον ἦλθον καὶ σωφρόνως βιοτεύειν ἐν νῷ ἔλαβον, ὡς οὐκ ἔξω κινδύνου μεγάλου ἐσόμενοι, ἤν τι οὐκ ἔννομον ποιοῦντες ἁλοῖεν.

B ιγ΄. Μετὰ δὲ ταῦτα ἐφρόντιζε Βελισάριος ὅπως τε ὁ ξύμπας στόλος ἀεὶ κατὰ ταὐτὰ πλέοι καὶ ἐς χωρίον ταὐτὸ προσορμίζοιτο. ᾔδει γὰρ ὡς ἐν μεγάλῳ στόλῳ, ἄλλως τε καὶ ἢν τραχεῖς σφίσιν ἄνεμοι ἐπιπέσοιεν, ἐπάναγκες ἀπολείπεσθαί τε τῶν νεῶν πολλὰς καὶ σκεδάννυσθαι ἐς τὸ πέλαγος, οὐκ εἰδέναι τε αὐτῶν τοὺς κυβερνήτας ὁποίαις ποτὲ τῶν ἔμπροσθεν ἀναγομένων ἕπεσθαι ἄμεινον. λογισάμενος οὖν ἐποίει τάδε. τριῶν νεῶν, ἐν αἷς αὐτός τε καὶ ἡ θεραπεία ἔπλει, τὰ ἱστία ἐκ γωνίας τῆς ἄνω ἐς τριτημόριον μάλιστα ἔχρισε μίλτῳ, κοντούς τε ὀρθοὺς ἀναστήσας ἐν πρύμνῃ ἑκάστῃ ἀπεκρέμασεν ἀπ᾽ αὐτῶν λύχνα, C ὅπως ἔν τε ἡμέρᾳ καὶ νυκτὶ αἱ τοῦ στρατηγοῦ νῆες ἔκδηλοι εἶεν· αἷς δὴ ἕπεσθαι τοὺς κυβερνήτας ἐκέλευε πάντας. οὕτω τῶν νεῶν τῶν τριῶν ἡγουμένων παντὶ τῷ στόλῳ τετύχηκεν αὐτῶν οὐδεμίαν ἀπολελεῖφθαι. ὅτε μέντοι ἐκ λιμένος ἀπαίρειν μέλλοιεν, ἐσήμαινον αὐτοῖς τοῦτο αἱ σάλπιγγες.

Ἐκ δὲ Ἀβύδου ἀναχθεῖσιν αὐτοῖς ἄνεμοι σκληροὶ ἐπιπεσόντες ἤγαγον εἰς τὸ Σίγειον. αὖθίς τε νηνεμίᾳ χρησάμενοι σχολαί-

7. ταὐτὰ] Vulgo ταῦτα. 8. ᾔδει] ἤδη HL: ἴσ. ᾔδει Hm.

ut vincat fortitudo, quae illi eadem non stat acie cum iustitia. Haec Belisarius: quae cum omnes audissent, simulque eos, qui e furca pendebant, essent contuiti, in maximum adducti metum, moderate se gerere statuerunt: quippe qui in extremo discrimine fore se intelligerent, si quo in scelere deprehenderentur.

13. Deinde animum eo Belisarius adiecit, ut classis coniunctim navigaret, atque in unum semper locum appelleretur. Sciebat enim fieri non posse in magno navium numero, praesertim si venti violenti ingruerent, quin cursu excuterentur multae, et per aequor ita disiicerentur, ut nescirent gubernatores quasnam earum, quae praecederent, sequi praestaret. Igitur secum inita ratione, hoc egit. Trium vela navium, quibus ipse cum suo ministerio vehebatur, ab angulo superiori ad tertiam fere partem rubrica illevit: praeterea contis in unaquaque puppe erectis lychnos suspendit, quo naves supremi ducis diu noctuque internosci possent; tum cunctis gubernatoribus, eas ut sequerentur, edixit. Sic demum classi praeeuntibus ternis navibus, caeterarum nulla deerravit. Cum autem portu solvendum erat, signum buccinis dabatur.

Abydo profectos ad Sigeum propulit vehementior ventus: quo postea concidente, lentius Maleam ventum est, ubi malacia plurimum profuit.

τεροι ἐς Μαλέαν ἦλθον, ἔνθα δὴ αὐτοῖς ἡ νηνεμία ξυνήνεγκεν ἐς τὰ μάλιστα. ἅτε γὰρ ἐν στόλῳ μεγάλῳ καὶ ναυσὶν ὑπερμεγέθεσι, νυκτὸς ἐπιγενομένης, ἡ στενοχωρία ξυνετάραξέ τε ἅπαντα καὶ ἐς ἔσχατον κινδύνου ἤνεγκεν. ἐνταῦθα οἵ τε κυβερνῆται καὶ D οἱ ἄλλοι ναῦται ἀρετὴν ἐπεδείξαντο, βοῇ τε καὶ πατάγῳ πολλῷ χρώμενοι καὶ τοῖς κοντοῖς διωθούμενοι, ἐμπείρως τε ἀπ' ἀλλήλων τὰς διαστάσεις ποιούμενοι, ὥστε εἰ καὶ πνεῦμα ἐπίφορον ἦν καὶ ἀπ' ἐναντίας αὐτοῖς ἐπεγένετο, μόλις ἂν οἱ ναῦταί μοι δοκεῖ σφᾶς τε αὐτοὺς καὶ τὰς ναῦς διεσώσαντο. νῦν δὲ οὕτως ὥσπερ εἴρηται διαφυγόντες Ταινάρῳ προσέμιξαν, ἣ νῦν Καινούπολις H 109 ἐπικαλεῖται. εἶτα ἐνθένδε ὁρμηθέντες Μεθώνῃ προσέσχον, εὗρόν τε ὀλίγῳ πρότερον τοὺς ἀμφὶ Βαλεριανόν τε καὶ Μαρτῖνον V 367 αὐτόσε ἀφικομένους. καὶ ἐπεὶ ἄνεμοι οὐκ ἔπνεον σφίσι, τὰς μὲν ναῦς Βελισάριος ἐνταῦθα ὥρμισε, τὸ δὲ στράτευμα ἀπεβίβασεν ἅπαν, καὶ ἀποβάντας τούς τε ἄρχοντας διεκόσμει καὶ τοὺς στρατιώτας διέτασσε. ταῦτά τε αὐτοῦ διέποντος καὶ ἀνέμων ἥκιστα P 210 ἐπιγενομένων, ἐπῆλθε πολλοῖς τῶν στρατιωτῶν νόσῳ διαφθαρῆναι ἐξ αἰτίας τοιᾶσδε.

Ὁ τῆς αὐλῆς ὕπαρχος Ἰωάννης φλαῦρός τε ἦν τὸν τρόπον καὶ οὕτω δυνατὸς εἰς τὸ προσάγειν εἰς τὸ δημόσιον ἐπινοῆσαι χρήματα ἐπὶ λύμῃ ἀνθρώπων, ὡς οὐκ ἂν ποτε ἔγωγε φράσαι ἱκανῶς ἔχοιμι. ἀλλὰ ταῦτα μὲν κἀν τοῖς ἔμπροσθε λόγοις ἐρρήθη, ἡνίκα

1. Μαλέαν] μελέαν L. 8. ἀπ' ἐναντίας] Vulgo ἐπεναντίας. 14. ἀπεβίβασεν HmP. ἐπεβίβασεν H. 17. ἐπιγενομένων] ἐπιγινομένων L. 20. „προσάγειν Reg.“ Malt. Sic LHm. προσαγαγεῖν P. 22. κἀν] Vulgo καί. ibid. ἔμπροσθεν — ἐρρήθη L. ἔμπροσθε — ἐῤῥέθη P.

Etenim superveniente nocte, pugnans cum ingenti classe et magnae molis navibus, angustia loci turbavit omnia, et in summum discrimen adduxit. Hic vim atque industriam probarunt suam gubernatores et nautae, cum clamore multo ac strepitu impellentes contis navigia, ac scite invicem separantes. Vix certe, mea quidem sententia, se ipsi navesque servassent, si ventus vel secundus, vel adversus fuisset. Nunc autem ita, ut diximus, elapsi, Taenarum (hodie Caenopolin vocant) applicuerunt: inde digressi, tenuerunt Methonem, ubi in Valerianum ac Martinum, qui illuc paulo ante pervenerant, inciderunt. Eo classem Belisarius appulit, quia ventus illam plane defecerat: quamobrem etiam copias in terram omnes exposuit, factaque exscensione, duces ac milites ordinavit. Tenente malacia, bellum pergebat instruere, cum invasit milites, nec paucos absumpsit morbus, cuius causam modo aperiam.

Ioannes Praefectus Praet. vir erat improbis moribus, ac tam solerter vias inveniebat pecuniae in aerarium inferendae, cum pernicie subditorum, ut non possim id verbis consequi: sed de his actum in superioribus libris, cum eo me historia deduxit: iam quo pacto militibus illis exi-

πρὸς τῆς ἱστορίας ἐς τόδε ἡγόμην τοῦ λόγου. τὰ δὲ νῦν ὅτῳ ποτὲ τρόπῳ τούτους δὴ τοὺς στρατιώτας ἐλυμήνατο ἐρῶν ἔρχομαι. τὸν ἄρτον, ᾧ δὴ μέλλουσιν ἐν στρατοπέδῳ οἱ στρατιῶται σιτίζεσθαι, δὶς μὲν ἐπάναγκες ἐς τὸν πνιγέα εἰσάγεσθαι, ἐπιμε- B λῶς δὲ οὕτως ὀπτᾶσθαι ὥστε ἐξικνεῖσθαί τε ἐπὶ πλεῖστον καὶ μὴ χρόνῳ βραχεῖ διαφθείρεσθαι, τόν τε οὕτως ὀπτώμενον ἄρτον ἀνάγκη ἐλάσσω τὸν σταθμὸν ἔχειν, καὶ διὰ τοῦτο ἐν ταῖς τοιαῖσδε ἀρτοδαισίαις εἰώθασιν οἱ στρατιῶται τοῦ συνειθισμένου σταθμοῦ τὸ τεταρτημόριον ἀποτέμνεσθαι. Ἰωάννης οὖν λογισάμενος ὅπως ἐλάσσω τε τὰ ξύλα καὶ τὸν μισθὸν τοῖς ἀρτοποιοῖς ἥσσονα δοίη, καὶ ὅπως οἱ οὐκ ἐνδεὴς ὁ σταθμὸς εἴη, ὠμὸν ἔτι τὸν ἄρτον ἐς τὸ δημόσιον βαλανεῖον ἐσκομίσας τὸν Ἀχιλλέα, οὗ δὴ ἔνερθεν τὸ πῦρ καίεται, καταθέσθαι ἐκέλευσε. καὶ ἐπειδὴ ἀμωσγέπως ὀπτᾶσθαι ἐδόκει, ἐμβαλὼν θυλακίοις ἐνθέμενός τε ἐν ταῖς ναυσὶν C ἔστελλε. καὶ ἐπεὶ ὁ στόλος ἐς Μεθώνην ἀφίκετο, διαρρυέντες οἱ ἄρτοι ἐπανῆκον αὖθις ἐς ἄλευρα, οὐχ ὑγιᾶ μέντοι, σεσηπότα δὲ καὶ εὐρωτιῶντα καί τινα ὀσμὴν ἤδη βαρεῖαν φέροντα. ἐχορήγουν τε αὐτὰ τοῖς στρατιώταις πρὸς μέτρον οἷς προέκειτο ἡ τιμὴ αὕτη, χοίνιξί τε ἤδη καὶ μεδίμνοις τὴν ἀρτοδαισίαν ποιούμενοι. τούτοις δὲ οἱ στρατιῶται ὥρᾳ θέρους ἐν χωρίῳ αὐχμοὺς ἔχοντι σιτιζόμενοι ἐνόσησάν τε καὶ αὐτῶν ἀπέθανον ἐν ὀλίγῳ τῷ χρόνῳ

1. πρὸς] πρὸ HL. 2. ἐλυμήνατο om. HL, H cum signo lacunae. 7. ἔχειν] ἥκειν HLm: in A utrumque. 8. συνειθισμένου] συνηθισμένου L. 11. ὠμὸν om. L. 12. ἀχιλλέα A. Ἀχιλέα P. τὸ ἀγχῆλε Pm. τὸ ἀγκύλιον Maltretus in annot. Indocte utrumque. 18. αὐτὰ] αὐτὸ H: illud Hm. 21. καὶ αὐτῶν — πεντακόσιοι] καὶ αὐτῶν ἀπέθανον οὐχ ἧσσον ἢ φοι ἐν ὀλίγῳ τῷ χρόνῳ ἀπέθανον πεντακόσιοι HL, nisi quod φοι et alterum ἀπέθανον in H uncis inclusa sunt. Duplex lectio, ἀπέθανον οὐχ ἧσσον ἢ φ[οι] et ἀπέθανον πεντακόσιοι.

tium miserit, dicam. Panem, quo miles in castris alendus est, in clibanum bis immitti oportet, itaque percoqui, ut aetatem ferre, nec brevi tempore corrumpi possit. Hoc modo coctum panem leviorem esse necesse est: quamobrem milites in eo dividundo quartam consueti ponderis partem remittere solent. Ergo Ioannes ratione subducta, qua et pauciora ligna, et minorem mercedem pistoribus daret, nec iusto ponderi deesset quidquam, in balneum publicum importari massam, clypeumque aeneum, subter quo ignis ardet, demitti iussit: atque ubi cocta quoquomodo visa est, coniectam in saccos, et in naves impositam misit. Appulsa Methonem classe, diffluentes ac soluti panes in farinam abierunt, non puram, sed putrem et muco graveolenti obsitam: quam militibus demetiebantur qui hoc munus habebant; ita ut panem choenicibus ac medimnis iam distribuerent. Quo milites cum vescerentur, adulta aestate atque ae-

οὐχ ἧσσον ἢ πεντακόσιοι· ὃ δὴ καὶ τοῖς πλείοσι ξυμπεσεῖν ἔμελ-
λεν, εἰ μὴ Βελισάριος διεκώλυσεν, ἄρτους αὐτοῖς ἐπιχωρίους
χορηγεῖσθαι κελεύσας. βασιλεῖ δὲ τὸ πρᾶγμα δηλώσας αὐτὸς
μὲν ηὐδοκίμησεν, οὐ μήν τινα τότε Ἰωάννῃ ζημίαν ἤνεγκε.

Ταῦτα μὲν δὴ οὕτως ἐγένετο. ἐκ δὲ Μεθώνης ὁρμηθέν- D
τες ἀφίκοντο ἐς τὸν Ζακυνθίων λιμένα, ἔνθα δὴ ὕδωρ τε ἐμβε-
βλημένοι ὅσον σφίσιν ἐξικνεῖσθαι ἔμελλε τὸ Ἀδριατικὸν πέλαγος
διαπλέουσι καὶ τὰ ἄλλα παρασκευασάμενοι ἔπλεον. ἀνέμου δὲ
σφίσι μαλακοῦ τε καὶ νωθροῦ κομιδῇ ἐπιπνεύσαντος ἑκκαιδεκα-
ταῖοι κατέπλευσαν τῆς Σικελίας ἐς χῶρον ἔρημον, οὗ τὸ ὄρος ἐγ-
γὺς ἡ Αἴτνη ἀνέχει. ἐν δὲ τῷ διάπλῳ τούτῳ διατρίψασιν αὐ-
τοῖς, ὥσπερ εἴρηται, ξυνέπεσεν ἅπασι διαφθαρῆναι τὰ ὕδατα,
πλήν γε δὴ οὗ Βελισάριός τε αὐτὸς καὶ οἱ ξυμπόται ἔπινον. τοῦ-
το γὰρ διεσώσατο μόνον ἡ Βελισαρίου γυνὴ τρόπῳ τοιῷδε. ἀμ-
φορέας ἐξ ὑάλου πεποιημένους ὕδατος ἐμπλησαμένη οἰκίσκον τε
ἐκ σανίδων ποιήσασα ἐν κοίλῃ νηΐ, ἔνθα δὴ τῷ ἡλίῳ ἰέναι ἀδύ-
νατα ἦν, ἐνταῦθα ἐς ψάμμον τοὺς ἀμφορέας κατέχωσε, ταύτῃ P 211
τε ἀπαθὲς τὸ ὕδωρ διέμεινε. τοῦτο μὲν οὖν οὕτως ἔσχε.

ιδ'. Βελισάριος δέ, ἐπειδὴ τάχιστα ἐς τὴν νῆσον ἀπέβη, V 368
ἀπορούμενός τε ἤσχαλλε καὶ ἔστρεφεν αὐτοῦ τὴν διάνοιαν τὸ μὴ
εἰδέναι ἐπὶ τίνας ποτὲ ἀνθρώπων τοὺς Βανδίλους ἴοι, ἢ ὁποίους

1. οὐχ ἧσσον ἢ] ἀπέθανον A: illud Am. 2. εἰ μὴ] ἀλλὰ A, alterum inter versus. 6. Ζακυνθίων] Vulgo Ζακινθίων. 20. ἔστρεφεν ALHm. ἔστρεψεν P. ibid. τὸ] τῷ L. 21. ὁποίους]
ου
ὁποίας L.

stuoso in loco, morbum contraxere, et paucis diebus ad quingentos mortui sunt: idemque casus multo plures manebat, nisi Belisarius avertisset, panes ibi confectos illis largitus. Re demum Augusto significata, laudem ipse quidem est consecutus, at nihil Ioanni tunc obfuit.

His peractis, Methone solverunt, et in Zacinthi portum delati, cum ibi aquati essent quantum satis futurum erat transmittentibus mare Adriaticum, omnibus instructi rebus vela fecerunt. Vento usi maxime languido ac remisso, die decimosexto ad desertum Siciliae locum, monti Aetnae proximum, applicuerunt. In ea transmissione pluribus, ut dictum est, diebus consumptis, accidit ut reposita cuique ad potum aqua corrumperetur, excepta, quam Belisarius, et qui illi convivebant, potabant: nam eam solam uxor Belisarii integram hac arte servavit. Cum amphoras vitreas implesset aqua, ac cellam in concavo navis recessu, quo sol pervadere non poterat, ex asseribus struxisset, ibi amphoras arenae infodit: quo facto aqua nihil vitii contraxit. Atque id quidem ita se habuit.

14. Vix Belisarius in insulam exscensum fecerat, cum moerere angique animo coepit, ignarus quodnam genus hominum, et quales in armis essent Vandali, quos petebat, qua etiam ratione et unde bellum inchoa-

ποτὲ τὰ πολέμια, μηδὲ ὅτῳ τρόπῳ ἢ ὁπόθεν ποτὲ σφίσιν ὁρμω-
B μένοις πολεμητέα εἴη. μάλιστα δὲ αὐτὸν οἱ στρατιῶται ξυνετά-
ρασσον, κατωρρωδηκότες τε τὴν ναυμαχίαν καὶ προλέγειν ἥκιστα
αἰσχυνόμενοι ὡς, ἢν μέν τις σφᾶς ἐς τὴν γῆν ἀποβήσειε, πειρά-
σονται ἄνδρες ἀγαθοὶ ἐν τῇ μάχῃ γίγνεσθαι, ἢν δὲ πολέμια πλοῖα
ἐπ᾽ αὐτοὺς ἴοι, ἐς φυγὴν τραπήσονται. οὐ γάρ οἷοί τέ εἰσι πο-
λεμίοις τε ἀνδράσι καὶ ὕδασι διομάχεσθαι. τούτοις οὖν ἅπασιν
ἀπορούμενος Προκόπιον τὸν αὐτοῦ πάρεδρον ἔστελλεν εἰς Συρα-
κούσας, πευσόμενόν τε ἤν τινες τοῖς πολεμίοις ἐνέδραι εἰσὶ προ-
λοχίζουσαι τὸν διάπλουν ἢ ἐν νήσῳ ἢ ἐν ἠπείρῳ, καὶ ὅπη μὲν τῆς
H 110 Λιβύης προσορμίσασθαι σφίσιν ἄμεινον ἂν εἴη, ὁπόθεν δὲ ὁρμω-
C μένοις τὸν πόλεμον πρὸς Βανδίλους διενεγκεῖν ξυνοίσει. ἐπὰν δὲ
τὰ ἐντεταλμένα ποιοίη, ἐπανήκοντά οἱ ἐκέλευεν ἐς Καύκανα τὸ
χωρίον ξυμμῖξαι, διακοσίοις μάλιστα σταδίοις Συρακουσῶν διέ-
χον, οὗ δὴ αὐτός τε καὶ ὁ ξύμπας στόλος ὁρμίσασθαι ἔμελλε. τῷ
δὲ λόγῳ τροφὰς αὐτὸν ἔπεμπεν ὠνησόμενον, ἅτε τῶν Γότθων
ἀγορὰν σφίσιν ἐθελόντων διδόναι, δόξαν τοῦτο Ἰουστινιανῷ βα-
σιλεῖ καὶ Ἀμαλασούνθῃ τῇ Ἀταλαρίχου μητρὶ, ὃς τότε παῖς τε
ὢν καὶ ὑπὸ τῇ μητρὶ Ἀμαλασούνθῃ τρεφόμενος εἶχε τὸ Γότθων
τε καὶ Ἰταλιωτῶν κράτος, ὥσπερ ἐν τῷ περὶ τῶν Γότθων μοι γέ-
D γραπται. ἐπειδὴ γὰρ Θευδέριχος ἐτεθνήκει καὶ ἐς τὸν θυγατρι-
δοῦν Ἀταλάριχον, ὀρφανὸν τοῦ πατρὸς ἤδη πρότερον γεγονότα,
ἡ βασιλεία ἧκε, δειμαίνουσα ἡ Ἀμαλασοῦνθα περί τε τῷ παιδὶ

8. αὐτοῦ] αὑτοῦ P. 11. δὲ] τε Hm. 14. ξυμμῖξαι] ξυμμίξαι P. ibid. „διακοσίοις] τριακοσίοις Cluver. Sicil. antiq. I, 14.“ Malt. 15. ὁρμίσασθαι L. ὁρμήσασθαι P. 17. σφίσιν] σφίσι L. ibid. τοῦτο] τούτῳ HL: τοῦτο Hm. 18. Ἀταλαρίχου] ἀταρίχου AL. 20. γέγραπται] γεγράψεται? Conf. p. 319, 5.

ret. Maxime vero eum milites conturbabant, certamen navale perhorrescentes, nec verentes profiteri, se quidem daturos operam, ut fortiter pugnarent, si in terram exponerentur: sin ipsos classis hostilis impeteret, daturos terga; quippe qui cum hostibus simul et fluctibus certare minime possent. Hinc pendens animi Belisarius, Procopium consiliarium suum destinat Syracusas, percontaturum, an hostes vel in insula, vel in continenti insidiis traiectum occupassent? ad quam Africae oram appellere, et unde Vandalos adoriri satius esset? Tum praecipit ut, mandatis defunctus, se conveniat Caucanis: ad quod oppidum, stadia fere cc. Syracusis dissitum, classem applicare universam parabat. Eum autem misit, per speciem emendi cibaria, volentibus Gotthis fori copiam facere, ex pacto inito inter Iustinianum Aug. et Amalasuntham matrem Atalarici, qui, ut in historia belli Gotthici scripsi, tunc puer, sub tutela matris, Gotthorum Italiaeque rex erat. Etenim mortuo Theoderico, cum ad eius nepotem Atalaricum, iam ante patre orbatum, regnum devolutum esset, Amalasun-

καὶ τῇ βασιλείᾳ φίλον Ἰουστινιανὸν ἐς τὰ μάλιστα ἑταιρισαμένη τά τε ἄλλα ἐπήκουεν αὐτῷ ἐπιτάττοντι καὶ τότε ἀγορὰν διδόναι τῷ στρατοπέδῳ ἐπηγγέλλετο καὶ ἐποίει ταῦτα.

Γενόμενος δὲ ἐν ταῖς Συρακούσαις Προκόπιος καὶ ἀνδρὸς παρὰ δόξαν ἐπιτυχὼν πολίτου μέν οἱ καὶ φίλου ὑπάρχοντος ἐκ παιδὸς, ἐπ' ἐργασίᾳ δὲ τῇ κατὰ θάλασσαν ἀπὸ παλαιοῦ ἐν Συρακούσαις ᾠκημένου, ἐπεύθετο ὅσον ἔχρῃζεν· οὗτος γὰρ ὁ ἀνὴρ οἰκέτην αὐτῷ ἐπέδειξε, τριταῖόν οἱ ἐκείνῃ τῇ ἡμέρᾳ ἐκ Καρχηδό- P 212 νος ἥκοντα, ὃς δὴ ἔφασκεν ὡς οὐδέ τινα πρὸς Βανδίλων ἐνέδραν τῷ στόλῳ ἔσεσθαι ἄξιον εἶναι ὑφορᾶσθαι. πρὸς οὐδενὸς γὰρ ἐκείνους ἀνθρώπων πεπύσθαι στράτευμα ἐπ' αὐτοὺς ἐν τούτῳ τῷ χρόνῳ ἰέναι, ἀλλὰ καὶ στρατεύσασθαι ὀλίγῳ ἔμπροσθεν ἐπὶ Γώδαν εἴ τι ἐν Βανδίλοις δραστήριον ἦν. καὶ διὰ ταῦτα Γελίμερα πολέμιον οὐδὲν ἐννοοῦντα, Καρχηδόνος τε καὶ τῶν ἄλλων ἁπάντων ὠλιγωρηκότα τῶν ἐπὶ θαλάσσῃ χωρίων, ἐν Ἑρμιόνῃ διατριβὴν ἔχειν, ἥ ἐστιν ἐν Βυζακίῳ ἡμερῶν τεττάρων ὁδῷ τῆς ᾐόνος διέχουσα· ὥστε πάρεστιν αὐτοῖς πλεῖν οὐδὲν δειμαίνουσι δύσκολον καὶ προσορμίζεσθαι ἔνθα ἂν αὐτοὺς τὸ πνεῦμα καλοίη. ταῦτα B Προκόπιος ἀκούσας τῆς τε χειρὸς τοῦ οἰκέτου λαβόμενος ἐπὶ τὸν λιμένα ἐβάδιζε τὴν Ἀρέθουσαν, ἔνθα δή οἱ τὸ πλοῖον ὡρμίζετο, πυνθανόμενός τε τοῦ ἀνθρώπου συχνὰ καὶ διερευνώμενος ἕκαστα. ἐσβὰς δὲ ξὺν αὐτῷ ἐς τὴν ναῦν αἴρεσθαί τε τὰ ἱστία ἐκέλευσε καὶ πλεῖν κατὰ τάχος ἐς Καύκανα. καὶ ἐπεὶ ὁ τοῦ οἰκέτου δεσπότης

7. γὰρ om. L. 16. ᾐόνος] ἠϊόνος P.

tha puero pariter ac regno timens, amicitiam cum Iustiniano optime iunctam omni fovebat obsequio, idque temporis annonae mercatum promiserat exercitui: nec fidem fefellit.

Syracusas ingressus Procopius, praeter opinionem in civem incidit amicum sibi a puero, eaque in urbe commercii maritimi gratia habitantem; cuius ope quidquid scire opus erat rescivit. Is enim ipsi famulum protulit, tribus tantum abhinc diebus Carthagine revectum, qui nullas Vandalorum insidias classi metuendas asseveravit: illis a nemine significatum, copias eo tempore contra ipsos venire: immo vero Vandalicae militiae robur in expeditionem adversus Godam nuper profectum: his de causis Gelimerem nihil hostile suspicantem, Carthaginis caeterarumque urbium maritimarum cura deposita, commorari Hermionae, quae est in provincia Byzacena, et a littore quatridui distat: itaque posse Romanos navigare securos impedimenti, et quocunque ferret ventus, appellere. Quibus auditis, famuli manum prehendit Procopius, et in portum Arethusae, quo navem admoverat, sese confert, crebris hominem interrogationibus excutiens, ac de singulis diligenter percontans: tum una cum ipso navem conscendit, pandi vela iubet, et Caucana properari. Cumque fa-

ἐπὶ τῆς ἠόνος θαυμάζων εἱστήκει ὅτι οἱ οὐκ ἀπεδίδου τὸν ἄνθρωπον, ἀναβοήσας Προκόπιος, πλεούσης ἤδη τῆς νεώς, παρῃτεῖτο μή οἱ χαλεπῶς ἔχειν· χρῆναι γὰρ τὸν οἰκέτην τῷ τε στρατηγῷ συμμῖξαι καὶ ἐς τὴν Λιβύην τῷ στρατῷ καθηγησάμενον οὐκ ἐς μακρὰν ἐς τὰς Συρακούσας ἐπανήκειν, χρήματα μεγάλα περιβαλλόμενον.

V 369 C Ἀφικόμενοι δὲ ἐς τὰ Καύκανα εὑρίσκουσιν ἅπαντας ἐν πένθει μεγάλῳ. Δωρόθεος γὰρ ὁ τῶν ἐν Ἀρμενίοις καταλόγων στρατηγὸς ἐνταῦθα ἐτετελευτήκει, πολὺν αὐτοῦ πόθον τῷ παντὶ στρατοπέδῳ ἀπολιπών. Βελισάριος δὲ, ἐπεί οἱ ὅ τε οἰκέτης ἐς ὄψιν ἦλθε καὶ τὸν πάντα λόγον ἔφρασε, περιχαρὴς γενόμενος καὶ Προκόπιον πολλὰ ἐπαινέσας, ἐκέλευε σημῆναι τὸν ἀπόπλουν ταῖς σάλπιγξιν. ἀράμενοί τε κατὰ τάχος τὰ ἱστία, Γαύλῳ τε καὶ Μελίτῃ ταῖς νήσοις προσέσχον, αἳ τό τε Ἀδριατικὸν καὶ Τυρρηνικὸν πέλαγος διορίζουσιν. ἔνθα δὴ αὐτοῖς Εὔρου τι πνεῦμα ἐπιπεσὸν τῇ ὑστεραίᾳ τὰς ναῦς ἐς τὴν Λιβύης ἀκτὴν ἤνεγκεν ἐς χωρίον, ὃ δὴ Κεφαλὴν βράχους τῇ σφετέρᾳ γλώσσῃ καλοῦσι Ῥωμαῖοι. Καπούτβαδα γὰρ ὁ τόπος προσαγορεύεται, πέντε ἡμερῶν ὁδὸν εὐζώνῳ ἀνδρὶ Καρχηδόνος διέχων.

D ιε'. Ἐπεὶ δὲ τῆς ἠόνος ἀγχοῦ ἐγένοντο, τά τε ἱστία καταθέσθαι ὁ στρατηγὸς ἐκέλευε καὶ ἀγκύρας ἀπὸ τῶν νεῶν ἀπορρι-

1. 20. ἠόνος] ἠϊόνος P. ibid. ἀπεδίδου AL. ἀπεδίδω P. 4. συμμῖξαι] συμμίξαι P. 9. αὐτοῦ] αὑτοῦ L. 14. Τυρρηνικὸν] τυ. H. τυρρηνὸν Hm. ibid. πέλαγος — τοῦτο δὲ τὸ ὕδωρ (p. 215 b.) om. HL: habent AVP et legit RV. 15. αὐτοῖς add. A. om. PV. ibid. τι A. πού τι PV. 17. „Καπούτβαδα] Ita scribendum censui, non Κατούβαδα, ut legebam in supplem. Vatic.“ Malt. καπούβαδα A. 21. ἀγκύρας ἀπὸ τῶν νεῶν] ἀπὸ τῶν νεῶν ἀγκύρας A. ibid. ἀπορριψαμένους] ἀποριψαμένους V.

muli dominus in littore staret mirabundus, quod sibi ille non redderetur, Procopius contenta voce, eunte iam navi, rogavit omitteret iracundiam: oportere famulum cum Imperatore exercitus colloqui: ac postquam classem duxisset in Africam, statim Syracusas, multa donatum pecunia, rediturum.

Delati Caucana, luctu plena castra inveniunt. Nam ibi Dorotheus Armeniae dux obierat, magno sui relicto omnibus desiderio. At Belisarius, ubi famulum vidit, et omnia plane enuntiantem audivit, vehementer gavisus est, ac plurimum laudato Procopio, tubarum clangore discessum edici iussit. Sublatis confestim velis, classem advertunt ad Gaulum et Melitam insulas, quibus mare Adriaticum a Tyrrheno dirimitur. Ibi exortus Eurus classem postridie ad illam littoris Africae partem tulit, ubi est Caputvada: sic lingua Romani sua locum appellant, unde ad Carthaginem dierum v. iter est viro expedito.

15. Admota ad littus classe, demitti vela, iactisque e navibus anchoris, stare Belisarius iubet: tum ducibus et Praefectis omnibus in

ψαμένους ἀνακωχεύειν, τούς τε ἄρχοντας συγκαλέσας ἐς τὴν P 213
αὐτοῦ ναῦν ξύμπαντας βουλὴν ὑπὲρ τῆς ἀποβάσεως προὔθηκεν.
ἔνθα δὴ ἄλλοι τε λόγοι πολλοὶ ἐλέχθησαν ἐφ᾽ ἑκάτερα φέροντες
καὶ παρελθὼν Ἀρχέλαος ἔλεξε τοιάδε ,,Τοῦ μὲν στρατηγοῦ τὴν
ἀρετὴν ἄγαμαι, ὃς καὶ γνώμῃ παρὰ πολὺ νικῶν ξύμπαντας καὶ
τῆς ἐμπειρίας ἐπὶ πλεῖστον ἥκων, ἔχων τε τὸ κράτος αὐτὸς, ἐς
μέσον μὲν τὴν βουλὴν προὔθηκε, κελεύει δὲ λέγειν ἡμῶν ἕκαστον,
ὥστε ὅπῃ ἂν ἄριστα ἔχειν δοκῇ ἑλέσθαι ἡμῖν δυνατοῖς εἶναι, πα-
ρὸν αὐτῷ γνῶναί τε μόνῳ τὰ δέοντα καὶ κατ᾽ ἐξουσίαν ἐξηγεῖσθαι
ᾗ βούλοιτο. ὑμῶν δὲ, ὦ ἄνδρες ἄρχοντες, (οὐκ οἶδα ὅπως ἂν
εἴποιμι εὐπετῶς), θαυμάσειεν ἄν τις ὅτι μὴ πρῶτος αὐτὸς ἕκα-
στος πρὸς τὴν ἀπόβασιν ἀπειπεῖν ἔσπευσε. καίτοι ἐπίσταμαι ὡς
τὸ εἰσηγεῖσθαί τι τοῖς ἐς κίνδυνον καθισταμένοις ὄνησιν μὲν τῷ B
παραινέσαντι οὐδεμίαν ἰδίᾳ φέρει, ἐς αἰτίαν δὲ ὡς τὰ πολλὰ περι-
ίσταται. οἱ γὰρ ἄνθρωποι καλῶς μὲν φερόμενοι εἰς τὴν ἰδίαν
γνώμην ἢ τύχην ἀναφέρουσι τὰ πρασσόμενα, σφαλέντες δὲ τὸν
παραινέσαντα αἰτιῶνται μόνον. εἰρήσεται δὲ ὅμως. αἰτίαν γὰρ
ὑποστείλασθαι τοὺς περὶ σωτηρίας βουλευομένους οὐχ ὅσιον.
βουλεύεσθε ἐς τὴν πολεμίαν ἀποβαίνειν; ἄνδρες ἄρχοντες· τίνι
λιμένι παρακαταθέσθαι τὰς ναῦς ἐννοοῦντες; ἢ τίνος πόλεως τεί-
χει τὸ ἐχυρὸν ὑπὲρ ὑμῶν αὐτῶν ἕξοντες; ἢ οὐκ ἀκηκόατε ὡς ταύ-

2. αὐτοῦ] αὑτοῦ P. 7. δὲ] δὴ A. 8. δοκῇ V. δοκεῖ P.
10. ὑμῶν] ἡμῶν A. 12. ἀπειπεῖν ἔσπευσε] ἔσπευσε ἀπειπεῖν V.
13. τοῖς add. AV. ibid. ἐς] εἰς A. 14. φέρει] φέρειν A.
19. βουλεύεσθε] βουλεύεσθαι A. ibid. ἐς V. εἰς P. 20. τεί-
χει AVPm. τείχη P. 21. ὑμῶν] ἡμῶν A.

Praetoriam convocatis, de faciendo exscensu deliberationem instituit. Hic praeter alia multa, quae in utramque partem prolata sunt, Archelaus hanc habuit orationem. *Virtutem demiror Magistri militum: qui, cum omnes prudentia ac rerum usu longe superet, et belli imperium habeat, nihilominus velit in medium consuli; itaque iubeat sententiam quemque dicere, ut nobis integrum sit, quidquid potissimum esse iudicamus, amplecti: quamvis quae expediunt, ea possit ipse per se solus videre, et pro auctoritate ad arbitrium moderari. Est autem (quod equidem aegre dico) cur vestrum cuiquam, o duces, mirum id videatur, quod quisque non contenderit exscensionem ante omnes dissuadere. Quamquam scio consilium, quod periclitantibus datur, auctori suo, non utilitatem ullam privatam, sed publicam plerunque reprehensionem afferre. Sic enim est ingenium hominum, ut prosperi quidem successus laudem vel prudentiae suae tribuant vel fortunae, mali vero eventus culpam suasori tantum ascribant. Dicam tamen quod sentio: neque enim de salute deliberantes contrahi decet reprehensionis metu. Igitur, duces, in terram hostilem facere exscensum vultis: at cui tandem portui classem credere, aut cuius urbis moenibus tueri vos cogitatis? An non audistis, quod fertur, littus hoc per novem dierum*

την μὲν τὴν ἀκτὴν ἐννέα ἡμερῶν ὁδὸν, λέγω δὲ εἰς Ἰούκην ἐκ Καρχηδόνος, κατατείνειν φασὶν, ἀλίμενόν τε παντελῶς οὖσαν καὶ C τοῖς ἀνέμοις ὅθεν ἂν ἐπιπνεύσειαν ἐκκειμένην; τεῖχος δὲ οὐδὲν ἐς πᾶσαν Λιβύην ὅτι μὴ τὸ Καρχηδόνος ἀπολέλειπται, τοῦτο Γιζερίχου βουλεύσαντος. προσθείη δὲ ἄν τις ὡς καὶ τούτῳ τῷ χωρίῳ ὕδωρ τὸ παράπαν ἐνδεῖν λέγουσι. φέρε γὰρ, εἰ δοκεῖ, καί τι τῶν ἐναντίων ὑποθέμενοι τὴν διάγνωσιν ποιησώμεθα. τοὺς γὰρ ἐς ἀγῶνας καθισταμένους μηδὲν προσδοκᾶν δύσκολον οὔτε ἀνθρώπινον οὔτε τῆς τῶν πραγμάτων φύσεως ἄξιον. ἢν οὖν ἀποβεβηκότων ἡμῶν εἰς τὴν ἤπειρον χειμὼν ἐπιπέσοι, οὐκ ἀνάγκη δυοῖν θάτερον ταῖς ναυσὶ ξυμβῆναι, ἢ ὡς ἀπωτάτω διαφυγεῖν, ἢ ἐπὶ τῆς ἀκτῆς ἀπολωλέναι ταύτης; εἶτα τίς ἡμῖν τῶν ἀναγκαίων γενήσεται πόρος; μηδεὶς ἐς ἐμὲ βλεπέτω τὸν τῆς δαπάνης χορηD γὸν ὕπαρχον. ἀρχὴν γὰρ πᾶσαν τῆς ὑπουργίας ἐστερημένην ἐπάναγκες εἰς ὄνομά τε καὶ πρόσωπον ἰδιώτου ἀποκεκρίσθαι. ποῦ δὲ ὑμῖν τῶν ὅπλων τὰ περιττὰ καταθεμένοις ἢ ἄλλο τι τῶν ἀναγκαίων δέχεσθαι δεήσει προσιόντα τὸν βάρβαρον; ἀλλὰ ταῦτα μὲν οὐδὲ λέγειν καλὸν ὅπῃ ἐκβήσεται. ἐγὼ δὲ ἡγοῦμαι χρῆναι ἡμᾶς εὐθὺ Καρχηδόνος ἰέναι. λιμένα γὰρ οὐ πλεῖον ἢ τεσσαράκοντα σταδίους αὐτῆς διέχοντα εἶναί φασιν, ὃν δὴ Στάγνον καλοῦσιν, ἀφύλακτόν τε παντάπασιν ὄντα καὶ πρὸς τὸν ἅπαντα

1. ὁδὸν] ὁδῷ A. ibid. Ἰούκην] ἰούκη V. *Lucam* RV. Τακάπην s. Τάκαπα Kanngiesserus p. 73. Ἰτύκην παρὲκ Καρχηδόνος hariolatur Maltretus. 8. ὅθεν] πόθεν A. 11. δυοῖν] δυεῖν P. 14. ὕπαρχον A. ἔπαρχον PV. 15. εἰς om. AV. ibid. ἰδιώτου] ἠδιώτου A. 16. ὑμῖν] ἡμῖν A. 19. ἡμᾶς] ὑμᾶς V. ibid. τεσσαράκοντα V. μ' P.

iter, a Carthagine scilicet ad Iucam, omnino importuosum esse, et omnibus ventis patere, neque urbis ullius muros, nisi Carthaginis, restare, ex quo ita visum est Giserico? Accedit aquae penuria, qua, ut audio, laborat hic locus. Age vero, ponamus, si placet, sinistrum casum aliquem intervenire, eoque posito iudicemus: nam ut nihil adversi impendere sibi putent, qui belli aleam adeunt, id certe cum a natura nostra, tum ab ipsa rerum conditione abhorret. Ergo nobis in terram expositis, si tempestas oriatur, nonne horum alterum navibus contingere necesse est, aut ut longissime dissipentur, aut pereant ad hoc littus allisae? Deinde unde vobis commeatus? Nemo ad me, tanquam exercitus Quaestorem, respiciat. Quicunque enim magistratum gerit, si instrumentis ac subsidiis destituitur, facere non potest, quin ad privati nomen et speciem recidat. Ubinam autem arma ac vasa superflua, aut res etiam necessarias reponetis, ut impetum Barbari expedite sustineatis? Verum haec eventuum eiusmodi commemoratio indecora videtur et ominosa. In summa, Carthaginem recta tendendum censeo: nam inde portum, quem Stagnum vocant, plane incustoditum et universae classis capacem, XL. solum stadiis abesse ferunt: unde erum-

στόλον ἱκανῶς πεφυκότα. ὅθεν δὴ ὁρμωμένοις ἡμῖν τὸν πόλεμον
διενεγκεῖν οὐ χαλεπὸν ἔσται. οἶμαι δὲ ἔγωγε ὡς Καρχηδόνος τε V 370
ἡμᾶς ἐξ ἐπιδρομῆς κρατήσειν εἰκὸς, ἄλλως τε καὶ μακρὰν αὐτῆς P 214
ἀπολελειμμένων τῶν πολεμίων, καὶ κρατήσασιν οὐδὲν τοῦ λοιποῦ
μοχθηρὸν ἔσεσθαι. τὰ γὰρ ἀνθρώπεια πάντα κατειλημμένων τῶν
κεφαλαίων καταρρεῖν οὐκ εἰς μακρὰν εἴωθεν. ὧν δὴ πάντων εἰς
ἡμᾶς ἐνθυμουμένους τὰ βέλτιστα αἱρεῖσθαι προσήκει.“ Ἀρχέλαος μὲν τοσαῦτα εἶπε.

Βελισάριος δὲ ἔλεξεν ὧδε „Μηδεὶς ὑμῶν, ὦ ξυνάρχοντες,
ἐπιγνώμονος εἶναι τοὺς λόγους οἰέσθω, μηδὲ διὰ τοῦτο ἐν ὑστάτῳ
εἰρῆσθαι, ὥστε αὐτοῖς ἕπεσθαι, ὁποῖοί ποτ᾽ ἂν ὦσιν, ἀναγκαῖον
ἅπασι γίνεσθαι. ὅσα μὲν γὰρ ὑμῶν ἑκάστῳ δοκεῖ ἄριστα εἶναι
ἀκήκοα. προσήκει δὲ καὶ ἐμὲ ὅσα γινώσκω ἐς μέσον ἐξενεγκόντα
οὕτω σὺν ὑμῖν ἑλέσθαι τὰ κρείσσω. ἐκεῖνο δὲ ὑπομνῆσαι ὑμᾶς
ἄξιον, ὡς ὀλίγῳ πρότερον οἱ μὲν στρατιῶται δεδιέναι τε τοὺς ἐν B
τῇ θαλάσσῃ κινδύνους ἄντικρυς ἔλεγον καὶ ὡς ἐς φυγὴν τρέψονται, ἢν ναῦς πολεμία ἐπ᾽ αὐτοὺς ἴοι· ἡμεῖς δὲ τὸν θεὸν ᾐτοῦμεν γῆν τὴν Λιβύης καὶ τὴν ἐς ταύτην ἀπόβασιν εἰρηναίαν ἡμῖν ἐπιδεῖξαι. τούτων δὲ τοιούτων ὄντων, ἀξυνέτων ἀνδρῶν ἡγοῦμαι εἶναι εὔχεσθαι μὲν παρὰ τοῦ θεοῦ λαβεῖν τὰ βελτίονα, δεδομένων δὲ αὐτῶν ἀποσείεσθαί τε καὶ ἀπ᾽ ἐναντίας ἰέναι. ἢν δὲ καὶ πλέουσιν ἡμῖν εὐθὺ Καρχηδόνος στόλος ἀπαντήσει πολέμιος, τοῖς μὲν στρατιώταις κατὰ κράτος φεύγουσι τὸ μὴ μεμπτοῖς εἶναι

6. εἰς AV. ἐς P. 16. Aberat ἐς. 21. δὲ αὐτῶν] Vulgo τε αὐτῶν. 22. ἡμῖν om. A.

pere et facile intendere bellum poterimus. Quin simile vero videtur, nos primo incursu capturos Carthaginem, praesertim cum hostis procul absit: urbe autem potitis, nihil non pronum deinceps fore. Nam rerum humanarum commune vitium est, quod post suorum iacturam capitum, brevi dilabuntur. Haec omnia pensantibus vobis id iam incumbit, ut viam saluberrimam eligatis. Hactenus Archelaus.

Ita vero Belisarius. *Nemo vestrum, collegae mei, orationem istam cognitoris esse existimet atque arbitri, et me postremo loco idcirco dicere, ut omnibus, quicunque sint, cedendi necessitatem imponam. Quid quisque vestrum factu optimum censeat, audivi: iam convenit, ut ipse quoque mentem plane meam aperiam, itaque demum potiora vobiscum optem. Ac primum quidem meminisse id vos oportet, quod nuper milites aperte denuntiarunt; timere se maritima praelia, et fugam capturos, si classis hostium ipsos peteret. Nos vero Deum precabamur, ut nobis pacaret Africam, et facilem in eius oram exscensum daret. Quae cum ita sint, levitatis esse duco, meliora a Deo petere, eademque impetrata respuere et aversari. Quod si nobis recta Carthaginem navigantibus classis hostilis occurrerit, non erit culpandi locus effusam nostri militis fugam. Peccatum enim, quod quis, nisi caveretur, se admissurum praedixerat, defensionem adiun-*

λελείψεται· ἁμάρτημα γὰρ προρρηθὲν τὴν ἀπολογίαν ἐφ᾽ ἑαυτοῦ φέρει. ἡμῖν δὲ καὶ διασωθεῖσιν οὐδεμία συγγνώμη. πολλῶν δὲ ὄντων, ἢν ἐν ταῖς ναυσὶ μένωμεν, δυσχερῶν, ἐκεῖνο μόνον ἱκα- C νῶς, οἶμαι, λελέξεται, ᾧ μάλιστα δεδίττεσθαι ἡμᾶς ἀξιοῦσι, τὸν χειμῶνα ἐπανασείοντες. ἢν γάρ τις ἐπιπέσοι χειμὼν, ἀνάγκη ταῖς ναυσὶν, ὥσπερ φασὶ, δυοῖν ξυμβῆναι τὸ ἕτερον, ἢ πόῤῥω που τῆς Λιβύης διαφυγεῖν, ἢ ἐπὶ τῆς ἀκτῆς διαφθαρῆναι ταύτης. τί τοίνυν ὡς ἐκ τῶν παρόντων ἑλομένοις ἡμῖν μᾶλλον ξυνοίσει; μόνας διεφθάρθαι τὰς ναῦς, ἢ αὐτοῖς ἀνδράσιν ἅπαντα ἀπολωλέναι τὰ πράγματα; χωρὶς δὲ τούτων νῦν μὲν ἀπαρασκεύοις ἐπιπεσόντες τοῖς πολεμίοις κατὰ νοῦν, ὡς τὸ εἰκὸς, ἀπαλλάξομεν· τὰ γὰρ πολέμια τῷ ἀπροσδοκήτῳ δουλοῦσθαι πέφυκε· μικρὸν δὲ ὕστερον τῶν πολεμίων ἐν παρασκευῇ γεγονότων ἐξ ἀντιπάλου ἡμῖν τῆς δυνάμεως ὁ ἀγὼν ἔσται. προσθείη δ᾽ ἄν τις ὡς καὶ ὑπὲρ D αὐτῆς ἴσως ἀγωνιεῖσθαι δεήσει τῆς ἀποβάσεως, ἐκεῖνά τε ζητεῖν, ἃ νῦν παρόντα ὑμῖν ὡς οὐκ ἀναγκαῖα ἐς βουλὴν ἔρχεται. ἢν δὲ καὶ χειμὼν τηνικαῦτα ἀγομένοις ἡμῖν ἐπιγένηται, ὡς τὰ πολλὰ ἐν θαλάσσῃ φιλεῖ γίνεσθαι, πρός τε τὰ κύματα καὶ τοὺς Βανδίλους διαμαχόμενοι μεταμαθεῖν τὴν εὐβουλίαν εἰσόμεθα. φημὶ δὴ ἔγωγε χρῆναι ἀποβῆναι μὲν ἡμᾶς ἐς τὴν ἤπειρον αὐτίκα δὴ μάλα, ἵππους τε ἀποβιβάζοντας καὶ ὅπλα καὶ εἴ τι ἄλλο ἐς τὴν χρείαν ἡμῖν ἀναγκαῖον εἶναι οἰόμεθα, τάφρον δὲ κατὰ τάχος ὀρύξαι καὶ

1. ἑαυτοῦ] ἑαυτῷ A. 2. δὲ ὄντων] δεόντων A. 3. ναυσὶ] ναυσὶν V. 6. δυοῖν] δυεῖν V. 12. δουλοῦσθαι] δηλοῦσθαι A. 22. τάφρον] τάφον A.

etam habet: nos autem, ubi incolumes evaserimus, nullam veniam consequemur. Cum vero multa incommoda sese offerant, si nos intra naves contineamus, unum est, meo quidem iudicio, illudque commemorare sufficiet, quo nos maxime terrere volunt, qui tempestatem minantur. Enimvero si qua oriatur, alterum, ut aiunt, contingere navibus necesse est; aut ut longe ab Africa dispellantur, aut in hoc littore pereant. Utrum igitur, facta e re praesenti optione, magis expediet, solas perire naves, an cum vectoribus omnia? Praeterea si iam hostem imparatum adoriamur, ex sententia, ut proximum vero est, debellabimus: hostiles enim opes improvisa vi frangi solent. At mora, quamvis brevi, spatium hosti dabimus parandi sese, et aequis viribus decernemus. Quid quod etiam forte exscensionis copia armis extorquenda erit, eaque commoda quaerere oportebit; quae nunc ultro oblata vobis, in deliberationem veniunt tanquam minime necessaria. Quod si interea, dum vehemur navigiis, procella, ut saepe fit in mari, ingruerit, tum pugna cum Vandalis simul fluctibusque sustinenda ad sanum consilium sero nos revocabit. Quare sic statuo, iam nunc faciendum exscensum esse: equos, arma, et quaecunque

χαράκωμα περιβαλεῖν οὐδέν τι ἧσσον ἢ, ὡς ἄν τις εἴποι, τείχους εἰς ἀσφάλειαν ἡμῖν συντελέσειν δυνάμενον, ἐκεῖθεν δὲ ὁρμωμένους τὸν πόλεμον, ἤν τις ἐπίοι, διενεγκεῖν. ἐπιλείψει δὲ ἡμᾶς P 215 ἄνδρας ἀγαθοὺς γινομένους τῶν ἐπιτηδείων οὐδέν. τοῖς γὰρ κρατοῦσι τῶν πολεμίων τὸ κυρίοις εἶναι τῶν ἐκείνοις προσηκόντων ξυμβαίνει, καὶ ἡ νίκη πάντα περιβαλλομένη τὰ χρήματα, ἔνθα ἂν κλίνῃ, κατατίθεσθαι πέφυκεν· ὥστε ὑμῖν ἥ τε σωτηρία καὶ ἡ τῶν ἀγαθῶν περιουσία ἐν ταῖς χερσὶ κεῖται."

Ταῦτα Βελισαρίου εἰπόντος ξυνέφασάν τε καὶ ἀπεδέξαντο ἅπας ὁ ξύλλογος καὶ διαλυθέντες ὡς τάχιστα τὴν ἀπόβασιν ἐποιήσαντο τρισὶ μάλιστα μησὶν ὕστερον ἢ αὐτοῖς ἐκ Βυζαντίου ὁ ἀπόπλους ἐγένετο. καὶ δείξας τι χωρίον ἐπὶ τῆς ἠόνος ὁ στρατηγὸς, τοῖς τε στρατιώταις καὶ ναύταις ἐκέλευε τήν τε τάφρον ὀρύσσειν B καὶ τὸ χαράκωμα περιβαλέσθαι. οἱ δὲ κατὰ ταῦτα ἐποίουν. ἅτε δὲ ὄχλου πολλοῦ ἐργαζομένου καὶ τοῦ φόβου τὴν προθυμίαν ἐγείροντος, καὶ τοῦ στρατηγοῦ ἐγκελευομένου, αὐτῇ τῇ ἡμέρᾳ ἥ τε τάφρος ὀρώρυκτο καὶ τὸ χαράκωμα ξυντετέλεστο, καὶ οἱ σκόλοπες κύκλῳ πανταχόθεν ξυνεπεπήγατο. ἔνθα δὴ καί τι τοῖς τὴν τάφρον ὀρύσσουσι τετύχηκε θαυμάσιον ἡλίκον. ὕδατος πολύ τι χρῆμα ἡ γῆ ἀνῆκεν, οὐ γεγονὸς τοῦτο ἐν Βυζακίῳ πρότερον, ἄλλως τε καὶ τοῦ χωρίου ἀνύδρου ὄντος. τοῦτο δὲ τὸ ὕδωρ ἐς V 371

2. συντελέσαι A. συντελέσειν PV. *ibid.* ὁρμωμένους A. ὁρμωμένοις PV. 6. περιβαλλομένη] περιβαλομένη V. 7. ὑμῖν AV. ἡμῖν P. 12. ἠόνος] ἠϊόνος P. 18. τὴν om. A. 20. Βυζακίῳ] βυζαντίῳ A. 21. δὲ] δὴ V.

nobis necessaria ducimus, exponenda in terram: fossam propere ducendam, et circumiiciendum vallum, quo non minus fere, quam moenibus, protegamur: et inde certandum, si quis in nos impetum tulerit. Nec verendum ne commeatus nobis animose rem gerentibus desint. Nam qui hostium, idem rerum atque opum potitur, et Victoria bonis omnibus circumfluens, ea solet ibi deponere, quo inclinarit. Itaque et salus et bonorum copia in nostris manibus sitae sunt.

Haec locuto Belisario, assensus est coetus universus: quo soluto, statim exscensionem fecerunt, tertio post mense quam Byzantio solverant. Mox designato quodam loco in littore, militibus nautisque imperat Magister militiae uti fossam percutiant, ac circunstruant vallum. Illico gestus est mos: et quoniam ingens multitudo operi incumbebat, studiumque cum ipse timor, tum Magistri militum vox atque hortatus excitabant, eodem die perducta fossa, vallum confectum, et pali circum ubique depacti sunt. Eo loci res fossoribus accidit admiratione dignissima. Solo fons uber emicuit: cuiusmodi munus in Byzacio novum, eoque magis mirum extitit, quod peraridus is locus erat. Haec autem aqua ad

πᾶσαν χρείαν τοῖς ἀνθρώποις καὶ τοῖς ἄλλοις ζῴοις ἐπήρκεσε. καὶ
C ξυνηδόμενος τῷ στρατηγῷ Προκόπιος ἔλεγεν ὡς οὐ διὰ τὴν χρείαν τῇ τοῦ ὕδατος περιουσίᾳ χαίροι, ἀλλ' ὅτι σύμβολον εἶναι δοκεῖ νίκης ἀπόνου καὶ τοῦτο σφίσι προλέγειν τὸ θεῖον· ὅπερ οὖν καὶ ἐγένετο. τὴν μὲν οὖν νύκτα ἐκείνην οἱ στρατιῶται ξύμπαντες ἐν τῷ στρατοπέδῳ ηὐλίσαντο, φυλακάς τε καὶ τὰ ἄλλα ᾗπερ εἰώθει ποιούμενοι, πλήν γε δὴ ὅτι τοξότας πέντε ἐν νηὶ ἑκάστῃ Βελισάριος ἐκέλευε μεῖναι φυλακῆς ἕνεκα, καὶ τοὺς δρόμωνας ἐν κύκλῳ αὐτῶν ὁρμίζεσθαι, φυλασσομένους μή τις ἐπ' αὐτὰς κακουργήσων ἴοι.

D ιϛʹ. Τῇ δὲ ὑστεραίᾳ, ἐπειδὴ τῶν στρατιωτῶν τινες ἐς τοὺς ἀγροὺς ἀναβαίνοντες τῶν ὡραίων ἥπτοντο, αὐτῶν τε τὰ σώματα ὁ στρατηγὸς οὐ παρέργως ᾐκίσατο καὶ ξυγκαλέσας ἅπαντας ἔλεξε τάδε „Τὸ μὲν βιάζεσθαι καὶ τοῖς ἀλλοτρίοις σιτίζεσθαι
H 111 ταύτῃ μόνον ἔν γε τοῖς ἄλλοις καιροῖς μοχθηρὸν πεφυκέναι δοκεῖ, ὅτι τὸ ἄδικον ἐν αὐτῷ φέρεται· νῦν δὲ τοσοῦτον αὐτῷ τῆς δυσκολίας περίεστιν ὥστε, εἰ μὴ πικρὸν εἰπεῖν, τὸν τοῦ δικαίου λόγον περὶ ἐλάσσονος ποιησαμένους τὸν ἐντεῦθεν κίνδυνον ἡμᾶς
P 216 ἡλίκος ποτέ ἐστιν ἐκλογίζεσθαι χρή. ἐγὼ γὰρ ἐκείνῳ μόνῳ τὸ θαρρεῖν ἔχων εἰς τὴν γῆν ὑμᾶς ἀπεβίβασα ταύτην, ὅτι τοῖς Βανδίλοις οἱ Λίβυες, Ῥωμαῖοι τὸ ἀνέκαθεν ὄντες, ἄπιστοί τέ εἰσι καὶ χαλεπῶς ἔχουσι, καὶ διὰ τοῦτο ᾤμην ὡς οὔτ' ἄν τι τῶν ἀναγκαίων ἡμᾶς ἐπιλείποι οὔτε τι ἐξ ἐπιδρομῆς κακὸν ἐργάσονται

22. οὔτ' — οὔτε] οὐδ' — οὐδὲ P.

omnes vitae usus hominibus iuxta ac pecudibus abunde fuit: tum gratulans militum Magistro Procopius, data aquae copia laetari se dixit, non tam propter eius opportunitates, quam quod victoriae nullo labore adipiscendae omen esset, idque Deus non obscure monstraret: quod eventus probavit. Noctem proximam in castris omnes duxerunt, vigiliis caeterisque pro more dispositis. Sagittarios tantum quinos in singulis navibus excubare Belisarius iussit, et dromonas circumquaque applicari, ut inimicam vim, si qua forte offerretur, arcerent.

16. Postridie, cum milites quidam, in agros dilapsi, fructus tunc maturos carpsissent, in eos Magister militiae non leviter verberibus animadvertit, et advocata concione sic verba fecit. *Inferre vim, et rapto alienoque vivere, scelus alias ideo videtur esse, quia ius violatur: nunc autem tantam habet offensionem, ut, posthabita aequitate, (absit verbo invidia) nihil aliud, nisi quantum ex hac licentia periculum proficiscatur, attendere nos oporteat. Ego sane vos in terram exposui, hoc uno fretus, quod Afri, qui Romani a stirpe sunt, in fide erga Vandalos claudicent, sintque illis infensi. Propterea nobis nec defore commeatum, nec hostem incursu ullo nociturum existimabam. At nunc vestra illa in-*

ἡμᾶς οἱ πολέμιοι. ἀλλὰ νῦν αὕτη ὑμῶν ἡ ἀκράτεια ταῦτα εἰς τοὐναντίον ἡμῖν μεταβέβληκε. τοὺς γὰρ Λίβυας δήπου κατηλλάξατε τοῖς Βανδίλοις, εἰς ὑμᾶς αὐτοὺς ἤδη τὴν τούτων περιάγοντες δυσμένειαν. φύσει γὰρ πρόσεστι τοῖς ἀδικουμένοις ἡ πρὸς τοὺς βιαζομένους ἔχθρα, καὶ περιέστηκεν ὑμῖν τῆς τε ὑμῶν αὐτῶν ἀσφαλείας καὶ τῆς τῶν ἀγαθῶν ἀφθονίας ὀλίγα ἄττα ἀργύρια ἀνταλλάξασθαι, παρὸν ὑμῖν παρ' ἑκόντων ὠνουμένοις τὰ B *ἐπιτήδεια τῶν κυρίων μήτε ἀδίκοις εἶναι δοκεῖν καὶ φίλοις ἐκείνοις ἐς τὰ μάλιστα χρῆσθαι. νῦν οὖν πρός τε Βανδίλους ὑμῖν καὶ Λίβυας ὁ πόλεμος ἔσται, λέγω δὲ ἔγωγε καὶ τὸν θεὸν αὐτόν, ὃν οὐδεὶς ἀδικῶν ἐς ἐπικουρίαν παρακαλεῖ. ἀλλὰ παύσασθε μὲν τοῖς ἀλλοτρίοις ἐπεισπηδῶντες, κέρδος δὲ ἀποσείσασθε κινδύνων μεστόν. οὗτος γὰρ ἐκεῖνος ὁ καιρός ἐστιν ἐν ᾧ μάλιστα σωφροσύνη μὲν οἷά τε σώζειν, ἀκοσμία δὲ ἐς θάνατον φέρει. τούτων γὰρ ἐπιμελομένοις ὑμῖν ἵλεως μὲν ὁ θεός, εὔνους δὲ ὁ τῶν Λιβύων λεώς, καὶ τὸ τῶν Βανδίλων γένος εὐέφοδον ἔσται."*

Τοσαῦτα εἰπὼν Βελισάριος καὶ τὸν ξύλλογον διαλύσας, ἐπεὶ ἤκουσε Σύλλεκτον πόλιν ἡμέρας ὁδὸν τοῦ στρατοπέδου διέχουσαν C *ἐπὶ θαλάσσῃ εἶναι ἐν τῇ ἐπὶ Καρχηδόνα φερούσῃ, ἧς τὸ μὲν τεῖχος ἐκ παλαιοῦ καθῃρημένον ἐτύγχανεν, οἱ δὲ ταύτῃ ᾠκημένοι τοὺς τῶν οἰκιῶν τοίχους πανταχόθεν ἀποφράξαντες διὰ τὰς τῶν Μαυρουσίων ἐπιδρομὰς περιβόλου ἐφύλασσον σχῆμα, τῶν δορυ-*

1. ἡ om. L. 3. *περιάγοντες* AL. *ὑπάγοντες* P. 5. *αὐτῶν ἀσφαλείας*] *ἀσφαλείας αὐτῶν* LHm. 11. *παύσασθε — ἀποσείσασθε*] *παύσασθαι — ἀποσείσασθαι* H: illa Hm. 22. *περιβόλου* ALHm. *προβόλου* P.

temperantia res partem in contrariam vertit. Nam Afrorum benevolentiam Vandalis, odium vobis modo conciliastis, adiuvante natura, quae iniustam vim patientes ab inferentibus alienat: eoque cupiditatis praeposterae deventum est, ut pro argenteis pauculis, quos servastis, vestram securitatem et bonorum copiam abieceritis, cum cibaria a volentibus dominis coëmendo, iniustitiae notam vitare, eorumque amicitiam colligere promptum esset. Igitur hostes, simul Vandalos, simul Afros patiemur; addo etiam deum ipsum, qui nemini iniuriam facienti opitulatur. Agitedum: in aliena involare nolite amplius, et quaestum periculosissimum amovete: quando salus ex abstinentia et moderatione maxime pendet, effraenata autem licentia ad interitum ducit. Nam si dicta sancte curabitis, deum propitium, Afros amicos, Vandalos aditu faciles experiemini.

His dictis ac soluto coetu, audiens Belisarius diei unius itinere procul a castris, in via, quae Carthaginem ducit, sitam esse propter mare urbem Syllectum; cuius quidem moenia pridem diruta fuerant, at cives domorum parietibus ob Maurorum incursiones undique munitis, murorum

φόρων ἕνα Βοραΐδην ἅμα τῶν ὑπασπιστῶν τισιν ἔστελλεν, ἐπαγγείλας αὐτοῖς τῆς τε πόλεως ἀποπειρᾶσθαι καί, ἢν ἕλωσι, κακὸν μὲν μηδὲν ἐν αὐτῇ δρᾶσαι, ἐπαγγείλασθαι δὲ ἀγαθὰ μύρια, καὶ ὡς ἐπὶ τῇ αὐτῶν ἐλευθερίᾳ ἥκοιεν, ὥστε εἰσιτητὰ τῷ στρατῷ ἐς αὐτὴν γενέσθαι. οἱ δὲ περὶ λύχνων ἁφὰς ἀγχοῦ τῆς πόλεως γενόμενοι ἐν φάραγγί τε λαθόντες διενυκτέρευσαν. ἕωθεν δὲ ἀγροίκων ξὺν ἁμάξαις ἐς αὐτὴν εἰσιόντων ἐπιτυχόντες, συνεισελ-
D θόντες σιωπῇ καὶ οὐδενὶ πόνῳ τὴν πόλιν ἔσχον. καὶ ἐπεὶ ἡμέρα ἐγένετο, οὐδενὸς θορύβου ἡγησαμένου, τόν τε ἱερέα καὶ εἴ τι δόκιμον ἦν ξυγκαλέσαντες τάς τε τοῦ στρατηγοῦ ἐντολὰς ἀπήγγελλον, καὶ τὰς κλεῖς τῶν εἰσόδων παρ' ἑκόντων λαβόντες τῷ στρατηγῷ ἔπεμψαν.

V 372 Τῇ δὲ αὐτῇ ἡμέρᾳ καὶ ὁ τοῦ δημοσίου δρόμου ἐπιμελόμενος ηὐτομόλησε παραδοὺς τοὺς δημοσίους ξύμπαντας ἵππους. ξυλληφθέντα δὲ καί τινα τῶν ἐς τὰς βασιλικὰς ἀποκρίσεις ἀεὶ στελλομένων, οὓς δὴ βερεδαρίους καλοῦσι, κακὸν μὲν οὐδὲν ὁ στρατηγὸς ἔδρασε, χρυσίῳ δὲ πολλῷ δωρησάμενος καὶ πιστὰ λαβὼν τὰς ἐπιστολὰς ἐνεχείρησεν, ἅσπερ Ἰουστινιανὸς βασιλεὺς πρὸς Βανδίλους ἔγραψεν ἐφ' ᾧ τοῖς Βανδίλων ἄρχουσι δοῦναι.
P 217 ἐδήλου δὲ ἡ γραφὴ τάδε „Οὔτε Βανδίλοις πολεμεῖν ἔγνωμεν οὔτε τὰς Γιζερίχου σπονδὰς λύομεν, ἀλλὰ τὸν ὑμέτερον τύραννον καθελεῖν ἐγχειροῦμεν, ὃς τῶν Γιζερίχου διαθηκῶν ὀλιγωρήσας τὸν

1. „βοραΐδην Reg." Malt. Sic LHm. *Μοραΐδην* P. *Boriadem* RV. 2. τῆς om. L. 3. δὲ om. L. *ibid.* μύρια] μυρία A. 13. δημοσίου δρόμου] ἱπποδρόμου inter versus A. δημοσίου om. L. 20. οὔτε τὰς] οὐδὲ τὰς P. 21. ὑμέτερον] ἡμέτερον AHL.

speciem retinebant; Moraidem, ex hastatis stipatoribus unum, cum scutatis aliquot destinat, praecipitque ut urbem tentent: si ceperint, nihil noceant: quin potius promissis impleant, seque libertatis Africae vindices profiteantur, quo exercitum accipiat civitas. Illi prima face ad vallem urbi proximam pervenerunt: ubi cum noctem totam delituissent, albente aurora cum rusticis, quos cum plaustris in urbis introitu nacti sunt, intravere silentio, et urbem nullo negotio occuparunt. Ut clarius illuxit, sine tumultu Episcopo et optimatibus convocatis, mandata exponunt Magistri militum, et acceptas, nemine invito, adituum claves, ad ipsum mittunt.

Eodem die cursus publici procurator equos omnes publicos sponte tradidit. Illorum etiam, qui rescripta Principis perferunt (veredarios appellant) interceptum quemdam Belisarius benigne habuit, multa donavit pecunia, et accepta fide, Iustiniani ad Vandalos literas, gentis ducibus ac Praefectis reddendas, ei credidit: in hanc porro sententiam scriptae erant. *Nec Vandalis bellum indicimus, nec pacem solvimus a Gizerico factam; sed vestrum tollere tyrannum aggredimur, qui testamento Gizerici spreto, regem vestrum asservat in vinculis, atque e pro-*

μὲν βασιλέα ὑμῶν καθείρξας τηρεῖ, τῶν δὲ αὐτοῦ ξυγγενῶν οὓς μὲν σφόδρα ἐμίσει κατ' ἀρχὰς ἔκτεινε, τοὺς δὲ λοιποὺς τὰς ὄψεις ἀφελόμενος ἐν φυλακῇ ἔχει, οὐκ ἐῶν θανάτῳ καταλῦσαι τὰς συμφοράς. ξυλλάβεσθε τοίνυν ἡμῖν καὶ ξυνελευθεροῦτε ὑμᾶς αὐτοὺς οὕτω μοχθηρᾶς τυραννίδος, ὅπως ἂν δύνησθε τῆς τε εἰρήνης καὶ τῆς ἐλευθερίας ἀπόνασθαι. ταῦτα γὰρ ὑμῖν παρ' ἡμῶν ἔσεσθαι πρὸς τοῦ θεοῦ τὰ πιστὰ δίδομεν." τοσαῦτα μὲν B τὰ βασιλέως γράμματα ἐδήλου. ὁ δὲ ταῦτα παρὰ Βελισαρίου λαβὼν ἐξενεγκεῖν μὲν εἰς τὸ φανερὸν οὐκ ἐτόλμησε, λάθρα δὲ τοῖς φίλοις ἐπιδείξας οὐδὲν ὅ τι καὶ λόγου ἄξιον διεπράξατο.

ιζ'. Βελισάριος δὲ ὡς ἐς παράταξιν ὧδε διακοσμήσας τὸ H 112 στράτευμα τὴν ἐπὶ Καρχηδόνα ἐβάδιζε. τῶν δ' ὑπασπιστῶν τριακοσίους ἀπολέξας, ἄνδρας ἀγαθοὺς τὰ πολέμια, Ἰωάννῃ παρέδωκεν, ὃς οἱ ἐπεμελεῖτο τῆς περὶ τὴν οἰκίαν δαπάνης· ὀπτίωνα τοῦτον καλοῦσι Ῥωμαῖοι. ἀνὴρ δὲ ἦν Ἀρμένιος μὲν γένος, ξυνέσεως δὲ καὶ ἀνδρείας ἐς τὸ ἀκρότατον μάλα ἥκων. τοῦτον δὴ τὸν Ἰωάννην ἐκέλευε τῇ στρατιᾷ ἡγεῖσθαι, οὐχ ἧσσον ἢ κατὰ εἴκοσι σταδίους διέχοντα, καὶ ἤν τι πολέμιον ἴδοι, κατὰ τάχος σημῆναι, ὅπως δὴ μὴ ἀπαράσκευοι ἐς μάχην καθίστασθαι ἀναγ- C κάζοιντο. τοὺς δὲ ξυμμάχους Μασσαγέτας ἐκέλευε τοσούτοις ἢ καὶ πλείοσι σταδίοις ἀπέχοντας ἀεὶ κατὰ τὸ ἀριστερὸν μέρος τὴν πορείαν ποιεῖσθαι· αὐτὸς δὲ ὄπισθεν μετὰ τῶν ἀρίστων ἐβάδιζεν. ὑπώπτευε γὰρ ἐκ τῆς Ἑρμιόνης Γελίμερα σφίσιν ἑπόμενον

1. ξυγγενῶν] συγγενῶν L. 20. ἐκέλευε L. ἐκελεύετο P.

pinquis, quos quidem maxime oderat, ipso statim initio interfecit; reliquos vero luminibus orbatos, custodia attinet, aerumnas leto finire vetans. Igitur iuvate nos, et coniuncta opera tam impiae tyrannidis iugum excutite, ut pace et libertate fruamini. Nos enim vobis haec praestituros, teste Deo, pollicemur. Haec habebant Augusti literae: quas ille cum accepisset a Belisario, non ausus est palam promere, sed amicis tantum clam impertitus, nihil egit, quod operae pretium fuerit.

17. Belisarius instructa acie Carthaginem versus iter instituit, et virorum fortium, qui inter scutatos merebant, delectu ad trecentos habito, adiunxit illos Ioanni, quem sibi domesticorum sumptuum curatorem optaverat (Optionem Romani dicunt). Erat hic natione Armenius, summa prudentia ac fortitudine vir. Sic autem ipsum exercitui praeire iussit, ut stadiorum non minus xx. intervallum servaret: sicubi videret hostem, actutum significarat, ne imparati pugnam capessere cogerentur. Massagetis foederatis edixit a laeva procederent, eodem, quo illi, vel maiori etiam divisi spatio. Ipse cum flore exercitus a tergo ibat, suspicans venientem Hermione et sequentem Gelimerem brevi facturum impetum.

οὐκ ἐς μακρὰν ἐπιθήσεσθαι. κατὰ γὰρ τὸ δεξιὸν μέρος οὐδὲν
ἦν δέος οὐ πόρρω τῆς ᾐόνος πορευομένοις. τοῖς δὲ ναύταις
ἐπήγγελλε παρακολουθεῖν τε ἀεὶ καὶ τοῦ στρατεύματος μὴ πολὺ
διεστάναι, ἀλλ' ἐπιφόρου μὲν γινομένου τοῦ πνεύματος χαλά-
D σαντας τὰ μεγάλα ἱστία τοῖς μικροῖς, ἃ δὴ δόλωνας καλοῦσιν,
ἕπεσθαι, λωφήσαντος δὲ παντελῶς τοῦ ἀνέμου βιάζεσθαι ὅσον
οἷοί τε ὦσιν ἐρέσσοντας.

Εἰς δὲ Σύλλεκτον ἀφικόμενος Βελισάριος σώφρονάς τε τοὺς
στρατιώτας παρείχετο καὶ οὔτε ἀδίκων χειρῶν ἄρχοντας οὔτε τι
ἄπο τρόπου ἐργαζομένους, αὐτός τε πρᾳότητα πολλὴν καὶ φιλαν-
θρωπίαν ἐνδεικνύμενος οὕτω τοὺς Λίβυας προσεποιήσατο ὥστε
P 218 τοῦ λοιποῦ καθάπερ ἐν χώρᾳ οἰκείᾳ τὴν πορείαν ποιεῖσθαι, οὔτε
ὑποχωρούντων τῶν ταύτῃ ᾠκημένων οὔτε τι ἀποκρύπτεσθαι βου-
λομένων, ἀλλὰ καὶ ἀγορὰν παρεχομένων καὶ τὰ ἄλλα τοῖς στρα-
τιώταις ᾗ βούλοιντο ὑπηρετούντων. ὀγδοήκοντα δὲ σταδίους
ἀνύοντες εἰς ἡμέραν ἑκάστην ἄχρις ἐς Καρχηδόνα διετελέσαμεν,
ἢ κατὰ πόλιν, ἂν οὕτω τύχοι, ἢ ἐν στρατοπέδῳ ἐκ τῶν παρόν-
των ὡς ἀσφαλέστατα αὐλιζόμενοι. οὕτω γοῦν διά τε Λέπτης
πόλεως καὶ Ἀδραμητοῦ ἐς Γράσσην τὸ χωρίον ἀφικόμεθα, πεν-
τήκοντα καὶ τριακοσίους σταδίους Καρχηδόνος διέχον. ἔνθα δὴ
βασίλειά τε ἦν τοῦ Βανδίλων ἡγουμένου καὶ παράδεισος κάλλι-
B στος ἁπάντων ὧν ἡμεῖς ἴσμεν. ταῖς τε γὰρ κρήναις κομιδῆ κα-

2. ᾐόνος] ἠϊόνος P. 5. ἱστία] ἄρμενα Suidas s. v. δόλωνες. 9. οὔτε — οὔτε] οὐδὲ — οὐδέ P. 10. ἄπο] ἀπὸ P. 11. Λίβυας] λίβας AHL. ἴσ. λίβυας Hm.

Nullus a dextra metus; maris enim littus legebant. Nautis iniunxit, ut semper exercitum assectarentur, nec longius abscederent; at secunda spirante aura, sequerentur, utentes dolonibus sive minoribus velis, contractis maioribus: si ventus plane resideret, remis pro virili parte incumberent.

Ubi Syllectum attigit Belisarius, milites continuit, violari neminem passus, neque ab honestis moribus alienum quidquam admitti. Ipse vero eximiae mansuetudinis atque humanitatis significatione Afrorum animos ita cepit, ut non aliter quam in solo ditionis nostrae nobis iter deinceps fuerit, cum nec vitarent conspectum nostrum indigenae, nec abdere quidquam vellent, sed annonam praeberent, ac caetera militibus pro eorum arbitrio ministrarent. Carthaginem usque diebus singulis stadia octoginta confecimus, aut in oppidis, si ita contingeret, aut in castris agentes noctem, quantum e re nata fieri poterat, communitis. Ita per urbes Leptin et Adrumetum pervenimus Grassen, stadiis CCCL. Carthagine dissitam: ubi Regis Vandalorum palatium erat, et horti, omnium, quos unquam vidimus, amoenissimi. Nam et fontibus benignissime rigan-

τάρρυτός ἐστι καὶ ἄλσους ἔχει πάμπολυ χρῆμα. ὀπώρας δὲ τὰ δένδρα μεστά εἰσι ξύμπαντα· ὥστε τῶν στρατιωτῶν ἕκαστος V 373 τὴν καλύβην ἐν δένδροις ὀπώρας ἐπήξατο καὶ τῶν καρπῶν τηνικάδε ὡραίων ὄντων ἐς κόρον μὲν αὐτῶν ἀφίκοντο πάντες, αἴσθησις δὲ σχεδόν τι τῆς ὀπώρας ἐλασσουμένης οὐ γέγονε.

Γελίμερ δὲ, ἐπεὶ ἐν Ἑρμιόνῃ τὸ πρῶτον παρόντας ἤκουσε τοὺς πολεμίους, γράφει ἐς Καρχηδόνα πρὸς τὸν ἀδελφὸν Ἀμμάταν, Ἰλδέριχον μὲν καὶ ἄλλους, ὅσους εἴτε κατὰ γένος εἴτε ἄλλως αὐτῷ προσήκοντας ἐν φυλακῇ ἔχει, ἀποκτιννύναι, αὐτὸν δὲ τούς τε Βανδίλους καὶ εἴ τι ἄλλο μάχιμον ἐν τῇ πόλει ἦν ἐν παρασκευῇ ποιήσασθαι, ὅπως τῶν πολεμίων ἐν στενοῖς γινομένων C ἀμφὶ τὸ τῆς πόλεως προάστειον, ὃ Δέκιμον καλοῦσιν, ἀμφοτέρωθεν ξυνιόντας κυκλώσασθαί τε αὐτοὺς καὶ σαγηνεύσαντας διαφθεῖραι. Ἀμμάτας δὲ κατὰ ταῦτα ἐποίει, καὶ τόν τε Ἰλδέριχον, ξυγγενῆ ὄντα, καὶ Εὐαγέην ἀπέκτεινε καὶ τῶν Λιβύων ὅσοι αὐτοῖς ἐπιτήδειοι ἦσαν. Ὀάμερ γὰρ ἤδη ἐξ ἀνθρώπων ἠφάνιστο. τούς τε Βανδίλους ἐξοπλίσας, ὡς εἰς καιρὸν ἐπιθησόμενος, ἐν παρασκευῇ ἐποιήσατο. Γελίμερ δὲ ὄπισθεν, οὐ παρέχων ἡμῖν αἴσθησιν, εἵπετο, πλήν γε δὴ ὅτι ἐν τῇ νυκτὶ ταύτῃ, ᾗ ἐν Γράσσῃ ηὐλισάμεθα, κατάσκοποι ἑκατέρωθεν ἰόντες ξυνέμιξαν, πλήξαντές τε ἀλλήλους ἐς τὸ σφέτερον στρατόπεδον ἑκάτεροι ἀπεχώρησαν, καὶ ταύτῃ γέγονεν ἡμῖν φανερὸν οὐ πόρρω D εἶναι τοὺς πολεμίους. ἐνθένδε ἡμῖν πορευομένοις τὰς ναῦς ἐσο-

7. Ἀμμάταν] ἀμάταν H: illud Hm. 9. ἀποκτιννύναι] Vulgo ἀποκτινύναι. 22. ταύτῃ] ταῦτα Hm.

tur, et magnam habent copiam arborum, quarum nulla non felix est ac mitibus pomis exuberat: ita ut milites, cum inter arbores fructiferas casulam sibi quisque struxisset, pomis tum maturis sese cuncti expleverint, vix tamen decerptum fuisse quidquam apparuerit.

Apud Hermionem Gelimer, ut primum adesse hostes audivit, Carthaginem ad fratrem suum Ammatan scripsit, ut Ildericum ac caeteros propinquitate, vel quavis alia ratione illi coniunctos, quos habebat in vinculis, interficeret; Vandalos, et si qui alii in urbe essent idonei bello, instrueret, ut cum hostis in angustias Decimi, qui locus est in agro suburbano, se compegisset, eum ipsi utrinque interciperent, ac veluti septum indagine profligarent. Dicto audiens Ammatas Ildericum, propinquum suum, Euageemque, et Afrorum ipsis familiarissimos occidit, Oamere iam ante mortuo. Vandalos, arma iussos induere, in procinctu habuit, opportunae facturus impetum. Veniebat a tergo Gelimer, nihil nobis persentientibus. Ea solum nocte, qua sedem castris nostris Grasse praebuit, utrinque missi exploratores se invicem offenderunt, nec sine conflictu ad sua utrique castra redierunt: ita demum imminere nobis hostem cognovimus. Inde digressis, in conspectu classis esse non pote-

ῥᾶν ἀδύνατα ἦν. πέτραι γὰρ ὑψηλαὶ, πόρρω τῆς θαλάσσης διήκουσαι, περίοδον τοῖς πλέουσι πολλῷ μέτρῳ ἐργάζονται, καὶ ἄκρα ἀνέχει, ἧς ἐντὸς τὸ τοῦ Ἑρμοῦ πόλισμά ἐστι. Βελισάριος οὖν Ἀρχελάῳ τε τῷ ὑπάρχῳ ἐπέστελλεν ἐς Καρχηδόνα μὲν μὴ καταίρειν, σταδίους δὲ ἀμφὶ τοὺς διακοσίους ἀπέχοντας ἄχρις οὗ αὐτὸς καλέσῃ μένειν. ἐκ δὲ Γράσσης ἐξαναστάντες τεταρταῖοι ἐς Δέκιμον ἀφικόμεθα, σταδίοις ἑβδομήκοντα Καρχηδόνος ἀπέχον.

P 219 ιη'. Ἐν δὲ δὴ τῇ ἡμέρᾳ ταύτῃ Γελίμερ τὸν ἀνεψιὸν Γι-
H 113 βαμοῦνδον ἐκέλευεν ἅμα Βανδίλων δισχιλίοις φθάνοντα τὸ ἄλλο
στράτευμα κατὰ τὸ εὐώνυμον μέρος ἰέναι, ὅπως Ἀμμάτας μὲν
ἐκ Καρχηδόνος, Γελίμερ δὲ αὐτὸς ὄπισθεν, Γιβαμοῦνδος δὲ ἐκ
τῶν ἐπ' ἀριστερὰ χωρίων ἐς ταὐτὸ ξυνιόντες ῥᾷον δὴ καὶ ἀπονώ-
τερον τὴν κύκλωσιν τῶν πολεμίων ποιήσωνται. ἐμοὶ δὲ τά τε
θεῖα καὶ τὰ ἀνθρώπεια ἐν τῷ πόνῳ τούτῳ ἐπῆλθε θαυμάσαι,
ὅπως ὁ μὲν θεὸς, πόρρωθεν ὁρῶν τὰ ἐσόμενα, ὑπογράφει ὅπῃ
B ποτὲ αὐτῷ τὰ πράγματα δοκεῖ ἀποβήσεσθαι, οἱ δὲ ἄνθρωποι ἢ
σφαλλόμενοι ἢ τὰ δέοντα βουλευόμενοι οὐκ ἴσασιν ὅτι ἔπταισάν
τι, ἂν οὕτω τύχοι, ἢ ὀρθῶς ἔδρασαν, ἵνα γένηται τῇ τύχῃ τρί-
βος, φέρουσα πάντως ἐπὶ τὰ πρότερον δεδογμένα. εἰ μὴ γὰρ
Βελισάριος οὕτω διῳκήσατο τὴν παράταξιν, τοὺς μὲν ἀμφὶ τὸν
Ἰωάννην προτερῆσαι κελεύσας, τοὺς δὲ Μασσαγέτας ἐν ἀριστερᾷ

5. „ἀπέχοντας] Melius ἀπέχοντα." Malt. 11. Ἀμμάτας] ἀμάτας L. 13. ἐκ' om. HL. ibid ἀριστερὰ] ἀριστερᾷ HL. ibid. ἀπονώτερον] ἀπονεώτερον A. 14. ποιήσωνται L. ποιήσονται P. 16. ὑπογράφει] Vulgo ὑπογράφῃ. 20. δεδογμένα] δεδομένα Hm. 21. οὕτω] οὕτως L.

rat, propterea quod alti scopuli longe in mare procurrentes longo flexu nautas avertunt, ac prominet promontorium, citra quod est oppidum Mercurii. Quare Belisarius Archelao exercitus Quaestori iniungit, ne Carthaginem appellat, sed absit cc. circiter stadia, nec nisi suo mandato moveat. Grasse profecti, die quarto pervenimus Decimum, quod Carthagine stadiis LXX. distat.

18. Eo die Gelimer Gibamundum, suum ex fratre nepotem, cum bis mille Vandalis reliquas copias praegredientem, ad laevam ire iussit, ut Ammatas a Carthagine, Gelimer ipse a tergo, Gibamundus a sinistra in unum convenientes, hostem facilius circumcluderent. Mihi vero in hoc congressu divina et humana consilia mirari succurrit: nimirum uti Deus futura longe praevidens, quem cuique rei dare ipse exitum vult, certe designat: dum homines, quamlibet viam, tum falsam, tum veram incedunt, caecutiunt, ignari rectene fecerint, an forte secus: ut divinae providentiae ad ea, quae ante constituit, peragenda sternatur iter. Profecto nisi Belisarius ita aciem instruxisset, ut Ioannem praecedere, et Massagetas

τῆς στρατιᾶς ἰέναι, οὐκ ἂν ποτε διαφυγεῖν τοὺς Βανδίλους ἰσχύσαμεν. καὶ τούτων δὲ οὕτω Βελισαρίῳ βεβουλευμένων, εἰ τὸν καιρὸν Ἀμμάτας διεφύλαξε καὶ μὴ τοῦτον τεταρτημορίῳ τῆς ἡμέρας μάλιστα ἔφθασεν, οὐκ ἂν ποτε οὕτω Βανδίλοις διεφθάρη C
τὰ πράγματα· νῦν δὲ Ἀμμάτας προτερήσας ἀμφὶ μέσην ἡμέραν ἐς Δέκιμον ἧκε, μακρὰν ἀπολελειμμένων ἡμῶν τε καὶ τοῦ Βανδίλων στρατεύματος, οὐ τοῦτο μόνον ἁμαρτήσας, ὅτι οὐκ ἐν δέοντι ἀφίκετο χρόνῳ, ἀλλὰ καὶ τὸ Βανδίλων πλῆθος ἐν Καρχηδόνι ἀπολιπὼν, ἀπαγγείλας τε ὡς τάχιστα ἐς τὸ Δέκιμον ἥκειν, αὐτὸς ξὺν ὀλίγοις καὶ οὐδὲ ἀριστίνδην ξυνειλεγμένοις τοῖς ἀμφὶ τὸν Ἰωάννην ἐς χεῖρας ἦλθε. καὶ κτείνει μὲν τῶν ἀρίστων δώ- V 374
δεκα ἐν τοῖς πρώτοις ἀγωνιζομένους, πίπτει δὲ καὶ αὐτὸς, ἀνὴρ D
ἀγαθὸς ἐν τῷ ἔργῳ τούτῳ γενόμενος. καὶ ἡ μὲν τροπὴ, ἐπεὶ Ἀμμάτας ἔπεσε, λαμπρὰ ἐγεγόνει, φεύγοντες δὲ κατὰ κράτος οἱ Βανδίλοι ἀνεσόβουν ἅπαντας τοὺς ἐκ Καρχηδόνος ἐς Δέκιμον ἰόντας. ἐπορεύοντο γὰρ οὐδενὶ κόσμῳ οὐδὲ ὡς ἐς μάχην ξυντεταγμένοι, ἀλλὰ κατὰ συμμορίας, καὶ ταύτας βραχείας· κατὰ τριάκοντα γὰρ ἢ εἴκοσιν ᾔεσαν. ὁρῶντες δὲ Βανδίλους τοὺς ἀμφὶ τὸν Ἀμμάταν φεύγοντας, καὶ οἰόμενοι τοὺς διώκοντας παμπληθεῖς εἶναι, τρέψαντες τὰ νῶτα συνέφευγον. Ἰωάννης δὲ καὶ οἱ ξὺν αὐτῷ οἷς ἂν ἐντύχοιεν κτείνοντες ἄχρι ἐς τὰς Καρ- P 220
χηδόνος πύλας ἀφίκοντο. καὶ γέγονε φόνος Βανδίλων ἐν τοῖς

6. Δέκιμον] δέκιον HL: illud Hm. 18. εἴκοσιν L. εἴκοσι P.

ad laevam exercitus vadere iussisset, infestas Vandalorum manus nunquam potuissemus effugere. Immo vero rebus ita, ut dixi, constitutis a Belisario, si tempus idoneum observasset Ammatas, neque illud quarta fere diei parte praevertisset, nunquam ita Vandalorum res corruissent. Verum praefestinans Ammatas, circiter meridiem ad Decimum sese contulit, unde nos et Vandalicus exercitus procul adhuc aberamus. Neque hoc solum peccavit, quod advenit intempestive, sed quod etiam maiorem partem Vandalorum Carthagine reliquit, ac satis habens illis mandasse, ut quamprimum ad Decimum venirent, ipse cum paucis, neque iis e robore delectis, ausus est Ioannem adoriri. Et ille quidem duodenos in prima acie dimicantes viros fortissimos ferro confecit; at ipse demum occubuit, re strenue gesta in hoc certamine. Postquam Ammatas occidit, aperte Vandali terga vertere. Eorum autem contentior fuga magnam perturbationem iniecit Carthagine ad Decimum properantibus: qui incomposite neque instructa acie, sed turmatim, cum vix triginta aut viginti etiam simul essent, veniebant. Ubi vero Vandalos, qui Ammatam secuti fuerant, consternatos in fugam viderunt, ingentem rati persequentium esse numerum, ipsi quoque terga convertere et coniicere se in pedes. At Ioannes, et qui cum illo erant, obvium quemque caede sternendo, ad ipsas usque portas Carthaginis progressi sunt: tanta in eo stadiorum LXX.

ἑβδομήκοντα σταδίοις τοσοῦτος ὥστε εἰκάζειν τοὺς θεωμένους δισμυρίων πολεμίων τὸ ἔργον εἶναι.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον Γιβαμοῦνδός τε καὶ οἱ δισχίλιοι ἧκον ἐς πεδίον ἁλῶν, ὅπερ τεσσαράκοντα μὲν σταδίοις τοῦ Δεκίμου ἀπέχει ἐν ἀριστερᾷ ἐς Καρχηδόνα ἰόντι, ἀνθρώπων δὲ καὶ δένδρων καὶ ἄλλου ὁτουοῦν ἔρημόν ἐστι, τῆς τοῦ ὕδατος ἅλμης B ἄλλο οὐδὲν ἐνταῦθα πλὴν τοὺς ἅλας ἐώσης γίγνεσθαι· ἔνθα δὴ τοῖς Οὔννοις περιπεπτωκότες ἀπώλοντο πάντες. ἦν δέ τις ἐν τοῖς Μασσαγέταις ἀνὴρ, ἀνδρείας μὲν καὶ ἰσχύος εὖ ἥκων, ὀλίγων δὲ ἡγούμενος ἀνδρῶν· οὗτος εἶχε γέρας ἐκ πατέρων τε καὶ προγόνων ἐν πᾶσι τοῖς Οὐννικοῖς στρατεύμασι πρῶτος ἐς τοὺς πολεμίους ἐσβάλλειν. οὐ γὰρ ἦν θεμιτὸν ἀνδρὶ Μασσαγέτῃ προτύψαντι ἐν μάχῃ τῶν τινα πολεμίων βαλεῖν, πρίν γε δή τινα ἐκ ταύτης τῆς οἰκίας ἐς τοὺς πολεμίους τῶν χειρῶν ἄρξαι. οὗτος ἀνὴρ, ἐπειδὴ τὰ στρατεύματα οὐ πόρρω ἀπ' ἀλλήλων ἐγένετο, ἐξελάσας C τὸν ἵππον, τοῦ τῶν Βανδίλων στρατοπέδου μόνος ὡς ἐγγυτάτω ἔστη. οἱ δὲ Βανδίλοι, ἢ τὴν τοῦ ἀνδρὸς εὐψυχίαν καταπλαγέντες ἤ καί τι τοὺς πολεμίους ὑποτοπήσαντες ἐς αὐτοὺς μηχανᾶσθαι, οὔτε κινεῖσθαι οὔτε τὸν ἄνδρα βαλεῖν ἔγνωσαν. οἶμαι δὲ αὐτοὺς οὐπώποτε Μασσαγετῶν μάχην ἐν πείρᾳ ἔχοντας, ἀκούοντας δὲ κομιδῇ μάχιμον τὸ ἔθνος εἶναι, οὕτω δὴ κατορρωδῆσαι τὸν κίνδυνον. ἀναστρέψας δὲ ἐς τοὺς ὁμοφύλους ὁ ἄνθρωπος ἔλεξεν ὧδε, ὡς

3. χρόνον] τρόπον A: χρόνον inter versus. 7. τοὺς ἅλας] τοῦ ἅλας HL. 8. Οὔννοις] Οὔννοις P hic et alibi interdum: cum spiritu leni AHL. 13. βαλεῖν HmLm. λαβεῖν P. 19. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

spatio strage Vandalorum edita, ut illam spectantibus gessisse rem pugnatorum xx. m. viderentur.

Eodem tempore Gibamundus et, quos ducebat, bis mille, venerant in campum salis, a Decimo stadiis xl. dissitum, positumque ad laevam euntis Carthaginem. Is domibus arboribusque vacuus ac plane desertus est, aquae salsugine nihil ibi aliud, nisi salem, sinente nasci. Hic illi in Hunnos cum incidissent, ad internecionem caesi sunt. Inter Massagetas quidam erat parvi agminis dux, magno vir animo et robore praeditus, qui paterno adeoque avito iure privilegium hoc habebat, ut in quovis Hunnorum exercitu primus hostem aggrederetur. Etenim nemini Massagetarum licebat hostium quemquam in acie prius ferire, quam aliquis ex ea domo et stirpe pugnam lacessivisset. Vir ille, cum essent in propinquo utraeque copiae, admisso equo, solus proxime Vandalorum aciem constitit. Verum hi nec movere se, nec telis hominem petere voluerunt; at sive eius audacia attoniti, sive paratas ab hoste insidias suspicati, haerebant. Eos opinor, cum Massagetarum arma nunquam essent experti, sed fama tantum accepissent gentem esse bellicosissimam,

ὁ θεὸς σφίσιν ἕτοιμον βρῶμα τοὺς ξένους τούσδε πέμψειεν. οὕτω δὴ ὡρμημένους αὐτοὺς οἱ Βανδίλοι οὐχ ὑπέμειναν, ἀλλὰ λύσαντες τὴν τάξιν καὶ ἥκιστα ἐς ἀλκὴν ἰδόντες ἅπαντας αἰσχρῶς διεφθάρησαν.

ιθ'. Ἡμεῖς δὲ τῶν γεγονότων οὐδ' ὁτιοῦν πεπυσμένοι ἐπὶ D τὸ Δέκιμον ᾔειμεν. Βελισάριος δὲ χῶρον ἰδὼν ἐς στρατόπεδον ἱκανῶς πεφυκότα, πέντε καὶ τριάκοντα σταδίοις τοῦ Δεκίμου διέχοντα, χαράκωμά τε αὐτῷ περιέβαλλεν εὖ μάλα πεποιημένον καὶ τοὺς πεζοὺς ἅπαντας ἐνταῦθα καταστησάμενος ἅπαν τε ξυγκαλέσας τὸ στράτευμα ἔλεξε τοιάδε „Ὁ μὲν τῆς ἀγωνίας καιρός, H 114 ἄνδρες συστρατιῶται, ἤδη πάρεστιν· αἰσθάνομαι γὰρ προσιόντας ἡμῖν τοὺς πολεμίους· τὰς δὲ ναῦς ὡς ποῤῥωτάτω ἡμῶν ἡ τοῦ τόπου φύσις ἀπήνεγκε· περιέστηκε δὲ ἡμῖν ἡ τῆς σωτηρίας P 221 ἐλπὶς ἐν ταῖς χερσὶν οὖσα. οὐ γάρ ἐστιν οὐ πόλις φιλία, οὐκ ἄλλο οὐδὲν ὀχύρωμα, ὅτῳ δὴ καὶ πιστεύσαντες τὸ θαῤῥεῖν ὑπὲρ ἡμῶν αὐτῶν ἕξομεν. ἀλλ' εἰ μὲν ἄνδρες ἀγαθοὶ γενοίμεθα, εἰκὸς ἂν εἴη κἂν περιέσεσθαι ἡμᾶς τῷ πολέμῳ τῶν ἐναντίων· ἢν δέ τι μαλακιζοίμεθα, λελείψεται ἡμῖν ὑπὸ Βανδίλοις γεγενημένοις διεφθάρθαι. καίτοι πολλὰ ἡμῖν πρὸς τὴν νίκην ἐφόδιά ἐστι· τό τε δίκαιον, μεθ' οὗ πρὸς τοὺς δυσμενεῖς ἥκομεν (τὰ γὰρ ἡμέτερα αὐτῶν κομιούμενοι πάρεσμεν) καὶ τὸ τῶν Βανδίλων ἐς τὸν σφῶν αὐτῶν τύραννον ἔχθος. ἥ τε γὰρ τοῦ θεοῦ ξυμμαχία τοῖς

1. ὁ θεὸς L. ὁ om. P. *ibid.* βρῶμα LHm. βρῶσιν P. 6. ἐς τὸ P. τὸ om. L. 9. ἅπαν τε L. ἅπαν δὲ P. 16. γενοίμεθα L a m. sec. et Pm. γενόμεθα P.

discrimen expavisse. Reversus ad populares suos Massageta exclamat, sibi missos a Deo esse externos illos, tanquam ferculum iam paratum. Eorum certe impetum Vandali non sustinuerunt, at soluta acie, abiectaque omni virtutis cogitatione, ad unum turpiter deleti sunt.

19. Nos vero rei gestae prorsus ignari, Decimum petebamus: quando locum castris idoneum, qui inde stadiis xxxv. distabat, nactus Belisarius, eum optime vallavit, omnique peditatu hic collocato, atque universo convocato exercitu, ita dixit. *Adest, commilitones, adest dimicationis tempus: hostem audio appropinquare, dum situs loci classem a nobis longissime amotam distinet. Quare in manibus nostris residet salutis spes: urbs enim nulla amica nobis, nullum est munimentum, cuius fiducia freti simus. At si rem fortiter geramus, adversarios, ut proximum vero est, debellabimus: sin remisse ac molliter, nos a Vandalis victos miserrimus interitus manet. Quamquam nobis multa ad victoriam instrumenta suppetunt: in primis aequitas causae, qua nisi hostem invadimus, nostra videlicet recepturi: deinde odium, quo Vandali a suo tyranno dissident. Unde autem stat ius, inde etiam Deus stare solet, et*

τὰ δίκαια προτεινομένοις προσγίνεσθαι πέφυκε καὶ στρατιώτης
V 375 τῷ κρατοῦντι δύσνους ἀνδραγαθίζεσθαι οὐκ ἐπίσταται. χωρὶς
B δὲ τούτων ἡμεῖς μὲν Πέρσαις τε καὶ Σκύθαις τὸν ἅπαντα ὡμιλήσαμεν χρόνον, οἱ δὲ Βανδίλοι, ἐξ ὅτου Λιβύης ἐκράτησαν, οὐδένα πολέμιον ὅτι μὴ γυμνοὺς Μαυρουσίους τεθέανται. τίς δὲ οὐκ οἶδεν ὡς ἔργου παντὸς μελέτη μὲν ἐς ἐμπειρίαν, ἀργία δὲ ἐς ἀμαθίαν φέρει; τὸ μὲν χαράκωμα οὖν, ὅθεν ἡμᾶς τὸν πόλεμον διαφέρειν δεήσει, ὡς ἄριστα ἡμῖν πεποιῆσθαι ξυμβαίνει. πάρεστι δὲ ἡμῖν τά τε ὅπλα καὶ τἄλλα πάντα, ὅσα φέρειν οὐχ οἷοί τε ἐσμὲν, ἐνταῦθα καταθεμένοις ἰέναι, καὶ ἀναστρέψαντας ἂν ἐνθάδε ἡμᾶς τῶν ἐπιτηδείων οὐδὲν ἐπιλείποι. εὔχομαι δὲ ὑμῶν ἕκαστον τῆς τε οἰκείας ἀρετῆς καὶ τῶν κατὰ τὸν οἶκον ἀναμνησθέντα οὕτω δὴ καταφρονήματι ἐπὶ τοὺς πολεμίους χωρεῖν."

C Τοσαῦτα εἰπὼν Βελισάριος καὶ ἐπευξάμενος τήν τε γυναῖκα καὶ τὸ χαράκωμα τοῖς πεζοῖς ἀπολιπὼν αὐτὸς μετὰ τῶν ἱππέων ἁπάντων ἐξήλασεν. οὐ γάρ οἱ ἐφαίνετο ἐν τῷ παρόντι ξύμφορον εἶναι τῷ παντὶ διακινδυνεῦσαι στρατῷ, ἀλλὰ ξὺν τοῖς ἱππεῦσι πρῶτον ἀκροβολισαμένῳ καὶ ἀποπειρασαμένῳ τῆς τῶν πολεμίων δυνάμεως οὕτω δὴ τῷ ὅλῳ στρατεύματι διαμάχεσθαι. στείλας οὖν ἔμπροσθεν τοὺς τῶν φοιδεράτων ἄρχοντας, σὺν τῷ ἄλλῳ στρατῷ καὶ τοῖς οἰκείοις δορυφόροις τε καὶ ὑπασπισταῖς αὐτὸς εἵπετο. ἐπεὶ δὲ οἱ φοιδερᾶτοι ξὺν τοῖς ἡγεμόσιν ἐγένοντο ἐν τῷ Δεκίμῳ, ὁρῶσι τοὺς τῶν πεπτωκότων νεκροὺς, δώδεκα μὲν ἑταίρους τῶν μετὰ Ἰωάννου, πλησίον δὲ αὐτῶν Ἀμμάταν καὶ

6. οἶδεν L. εἶδεν P. 22. οἱ φοιδερᾶτοι] φοιδεράτοι P.

miles erga principem male animatus exercere virtutem nescit. Praeterea cum Scythis ac Persis rem semper habuimus: Vandali, ex quo Africam obtinuere, hostem, praeter Mauros nudos, nullum viderunt. Quem vero fugit, in quovis opere exercitatione gigni peritiam, segnitie inscitiam confirmari? Porro vallum, unde nobis ad bellum exeundum erit, optime communivimus. Repositis hic armamentis caeterisque inhabilibus ad ferendum, erumpere commode possumus: huc reversis nihil rei cibariae deerit. Faxit deus ut quisque vestrum suae virtutis ac domesticae laudis memor, hostem generose contemptum invadat.

Haec effatus precatusque Belisarius, cum uxorem et castra peditum fidei commisisset, ipse omnem equitatum eduxit. Neque enim expedire tum visum est collatis viribus periclitari, sed prius equestri velitatione tentandum quid posset hostis, ac demum tota opum vi pugnandum censuit. Ergo praemissis foederatorum ducibus, ipse cum reliquis turmis suoque satellitio sequebatur. Ubi Decimum foederati cum suis ducibus attigere, caesos vident eorum, quos Ioannes ducebat, sodales XII. iuxtaque hos Ammatam et Vandalos aliquot. Rem gestam edocti plane ab in-

Βανδίλων τινάς. παρὰ δὲ τῶν ταύτῃ ᾠκημένων τὸν πάντα λό- D
γον ἀκούσαντες ἤσχαλλον, ἀπορούμενοι ὅπῃ αὐτοῖς χωρητέα εἴη. ἔτι δὲ αὐτῶν ἀπορουμένων καὶ ἀπὸ τῶν λόφων ἅπαντα περισκοπουμένων τὰ ἐκείνῃ χωρία, κονιορτός τε ἀπὸ μεσημβρίας ἐφαίνετο καὶ μικρὸν ὕστερον Βανδίλων ἱππέων πάμπολυ χρῆμα. καὶ πέμπουσι μὲν ὡς Βελισάριον, ὡς τάχιστα ἥκειν αἰτοῦντες, ἅτε δὴ σφίσιν ἐγκειμένων τῶν πολεμίων. τῶν δὲ ἀρχόντων αἱ γνῶμαι δίχα ἐφέροντο. οἱ μὲν γὰρ ἠξίουν τοῖς ἐπιοῦσιν ὁμόσε ἰέναι, οἱ δὲ οὐκ ἀξιόχρεων σφίσιν ἐς τοῦτο ἔφασκον εἶναι τὴν δύναμιν. ταῦτα δὲ αὐτοῖς ἐς ἀλλήλους φιλονεικοῦσιν οἱ βάρβαροι ἀγχοῦ ἐγένοντο, ἡγουμένου αὐτοῖς Γελίμερος καὶ ὁδῷ χρησαμένου μεταξὺ ἧς τε Βελισάριος εἶχε καὶ ἧς οἱ Μασσαγέται ἧκον οἱ Γιβαμούνδῳ συμμίξαντες. λοφώδεις δὲ χῶροι ἐφ᾽ ἑκατέροις ὄντες οὔτε τὸ Γιβαμούνδου πάθος ἰδεῖν οὔτε τὸ Βελισαρίου χαράκωμα P 222
ξυνεχώρησαν, οὐ μὴν οὐδὲ τὴν ὁδόν, ἣν οἱ ἀμφὶ Βελισάριον ἐπορεύοντο. ἐπεὶ δὲ ἀγχοῦ ἀλλήλων γεγόνασιν, ἔρις στρατιᾷ ἑκατέρᾳ ἐνέπεσεν, ὁπότεροι τοῦ πάντων ὑψηλοτάτου τῶν ἐκείνῃ λόφων κρατήσουσιν. ἐδόκει γὰρ ἐνστρατοπεδεύσασθαι ἐπιτήδειος εἶναι, καὶ αὐτοὶ ἑκάτεροι ἐνθένδε ᾕρουντο τοῖς πολεμίοις ἐς χεῖρας ἰέναι. προτερήσαντες δὲ οἱ Βανδίλοι τόν τε λόφον καταλαμβάνουσιν ὠθισμῷ χρησάμενοι καὶ τρέπονται τοὺς πολεμίους, ἤδη φοβεροὶ αὐτοῖς γεγονότες. φεύγοντες δὲ Ῥωμαῖοι ἐς χωρίον ἀφικνοῦνται σταδίους ἑπτὰ τοῦ Δεκίμου ἀπέχον, ἔνθα δὴ Οὐλίαριν τὸν Βελισαρίου δορυφόρον ξὺν ὑπασπισταῖς ὀκτακοσίοις τετύχη-

14. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

colis, secum indignabantur, ignari quo tenderent. Hoc in aestu, dum ex editis tumulis omnem viciniam circumspiciunt, apparet ad australem plagam pulveris nebula, mox et ingens Vandalorum equitum numerus. Nec mora: Belisario mittunt, ut imminente iam hoste advolet. Ducum sententiae bifariam scissae erant: cum hi Vandalo occurrere adventanti vellent, illi satis virium sibi esse negarent. Inter has altercationes, appropinquabant Barbari, duce Gelimere, viam insistente mediam inter Belisarium et Massagetas, qui Gibamundum congressu fuderant. At crebri utrinque tumuli non modo cladis Gibamundi prospectum eripiebant, sed castrorum etiam Belisarii, immo et viae, qua hic pergebat. Ut in proximo fuerunt geminae acies, certatim aspirarunt ad collem, qui omnium maxime eminebat, et sedem castris commodam offerre videbatur: unde etiam utrisque deliberatum erat hostem impetere. Verum praegressi Vandali fastigium occupant, et adversarios trudendo in fugam vertunt, iam terrore illis incusso. Fugientes Romani procul Decimo stadiis VII. eo perveniunt, ubi cum scutigeris DCCC. erat Uliaris stipator hastatus Belisarii. Nemo non sibi persuadebat Uliarin, ubi illos rece-

B κεν εἶναι. πάντες δὲ ᾤοντο ὡς σφᾶς οἱ ἀμφὶ τὸν Οὐλίαριν δε-
ξάμενοι στήσονταί τε καὶ ξὺν αὐτοῖς ὁμόσε ἐπὶ τοὺς Βανδίλους
χωρήσουσιν· ἀλλ' ἐπεὶ ἅμα ἐγένοντο, παρὰ δόξαν ἤδη ξύμπαν-
τες ἀνὰ κράτος τε ἔφευγον καὶ δρόμῳ τὴν ἐπὶ Βελισάριον ᾔεσαν.
Ἐνθένδε οὐκ ἔχω εἰπεῖν ὅ τί ποτε παθὼν Γελίμερ, ἐν ταῖς
H 115 χερσὶν ἔχων τὸ τοῦ πολέμου κράτος, ἐθελούσιος αὐτὸ τοῖς πολε-
μίοις μεθῆκε, πλὴν εἰ μὴ ἐς τὸν θεὸν καὶ τὰ τῆς ἀβουλίας ἀνα-
φέρειν δεήσει, ὃς, ἡνίκα τι ἀνθρώπῳ ξυμβῆναι βούλεται φλαῦ-
ρον, τῶν λογισμῶν ἁψάμενος πρῶτον οὐκ ἐᾷ τὰ ξυνοίσοντα ἐς
βουλὴν ἔρχεσθαι. εἴτε γὰρ τὴν δίωξιν εὐθυωρὸν ἐποιήσατο,
C οὐδ' ἂν αὐτὸν ὑποστῆναι Βελισάριον οἶμαι, ἀλλ' ἄρδην ἅπαντα
ἡμῖν διαφθαρῆναι τὰ πράγματα· τοσοῦτον δὴ τό τε τῶν Βανδί-
λων πλῆθος τό τε αὐτῶν κατὰ Ῥωμαίων δέος ἐφαίνετο· εἴτε καὶ
Καρχηδόνος εὐθὺ ἤλασε, τούς τε ξὺν Ἰωάννῃ εἰπετῶς ἂν ἅπαν-
τας ἔκτεινεν, οἵ γε κατὰ ἕνα καὶ δύο ἀφροντιστήσαντές τε καὶ
περιπάτους ἐν τῷ πεδίῳ ποιούμενοι τοὺς κειμένους ἐσύλων. καὶ
τὴν πόλιν ξὺν τοῖς χρήμασι διασωσάμενος τῶν τε ἡμετέρων νεῶν
V 376 οὐ πόρρω ἀφικομένων ἐκράτει καὶ ὅλην ἡμῖν ἀνέστελλε τοῦ τε
ἀπόπλου καὶ τῆς νίκης ἐλπίδα. ἀλλὰ γὰρ ἔπραξε τούτων οὐδέ-
τερα. βάδην δὲ κατιὼν ἐκ τοῦ λόφου, ἐπεὶ ἐν τῷ ὁμαλεῖ ἐγέ-
νετο καὶ τἀδελφοῦ τὸν νεκρὸν εἶδεν, ἔς τε ὀλοφύρσεις ἐτράπετο
D καὶ τῆς ταφῆς ἐπιμελόμενος οὕτω δὴ τοῦ καιροῦ τὴν ἀκμὴν ἠμ-

7. ἐς L. εἰς P. 8. ξυμβῆναι βούλεται] βούληται ξυμβαίνειν Hm. „βούληται Reg." Malt. 15. τε om. A. 21. εἶδεν L. οἶδεν P.

pisset, staturum, quin etiam coniuncte processurum in Vandalos. At statim ut permisti sunt, praeter opinionem arrepta fuga, quantum pedibus valebant, recta omnes ad Belisarium contenderunt.

Quid causae deinde fuerit cur Gelimer, cum victoriam haberet in manibus, eam hosti sponte dimiserit, explicare non queo: nisi dicam ipsam quoque imprudentiam referendam ad deum esse, qui casum alicui adversum destinans, prius mentem illius praepedit, nec utile consilium inire sinit. Ille certe si protinus insecutus esset fugientes, cessisset ipse, meo quidem iudicio, Belisarius, resque omnes nostrae pessum ivissent: tantus Vandalorum exercitus, tanta Romanorum trepidatio esse videbatur. Quod si etiam recta Carthaginem properasset, eos, qui cum Ioanne erant, facile delevisset, cum vel singuli separate, vel bini simul spatiarentur in campo securi, et quos straverant, spoliarent. Quin urbe et gaza servatis, haud longe positas naves nostras cepisset, spemque omnem cum navigationis tum victoriae nobis incidisset. At neutrum fecit. Nam colle in planitiem pedetentim degressus, conspecto fratris cadavere, se ad lamenta convertit, tempusque et curam ponens in eo tumulando, occasionem excidere passus est, quam arripere nunquam am-

βλυνεν, ἧς γε οὐκέτι ἀντιλαβέσθαι ἐδύνατο. τοῖς δὲ φεύγουσι Βελισάριος ἀπαντήσας στῆναι κελεύει, κοσμίως τε ἅπαντας διατάξας καὶ πολλὰ ὀνειδίσας, ἐπειδὴ τήν τε Ἀμμάτα τελευτὴν ἤκουσε καὶ τὴν Ἰωάννου μεμάθηκε δίωξιν καὶ περὶ τοῦ χωρίου καὶ τῶν πολεμίων ἐπύθετο ὅσα ἐβούλετο, δρόμῳ ἐπὶ Γελίμερά τε καὶ Βανδίλους ἐχώρει. οἱ δὲ βάρβαροι ἄτακτοί τε καὶ ἀπαράσκευοι ἤδη γεγονότες ἐπιόντας αὐτοὺς οὐχ ὑπέμειναν, ἀλλὰ φεύγουσιν ἀνὰ κράτος, πολλοὺς ἐνταῦθα ἀποβαλόντες, καὶ ἡ μάχη ἐτελεύτα ἐς νύκτα. ἔφευγον δὲ οἱ Βανδίλοι οὐκ ἐς Καρ- P 223
χηδόνα οὐδὲ ἐς Βυζάκιον, ὅθενπερ ἧκον, ἀλλ' ἐπὶ τὸ Βούλλης πεδίον καὶ τὴν ἐς Νουμίδας ὁδὸν φέρουσαν. οἱ μὲν οὖν ἀμφὶ τὸν Ἰωάννην καὶ οἱ Μασσαγέται περὶ λύχνων ἀφὰς ἐς ἡμᾶς ἀναστρέψαντες καὶ ἅπαντα τὰ ξυμβεβηκότα μαθόντες τε καὶ ἀγγείλαντες ξὺν ἡμῖν ἐν Δεκίμῳ διενυκτέρευσαν.

κ'. Τῇ δὲ ὑστεραίᾳ τῶν πεζῶν ἅμα τῇ Βελισαρίου γυναικὶ B
παραγενομένων ξύμπαντες τὴν ἐπὶ Καρχηδόνα ἐπορευόμεθα, ἔνθα δὴ περὶ δείλην ὀψίαν ἥκοντες ηὐλισάμεθα, καίτοι ἐκώλυεν οὐδεὶς ἐς τὴν πόλιν αὐτίκα ἐσελάσαι. οἵ τε γὰρ Καρχηδόνιοι τὰς πύλας ἀνακλίναντες λύχνα ἔκαιον πανδημεὶ καὶ ἡ πόλις κατελάμπετο τῷ πυρὶ τὴν νύκτα ὅλην ἐκείνην, καὶ τῶν Βανδίλων οἱ ἀπολελειμμένοι ἐν τοῖς ἱεροῖς ἱκέται ἐκάθηντο. ἀλλὰ Βελισάριος διεκώλυσε τοῦ μήτε ἐνέδραν σφίσι πρὸς τῶν πολεμίων γενέσθαι μήτε τοῖς στρατιώταις ἄδειαν εἶναι, ἅτε ἐν νυκτὶ λανθάνουσιν,

10. Βούλλης] Vulgo Βούλης. Bulae RV. Conf. p. 232 a. 233 b. 272 b.

plius potuit. Fugientibus factus obviam Belisarius, sistere iubet, tum omnibus ordinatis graviterque increpitis, ubi caesum Ammatam, et Ioannem Barbaros insecutum audivit, deque locorum situ ac rebus hostium quidquid scire avebat, comperit, in Gelimerem Vandalosque incurrit. Nec iam impetum sustinuerunt incompositi atque imparati Barbari, sed effuse omnes fugerunt, et multa eorum edita caede, nox pugnam diremit. Caeterum Vandali non Carthaginem nec Byzacium versus, unde venerant, sed ad planitiem Bulae et viam, quae in Numidiam ducit, fugam intenderunt. Sub noctem, quando lumina accendi solent, Ioannes et Massagetae ad nos reversi, cum et successus nostros accepissent, et suos narrassent, nobiscum apud Decimum pernoctarunt.

20. Postero die peditatus cum uxore Belisarii affuit: tum Carthaginem omnes ire perreximus: quo postquam pervenimus vesperi, nocturnae quieti locum cepimus extra urbem, quamvis nemo, quominus illico ingrederemur, obstaret. Et vero Carthaginienses, reseratis portis, ubique publice lychnos incenderant, totaque ea nocte urbs ignibus colluxit: dum residui Vandali in templis supplices iacebant. Sed ingredi vetuit Belisarius, veritus ne quid insidiarum subesset, neu militi expilandi li-

ἐς ἁρπαγὴν τρέπεσθαι. ταύτῃ τῇ ἡμέρᾳ αἱ νῆες, εὖρον σφίσιν
C ἀνέμου ἐπιπεσόντος, ἐς τὴν ἄκραν ἀφίκοντο. καὶ οἱ Καρχηδό-
νιοι, ἤδη γὰρ αὐτὰς καθεώρων, τὰς σιδηρᾶς ἁλύσεις τοῦ λιμέ-
νος, ὃν δὴ Μανδράκιον καλοῦσιν, ἀφελόμενοι, εἰσιτητὰ τῷ
στόλῳ ἐποίουν. ἔστι δὲ ἐν τῇ βασιλέως αὐλῇ οἴκημα σκότους
ἀνάπλεων, ὃ δὴ Ἀγκῶνα καλοῦσι Καρχηδόνιοι, ἔνθα ἐνεβάλλον-
το ἅπαντες οἷς ἂν χαλεπαίνοι ὁ τύραννος. ἐνταῦθα καθειργμέ-
νοι ἐτύγχανον πολλοὶ τῶν ἑῴων ἐμπόρων ἐς ἐκεῖνο τοῦ χρόνου.
τούτοις γὰρ δὴ ὁ Γελίμερ χαλεπῶς εἶχεν, ἐπικαλῶν ὡς δὴ αὐτοὶ
βασιλέα ἐς τὸν πόλεμον ἐναγάγοιεν, ἔμελλόν τε διαφθαρῆναι πάν-
D τες, δόξαν τοῦτο τῷ Γελίμερι ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ Ἀμμάτας ἐν
Δεκίμῳ ἀπέθανε· παρὰ τοσοῦτον κινδύνου ἦλθον. τούτου ὁ
δεσμοφύλαξ τοῦ δεσμωτηρίου, ἐπεὶ τά τε ἐν Δεκίμῳ πραχθέντα
ἤκουσε καὶ τὸν στόλον εἶδε τῆς ἄκρας ἐντός, ἐσελθὼν ἐς τὸ οἴ-
κημα πυνθάνεται τῶν ἀνδρῶν, οὔπω ἀγαθὰ πεπυσμένων, ἀλλ'
ἐν τῷ σκότῳ καθημένων καὶ καραδοκούντων τὸν θάνατον, τί
ποτε ἄρα βουλομένοις ἂν αὐτοῖς εἴη τῶν ὑπαρχόντων προεμένοις
σεσῶσθαι. τῶν δὲ ἅπαντα αἱρουμένων διδόναι ἃ βούλοιτο, ἄλλο
μὲν οὐδὲν ᾔτει τῶν πάντων χρημάτων, ἠξίου δὲ ἅπαντας ὀμό-
P 224 ναι ὡς, ἢν διαφύγοιεν, καὶ αὐτῷ ἐν κινδύνοις γενησομένῳ ξυλλή-
ψονται ὅση δύναμις. οἱ μὲν οὖν κατὰ ταῦτα ἐποίουν. ὁ δὲ
τόν τε λόγον ἅπαντα ἔφραζε καὶ σανίδα ἐκ τοῦ πρὸς θάλασσαν

4. Μανδράκιον] μαδράκιον H. 6. ἀνάπλεων Suidas s. v. ἀγκών. Vulgo ἀνάπλεον. ibid. Ἀγκῶνα] ἀγκῶνας Suidas. ibid. ἐνεβάλλοντο Suidas. Vulgo ἐνεβάλοντο. 8. χρόνου] καιροῦ posuit Suidas ubi haec suis verbis reddit. 9. τούτοις] τούτους H: illud Hm. 11. τοῦτο] τούτῳ HL.

centiam nox praeberet, ipsum tegendo. Ea die naves secundo euro promontorium attigere. Ubi illas prospexere Carthaginienses, portus, quem Mandracium vocant, sublatis catenis ferreis, classi receptum offerebant. Est in Regia tenebricosum ergastulum (Anconem Carthaginienses appellant) quo tyrannus sibi invisum quemque compingebat. Ibi multi institores Orientales tunc temporis attinebantur, offenso ipsis Gelimere, quod, ut aiebat, Imperatorem ad bellum induxissent. Extremum illis supplicium impendebat, iam a Gelimere eo die decretum, quo Ammatas ad Decimum oppetierat: tantum fuit eorum periculum. At postquam res ad Decimum gestas audivit carceris custos, et classem cis promontorium vidit, ingressus ergastulum, vinctos, qui prosperae suorum fortunae adhuc ignari sedebant in tenebris, ac supremam horam trepide expectabant, interrogat quo pretio redimere salutem vellent? Illis quodcunque ipsi esset collibitum pollicentibus, nihil omnino pecuniae, sed unum hoc petiit, iureiurando promitterent, si incolumes dimitterentur, periclitanti sibi pro virili parte affuturos. Quam conditionem amplexis, quo res loco

ἀφελὼν μέρους προσιόντα τὸν στόλον ἀπέδειξε, τῆς τε εἱρκτῆς ἀφεὶς ἅπαντας ξὺν αὐτοῖς ᾔει.

Οἱ δὲ ἐν ταῖς ναυσὶν ὄντες, οὔπω τι ἀκηκοότες ὧν ἐν τῇ γῇ ὁ στρατὸς ἔδρασε, διηποροῦντο, καὶ τὰ ἱστία χαλάσαντες ἔς τε τὸ Μερκούριον πέμψαντες τὰ ἐν Δεκίμῳ πραχθέντα ἔμαθον, καὶ περιχαρεῖς γενόμενοι ἔπλεον. ἐπεὶ δὲ τοῦ πνεύματος V 377 σφίσιν ἐπιφόρου ὄντος ἀπὸ σταδίων πεντήκοντα καὶ ἑκατὸν Καρχηδόνος H 116 ἐγένοντο, Ἀρχέλαος μὲν καὶ οἱ στρατιῶται αὐτοῦ ὁρμίσασθαι ἐκέλευον, τὴν τοῦ στρατηγοῦ δεδιότες πρόρρησιν, οἱ δὲ B ναῦται οὐκ ἐπείθοντο. τήν τε γὰρ ἐκείνῃ ἀκτὴν ἀλίμενον ἔφασκον εἶναι καὶ χειμῶνα ἐπίσημον αὐτίκα μάλα γενήσεσθαι ἐπίδοξον εἶναι, ὃν δὴ οἱ ἐπιχώριοι Κυπριανὰ καλοῦσι. προὔλεγόν τε ὡς, εἰ ἐνταῦθα σφίσιν ἐπιγένηται, οὐδ' ἂν τῶν νεῶν μίαν διασώσασθαι δυνατοὶ εἶεν. καὶ ἦν δὲ οὕτως. ἐν βραχεῖ οὖν τά τε ἱστία χαλάσαντες καὶ βουλευσάμενοι, τοῦ μὲν Μανδρακίου πειράσασθαι οὐκ ᾤοντο χρῆναι (τάς τε γὰρ Βελισαρίου ἐντολὰς ὑπεστέλλοντο καὶ ἅμα τὴν ἐς τὸ Μανδράκιον εἴσοδον ταῖς ἁλύσεσιν ἀποκεκλεῖσθαι ὑπώπτευον, ἄλλως τε καὶ τῷ παντὶ στόλῳ τὸν λιμένα ἐκεῖνον οὐχ ἱκανὸν εἶναι), τὸ δὲ Στάγνον ἐφαίνετο σφίσιν ἐν καλῷ κεῖσθαι (μέτρῳ γὰρ τεσσαράκοντα σταδίων Καρχηδόνος C διέχει) ἐμπόδιόν τε οὐδὲν ἐν αὐτῷ εἶναι καὶ πρὸς τὸν στόλον ἅπαντα ἱκανῶς πεφυκέναι. ἔνθα δὴ ἀφικόμενοι περὶ λύχνων ἁφὰς ὡρμίσαντο πάντες, πλήν γε δὴ ὅτι Καλώνυμος, ἅμα τῶν

1. μέρους] μέρος H: μέρους Hm. 8. ὁρμίσασθαι L. ὁρμήσασθαι P. 15. χαλάσαντες] χαλάσαντας A.

essent exposuit, avulsoque assere, unde ad mare prospectus erat, classem accedentem ostendit: mox effuso carcere, cum ipsis abiit.

At classiarii, nondum auditis quae expositae in terram copiae fecerant, pendebant animi. Quare contractis velis, ad oppidum Mercurii mittunt: unde accepto rerum, quae apud Decimum contigerant, nuntio, laetissimi navigarunt. Provecti secundo vento, cum iam Carthagine stadiis centum et quinquaginta abessent, Belisarii mandatum reveriti Archelaus et milites, ad proximum littus applicare iubebant. Refragabantur nautae, asseverantes illud esse importuosum, ac, nisi mentiretur communis opinio, insignem illam tempestatem, quae Cypriana ab indigenis dicitur, imminere: hac si ibi deprehenderentur, fieri non posse, ut vel unam navim servarent: idque verum erat. Igitur demissis momento velis, reque in deliberationem vocata, tentandum non esse aditum in Mandracium censuere: tum ut Belisario obtemperarent, tum quia Mandracii ostium catenis clausum, nec portum universae classis capacem existimabant. At stagnum commode situm ipsis videbatur: quippe quod Carthagine stadiis XL. distaret, nullum haberet obicem, et omni classi sufficeret. Eo illati luminibus accensis, applicuerunt omnes, praeter Calony-

ναυτῶν τισι, τοῦ τε στρατηγοῦ ἀφροντιστήσας καὶ τῶν ἄλλων πάντων ἐς τὸ Μανδράκιον λάθρα ἐπέβη, οὐδενὸς κωλῦσαι τολμήσαντος, καὶ χρήματα τῶν ἐπὶ θαλάσσῃ ᾠκημένων ξένων τε καὶ Καρχηδονίων ἐμπόρων διήρπασε.

Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ Βελισάριος τούς τε ἐν ταῖς ναυσὶ τὴν ἀπόβασιν ἐκέλευε ποιεῖσθαι καὶ ὅλον διακοσμήσας τὸ στρά-
D τευμα, διατάξας τε ὡς ἐς μάχην ἐπὶ Καρχηδόνα ἐσήλαυνεν· ἔδεισε γὰρ μή τίς οἱ ἐνέδρα πρὸς τῶν πολεμίων ὑπαντιάσῃ. ἔνθα δὴ πολλὰ μὲν τοὺς στρατιώτας ὑπέμνησεν, ἡλίκα σφίσιν εὐτυχήματα γένοιτο, ἐπειδὴ σωφροσύνην ἐς Λίβυας ἐπεδείξαντο, πολλὰ δὲ παρῄνεσε τὴν εὐκοσμίαν ἐν Καρχηδόνι ὡς μάλιστα διασώσασθαι. Ῥωμαίους γὰρ τὸ ἀνέκαθεν ὄντας Λίβυας ἅπαντας γενέσθαι τε ὑπὸ Βανδίλοις οὔτι ἐθελουσίους καὶ πολλὰ πεπονθέναι πρὸς ἀνδρῶν βαρβάρων ἀνόσια. διὸ δὴ καὶ βασιλέα ἐς πόλεμον καταστῆναι Βανδίλοις, εἶναί τε οὐχ ὅσιον ξυμβῆναί τι πρὸς αὐτῶν ἄχαρι ἐς ἀνθρώπους, ὧν τὴν ἐλευθερίαν ὑπόθεσιν ποιησάμενοι ἐπὶ Βανδίλους ἐστράτευσαν. τοσαῦτα παραινέσας ἔς τε Καρ-
P 225 χηδόνα εἰσῆλθε καί, ἐπεὶ πολέμιον οὐδὲν σφίσιν ἐφαίνετο, ἐς τὸ παλάτιον ἀναβὰς ἐν τῷ Γελίμερος θρόνῳ ἐκάθισεν. ἐνταῦθα ἐντυχόντες πολλῇ κραυγῇ Βελισαρίῳ ἐμπόρων τε πλῆθος καὶ ἄλλοι Καρχηδόνιοι, ὅσοις ἐπιθαλάσσια τὰ οἰκήματα τετύχηκεν εἶναι, ᾐτιῶντο ἁρπαγὴν σφίσι τῶν ὑπαρχόντων τῇ προλαβούσῃ νυκτὶ πρὸς τῶν ναυτῶν ξυμβῆναι. ὁ δὲ Καλώνυμον ὅρκοις κα-

2. ἐπέβη] ἀπέβη L. 5. ἐπιγενομένῃ] ἐπιγινομένῃ LHm. 12. Ῥωμαίους γὰρ] γὰρ post Λίβυας HL.

mum, qui cum aliquot nautis, nulla Magistri militum, nulla caeterorum omnium habita ratione, clam Mandracium subiit, nemine offerre moram audente, et mercatores, cum exteros, tum Carthaginienses, qui propter mare habitabant, pecuniis spoliavit.

Insequenti die Belisarius exscensum classiariis imperat, et adornato universo exercitu, neque aliter quam ad pugnam disposito, insidiarum hostilium metu id suadente, iter Carthaginem versus dirigit. Ubi proxime ventum est, multus fuit in commemorandis militi successibus prosperis, quos exhibita Afris moderatio peperisset: plurimum hortatus est, ut disciplinam, praesertim Carthagine, servarent ac meminissent olim Afros, cum omnes essent Romani, invitos iugum Vandalicum subiisse, et a Barbaris iniquissime fuisse habitos; propterea Imperatorem arma movisse: nefas esse molestiam illis facessere, quorum libertatis causa bellum hoc suscepissent. Hac usus cohortatione, Carthaginem ingreditur, ac nihil usquam hostile nactus, palatium ascendit, ubi sedit in Gelimeris solio. Huc mercatores aliique Carthaginienses, quorum aedes mare praetexebant, facto agmine, vociferantes conveniunt Belisarium, seque a nautis superiori nocte expilatos queruntur. Ille Calonymum iureiurando obstrin-

ταλαμβάνει ἦ μὴν ἅπαντα ἐς τὸ ἐμφανὲς ἐνεγκεῖν τὰ φώρια. Καλώνυμος δὲ ὀμόσας τε καὶ τὰ ὀμωμοσμένα ἐν ἀλογίᾳ ποιησάμενος τὸ μὲν παραυτίκα τὰ χρήματα ἐληίσατο, χρόνῳ δὲ οὐ πολλῷ ὕστερον τὴν δίκην ἔτισεν ἐς Βυζάντιον. νόσῳ γὰρ ἁλοὺς τῇ καλουμένῃ ἀποπληξίᾳ καὶ τῶν φρενῶν ἔξω γενόμενος, τῆς τε γλώσσης ἀποτραγὼν τῆς αὑτοῦ, εἶτα ἀπέθανεν. ἀλλὰ ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.

κα΄. Τότε δὲ Βελισάριος, ἐπεὶ ὁ καιρὸς ἐς τοῦτο ἦγεν, B ἄριστον σφίσιν ἐκέλευε γενέσθαι, οὗ δὴ Γελίμερ τοὺς τῶν Βανδίλων ἡγουμένους ἑστιᾶν εἰώθει. Δέλφικα τὸν τόπον καλοῦσι Ῥωμαῖοι, οὐ τῇ σφετέρᾳ γλώσσῃ, ἀλλὰ κατὰ τὸ παλαιὸν ἑλληνίζοντες. ἐν παλατίῳ γὰρ τῷ ἐπὶ Ῥώμης, ἔνθα ξυνέβαινε στιβάδας τὰς βασιλέως εἶναι, τρίπους ἐκ παλαιοῦ εἱστήκει, ἐφ᾽ οὗ δὴ τὰς κύλικας οἱ βασιλέως οἰνοχόοι ἐτίθεντο. Δέλφικα δὲ τὸν V 378 τρίποδα καλοῦσι Ῥωμαῖοι, ἐπεὶ πρῶτον ἐν Δελφοῖς γέγονε, καὶ ἀπ᾽ αὐτοῦ ἔν τε Βυζαντίῳ καὶ ὅπῃ βασιλέως εἶναι στιβάδα ξυμ- C βαίνει Δέλφικα τοῦτο καλοῦσι τὸ οἴκημα, ἐπεὶ καὶ τὰ βασιλέως οἰκία παλάτιον ἑλληνίζοντες καλοῦσι Ῥωμαῖοι. Πάλλαντος γὰρ ἀνδρὸς Ἕλληνος ἐν τούτῳ τῷ χωρίῳ οἰκήσαντος πρὸ Ἰλίου ἁλώσεως, οἰκίαν τε λόγου ἀξίαν ἐνταῦθα δειμαμένου, παλάτιον μὲν τὸ οἴκημα τοῦτο ἐκάλουν, ἐπεὶ δὲ τὴν αὐτοκράτορα παραλαβὼν ἀρχὴν Αὔγουστος ἐνταῦθα καταλύειν τὸ πρῶτον ἔγνω, παλάτιον ἀπ᾽ αὐτοῦ καλοῦσι τὸ χωρίον οὗ ἂν βασιλεὺς καταλύοι. ἐν Δέλ- D

4. ἐς Βυζάντιον] ἀφικόμενος addebat Maltretus. 18. Πάλλαντος] πάλαντος H. 20. τε L. δὲ P.

git ut bona fide in medium proferat quidquid raptum est. Iuravit Calonymus, et periurio pecunias tum quidem abstulit: verum aliquanto post Byzantii poenas luit. Nam apoplexia correptus, et alienatus mente, abesa dentibus lingua, animam edidit. Sed haec postea.

21. Hora prandii iam appetente, id Belisarius instrui sibi iussit, ubi Gelimer convivio principes Vandalorum excipere consueverat. Eum locum Romani Delphicam, non utique Latino, sed Graeco vocabulo ex antiquitate petito, nominant. Siquidem in ea parte Romani palatii, ubi epulares tori Imperatoris erant, stabat ab aevo tripus, in quo Caesarei pincernae calices reponebant. Tripodem autem, quia Delphis primum est visus, Delphicam Romani vocant. Hinc mos deductus, ut Byzantii et ubicumque Caesareum accubitum est, coenaculum Delphica appelletur. Similiter Graecam habet originem nomen palatii, quo Regiam Romani donant. Cum enim Pallas, ortu Graecus, ibi sedem ante excidium Ilii fixisset, condita ab ipso domus magnifica palatium dicta fuit. Ex quo autem potitus rerum Caesar Augustus eamdem sibi legit habitationem, ubicumque est domicilium principis, palatium nuncupatur. Ergo Belisarius in Delphica epulatus est cum exercitus nobilitate. Ac pridie qui-

φικι τοίνυν Βελισάριός τε ἤσθιε καὶ εἴ τι ἐν τῷ στρατεύματι δό-
κιμον ἦν. τετύχηκε δὲ τῇ προτεραίᾳ τῷ Γελίμερι γεγονὸς ἄρι-
στον ἐν παρασκευῇ εἶναι. καὶ ταῖς τε βρώσεσιν αὐταῖς εἱστιά-
H 117 θημεν ἥ τε τοῦ Γελίμερος θεραπεία παρετίθει τε καὶ ᾠνοχόει καὶ
τὰ ἄλλα ὑπούργει. παρῆν τε ἰδεῖν ὡραϊζομένην τὴν τύχην καὶ
P 226 ποιουμένην ἐπίδειξιν, ὡς ἅπαντά τε αὐτῆς εἴη καὶ οὐδὲν ἀνθρώ-
πῳ ἴδιον γένοιτο. Βελισαρίῳ δὲ ξυνηνέχθη ἐκείνῃ τῇ ἡμέρᾳ εὐ-
δοκιμῆσαι ὡς οὔτε τῶν καθ᾽ αὑτὸν οὐδενὶ πώποτε οὔτε τῳ ἄλλῳ
τῶν ἐκ παλαιοῦ γεγονότων τετύχηκε. τῶν γὰρ δὴ Ῥωμαίων στρα-
τιωτῶν οὐκ εἰωθότων θορύβου χωρὶς ἐς πόλιν κατήκοον σφίσιν
οὐδ᾽ ἂν κατὰ πεντακοσίους ἄλλως τε καὶ ἐκ τοῦ ἀπροσδοκήτου
ἰέναι, οὕτω δὴ κοσμίους ἅπαντας ὁ στρατηγὸς οὗτος τοὺς ἀρχο-
μένους παρέσχετο ὥστε οὐδὲ ὕβριν τινὰ ἢ ἀπειλὴν γενέσθαι, οὐ
μὴν οὐδέ τι ἐμπόδισμα τῇ κατὰ τὴν πόλιν ἐργασίᾳ ξυνέβη, ἀλλ᾽
B ἐν ἁλούσῃ πόλει καὶ πολιτείαν μεταβαλούσῃ καὶ βασιλείαν ἀλλα-
ξαμένῃ οὐδὲ τῶν ἀπὸ τῆς ἀγορᾶς ξυνέβη τινὸς τὴν οἰκίαν ἀποκε-
κλεῖσθαι, ἀλλ᾽ οἱ γραμματεῖς τὰ βιβλίδια γράψαντες τοὺς στρα-
τιώτας, ὥσπερ εἰώθει, ἐς τὰς οἰκίας εἰσήγαγον, αὐτοί τε ὤνιον
ἀπὸ τῆς ἀγορᾶς τὸ ἄριστον λαβόντες ὡς ἑκάστῳ ἦν βουλομένῳ
ἡσύχαζον.

Μετὰ δὲ Βελισάριος Βανδίλοις τε τοῖς ἐς τὰ ἱερὰ καταφυ-
γοῦσι πιστὰ ἐδίδου καὶ τῶν τειχῶν ἐπεμελεῖτο. ἦν γὰρ ὁ Καρ-
χηδόνιος περίβολος οὕτω δὴ ἀτημελημένος ὥστε ἐσβατὸς ἐν χώ-

8. οὔτε — οὔτε] οὐδὲ — οὐδέ P. 11. Post πεντακοσίους legebatur εἶναι. 12. ἰέναι] ἰέναι L. 15. πολιτείαν Pm. πολιτείᾳ P. 18. ἐς] εἰς L.

dem prandium apparatum Gelimeri fuerat: nobis vero placuit iisdem ipsis dapibus convivari. Quin et ministri Gelimeris fercula apponebant, infundebant pocula, et in omnibus deserviebant. Hic certe videre erat gloriantem Fortunam, ac docentem, se rerum esse omnium dominam, hominem nihil nisi precario possidere. Quo die Belisarius laudem consecutus est tantam, ut gloriam non eorum modo, qui tum vivebant, sed veterum etiam obscuraverit. Cum enim Romanis militibus solenne sit, nunquam sine tumultu urbem sibi subditam ingredi, si vel tantum quingenti sint, praesertim quando est profectio subitaria, ille suos omnes ita continuit in officio, ut nec contumeliae, nec minae usquam iactae fuerint, non impeditum civitatis commercium; sed in urbe capta, quae regimen dominumque mutaverat, tabernae usque patuerunt: scribae datis libellis hospitalibus, in domos pro more induxerunt milites; hi coemptis, quae quisque voluit, cibariis, quievere.

Post, Vandalis, qui in templa confugerant, fidem publicam Belisarius dedit, animumque ad urbis muros instaurandos adiecit, cum adeo neglecti fuissent, ut passim pervii, aditum cuivis facilem praeberent. Pars

ϱαις πολλαῖς τῷ βουλομένῳ καὶ εὐέφοδος ἐγεγόνει. μοῖρα γὰρ οὐκ ὀλίγη αὐτοῦ καταπεπτώκει καὶ διὰ τοῦτο Γελίμερα οἱ Καρχηδόνιοι ἔφασκον ἐν τῇ πόλει οὐχ ὑποστῆναι. οὐ γὰρ ἄν ποτε οἴε- C σθαι χρόνῳ ὀλίγῳ οἷόν τε εἶναι τῷ περιβόλῳ τούτῳ τὴν ἀσφάλειαν ἀνασώσασθαι. ἔλεγον δέ τι καὶ λόγιον παλαιὸν ἐν Καρχηδόνι πρὸς τῶν παιδίων ἐν τοῖς ἄνω χρόνοις εἰρῆσθαι ὡς τὸ γάμμα διώξει τὸ βῆτα, καὶ πάλιν αὐτὸ τὸ βῆτα διώξει τὸ γάμμα. καὶ τότε μὲν παίζουσιν αὐτὸ τοῖς παιδίοις εἰρῆσθαι καὶ ἀπολελεῖφθαι ἐν αἰνίγματος ἀπορουμένου μοίρᾳ, νῦν δὲ ἅπασιν ἄντικρυς φανερὸν εἶναι. πρότερόν τε γὰρ Γιζέριχος Βονιφάτιον ἐξεδίωξε καὶ τανῦν Γελίμερα Βελισάριος. τοῦτο μὲν οὖν, εἴτε φήμη τις ἦν εἴτε λόγιον, ταύτῃ ἐχώρησεν.

Τότε δὲ καὶ ὄναρ πολλοῖς μὲν πολλάκις ὀφθὲν πρότερον, D ἄδηλον δὲ γεγονὸς ὅπῃ ἐκβήσεται, ἐς φῶς ἐληλύθει. ἐτύγχανε δὲ ὂν τὸ ὄναρ τοιόνδε. Κυπριανὸν, ἅγιον ἄνδρα, μάλιστα πάντων οἱ Καρχηδόνιοι σέβονται. καὶ αὐτῷ νεών τινα λόγου πολλοῦ ἄξιον πρὸ τῆς πόλεως ἱδρυσάμενοι παρὰ τὴν τῆς θαλάσσης ᾐόνα τά τε ἄλλα ἐξοσιοῦνται καὶ ἄγουσιν ἐνιαύσιον ἑορτὴν, ἣν δὴ Κυπριανὰ καλοῦσι, καὶ ἀπ' αὐτοῦ τὸν χειμῶνα οἱ ναῦται, οὗπερ ἐγὼ ἀρτίως ἐμνήσθην, ὁμωνύμως τῇ πανηγύρει προσαγορεύειν εἰώθασιν, ἐπεὶ ἐς τὸν καιρὸν ἐπισκήπτειν φιλεῖ, ἐφ' οὗ ταύτην οἱ Λίβυες ἄγειν ἐς ἀεὶ τὴν ἑορτὴν νενομίκασι. τοῦτον οἱ Βανδίλοι τὸν νεὼν ἐπὶ Ὁνωρίχου βασιλεύοντος τοὺς Χριστιανοὺς βια-

17. ᾐόνα] ἠϊόνα P. 19. χειμῶνα] λιμένα A inter versus.

enim magna corruerat, eamque esse causam Carthaginienses dicebant, cur Gelimer se urbi non commisisset, quod non putaret muros exiguo tempore sic posse restitui, ut securitatem afferrent. Quoddam etiam vetus vaticinium repetebant, a pueris olim Carthagine in haec verba prolatum: *G fugabit B, ac rursus B fugabit G.* Ac tum quidem quod pueri ludentes iactabant, inter aenigmata perobscura locum habuit, nunc autem omnibus liquet: nam antea Gizericus Bonifacium, iam Belisarius Gelimerem exegit. Ita demum hoc cecidit, sive omen fuerit, sive vaticinium.

Patuit quoque et lucem accepit, oblatum saepe multis secundum quietem visum, cuius exitus omnes latebat: fuit autem eiusmodi. Carthaginienses D. Cypriano, quem maxime venerantur, templum clarissimum ante urbem ad littus maris posuere, et cum alia, quae ad eius cultum pertinent, rite procurant, tum solenne celebrant, quod ab ipsis dicitur Cypriana. Hoc ipsum nomen tempestati illi, cuius mentionem proxime feci, ideo nautae tribuunt, quia eo fere tempore cooriri solet, quo Afri festum hoc agere consuerunt. Templum illud Vandali, regnante Honorico, Chri-

σάμενοι ἔσχον. καὶ αὐτῶν ἐνθένδε ξὺν πολλῇ ἀτιμίᾳ τοὺς ἱερέας
P 227 εὐθὺς ἐξελάσαντες αὐτοὶ τῶν ἱερῶν τὸ λοιπὸν, ἅτε προσηκόντων
Ἀρειανοῖς, ἐπεμελοῦντο. ἀσχάλλουσιν οὖν διὰ ταῦτα καὶ δια-
πορουμένοις τοῖς Λίβυσι πολλάκις φασὶ τὸν Κυπριανὸν ὄναρ ἐπι-
σκήψαντα φάναι ἀμφ' αὐτῷ μεριμνᾶν τοὺς Χριστιανοὺς ἥκιστα
V 379 χρῆναι· αὐτὸν γάρ οἱ προϊόντος τοῦ χρόνου τιμωρὸν ἔσεσθαι.
ἐπεὶ δὲ ὁ λόγος περιφερόμενος ἐς τοὺς Λίβυας ἅπαντας ἦλθε, κα-
ραδοκεῖν μὲν αὐτοὺς τίσιν ποτέ τινα τῶν ἱερῶν τούτων ἕνεκα ἐς
τοὺς Βανδίλους ἀφίξεσθαι, οὐκ ἔχειν μέντοι τεκμηριῶσαι ὅπη
B ποτὲ αὐτοῖς ἡ τοῦ ὀνείρου ὄψις ἐκβήσεται. νῦν οὖν, ἐπειδὴ ἐς
Λιβύην ὁ βασιλέως στόλος ἀφίκετο (ἐπανιὼν γὰρ ἤδη ὁ χρόνος
τῇ ὑστεραίᾳ τὴν πανήγυριν ἀγαγεῖν ἔμελλεν), οἱ μὲν τῶν Ἀρεια-
νῶν ἱερεῖς, καίπερ Ἀμμάτα Βανδίλοις ἐς Δέκιμον ἡγησαμένου,
τό τε ἱερὸν ἐκάθηραν ἅπαν καὶ τῶν ἐνταῦθα ἀναθημάτων τὰ κάλ-
λιστα ἐκρέμων, καὶ τὰ λύχνα ἐν παρασκευῇ ποιησάμενοι τά τε
κειμήλια ἐξενεγκόντες ἐκ τῶν ταμιείων ἡτοίμαζον ἀκριβῶς ἅπαντα,
ὥς πη αὐτῶν ἕκαστον ἐς τὴν χρείαν ἔχον ἐπιτηδείως ἐτύγχανε.
τὰ δὲ ἐν Δεκίμῳ οὕτως, ὥσπερ μοι προδεδήλωται, γενέσθαι ξυν-
C έβη. καὶ οἱ μὲν τῶν Ἀρειανῶν ἱερεῖς φεύγοντες ᾤχοντο, Χρι-
στιανοὶ δὲ, οἷς τὰ ἐς τὴν δόξαν ὀρθῶς ἤσκηται, ἀφικόμενοι ἐς
H 118 τοῦ Κυπριανοῦ τὸν νεὼν, τά τε λύχνα ἔκαιον ἅπαντα καὶ τῶν ἱε-
ρῶν ἐπεμελοῦντο ᾗπερ αὐτοῖς ταῦτα τελεῖσθαι νόμος, οὕτω τε
ἅπασιν ἃ δὴ προὔλεγεν ἡ τοῦ ὀνείρου ὄψις ἐγνώσθη. ἀλλὰ
ταῦτα μὲν τῇδε ἐχώρησεν.

16. ταμιείων AL. ταμείων P.

stianis per vim eripuerunt, mox detrusis indignissime eorum sacerdotibus, ipsi sacra Ariano ritu deinceps curarunt. Moestis ea re et animi dubiis Afris Cyprianum saepe visum in somnis dixisse perhibent, ne sua causa Christianos haberet sollicitos, futurum enim tempus, cum ipse factam sibi iniuriam ulcisceretur. Quam vocem pervagatam cum Afri omnes accepissent, poenam aliquam, sacrorum eiusmodi vindicem, tandem Vandalis irrogandam, avide expectabant: at quo demum visum illud evasurum esset, coniectura assequi nequibant. Iam vero, postquam in Africam Imperatoris classis appulsa est, pridie recurrentis festi, quamvis ad Decimum Vandalos Ammatas duxisset, Ariani tamen sacerdotes templum perpurgarunt; e donariis, quae illic asservabantur, pulcherrima quaeque suspenderunt; lychnisque ornatis, et sacra supellectili e repositoriis educta, omnia, pro idoneo cuiusque usu, diligenter pararunt. Consecuta sunt, quae gesta apud Decimum supra dixi: tunc fuga elapsis sacerdotibus Arianis, Christiani, rectae fidei ac verae religionis cultores, Cypriani aedem ingressi, lucernas omnes accenderunt, et sacra consueto apud se ritu curarunt. Ita quid visum significaret, enotuit. Haec ibi evenerunt.

κβ'. Ἡ δὲ τῶν Βανδίλων τάξις λόγου παλαιοῦ ἀναμνησθέντες ἐθαύμαζον, ἐξεπιστάμενοι τὸ λοιπὸν ὡς ἀνθρώπῳ γε ὄντι οὔτ' ἂν ἄπιστός τις ἐλπὶς οὔτε κτῆσις βέβαιος γένοιτο. ὅστις δὲ ἦν οὗτος ὁ λόγος καὶ ὅντινα ἐρρήθη τρόπον, ἐγὼ δηλώσω. D ἡνίκα Βανδίλοι κατ' ἀρχὰς τῷ λιμῷ πιεζόμενοι ἐξ ἠθῶν τῶν πατρίων ἀνίστασθαι ἔμελλον, μοῖρά τις αὐτῶν ἀπελείπετο, οἷς δὴ ὀκνήσει ἐχομένοις πρὸς ἡδονὴν Γοδιγίσκλῳ ἐπισπέσθαι οὐκ ἦν. προϊόντος δὲ χρόνου τοῖς τε μείνασι τὰ ἐς τῶν ἐπιτηδείων τὴν ἀφθονίαν εὖ ἔχειν ἐδόκει καὶ Γιζέριχος ξὺν τοῖς ἀμφ' αὐτὸν Λιβύην ἔσχεν. ὅπερ ἀκούσαντες οἱ Γοδιγίσκλῳ οὐκ ἐπισπόμενοι ἔχαιρον, τῆς χώρας λοιπὸν ἰσχυρότατα σφίσιν ἐς τὸ ἀποζῆν διαρκούσης. δείσαντες δὲ μὴ χρόνῳ πολλῷ ὕστερον ἢ αὐτοί, ὅσοι Λιβύην ἔσχον, ἢ τούτων ἀπόγονοι ὅτῳ δὴ τρόπῳ Λιβύης ἐξελαυνόμενοι P 228 ἐπανήξουσιν ἐς τὰ πάτρια ἤθη (οὐ γάρ ποτε Ῥωμαίους αὐτὴν ἐς ἀεὶ περιόψεσθαι ὑπετόπαζον), πρέσβεις ἔπεμψαν πρὸς αὐτούς. οἳ, ἐπεὶ Γιζερίχῳ ἐς ὄψιν ἧκον, συνήδεσθαι μὲν τοῖς ὁμογενέσιν οὕτω δὴ εὐημερήσασιν ἔφασκον, φυλάσσειν δὲ περαιτέρω τὴν γῆν οὐχ οἷοί τε εἶναι, ἧσπερ αὐτοὶ ὠλιγωρηκότες ἐπὶ Λιβύης ἱδρύσαντο. ἐδέοντο οὖν, εἰ μὴ γῆς τῆς πατρῴας μεταποιοῦνται, κτήματι αὐτοὺς ἀνονήτῳ σφίσι δωρήσασθαι, ὅπως δὴ κύριοι τῆς χώρας ὡς ἀσφαλέστατα γεγενημένοι, ἤν τις κακουργήσων ἐπ' αὐτὴν ἴοι, ὡς ἥκιστα ἀπαξιοῦν ὑπὲρ αὐτῆς θνή-

3. οὔτ' — οὔτε] οὐδ' — οὐδὲ P. 4. ἐρρήθη] ἐῤῥέθη P. 7. Γοδιγίσκλῳ] Scribebatur Γωδιγίσκλῳ hic et infra. Γοδίγισκλος scribitur p. 319, 9. 11. 323, 13. et corrupte Γοδίδισκλος p. 39, 22. 10. ὅπερ ἀκούσαντες] ὃ παρακούσαντες L.

22. At Vandalorum ordines mirabantur, veteris dicti memores, iamque edocti nihilnon in posterum ab homine probabiliter sperari, nihil certo possideri posse. Porro quodnam id verbum sit, et quomodo prolatum, exponam. Initio, cum pressi fame Vandali e patriis sedibus demigrarent, relicti sunt nonnulli, quibus obstitit blandiens inertia ne sequi vellent Godigisclum. Procedente tempore, illi residui largam habere annonam visi sunt, et Gizericus cum suis Africam occupavit. Cuius rei nuntius laetitiam iis attulit, qui comites Godigisclo se non addiderant: ad hoc enim res bene comparatas videbant, ut sua ipsis regio satis praeberet, quo vitam deinceps tolerarent. Sed veriti ne olim vel illi ipsi, qui Africam obtinuerant, vel eorum nepotes quoquo modo pulsi ex Africa, ad natale solum redirent (neque enim illam Romanis neglectui fore semper putabant) legatos miserunt: qui ad Gizerici conspectum admissi, dixere, se res adeo laetas gratulari popularibus suis: ab ipsis servari non posse amplius regionem, qua posthabita, Africam colerent: propterea rogare, ut, quando patriam non curarent, iis, qui remanserant, possessionem donarent iam inutilem sibi; ut regionis certum adepti dominium, si

HAVERFIELD LIBRARY
OF ANCIENT HISTORY
OXFORD

σκειν. Γιζερίχῳ μὲν οὖν καὶ Βανδίλοις τοῖς ἄλλοις εὖ τε καὶ τὰ
B *δίκαια λέγειν ἔδοξαν, καὶ συνεχώρουν ἅπαντα, ὅσα οἱ πρέσβεις*
αὐτῶν ἔχρῃζον. γέρων δέ τις ἀνὴρ ἐν αὐτοῖς δόκιμος καὶ δόξαν
ἐπὶ ξυνέσει πολλήν τινα ἔχων τὸ τοιοῦτον ἐπιτρέψειν οὐδαμῇ ἔφη.
τῶν γὰρ ἀνθρωπείων οὐδ᾽ ὁτιοῦν ἐπὶ τοῦ ἀσφαλοῦς ἵστασθαι,
ἀλλ᾽ εἶναι αὐτοῖς ἐς τὸν πάντα αἰῶνα βέβαιον μὲν τῶν ὄντων οὐ-
δὲν, τῶν δὲ οὐκ ὄντων οὐδὲν ἀμήχανον. ταῦτα ὁ Γιζέριχος
ἀκούσας ἐπῄνεσέ τε καὶ τοὺς πρέσβεις ἀπράκτους ἀποπέμπεσθαι
ἔγνω. τότε μὲν οὖν αὐτός τε καὶ ὁ παραινέσας, ἅτε τὰ ἀμήχανα
προορώμενοι, πρὸς πάντων Βανδίλων γέλωτα ὦφλον. ἐπεὶ δὲ
ταῦτα, ἅπερ ἐρρήθη, ἐγένετο, μετέμαθόν τε τῶν ἀνθρωπείων
C *πραγμάτων οἱ Βανδίλοι τὴν φύσιν καὶ σοφοῦ τὸ ἔπος εἶναι ἀνδρὸς*
ἔγνωσαν.

V 380 *Τούτων μὲν οὖν Βανδίλων, οἳ ἔμειναν ἐν γῇ τῇ πατρῴᾳ,*
οὔτε μνήμη τις οὔτε ὄνομα ἐς ἐμὲ σώζεται. ἅτε γὰρ, οἶμαι, ὀλί-
γοις τισὶν οὖσιν ἢ βεβιάσθαι πρὸς βαρβάρων τῶν σφίσιν ὁμόρων
ἢ ἀναμεμίχθαι οὔτι ἀκουσίοις τετύχηκε, τό τε ὄνομα ἐς αὐτούς
πῃ ἀποκεκρίσθαι. οὐ μὴν οὐδὲ ἡσσημένοις τότε πρὸς Βελισαρίου
Βανδίλοις ἔννοια γέγονεν ἐς ἤθη τὰ πάτρια ἐνθένδε ἰέναι. οὐ γὰρ
εἶχον ἐκ Λιβύης ἐκ τοῦ αἰφνιδίου, ἄλλως τε καὶ νεῶν οὐ παρου-
D *σῶν σφίσιν, ἐς τὴν Εὐρώπην κομίζεσθαι, ἀλλ᾽ ἔτισαν ἐνταῦθα*
τὴν δίκην ἁπάντων ὧνπερ ἐς Ῥωμαίους εἰργάσαντο καὶ οὐχ ἥκιστα
ἐς Ζακυνθίους. Γιζέριχος γὰρ, ἐπισκήψας ποτὲ τοῖς ἐν Πελο-

11. *ἐρρήθη*] *ἐῤῥέθη* P. 15. *οὔτε — οὔτε*] *οὐδὲ — οὐδὲ* P.
16. *βεβιάσθαι* L. *βεβιᾶσθαι* P. 23. *Πελοποννήσῳ*] *Πελοπονήσῳ* P.

quis eo veniret infensus, pro illa mori non dubitarent. Aequa haec Gizerico caeterisque Vandalis postulatio visa est; iamque annuebant legatis, cum senex quidam nobilitate et prudentia clarissimus intercessit, nihil in rebus humanis stabile esse affirmans, sed quaecunque quidem adessent, omnia fore semper incerta; quae vero nondum existerent, eorum nihil non posse fieri. His auditis assentiens Gizericus, legatos re infecta remisit. Tum quidem ipsum ac suasorem, tanquam impossibilium providos, Vandali omnes deriserunt, sed eorum nepotes, ubi, quae commemoravimus, acciderunt, rerum humanarum naturam edocti, dictum illud sapientis fuisse viri confessi sunt.

Caeterum extincta est hodie memoria, ac nomen Vandalorum illorum interiit, qui in patria restiterunt. Scilicet cum pauci essent, vel a conterminis Barbaris exterminatos crediderim, vel sponte ipsis permistos nomen amisisse. Nec tamen fusis a Belisario Vandalis revisere patriam consilium fuit. Haud enim repente in Europam ex Africa migrare, maxime cum navigia deessent, licebat: verum ibi poenas dedere facinorum omnium, quae in Romanos ac praecipue in Zacynthios perpetraverant. Nam aliquando Gizericus conversa in Peloponesum vi, cum Taenarum

ποννήσῳ χωρίοις, Ταινάρῳ προσβαλεῖν ἐνεχείρησεν. ἐνθένδε τε
κατὰ τάχος ἀποκρουσθεὶς καὶ πολλοὺς τῶν οἱ ἑπομένων ἀποβα-
λὼν ἀνεχώρησεν οὐδενὶ κόσμῳ. διὸ δὴ τῷ θυμῷ ἔτι ἐχόμενος
Ζακύνθῳ προσέσχε, καὶ πολλοὺς μὲν τῶν ἐν ποσὶ κτείνας, τῶν δὲ
δοκίμων ἐς πεντακοσίους ἀνδραποδίσας δι' ὀλίγου ἀπέπλευσεν.
ἐπειδή τε γέγονεν ἐν μέσῳ τῷ Ἀδριατικῷ καλουμένῳ πελάγει, ἐν-
ταῦθα κρεουργήσας τῶν πεντακοσίων τὰ σώματα, πανταχῇ τῆς
θαλάσσης οὐδὲν ὑπολογισάμενος ἔρριψεν. ἀλλὰ ταῦτα μὲν ἐν
τοῖς ἄνω χρόνοις ἐγένετο.

κγ'. Γελίμερ δὲ τότε χρήματά τε πολλὰ Λιβύων τοῖς P 229
γεωργοῖς προϊέμενος καὶ φιλοφροσύνῃ ἐς αὐτοὺς χρώμενος ἐπαγα-
γέσθαι πολλοὺς ἴσχυσεν. οὓς δὴ ἐκέλευε Ῥωμαίων τοὺς ἐς τὰ
χωρία περιιόντας κτείνειν, χρυσίον τακτὸν ἐπὶ φόνῳ ἑκάστῳ τῷ
ἀπολοῦντι ἐπικηρύξας. οἱ δὲ πολλοὺς τοῦ Ῥωμαίων στρατοῦ
ἔκτεινον, οὐ στρατιώτας μέντοι, ἀλλὰ δούλους τε καὶ ὑπηρέτας,
οἳ δὴ χρημάτων ἐπιθυμίᾳ ἐς τὰς κώμας ἀναβαίνοντες λάθρα ἡλί-
σκοντο. καὶ αὐτῶν τὰς κεφαλὰς οἱ γεωργοὶ παρὰ Γελίμερα φέ- H 119
ροντες αὐτοὶ μὲν ἔμμισθοι γενόμενοι ἀπηλλάσσοντο, ὁ δὲ στρα-
τιώτας ἀνῃρηκέναι πολεμίους ὑπώπτευεν.

Ἐνταῦθα τοῦ χρόνου Διογένης, ὁ Βελισαρίου δορυφόρος, B
ἔργα ἐπεδείξατο ἀρετῆς ἄξια. σταλεὶς γὰρ λάθρα, ἅμα τῶν
ὑπασπιστῶν δύο καὶ εἴκοσιν, ἐπὶ κατασκοπῇ τῶν ἐναντίων, ἐγέ-
νετο ἐν χωρίῳ δυοῖν ἡμέραιν ὁδῷ Καρχηδόνος διέχοντι. τούτους
δὲ τοὺς ἄνδρας (οὐ γὰρ οἷοί τε ἦσαν οἱ τοῦ χωρίου γεωργοὶ κτεί-

23. δυοῖν] δυεῖν P.

tentasset, confestim repulsus, non sine gravi suorum clade, turpiter incompositeque abscessit. Hinc ira fervens ad Zacynthum appulit: caesis obviis quamplurimis, redactisque in servitutem optimatibus quingentis, extemplo vela fecit. In medium provectus Adriam, captivos illos in frusta concisos caeca crudelitate sparsit in fluctus. Sed haec ad superiora tempora pertinent.

23. Iam vero Gelimer, cum et largitione et comitate bonam partem Afrorum agrestium sibi devinxisset, ut Romanos per arva vagos occiderent, proposita pro singulis caedibus certa auri summa, induxit. Atque illi multos e Rom. exercitu obtruncabant, non utique milites, sed servos ac ministros: qui ad vicos amore praedae pertracti, in occulto capiebantur. Rusticani allatis eorum capitibus ad Gelimerem, redibant, mercede aucti, cum ille milites hostilis exercitus interemptos putaret.

Id temporis Diogenes armiger Belisarii generosum facinus edidit. Submissus enim cum scutatis XXII. ad explorandum hostem, in vico substitit, bidui Carthagine dissito. Eos cum occidere vicani non possent,

νειν) ἀγγέλλουσι τῷ Γελίμερι ἐνταῦθα εἶναι. καὶ ὃς τριακοσίους ἀπολεξάμενος Βανδίλων ἱππέας ἐπ' αὐτοὺς ἔστελλε, ζῶντας ἅπαντας ἐπιστείλας παρ' αὐτὸν ἀγαγεῖν. λόγου γὰρ πολλοῦ ἄξιόν οἱ ἔδοξεν εἶναι Βελισαρίου δορυφόρον ξὺν ὑπασπισταῖς δύο καὶ εἴκοσι
C δοριαλώτους ποιήσασθαι. οἱ μὲν οὖν ἀμφὶ Διογένην ἐς οἰκίαν ἐσεληλυθότες τινὰ ἐκάθευδον ἐν τῷ ὑπερῴῳ, πολέμιον οὐδὲν ἐν νῷ ἔχοντες, οἵ γε μακρὰν ἀπεῖναι τοὺς ἐναντίους ἐπύθοντο. οἱ δὲ Βανδίλοι ὄρθρου βαθέος ἐνταῦθα ἐλθόντες διαφθεῖραι μὲν τὰς ἐκείνῃ θύρας καὶ ἐς τὴν οἰκίαν εἰσελθεῖν νύκτωρ ἀξύμφορον σφίσιν ᾤοντο εἶναι, δείσαντες μὴ ἐς νυκτομαχίαν ἐμπεπτωκότες αὐτοὶ μὲν σφᾶς αὐτοὺς διαφθείρωσιν, ἔξοδον δὲ τοῖς πολεμίοις ἐν σκότῳ, ἂν οὕτω τύχοι, παρέξωσιν. ἔπρασσον δὲ ταῦτα τῆς δειλίας αὐτοῖς ἐκπλησσούσης τὸν νοῦν, παρὸν σφίσιν οὐδενὶ πόνῳ
D φέρουσί τε πυρὰ καὶ τούτων χωρὶς οὐχ ὅσον ἀνόπλους, ἀλλὰ καὶ γυμνοὺς παντάπασι τοὺς πολεμίους ἐπὶ τῶν στρωμάτων λαβεῖν. νυνὶ δὲ ἀμφὶ τὴν οἰκίαν ἅπασαν κύκλῳ καὶ διαφερόντως τὰς θύρας φάλαγγα ποιησάμενοι ἔστησαν ἅπαντες. ἐν τούτῳ δὲ τῶν Ῥωμαίων στρατιωτῶν ἑνὶ ἐξ ὕπνου ἀναστῆναι ξυνέβη, ὅσπερ τοῦ θορύβου αἰσθόμενος, ὃν δὴ οἱ Βανδίλοι φθεγγόμενοί τε ἐν σφίσιν αὐτοῖς λάθρα ἐποίουν καὶ ξὺν τοῖς ὅπλοις κινούμενοι, ξυμβαλεῖν τὸ ποιούμενον ἴσχυσε, καὶ τῶν ἑταίρων ἀνεγείρας σιωπῇ ἕκαστον τὰ πρασσόμενα φράζει. οἱ δὲ Διογένους γνώμῃ τά
V 381 τε ἱμάτια ἐνδιδύσκονται ἡσυχῇ ἅπαντες καὶ τὰ ὅπλα ἀνελόμενοι κάτω ἐχώρουν. οὗ δὴ τοῖς ἵπποις τοὺς χαλινοὺς ἐπιθέμενοι ἀνα-

9. καὶ Grotius. Vulgo ἢ.

Gelimeri nuntiant apud se esse. Is protinus delectos equites ccc. Vandalos eo destinat, vivos ad se omnes adduci iubens. Enimvero operae pretium esse ducebat, si armigerum Belisarii cum scutiferis xxii. captivos haberet. Ergo Diogenes, et qui ipsum sequebantur, domum quamdam ingressi, in superiori parte quieti se tradiderunt, nihil ab hostibus, quos abesse procul audiverant, metuentes. Huc Vandali summo mane cum advenissent, e re sua non esse senserunt fores perfringere, atque in aedes irrumpere ante lucem, veriti ne nocturno misti certamine, se ipsi invicem caederent, ac forte effugium hosti darent in tenebris. Haec ipsis dictabat timor, sic mentem et consilium auferens, ut cum possent, vel ferendo faces, vel sine illis, hostes non modo inermes, sed plane etiam nudos in stratis nullo negotio comprehendere, satis habuerint circa domum maximeque pro foribus disposita acie stare. Tunc somno experrectus Rom. militum quidam, audito strepitu, quem Vandali, mussantes inter se, et arma commoventes, ciebant, quid rei ageretur coniecit. Silentio mox excitatis sociis sigillatim rem indicat. Illi de sententia Diogenis tacite vestibus armisque indutis, descendunt, frenatis equis insiliunt, adverten-

θρώσκουσιν ἐπ' αὐτούς, οὐδενὶ αἴσθησιν παρεχόμενοι. παρά τε P 230 τὴν αὔλειον χρόνον τινὰ στάντες ἀνακλίνουσι μὲν ἐξαπιναίως τὰς ταύτῃ θύρας, ἐξίασι δὲ εὐθὺς ἅπαντες. οἱ μὲν οὖν Βανδίλοι ἔργου ἤδη ἐπ' αὐτοὺς εἴχοντο. οἱ γὰρ Ῥωμαῖοι ταῖς τε ἀσπίσι φραξάμενοι καὶ τοῖς δορατίοις ἀμυνόμενοι τοὺς ἐπιόντας σπουδῇ ἤλαυνον. οὕτω τε ὁ Διογένης τοὺς πολεμίους διέφυγε, δύο μὲν τῶν ἑπομένων ἀποβαλὼν, τοὺς δὲ λοιποὺς σώσας. πληγὰς μέντοι ἐν τῷ πόνῳ τούτῳ καὶ αὐτὸς ἔλαβεν ἐς μὲν τὸν αὐχένα καὶ τὸ πρόσωπον τρεῖς, ἀφ' ὧν δὴ παρ' ὀλίγον ἀποθανεῖν ἦλθε, κατὰ δὲ χειρὸς τῆς λαιᾶς μίαν, ἐξ ἧς οὐκέτι τῶν δακτύλων τὸν σμικρότατον ἐνεργεῖν ἴσχυσε. ταῦτα μὲν οὖν ὧδε γενέσθαι ξυνέβη.

Βελισάριος δὲ τοῖς τε περὶ τὴν οἰκοδομίαν τεχνίταις καὶ τῷ B ἄλλῳ ὁμίλῳ χρήματα μεγάλα προτεινόμενος τάφρον τε λόγου πολλοῦ ἀξίαν ἀμφὶ τὸν περίβολον ὤρυξε κύκλῳ, καὶ σκόλοπας αὐτῇ ἐνθέμενος συχνοὺς εὖ μάλα περιεσταύρωσε. καὶ μὴν καὶ τὰ πεπονθότα τοῦ τείχους ἐν βραχεῖ ἀνῳκοδομήσατο χρόνῳ, θαύματος ἄξιον οὐ Καρχηδονίοις μόνον, ἀλλὰ καὶ αὐτῷ Γελίμερι γεγονὸς ὕστερον. ἐπειδὴ γὰρ δοριάλωτος ἐς Καρχηδόνα ἦκεν, ἠγάσθη τέ ἰδὼν τὸ τεῖχος καὶ τὴν ὀλιγωρίαν τὴν αὐτοῦ πάντων οἱ ἔφη τῶν παρόντων γεγονέναι αἰτίαν. ταῦτα μὲν Βελισαρίῳ ἐν Καρχηδόνι ὄντι κατείργαστο ὧδε.

κδ'. Τζάζων δὲ, ὁ τοῦ Γελίμερος ἀδελφὸς, τῷ στόλῳ ᾧ C ἔμπροσθεν εἴρηται ἐς Σαρδὼ ἀφικόμενος ἐς τὸν Καρνάλεως λιμένα

6. ὁ om. L. 18. δοριάλωτος] δορυάλωτος P. 21. ὄντι] ἰόντι H. 23. Καρνάλεως] *Caralis* RV hic et p. 232 d.

te nemine; cumque ad cortis ianuam aliquandiu constitissent, passis repente valvis omnes erumpunt. Tum cooriri in pugnam Vandali, dum Romani protecti clypeis, atque hastis vim propulsantes, contentissime citatis equis vehuntur. Sic demum Diogenes medio ex hoste se ac suos, praeterquam binos, recepit, vulnera ex eo conflictu referens in collo quidem ac vultu tria, quibus prope factum est ut interiret, in manu vero sinistra unum, quo minimi usum digiti perdidit. Haec ita gesta.

At Belisarius fabris caeterisque operis luculentas mercedes tribuens egregie muris fossam circumdedit, eamque cancellato vallo optime cinxit. Sed et ubi ruinam murus dederat aut minabatur, eum brevi tempore instauravit. Quod opus non Carthaginiensibus modo, sed ipsi quoque Gelimeri mirabile postea visum est. Cum enim captus Carthaginem venit, muros videns obstupuit, et causam omnium, quae tunc acciderant, in suam negligentiam contulit. Haec Carthagine Belisarius.

24. Tzazo autem Gelimeris frater appulsa in Sardiniam classe, de qua dictum est supra, factaque in portu Calaritano exscensione, urbem

ἀπέβη, καὶ τήν τε πόλιν αὐτοβοεὶ εἷλε τόν τε τύραννον Γώδαν ἔκτεινε καὶ εἴ τι ἀμφ' αὐτὸν μάχιμον ἦν. καὶ ἐπεὶ ἐς γῆν τῆς Λιβύης τὸν βασιλέως στόλον ἤκουσεν εἶναι, οὔπω τι πεπυσμένος ὧν ταύτῃ ἐπέπρακτο, γράφει πρὸς Γελίμερα τάδε „Γώδαν ἀπολωλέναι τὸν τύραννον, ὑπὸ ταῖς ἡμετέραις γεγονότα χερσὶ, καὶ
D τὴν νῆσον αὖθις ὑπὸ τῇ σῇ βασιλείᾳ εἶναι, ὦ Βανδίλων τε καὶ Ἀλανῶν βασιλεῦ, ἴσθι καὶ τὴν ἐπινίκιον ἑορτὴν ἄγε. τῶν δὲ πο-
H 120 λεμίων, οἳ ἐτόλμησαν ἐς τὴν ἡμετέραν στρατεύεσθαι, ἔλπιζε τὴν πεῖραν ἐς τοῦτο ἀφίξεσθαι τύχης, ἐς ὃ καὶ πρότερον τοῖς ἐπὶ τοὺς προγόνους τοὺς ἡμετέρους στρατευσαμένοις ἐχώρησε.“ ταῦτα οἱ λαβόντες τὰ γράμματα, οὐδὲν πολέμιον ἐν νῷ ἔχοντες, κατέπλευσαν ἐς τὸν τῶν Καρχηδονίων λιμένα. καὶ πρὸς τῶν φυλάκων παρὰ τὸν στρατηγὸν ἀπαχθέντες τά τε γράμματα ἐνεχείρισαν
P 231 καὶ περὶ ὧν τὰς πύστεις ἐποιεῖτο ἐσήγγελλον, οἷς τε ἐθεῶντο καταπεπληγμένοι καὶ τεθηπότες τῆς μεταβολῆς τὸ αἰφνίδιον, ἔπαθον μέντοι πρὸς Βελισαρίου οὐδὲν ἄχαρι.

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ ἕτερον ξυνηνέχθη τοιόνδε. Γελίμερ ὀλίγῳ πρότερον ἢ ἐς Λιβύην ὁ βασιλέως στόλος ἀφίκετο ἔπεμψε πρέσβεις ἐς Ἱσπανίαν ἄλλους τε καὶ Γοτθαῖον καὶ Φουσκίαν, ἐφ' ᾧ δὴ Θεῦδιν, τὸν τῶν Οὐισιγότθων ἄρχοντα, πείσουσιν ὁμαιχμίαν πρὸς Βανδίλους θέσθαι. οἳ, ἐπεὶ ἀπέβησαν ἐς τὴν ἤπειρον, τὸν ἐν Γαδείροις πορθμὸν διαβάντες, εὑρίσκουσι

8. στρατεύεσθαι] στρατεύσεσθαι HL: illud Hm. 13. ἐνεχείρισαν] ἐνεχείρησαν HL: ἐνεχείρισαν Hoeschelius in annotatione. 14. πύστεις APm. πίστεις P. *ibid.* ἐσήγγελλον] ἐσήγγελον L.

primo aditu cepit, et Godam tyrannum eiusque milites e medio sustulit. Simul renuntiatum est Augusti classem in Africam advenisse; rerum ibi gestarum adhuc inscius, haec Gelimeri scripsit. *Godam tyrannum in potestatem nostram redactum interiisse, et in ditionem tuam, Vandalorum Alanorumque Rex, insulam rediisse pro certo habe, et festo die victoriam celebra. Quod ad hostes attinet, qui in oras nostras portare bellum ausi sunt, spera fore, ut eandem fortunam experiantur, qua quondam usi sunt, qui in maiores nostros expeditionem susceperant.* Qui has literas deferebant, nihil hostile suspicantes, ad Carthaginis portum applicuerunt: inde a custodibus ad Magistrum militum ducti, traditis literis, quae ille interposita fide percontatus est, enuntiarunt, oblata sibi nova rerum imagine perculsi, ac repentinam conversionem stupentes. Caeterum nihil in eos acerbe statuit Belisarius.

Sub idem tempus res eiusmodi contigit. Paulo ante adventum Caesareae classis in Africam, Gotthaeum et Phusciam cum aliis legatos Gelimer in Hispaniam miserat, ut Theudin Visigotthorum Regem ad ineundam cum Vandalis societatem pellicerent. Illi transmisso freto Gaditano,

Θεῦδιν ἐν χωρίῳ μακρὰν ἀπὸ θαλάσσης κειμένῳ. ἀναβάντας δὲ παρ' αὐτὸν τοὺς πρέσβεις ὁ Θεῦδις φιλοφροσύνης τε ἠξίωσε καὶ B προθύμως εἱστία, ἔν τε τῇ θοίνῃ ἐπυνθάνετο δῆθεν ὅπῃ ποτὲ Γελίμερί τε καὶ Βανδίλοις τὰ πράγματα ἔχοι. τούτων δὲ τῶν πρέσβεων σχολαίτερον ἐς αὐτὸν ἰόντων ἔτυχεν ἀκηκοὼς ἅπαντα, ὅσα Βανδίλοις ξυνέπεσεν. ὁλκὰς γάρ μία ἐπ' ἐμπορίᾳ πλέουσα ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ τὸ στράτευμα ἐς Καρχηδόνα ἐσήλασεν, ἐνθένδε ἀναγομένη καὶ πνεύματος ἐπιφόρου ἐπιτυχοῦσα, ἐς Ἰσπανίαν ἦλθεν. ὅθεν δὴ ὁ Θεῦδις μαθὼν ὅσα ἐν Λιβύῃ ξυνηνέχθη V 382 γενέσθαι ἀπεῖπε τοῖς ἐμπόροις μηδενὶ φράζειν, ὡς μὴ πάντα ἔκπυστα ἐς τὸ πᾶν γένηται. ἐπεὶ δὲ ἀπεκρίναντο οἱ ἀμφὶ τὸν Γοτ- C θαῖον ἅπαντα σφίσιν ὡς ἄριστα ἔχειν, ἠρώτα ὅτου ποτὲ ἕνεκα ἥκοιεν. τῶν δὲ τὴν ὁμαιχμίαν προτεινομένων ἐκέλευεν αὐτοὺς ὁ Θεῦδις ἐς τὴν παραλίαν ἰέναι· ἐνθένδε γάρ, ἔφη, τὰ οἴκοι πράγματα ἀσφαλῶς εἴσεσθε. οἱ δὲ πρέσβεις οὐχ ὑγιᾶ τὸν λόγον, ἅτε οἰνωμένου ἀνθρώπου, εἶναι ὑποτοπήσαντες, ἐν σιωπῇ ἔσχον. ἐπεὶ δὲ αὐτῷ τῇ ὑστεραίᾳ ξυγγενόμενοι τὴν ξυμμαχίαν ἐν λόγῳ ἐποιοῦντο, καὶ ῥήματι αὖθις τῷ αὐτῷ ὁ Θεῦδις ἐχρῆτο, οὕτω δὴ ξυνέντες νεώτερα σφίσιν ἐν Λιβύῃ ξυμπεσεῖν πράγματα, οὐδὲν μέντοι ἀμφὶ Καρχηδόνι ἐν νῷ ἔχοντες, ἐς αὐτὴν ἔπλεον. ἀγ- D χοῦ τε αὐτῆς καταπλεύσαντες καὶ Ῥωμαίοις στρατιώταις περιτυχόντες ἐνεχείρισαν σφᾶς αὐτοὺς ὅ τι βούλοιντο χρῆσθαι. ὅθεν

1. ἀναβάντας Grotius. Vulgo ἀναβάντες. 10. μηδενὶ AL. μηδὲν P. 22. ἐνεχείρισαν] Vulgo ἐνεχείρησαν.

factaque in continentem exscensione, Theudin mari procul degentem adeunt. Ad se Theudis introductos comiter accepit, epulisque lautis adhibuit: inter quas rogavit, quo res loco essent Gelimeris ac Vandalorum, haud earum ignarus, quippe quarum nuntius legatis ad ipsum lente se conferentibus praecucurrerat. Nam quo die Carthaginem intrarat exercitus, eodem navis oneraria inde solverat, ac vento secundo usa pervenerat in Hispaniam. Hinc Theudis res Africanas cum didicisset, ne in vulgus emanarent, silentium mercatoribus iniunxerat. Ubi vero Gotthaeus res suas perbelle stare respondit, quaesivit Theudis legationis causam. Illis autem se ad armorum societatem iungendam missos referentibus, *Ite,* inquit, *ad oram maritimam: ibi certo res domesticas cognoscetis.* Rati oratores vocem hanc esse hominis, qui mero calens aliena loqueretur, tacite dissimularunt. Postridie repetito congressu ac sermone de sociali foedere, cum idem a Theudi responsum tulissent, sibi in Africa turbatum esse aliquid intellexere: omnia tamen salva Carthagini arbitrantes, eo navigarunt. Prope urbem appulsi, in Romanos milites incidunt, ac se permittunt eorum arbitrio: inde ad Magistrum militum adducti, serie legationis exposita, innoxii dimittuntur. Atque haec quidem sic se habue-

ἐς τὸν στρατηγὸν ἀπαχθέντες καὶ τὸν πάντα λόγον ἀγγείλαντες ἔπαθον οὐδὲν πρὸς ἐκείνου κακόν. ταῦτα μὲν οὖν οὕτω γενέσθαι τετύχηκε. Κύριλλος δέ, Σαρδοῦς τε ἀγχοῦ γενόμενος καὶ τὰ τῷ Γώδᾳ ξυμπεσόντα ἀκούσας, ἐς Καρχηδόνα ἔπλει, ἔνθα τό τε Ῥωμαίων στράτευμα καὶ Βελισάριον εὑρὼν νενικηκότας ἡσύχαζε· καὶ Σολόμων παρὰ βασιλέα, ὅπως ἀγγείλῃ τὰ πεπραγμένα, ἐστέλλετο.

P 232 V 383 κε'. Γελίμερ δὲ ἐπεὶ ἐν πεδίῳ Βούλλης ἐγεγόνει, ὅπερ εὐζώνῳ ἀνδρὶ τεσσάρων ἡμερῶν ὁδῷ Καρχηδόνος διέχει, οὐ πολλῷ ἄποθεν τῶν Νουμιδίας ὁρίων, ἐνταῦθα Βανδίλους τε ξύμπαντας ἤγειρε καὶ εἴ τί οἱ φίλιον ἐν Μαυρουσίοις ἐτύγχανεν ὄν. ὀλίγοι μέντοι Μαυρούσιοι αὐτῷ ἀφίκοντο ἐς ξυμμαχίαν, καὶ οὗτοι παντάπασιν ἄναρχοι. ὅσοι γὰρ ἔν τε Μαυριτανίᾳ καὶ Νουμιδίᾳ καὶ Βυζακίῳ Μαυρουσίων ἦρχον, πρέσβεις ὡς Βελισάριον πέμψαντες B δοῦλοί τε βασιλέως ἔφασκον εἶναι καὶ ξυμμαχήσειν ὑπέσχοντο. εἰσὶ δὲ οἳ καὶ τοὺς παῖδας ἐν ὁμήρων παρείχοντο λόγῳ, τά τε ξύμβολα σφίσι παρ' αὐτοῦ στέλλεσθαι τῆς ἀρχῆς κατὰ δὴ τὸν παλαιὸν νόμον ἐδέοντο. νόμος γὰρ ἦν Μαυρουσίων ἄρχειν μηδένα, κἂν Ῥωμαίοις πολέμιος ᾖ, πρὶν ἂν αὐτῷ τὰ γνωρίσματα τῆς ἀρχῆς ὁ Ῥωμαίων βασιλεὺς δοίη. ἅπερ ἤδη πρὸς Βανδίλων λαβόντες οὐκ ᾤοντο τὴν ἀρχὴν ἐν βεβαίῳ ἔχειν. ἔστι δὲ τὰ ξύμβολα ταῦτα ῥάβδος τε ἀργυρᾶ κατακεχρυσωμένη καὶ πῖλος ἀργυ- C ροῦς οὐχ ὅλην τὴν κεφαλὴν σκέπων, ἀλλ' ὥσπερ στεφάνη τελα-

8. βούλλης ALHm, quod ex Reg. affert Maltretus. Vulgo βούλης. Conf. p. 223 a. 233 b. 10. ἄποθεν L. ἄκοθε P. 12. αὐτῷ addidi ex AL. 20. ἅπερ] ὅπερ H.

runt. Cyrillus vero proxime Sardiniam vectus, simul de Godae casu cognovit, cursum Carthaginem versus intendit: ubi Belisarium cum exercitu Romano victorem nactus, quievit. Salomon rerum gestarum nuntius ad Imperatorem destinatus est.

25. Haud procul a Numidiae finibus, in planitie Bullae, quo ab urbe Carthagine quatridui iter est expedito, Vandalos omnes Gelimer et Mauros, quoscunque amicitia comprehenderat, coëgit. Hi sane perpauci erant ac sine principe. Nam quotquot in Mauritania, Numidia, Byzacio Mauris imperabant, Belisarium per legatos de suo in Augustum obsequio fecerant certiorem, sociaque arma promiserant. Quidam liberos obsides dederant, et principatus insignia petierant, more antiquo. Haec enim vetus erat consuetudo, ut nemo, quamvis Romanorum hostis, pro Maurorum Rege se ante gereret, quam ab Imperatore Rom. insignia regia accepisset: quibus donati solum a Vandalis, male fundatam regni possessionem putabant. Ea porro insignia sunt huiusmodi. Virga argentea, auro oblita: argenteus item pileus, qui non totum caput obtegit, sed coronae

μῶσιν ἀργυροῖς πανταχόθεν ἀνεχόμενος, καὶ τριβώνιόν τι λευκόν, ἐς χρυσῆν περόνην κατὰ τὸν δεξιὸν ὦμον ἐν χλαμύδος σχήματι Θετταλῆς ξυνιόν, χιτών τε λευκός, ποικίλματα ἔχων, καὶ ἀρβύλη ἐπίχρυσος. Βελισάριος δὲ ταῦτά τε αὐτοῖς ἔπεμψε καὶ χρήμασι πολλοῖς αὐτῶν ἕκαστον ἐδωρήσατο. οὐ μέντοι αὐτῷ ἐς ξυμμαχίαν ἀφίκοντο, οὐ μὴν οὐδὲ Βανδίλοις ἐπαμύνειν ἐτόλμησαν, H 121 ἀλλ' ἐκποδὼν ἀμφοτέροις στάντες ἐκαραδόκουν ὅπῃ ποτὲ ἡ τοῦ πολέμου τύχη ἐκβήσεται. ὧδε μὲν Ῥωμαίοις τὰ πράγματα εἶχε.

Γελίμερ δὲ τῶν τινα Βανδίλων ἐς Σαρδὼ ἔπεμψεν, ἐπιστολὴν D πρὸς Τζάζωνα τὸν ἀδελφὸν ἔχοντα. ὃς ἐς τὴν παραλίαν κατὰ τάχος ἐλθὼν ὁλκάδος τε ἀναγομένης ἐπιτυχών, ἐς Καρνάλεως τὸν λιμένα κατέπλευσε καὶ Τζάζωνι τὴν ἐπιστολὴν ἐνεχείρισεν. ἐδήλου δὲ ἡ γραφὴ τάδε „Οὐκ ἦν, οἶμαι, Γώδας ὁ τὴν νῆσον ἡμῶν ἀποστήσας, ἀλλά τις ἄτη ἐξ οὐρανοῦ ἐς Βανδίλους ἐπιπεσοῦσα. σέ τε γὰρ ἐξ ἡμῶν καὶ Βανδίλων τοὺς δοκίμους ἀφελομένη ἅπαντας συλλήβδην ἐκ τοῦ Γιζερίχου οἴκου τἀγαθὰ ἥρπασεν. οὐ γὰρ ἐπὶ τῷ ἀνασώσασθαι τὴν νῆσον ἡμῖν ἐνθένδε P 233 ἀπῆρας, ἀλλ' ὅπως Λιβύης Ἰουστινιανὸς κύριος ἔσται. τὰ γὰρ τῇ τύχῃ δόξαντα πρότερον πάρεστι τανῦν ἐκ τῶν ἀποβάντων εἰδέναι. Βελισάριος μὲν οὖν στρατῷ ὀλίγῳ ἐφ' ἡμᾶς ἥκει· ἡ δὲ ἀρετὴ ἐκ Βανδίλων ἀπιοῦσα εὐθὺς ᾤχετο, μεθ' ἑαυτῆς λαβοῦσα τὴν ἀγαθὴν τύχην. Ἀμμάτας μὲν γὰρ καὶ Γιβαμοῦνδος πεπτώκασι, μαλθακιζομένων Βανδίλων, ἵπποι δὲ καὶ νεώρια καὶ ξύμ-

instar eminet, argenteis circundatus vittis: alba insuper lacerna, quam ad humerum dextrum aurea fibula colligit, morsuque nectit, in modum Thessalicae chlamydis. Accedit alba itidem tunica, figuris variata: denique illusum auro calceamentum. Haec ad unumquemque Belisarius misit, adiectis pecuniae donis amplissimis. Nec tamen arma ei iunxerunt: sicuti nec Vandalis ausi sunt suppetias ferre: verum sese integros servantes, belli exitum intentis animis expectabant. Hoc erat loco Romana res.

Quidam autem Vandalus a Gelimere cum literis ad Tzazonem ipsius fratrem in Sardiniam ire iussus, simul ut cursu contigit oram maris, navem proficiscentem invenit: qua delatus in portum Calaritanum, Tzazoni epistolam reddidit, in haec fere verba conscriptam. *Non Godas, meo quidem iudicio, insulam a ditione nostra abiunxerat, sed vis quaedam malefica, coelitus in Vandalos ingruens: quae cum te floremque Vandalorum nobis eripuit, omnibus simul bonis Gizerici domum exhausit. Neque enim hinc solvisti, ut per te insulam recuperaremus, sed ut Iustinianus Africa potiretur. Enimvero quodnam fuerit fortunae consilium, quae nobis iam acciderunt, demonstrant. Modicas quidem copias adversum nos Belisarius duxit: verum a Vandalis abscessit repente virtus, secum felicitatem abducens. Nam per Vandalorum ignaviam Ammatas ac Gibamundus occu-*

πασα Λιβύη καὶ οὐχ ἥκιστα αὐτὴ Καρχηδὼν, ἔχονται ἤδη ὑπὸ
τῶν πολεμίων. οἱ δὲ κάθηνται, τὸ μὴ ἐν τοῖς πόνοις ἀνδραγα-
B θίζεσθαι παίδων τε καὶ γυναικῶν ἀνταλλαξάμενοι καὶ πάντων
χρημάτων, ἡμῖν τε ἀπολέλειπται μόνον τὸ Βούλλης πεδίον, οὗ-
περ ἡμᾶς ἡ εἰς ὑμᾶς ἐλπὶς καθίσασα εἴργει. ἀλλὰ σὺ τυραννίδα
τε καὶ Σαρδὼ καὶ τὰς περὶ ταῦτα φροντίδας ἐάσας ὅτι τάχιστα
παντὶ τῷ στόλῳ ἐς ἡμᾶς ἧκε. οἷς γὰρ ὑπὲρ τῶν κεφαλαίων ὁ
κίνδυνος, τἆλλα ἀκριβολογεῖσθαι ἀξύμφορον. κοινῇ δὲ τὸ λοι-
πὸν ἀγωνιζόμενοι πρὸς τοὺς πολεμίους ἢ τύχην τὴν προτέραν
ἀνασωσόμεθα, ἢ κερδανοῦμεν τὸ μὴ ἀλλήλων χωρὶς τὰ ἐκ τοῦ
δαιμονίου ἐνεγκεῖν δύσκολα.

V 384 Ταῦτα ἐπεὶ Τζάζων τε εἶδεν ἀπενεχθέντα καὶ ἐς τοὺς Βαν-
C δίλους ἐξήνεγκεν, ἔς τε οἰμωγὰς καὶ ὀλοφύρσεις ἐτράποντο, οὐ
μέντοι ἐκ τοῦ ἐμφανοῦς, ἀλλ᾽ ὡς ἔνι μάλιστα ἐγκρυφιάζοντές τε
καὶ τοὺς νησιώτας λανθάνοντες, σιωπῇ ἐφ᾽ ἑαυτῶν τὰ παρόντα
σφίσιν ὠδύροντο. καὶ αὐτίκα μὲν τὰ ἐν ποσὶ, ὥς πη ἔτυχε,
διαθέμενοι τὰς ναῦς ἐπλήρουν. ἄραντες δὲ παντὶ τῷ στόλῳ τρι-
ταῖοι κατέπλευσαν ἐς τὴν Λιβύης ἀκτὴν, ἣ Νουμίδας τε καὶ Μαυ-
ριτανοὺς διορίζει. καὶ πεζῇ βαδίζοντες ἀφικνοῦνται ἐς τὸ Βούλ-
λης πεδίον, οὗ δὴ ἀνεμίγνυντο τῷ ἄλλῳ στρατῷ. ἐνταῦθα συ-
χνὰ ἐλέου πολλοῦ ἄξια Βανδίλοις ξυνέβη, ἅπερ ἔγωγε οὐκ ἂν ἔτι
φράσαι ἱκανῶς ἔχοιμι. οἶμαι γὰρ εἰ καὶ αὐτῶν πολεμίων ἀνδρὶ

2. τὸ μὴ] τῷ μὴ HL. 6. σαρδὼ L. Σαρδῶ P. 20. ἀνεμίγνυντο] ἐνεμίγνυντο L. 21. πολλοῦ Pm. πολλὰ P.

buerunt: equos, navalia, omnem demum Africam cum ipsa Carthagine iam hostis habet. Illi interea torpent, quamvis haec ipsis desidia magno constet, nempe liberorum et coniugum libertate fortunisque omnibus. Nobis nihil est reliqui, praeter campum Bullanum: ubi spe tenemur, quam in vobis posuimus. Quin age, abolendae tyrannidis, ac recipiendae Sardiniae cura omni abiecta, huc universa cum classe advola: nam ubi rerum summa in periculum venit, multum nocet, si in iis, quae ad illam non pertinent, diligentia consumatur. Caeterum collatis in unum viribus cum hoste deinceps dimicando, vel in pristinum statum redibimus, vel id consequemur, ut adversam fortunam communiter feramus.

Haec postquam Tzazo a se lecta Vandalis impertivit, tum lugere omnes ac lamentari, non tamen propalam, sed quoad eius fieri poterat, abdentes sese, et incolarum insulae conspectum vitantes, rerum suarum conditionem secum tacite deplorabant. Quamprimum autem negotiis, quae tum tractabant, utcunque compositis, navibusque impletis, oram solvunt, et classem universam die tertio ad illud Africae littus applicant, ubi Numidiae et Mauritaniae limes est. Inde pedibus ad Bullae campestria progressi, permiscent se reliquis copiis. Hic multa Vandalis miseratione ingenti digna contigerunt, quae verbis ut par est exequi nequeo; ac si

θεατῇ γενέσθαι τετύχηκε, τάχα ἂν καὶ αὐτὸς Βανδίλους τε τότε D καὶ τύχην τὴν ἀνθρωπείαν ᾠκτίσατο. ὅ τε γὰρ Γελίμερ καὶ ὁ Τζάζων ἐπειδὴ ἀλλήλοιν τῷ τραχήλῳ περιεβαλέσθην, μεθίεσθαι τὸ λοιπὸν οὐδαμῇ εἶχον, οὐδὲν μέντοι ἐς ἀλλήλους ἐφθέγγοντο, ἀλλὰ τὼ χεῖρε σφίγγοντες ἔκλαον, καὶ Βανδίλων τῶν ξὺν Γελίμερι ἕκαστος τῶν τινα ἐκ Σαρδοῦς ἥκοντα περιβαλὼν κατὰ ταῦτα ἐποίει. χρόνον τε συχνὸν, ὥσπερ ἀλλήλοις ἐμπεφυκότες, ἡδονῆς τῆς ἐνθένδε ἀπώναντο, καὶ οὔτε οἱ ἀμφὶ Γελίμερα περὶ τοῦ Γώδα (ἐπεὶ αὐτοὺς ἡ παροῦσα τύχη ἐκπλήξασα τὰ πρόσθε σφίσι σπουδαιότατα δόξαντα εἶναι τοῖς ἤδη ἐς ἄγαν ἀπημελημένοις ξυνέτασσεν) οὔτε οἱ ἐκ Σαρδοῦς ἥκοντες ἐρωτᾶν τι ἠξίουν ἀμφὶ P 234 τοῖς ἔν γε Λιβύῃ ξυνενεχθεῖσιν. ἱκανὸς γὰρ αὐτοῖς ὁ χῶρος τεκμηριῶσαι τὰ ξυμπεσόντα ἐγίνετο. οὐ μὴν οὐδὲ γυναικῶν ἰδίων ἢ παίδων λόγον ἐποιοῦντό τινα, ἐξεπιστάμενοι ὡς, ἤν τις αὐτοῖς ἐνταῦθα οὐκ εἴη, δῆλον ὅτι ἢ ἐτελεύτα ἢ ὑπὸ τῶν πολεμίων ταῖς χερσὶ γέγονε. ταῦτα μὲν δὴ ταύτῃ πῃ ἔσχεν.

8. περὶ] Vulgo περί τε. *ibid.* τοῦ Γώδα] τῷ γώδᾳ A.

vel ipse spectasset hostis, fortasse Vandalos, ut opinor, atque hominum vicem miseratus fuisset. Etenim Gelimer et Tzazo colla invicem amplexi divelli nequibant: nec verbo alter alterum compellabat; sed vincti manuum nexibus, mutuis sese lacrimis perfundebant. Ita quoque Vandali quos secum habebat Gelimer, in eos, qui advenerant e Sardinia, se gerebant, cum singuli singulos complecterentur, sic, ut invicem quodammodo inserti, manantem inde voluptatem perdiu ceperint. Et quoniam praesenti calamitate attoniti, quae prius momenti esse maximi duxerant, ea iam habebant in postremis, nihil de Goda scitari Gelimeris comites, nec vicissim qui redierant e Sardinia percontari volebant de Africae casibus, quos utique locus ipse per se satis monstrabat. Nulla de uxoribus aut liberis fiebat mentio: cum intelligerent, si quem suorum ibi desiderarent, aut extinctum, aut captum ab hoste esse. Atque haec ita se habuerunt.

P 235 V 385 H 122

ΠΡΟΚΟΠΙΟΥ ΚΑΙΣΑΡΕΩΣ

ΙΣΤΟΡΙΩΝ ΤΗΣ Α' ΤΕΤΡΑΔΟΣ Η Δ'.

ΙΣΤΟΡΙΩΝ — Η Δ'] ΤΗΣ ΠΡΩΤΗΣ ΤΕΤΡΑΔΟΣ ΤΩΝ ΚΑΤ' ΑΥΤΟΝ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Δ'. P. τῆς πρώτης τετράδος τῶν κατ' αὐτὸν ὀκτὼ ἱστοριῶν ἡ τετάρτη AL.

PROCOPII CAESARIENSIS

HISTORIARUM TETRADIS I.

LIBER IV.

ARGUMENTUM.

EX EDITIONE MALTRETI.

Gelimer Carthaginem tentat proditione, quam avertit Belisarius. Huius concio. (Cap. 1.) *Educit copias Belisarius. Omen victoriae. Militares conciones Gelimeris et Tzazonis.* (2.) *Utriusque aciei dispositio. Praelium. Gelimeris fuga. Castrorum Vandalicorum direptio.* (3.) *Romanos amore praedae dissipatos revocat Belisarius. Supplices Vandalos in fidem recipit. Gelimerem insequitur, praemisso Ioanne: quo per imprudentiam Uliaris sagitta occiso, eius tumulum annuo pecuniae stipendio cohonestat. Gelimer in montem Pappuam se recipit: a Phara Erulo, iussu Belisarii, obsidetur: capitur ipsius gaza.* (4.) *Belisarius Sardiniam, Corsicam, Caesaream Mauritaniae, Septum, Ebusam, Maioricam et Minoricam recipit. Subsidium Tripolitanis mittit. Lilybaeum a Gotthis repetit. Mutuae literae.* (5.) *Gelimerem monte Pappua munitum Pharas frustra aggreditur. Vandalorum luxus. Maurorum aspera vivendi ratio. Pharae et Gelimeris mutuae literae.* (6.) *Gelimer tristi puerorum spectaculo permotus deditionem facit. Carthaginem ductus accipitur a Belisario. Procopii de hoc bello iudicium.* (7.) *Apud Imperatorem instruitur calumnia Belisario. Editum a feminis Mauris vaticinium. Maurorum perfidia ac rebellio: quam reprimere parat Salomon. Instaurantur vectigalia.* (8.) *Belisarii triumphus. Vasa Salomonica Hierosolyma delata, Christianorum templis donantur. Exclamat Gelimer: Iustinianum adorat: obstinatus in haeresi, Patriciatu excluditur. Belisarii consulatus.* (9.) *Aigan et Rufinus, a Mauris intercepti, occumbunt. Maurorum*

origo, et varia fortuna. (10.) *Salomonis ac Maurorum mutuae literae. Utriusque aciei dispositio. Conciones militares. Praelium. Victoria Romanorum.* (11.) *Mauri bellum in Romanos instaurant. Burgaon Byzacii mons. Salomonis ad Romanos militaris oratio. Stupenda Maurorum clades.* (12.) *Althiae cum Iabda Maurorum principe singulare certamen. Montem Aurasium petit Salomon. Illius montis descriptio. Salomonis conatus irriti. Novi apparatus, praesertim adversus Mauros in Sardinia degentes.* (13.) *Belisarius Gotthis Siciliam eripit. Sol per annum integrum laboranti similis. Seditio militum in Africa, et coniuratio in Salomonem. Eorum furor. Salomonis et Procopii fuga.* (14.) *Seditiosi Carthaginem obsident. Missum a Salomone Iosephium necant. Audito adventu Belisarii fugiunt. Belisarii et Stozae factiosorum ducis conciones. Belisarius victor in Siciliam redit. Stozas in Numidia milites Romanos in partes suas trahit. Duces, contra fidem datam, interficit.* (15.) *Germanus a Iustiniano in Africam missus, militum animos sibi conciliat. Stozas Carthaginem petit. Germanus exercitum educit et alloquitur.* (16.) *Stozam Germanus in Numidiam redeuntem sequitur. Utriusque acies. Acerrimum praelium. Stozae fuga.* (17.) *Opprimitur coniuratio Maximini, tyrannidem affectantis.* (18.) *Iterum Africae praeficitur Salomon, copiisque augetur, Africae res optime componit. Suscepta in Mauros montis Aurasii incolas, expeditione, Gontharin praemittit: eius cladem ulciscitur: Zerbulem castellum oppugnat et capit.* (19.) *Tumar obsidetur a Salomone. Huius ad exercitum oratio. Praestans Gezonis facinus. Expugnatur Tumar, ac deinde Geminiani rupes. Pulsis e Numidia Mauris, Mauritaniam Sitiphensem Salomon vectigalem facit.* (20.) *Iustinianus Cyrum ac Sergium, Salomonis ex fratre nepotes, Pentapoli ac Tripoli praeficit. Ad epulas invitati a Sergio Mauri Leucathae, orta rixa, occiduntur. Natum hinc bellum vario Marte geritur. Salomonis interitus.* (21.) *Sergius Salomonis successor moribus suis omnes offendit. Antalae Maurorum principis ad Iustinianum epistola. Salomon Sergii frater a Mauris captus, dissimulato genere, redimitur vili pretio. Imprudens eius iactatio Laribensibus damnosa.* (22.) *Himerius Byzacii dux cum exercitu captus, Mauris operam navat. Astu captum ab illis Adrumetum Paulus sacerdos astu recipit. Calamitas Africae.* (23.) *Areobindus ab Imperatore missus in Africam, Magisterium militare bifariam divisum cum Sergio gerit. Ioannes Sisinnioli filius Stozam rebellium principem interficit: mox ipse interficitur.* (24.) *Tyrannidem affectans Gontharis, Mauros in Romanos commovet. Cum Antala clam paciscitur. Barbari Carthaginem petunt. Areobindus Cutzinam sibi conciliat. Gontharis Areobindo struit insidias.* (25.) *Gontharis tumultu terret Areobindum, et in ipsum milites concitat. Pugnatur. Areobindi mollities et fuga. Ipsum Gontharis e templo evocat, data fide per Reparatum Carthaginis Antistitem, ac demum necat.* (26.) *Antalas Maurorum princeps Gontharin deserit. Eiusdem caedem meditatur Artabanes impulsu Gregorii. Gontharis uxorem sororemque Areobindi honeste habet. Ab eo missus in Mauros Artabanes, ex composito se remissius gerit, et Carthaginem redit.* (27.) *Caedes Gontharidis accurate describitur. Eius auctor Artabanes ab Imperatore Magister militum creatur. Post ipsum eo munere fungitur Ioannes Pappi frater. Bis Mauros vincit, semel vincitur. Res tandem quietae in Africa.* (28.)

α΄. Γελίμερ δὲ, ἐπεὶ Βανδίλους ἅπαντας ἐς ταὐτὸ εἶδεν ἀγη-
γερμένους, ἐπῆγεν ἐς Καρχηδόνα τὸ στράτευμα. γενόμενοί τε
αὐτῆς ἄγχιστα τόν τε ὀχετὸν ἀξιοθέατον ὄντα διεῖλον, ὃς ἐς τὴν
πόλιν εἰσῆγε τὸ ὕδωρ, καὶ χρόνον τινὰ ἐνστρατοπεδευσάμενοι
P 236 ὑπεχώρησαν, ὡς οὐδεὶς σφίσιν ἐπεξῄει τῶν πολεμίων. περιιόν-
τες δὲ τὰ ἐκείνῃ χωρία τάς τε ὁδοὺς ἐν φυλακῇ ἐποιοῦντο καὶ Καρ-
χηδόνα πολιορκεῖν ταύτῃ ᾤοντο, οὐ μὴν οὔτε ἐληΐζοντο οὐδὲν
οὔτε τὴν γῆν ἐδῄουν, ἀλλ᾽ ὡς οἰκείας μετεποιοῦντο. ἅμα καὶ
προδοσίαν τινὰ ἔσεσθαι σφίσιν ἐν ἐλπίδι εἶχον Καρχηδονίων τε
αὐτῶν καὶ Ῥωμαίων στρατιωτῶν, ὅσοις ἡ τοῦ Ἀρείου δόξα
ἤσκητο. πέμψαντες δὲ καὶ ἐς τῶν Οὔννων τοὺς ἄρχοντας, καὶ
πολλὰ ἔσεσθαι αὐτοῖς ἀγαθὰ πρὸς Βανδίλων ὑποσχόμενοι, ἐδέον-
το φίλους τε καὶ ξυμμάχους γενέσθαι σφίσιν. οἱ δὲ οὐδὲ πρότε-
B ρον εὐνοϊκῶς ἐς τὰ Ῥωμαίων πράγματα ἔχοντες, ἅτε οὐδὲ ξύμμα-
χοι αὐτοῖς ἑκούσιοι ἥκοντες (ἔφασκον γὰρ τὸν Ῥωμαίων στρατη-
γὸν Πέτρον ὀμωμοκότα τε καὶ τὰ ὀμωμοσμένα ἠλογηκότα οὕτω
δὴ σφᾶς ἀπαγαγεῖν ἐς Βυζάντιον) λόγους τε τῶν Βανδίλων ἐνε-
δέχοντο καὶ ὡμολόγουν, ἐπειδὰν ἐν αὐτῷ τῷ ἔργῳ γένωνται, ξὺν
αὐτοῖς ἐπὶ τὸ Ῥωμαίων στράτευμα τρέψεσθαι. ταῦτα δὲ ἅπαντα
Βελισάριος ἐν ὑποψίᾳ ἔχων (ἠκηκόει γὰρ πρὸς τῶν αὐτομόλων,
ἅμα δὲ καὶ ὁ περίβολος οὔπω ἐτετέλεστο ἅπας) ἐξιτητὰ μὲν σφί-
σιν ἐπὶ τοὺς πολεμίους ἐν τῷ παρόντι οὐκ ᾤετο εἶναι, τὰ δὲ ἔνδο-

1. ἀγηγερμένους] ἐγηγερμένους P. 5. ὡς] ὅτι Pm.

1. Ubi Gelimer Vandalos in unum omnes coisse vidit, Carthaginem petiit cum exercitu. Proxime urbem, eius aquaeductum, spectandum sane opus, interciderunt, et in castris aliquandiu morati, cum hostium nemo erumperet, recessere. Tum hac illac divisi, insederunt itinera, satis id esse rati ad obsidionem Carthaginis. Nusquam facta praeda, nec vastitas illata agris: quin illis potius, ut suis, curam omnem tribuebant. Nec spes deerat proditionis, non ab ipsis modo Carthaginiensibus, sed a Romanis etiam militibus Arianis conflandae. Hunnorum quoque ducibus multa polliciti, ad amicitiam secum et societatem iungendam eos invitaverant. Hi vero Barbari, iam ante in rem Romanam parum propensi, militarem operam gravate nobis navabant, cum dicerent, se Byzantium pertractos fuisse Petri ducis iureiurando, quod ipse postea fefellisset. Quamobrem Vandalorum postulatis assensi, se, incepto praelio, arma in Rom. aciem versuros promiserant. Haec, a transfugis indicata, metuens Belisarius, necdum muris plane instauratis, eruptionem in hostes differen-

θεν ὡς ἄριστα ἐξηρτύετο. Καρχηδόνιον μέν τινα, ὄνομα Λαῦρον, ἐπὶ προδοσίᾳ ἡλωκότα καὶ πρὸς τοῦ οἰκείου γραμματέως C *ἐληλεγμένον ἀνεσκολόπισεν ἐν λόφῳ τινὶ πρὸ τῆς πόλεως, καὶ ἀπ᾽ αὐτοῦ ἐς δέος τι ἄμαχον οἱ ἄλλοι καταστάντες τῆς ἐς τὴν προδοσίαν πείρας ἀπέσχοντο. τοὺς δὲ Μασσαγέτας δώροις τε καὶ τραπέζῃ καὶ τῇ ἄλλῃ θωπείᾳ μετιὼν ἡμέρᾳ ἑκάστῃ ἐξενεγκεῖν ἐς αὐτὸν ἔπεισεν ὅσα αὐτοῖς ὁ Γελίμερ ὑποσχόμενος εἴη, ἐφ᾽ ᾧ ἐν τῇ ξυμβολῇ κακοὶ γένωνται. ἔφασκον δὲ οἱ βάρβαροι οὗτοι οὐδεμίαν σφίσι προθυμίαν ἐς τὸ μάχεσθαι εἶναι (δεδιέναι γὰρ μὴ* V 386 *καὶ Βανδίλων ἡσσημένων οὐκ ἀποπέμψονται Ῥωμαῖοι σφᾶς ἐς τὰ πάτρια ἤθη, ἀλλ᾽ αὐτοῦ ἀναγκάζοιντο ἐν Λιβύῃ γηράσκοντες θνήσκειν), καὶ μὴν καὶ περὶ τῇ λείᾳ, μὴ ἀφαιρεθῶσιν αὐτήν, ἐν φροντίδι εἶναι. τότε δὴ οὖν αὐτοῖς Βελισάριος πιστὰ ἔδωκεν* D *ὡς, ἢν κατὰ κράτος Βανδίλοι ἡσσηθεῖεν, αὐτίκα δὴ ἐς τὰ οἰκεῖα ξὺν πᾶσι λαφύροις σταλήσονται, οὕτω τε αὐτοὺς ὅρκοις καταλαμβάνει ἦ μὴν πάσῃ προθυμίᾳ ξυνδιενεγκεῖν σφίσι τὸν πόλεμον.*

Ἐπειδή τε ἅπαντά οἱ ὡς ἄριστα παρεσκεύαστο καὶ ὁ περίβολος ἤδη ἀπείργαστο, ξυγκαλέσας ἅπαν τὸ στράτευμα ἔλεξε τοιάδε „Παραίνεσιν μέν, ἄνδρες Ῥωμαῖοι, οὐκ οἶδα ὅτι δεῖ ποιεῖσθαι πρὸς ὑμᾶς, οἵ γε οὕτω τοὺς πολεμίους ἔναγχος νενικήκατε ὥστε Καρχηδών τε ἤδε καὶ Λιβύη ξύμπασα κτῆμα τῆς ὑμε-

10. ἡσσημένων] ἡσσωμένων H. ἡσσουμένων L. 15. τε AL. γὰρ P. [γὰρ] H. 16. σφίσι L. σφίσιν P. 21. ἔναγχος] ἔναχος A. 22. ὑμετέρας APm. ἡμετέρας P.

dam putavit, quoad in urbe res optime comparasset. Interea Laurum, civem Carthaginensem, manifestum proditorem, et vel scribae domestici testimonio convictum, in colle, qui pro urbe est, suspendio necavit: quo exemplo vehementer territi caeteri, proditionis consilium omiserunt. Massagetas autem quotidianis muneribus, communione mensae, omnique blanditiarum genere captans, ab ipsis elicuit et cognovit, quae promiserat Gelimer, ut in praelio rem ex composito male gererent. Nec dissimulabant Barbari se nihil animi ad pugnandum habere, iniecto metu, ne, post cladem etiam Vandalorum, a Romanis reditum in patriam haud impetrarent, sed in Africa consenescere, et supremum diem obire cogerentur. Addebant se ex hoc esse sollicitos, ne spoliarentur praeda. Tum fidem interposuit Belisarius, ac promisit, si vi Vandalus debellaretur, statim ipsis domum cum omni praeda redeundi copiam fore. Vicissim illi se omni ope et studio partes commilitum impleturos iurarunt.

Postquam omnia recte composita, ac muros plane refectos vidit, universo exercitu convocato, ita disseruit. *Equidem scio nullis egere vos hortamentis, Romani, recenti illustres victoria, eaque tanta, ut haec urbs, illa Carthago, cum omni Africa, virtute vestra teneatur. Quamobrem su-*

τέρας ἀρετῆς ἐστὶ, καὶ δι' αὐτὸ ξυμβουλῆς οὐδεμιᾶς ὑμῖν ἐς εὐ-
τολμίαν ὁρμώσης δεήσει. τῶν γὰρ νενικηκότων ἥκιστα ἐλασσοῦ-
H 123 σθαι φιλοῦσιν αἱ γνῶμαι. ἐκεῖνο δὲ μόνον ὑπομνῆσαι ὑμᾶς οὐκ
P 237 ἄπο καιροῦ οἴομαι εἶναι, ὡς, ἢν ὁμοίως ὑμῖν αὐτοῖς ἐν τῷ πα-
ρόντι ἀνδραγαθίζοισθε, αὐτίκα δὴ μάλα τὸ πέρας ἕξει τοῖς μὲν
Βανδίλοις τὰ τῆς ἐλπίδος, ὑμῖν δὲ ἡ μάχη. ὥστε ὑμᾶς ὡς προ-
θυμότατα εἰκὸς ἐς ξυμβολὴν τήνδε καθίστασθαι. ἡδὺς γὰρ ἀεὶ
τοῖς ἀνθρώποις ἀπολήγων τε καὶ ἐς καταστροφὴν ἐγγίζων ὁ πό-
νος. τὸν μὲν οὖν τῶν Βανδίλων ὅμιλον ὑμῶν διαλογιζέσθω μη-
δείς. οὐ γὰρ ἀνθρώπων πλήθει οὐδὲ σωμάτων μέτρῳ, ἀλλὰ
ψυχῶν ἀρετῇ φιλεῖ ὁ πόλεμος διακρίνεσθαι. εἰσίτω δὲ ὑμᾶς τὸ
πάντων ἰσχυρότατον τῶν ἐν ἀνθρώποις, ἡ ἐπὶ τοῖς πρασσομένοις
αἰδώς. αἰσχύνη γὰρ τοῖς γε νοῦν ἔχουσι τὸ σφῶν αὐτῶν ἡττᾶ-
σθαι καὶ τῆς οἰκείας ἀρετῆς ἐλάσσους ὀφθῆναι. τοὺς γὰρ πολε-
B μίους εὖ οἶδα ὅτι ὀρρωδία τε καὶ κακῶν μνήμη περιλαβοῦσαι
ἀναγκάσουσι κακίους γενέσθαι, ἡ μὲν τοῖς φθάσασι δεδιττομένη,
ἡ δὲ ἀνασοβοῦσα τὴν τοῦ κατορθώσειν ἐλπίδα. τύχη γὰρ εὐθὺς
μοχθηρὰ ὀφθεῖσα δουλοῖ τῶν αὐτῇ περιπεπτωκότων τὸ φρόνημα.
ὡς δὲ νῦν ἡμῖν ἢ πρότερον ὑπὲρ μειζόνων ὁ ἀγών ἐστιν ἐγὼ δη-
λώσω. ἐν μὲν γὰρ τῇ προτέρᾳ μάχῃ τῶν πραγμάτων ἡμῖν οὐκ
εὖ προϊόντων ἐν τῷ μὴ τὴν ἀλλοτρίαν λαβεῖν ὁ κίνδυνος ἦν, νῦν
δὲ, ἢν μὴ τῶν ἀγώνων κρατήσωμεν, τὴν ἡμετέραν ἀποβάλω-
μεν. ὅσῳ τοίνυν τὸ κεκτῆσθαι μηδὲν τοῦ τῶν ὑπαρχόντων ἐστε-
ρῆσθαι κουφότερον, τοσούτῳ νῦν μᾶλλον ἢ πρότερον ἐν τοῖς

pervacaneum est verbis animos vobis addere, cum victores animo debilitari minime soleant. Hoc unum admonere non alienum, opinor, fuerit: si iam, vobis similes, vos fortiter geratis; puncto temporis, dies idem et spei Vandalis, et vobis belli finem faciet. Itaque summam alacritatem hoc praelium exigit: siquidem labor, cum ad exitum vergit, ac iam pene confectus est, iucundus accidit. Neque haec Vandalorum turba quanta sit, quisquam attendat. Non enim hominum multitudine, non mole corporum, sed ingentium animorum robore bellum dirimitur. In primis velim vos subeat rerum comes gestarum pudor, maximum omnium inter homines incitamentum. Enimvero sanae mentis hominem pudet a se ipso deficere, et virtutis pristinae egenum videri. Contra vero trepidatione et acceptae cladis memoria districtus hostis, profecto remissius agere cogetur; dum haec iam mentem praeteritis territabit, illa spem omnem bene gerendae rei convellet. Adversae enim fortunae facies, eorum, qui in ipsam incurrerint, non sinit animos esse liberos, nec praeclarum aliquid cogitare. Neque id praeteribo, iam nobis crevisse certandi causam. Nam si in priori pugna male res processisset, hoc unum erat periculum, ne solo, quod alii obtinebant, excluderemur: nunc, si vincamur, nostro eiecti fundo abibimus. Quanto igitur tolerabilius est non venisse in possessionem, quam ex ea de-

ἀναγκαιοτάτοις ὁ φόβος. καίτοι πρότερον τῶν πεζῶν ἡμῖν ἀπολελειμμένων τὴν νίκην ἀνελέσθαι τετύχηκε, νῦν δὲ ἵλεῴ τε τῷ C θεῷ καὶ τῷ παντὶ στρατῷ ἐς τὴν ξυμβολὴν καθιστάμενος κρατήσειν τοῦ στρατοπέδου τῶν πολεμίων αὐτοῖς ἀνδράσιν ἐλπίδα ἔχω. πρόχειρον οὖν ἔχοντες τὸ τοῦ πολέμου πέρας μή τινι ὀλιγωρίᾳ ἐς ἄλλον αὐτὸ ἀπόθησθε χρόνον, μὴ παραδραμόντα τὸν καιρὸν ἐπιζητεῖν ἀναγκάζησθε. ἀναβαλλομένη γὰρ ἡ τοῦ πολέμου τύχη οὐχ ὁμοίως τοῖς καθεστῶσι χωρεῖν πέφυκεν, ἄλλως τε ἢν καὶ γνώμῃ τῶν αὐτῇ διαφερόντων μηκύνηται. τοῖς γὰρ τὴν ὑπάρχουσαν εὐημερίαν προϊεμένοις τὸ δαιμόνιον ἀεὶ νεμεσᾶν εἴωθεν. εἰ δέ τις ἐννοεῖ τοὺς πολεμίους, παῖδάς τε καὶ γυναῖκας καὶ τὰ τιμιώτατα ὑπὸ ταῖς ἡμετέραις ὁρῶντας χερσί, τολμήσειν μὲν παρὰ D γνώμην, κινδυνεύσειν δὲ παρὰ τὴν ὑπάρχουσαν αὐτοῖς δύναμιν, οὐκ ὀρθῶς οἴεται. θυμὸς γὰρ ὑπεράγαν ἐν ταῖς ψυχαῖς ὑπὲρ τῶν τιμιωτάτων φυόμενος τήν τε οὖσαν ἰσχὺν καθαιρεῖν εἴωθε καὶ τοῖς καθεστῶσιν οὐκ ἐᾷ χρῆσθαι· ἃ δὴ πάντα λογιζομένους ὑμᾶς πολλῷ τῷ καταφρονήματι ἐπὶ τοὺς πολεμίους ἰέναι προσήκει."

β'. Τοσαῦτα Βελισάριος παρακελευσάμενος ἱππέας μὲν P 238 V 387 ἅπαντας, πλὴν πεντακοσίων, ἡμέρᾳ τῇ αὐτῇ ἔστειλε, τούς τε ὑπασπιστὰς καὶ τὸ σημεῖον, ὃ δὴ βάνδον καλοῦσι Ῥωμαῖοι, Ἰωάννῃ ἐπιτρέψας τῷ Ἀρμενίῳ καὶ ἀκροβολίσασθαι ἐπιστείλας,

9. αὐτῇ] αὐτῶν L. 10. τὸ δαιμόνιον] Offendit hoc librarium, qui in A adscripsit, οὐκ ὀρθῶς παρεισφέρεις τῇ τῶν χριστιανῶν πίστει δαιμόνιον καὶ τύχην εἱμαρμένῃ. καὶ γὰρ παρενείρεις τὰ ἀνθρώπεια. Eadem ex codice Scaligeri profert Hoeschelius, ubi scriptum τύχην καὶ εἱμαρμένην.

turbari, tanto magis nunc necessaria, quam ante, sollicitudo. Quanquam si victoriam prius, absente licet peditatu, retulimus, iam cum Deo propitio copiisque omnibus ad pugnam vadens, hostibus pariter atque eorum castris, ut equidem spero, potiar. At vos nolite committere, ut quem habetis in manibus belli finem, aliqua negligentia differatis in tempus aliud: ne elapsam occasionem quaeratis vel inviti. Nam in posterum reiecta belli fortuna non solet rerum statui consentaneum exitum afferre; praesertim cum remittitur eorum consilio, quibus ipsa impensius favet. Et vero semper numinis indignationem in se convertunt, qui concessam sibi prosperitatem ablegant. Quod si quis hostes, dum coniuges, liberos, et carissima quaeque, penes nos redacta, sibi ante oculos ponent, erectis praeter opinionem animis, supra vires pugnaturos existimat, nae is fallitur. Nam ira, ex rerum optatissimarum amore vehementior, plerumque illud ipsum, quod inest, robur infringit, nec datis opportunitatibus uti sinit. Quae omnia vobiscum reputantes, confidentissime, ut par est, hostem invadite.

2. Hac Belisarius habita concione, eodem die equitatum omnem, exceptis quingentis, emisit, scutariis cum vexillo, quod bandum Romani vocant, commissis Ioanni Armenio: cui iniunxit, ut, si pugnae velitaris oc-

ἦν καιρὸς γένηται. αὐτὸς δὲ τῇ ὑστεραίᾳ ξὺν τῷ πεζῷ στρατῷ καὶ τοῖς πεντακοσίοις ἱππεῦσιν εἵπετο. τοῖς δὲ Μασσαγέταις, βουλευσαμένοις ἐν σφίσιν αὐτοῖς, ἔδοξεν, ὅπως δὴ εὐξυνθετεῖν πρός τε Γελίμερα καὶ Βελισάριον δόξωσι, μήτε μάχης ὑπὲρ Ῥω-
B μαίων ἄρξαι μήτε πρὸ τοῦ ἔργου εἰς Βανδίλους ἰέναι, ἀλλ᾽ ἐπειδὰν ὁποτέρας στρατιᾶς τὰ πράγματα πονηρὰ εἴη, τηνικαῦτα ξὺν τοῖς νικῶσι τὴν δίωξιν ἐπὶ τοὺς ἡσσημένους ποιήσασθαι. ταῦτα μὲν οὖν τοῖς βαρβάροις ἐδέδοκτο τῇδε. ὁ δὲ Ῥωμαίων στρατὸς κατέλαβε τοὺς Βανδίλους ἐν Τρικαμάρῳ στρατοπεδεύσαντας, τεσσαράκοντα καὶ ἑκατὸν σταδίους Καρχηδόνος ἀπέχοντι. ἔνθα δὴ μακράν που ἀπ᾽ ἀλλήλων ηὐλίσαντο ἑκάτεροι. ἐπειδὴ δὲ πόρρω ἦν τῶν νυκτῶν, τέρας ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἐγεγόνει τοιόνδε. τῶν δοράτων αὐτοῖς τὰ ἄκρα πυρὶ πολλῷ κατελάμπετο καὶ αὐτῶν αἱ αἰχμαὶ καίεσθαι ἐπὶ πλεῖστον σφίσιν ἐδόκουν. τοῦτο οὐ πολλοῖς μὲν φανερὸν γέγονεν, ὀλίγους δὲ τοὺς θεασαμένους
C κατέπληξεν, οὐκ εἰδότας ὅπῃ ἐκβήσεται. ξυνέπεσε δὲ Ῥωμαίοις τοῦτο καὶ αὖθις ἐν Ἰταλίᾳ χρόνῳ πολλῷ ὕστερον, ὅτε δὴ αὐτὸ καὶ νίκης σύμβολον, ἅτε πείρᾳ εἰδότες ἐπίστευον εἶναι. τότε δὴ, ὥσπερ εἴρηται, ἐπεὶ πρῶτον ἐγεγόνει, κατεπλάγησάν τε καὶ ξὺν δέει πολλῷ ἐνυκτέρευσαν.

Τῇ δὲ ὑστεραίᾳ Γελίμερ Βανδίλους ἐκέλευε παῖδάς τε καὶ
H 124 γυναῖκας καὶ πάντα χρήματα ἐν μέσῳ καταθέσθαι τῷ χαρακώματι, καίπερ ὀχύρωμα οὐδὲν ἔχοντι, καὶ ξυγκαλέσας ἅπαντας

6. πονηρὰ] πόνηρα P. 7. ἡσσημένους] ἡσσομένους H. ἡσσωμένους L.

casio sese daret, eam arriperet. Ipse postridie cum peditatu et quingentis equitibus secutus est. Massagetae, habito inter se consilio, ut tum Gelimeri, tum Belisario praestare fidem viderentur, statuerant, ab ineunda pro Romanis pugna sé continere, nec Vandalos prius aggredi, quam res affecta esset; sed cum altera labaret acies, cum victoribus instare victis. Id quidem Barbaris deliberatum erat: Romanus autem exercitus Vandalos offendit, metatos in Tricamaro, unde stadiis CXL. Carthago distat. Ibi utrique, procul invicem dissiti noctem egerunt: qua iam adulta, in Rom. castris portentum ortum est huiuscemodi. Summis hastis multus ignis emicuit, ita ut pleraeque cuspides ardere viderentur. Haud multi quidem adverterunt: pauci vero, qui rem spectarunt, attoniti, illius eventum ignorabant. Idem Romanis multo post contigit in Italia: ac sibi tum persuaserunt, experientia docti, portendi victoriam. Nunc autem, ut dictum est, ostento illo primum oblato perculsi, tota nocte trepidarunt.

Postridie Vandalis edixit Gelimer, ut liberos, uxores, omnemque pecuniam in mediis castris, quamvis immunitis, reponerent: et advocata

ἔλεξε τοιάδε „Οὐθ' ὑπὲρ δόξης ἡμῖν, ἄνδρες Βανδίλοι, οὔτε ἀρχῆς στερήσεως μόνον ὁ ἀγών ἐστιν, ὥστε κἂν ἐθελοκακήσασι καὶ ταῦτα προεμένοις δυνατὸν εἶναι βιοῦν, οἴκοι τε καθημένοις D
καὶ τὰ ἡμέτερα αὐτῶν ἔχουσιν· ἀλλ' ὁρᾶτε δήπουθεν ὡς ἐς τοῦτο ἡμῖν περιέστηκε τύχης τὰ πράγματα ὥστε, ἢν μὴ τῶν πολεμίων κρατήσωμεν, τελευτῶντες κυρίους μὲν αὐτοὺς καταλείψομεν παίδων τε τῶνδε καὶ γυναικῶν καὶ χώρας καὶ πάντων χρημάτων, περιοῦσι δὲ ἡμῖν προσέσται τὸ δούλοις τε εἶναι καὶ ταῦτα ἐπιδεῖν ἅπαντα· ἢν δέ γε περιεσώμεθα τῷ πολέμῳ τῶν δυσμενῶν, καὶ ζῶντες ἐν πᾶσι τοῖς ἀγαθοῖς βιοτεύσομεν καὶ μετὰ τὴν εὐπρεπῆ τοῦ βίου καταστροφὴν παισὶ μὲν καὶ γυναιξὶ τὰ τῆς εὐδαιμονίας P 239
ἀπολελείψεται, τῷ δὲ τῶν Βανδίλων ὀνόματι τὸ περιεῖναί τε καὶ τὴν ἀρχὴν διασώσασθαι. εἰ γάρ τισι καὶ ἄλλοις πώποτε ὑπὲρ τῶν ὅλων τετύχηκεν ἀγωνίζεσθαι, καὶ αὐτοὶ νῦν μάλιστα πάντων γινώσκομεν ὡς τὰς ὑπὲρ ἁπάντων ἐλπίδας ἐφ' ἡμῖν αὐτοῖς φέροντες ἐς τὴν παράταξιν καθιστάμεθα. οὐκ ἐπὶ τοῖς σώμασι τοίνυν τοῖς ἡμετέροις ὁ φόβος οὐδὲ ἐπὶ τῷ θνήσκειν ὁ κίνδυνος, ἀλλ' ὥστε μὴ τῶν πολεμίων ἡσσῆσθαι. τῆς γὰρ νίκης ἀπολελειμμένης τὸ τεθνάναι ξυνοίσει. ὅτε τοίνυν ταῦτα οὕτως ἔχει, μαλακιζέσθω Βανδίλων μηδείς, ἀλλὰ τῷ μὲν φρονήματι προϊέσθω τὸ σῶμα, αἰσχύνῃ δὲ τῶν μετὰ τὴν ἧτταν κακῶν ζηλούτω τὴν τοῦ B
βίου καταστροφήν. τῷ γὰρ τὰ αἰσχρὰ ᾐσχυμμένῳ πάρεστιν ἀεὶ

1. Οὐθ'] Vulgo Οὐχ. 10. βιοτεύσομεν] βιωτεύσομεν P. 12. τὸ περιεῖναι] τῷ περιεῖναι HL: illud Hm. 18. ἀπολελειμμένης] ἀπολελειμμένοι Grotius. 19. τεθνάναι L. τεθνᾶναι P. *ibid.* ὅτε] ὅτι Hm.

concione, sic verba fecit. *Iam ob id duntaxat, Vandali, non pugnamus, ne gloria atque imperio spoliemur: quasi nobis, postquam utrumque torpore voluntario amiserimus, vivere saltem domi, et in otio nostras possidere fortunas liceat. Videtis ipsi, rem in eum locum venisse, ut si hostis vicerit, casuri non simus, nisi hisce liberis nostris, uxoribus, agris, cunctis denique facultatibus in eius potestate relictis, nec vitam retenturi sine illo miseriae cumulo, quem servitus eorumque omnium aspectus malorum afferet. At si palmam adipiscemur, nos vita manet bonis undique referta: qua honeste defuncti, liberos et coniuges beatos divitiis relinquemus, ac Vandalorum regnum, pariter cum eorum nomine servatum stabit. Et vero si qui unquam de rerum summa certarunt, iam certe maxime planum est, nos ad pugnam ita accedere, ut in nobis sitam spei nostrae summam feramus. Quare nihil timendum corporibus, quando non est periculum ne vita, sed ne victoria amittatur; qua privatis, mori conducet. Quae cum ita sint, Vandalorum nemo se molliter gerat: sed quemque iuvet magno animo caput offerre, itaque pudeat opprobria pati, quae victos consequuntur; ut mortem decoram praeoptet et ambiat. In pectus illo pudore plenum intra-*

τὸ μὴ δεδιέναι τὸν κίνδυνον. μάχης δὲ τῆς πρότερον γεγενημένης μηδεμία ὑμᾶς εἰσίτω μνήμη. οὐ γὰρ κακίᾳ ἡμετέρᾳ ἡσσήθημεν, ἀλλὰ τύχης ἐναντιώμασι προσεπταικότες ἐσφάλημεν. ταύτης δὲ τὸ ῥεῦμα οὐκ ἀεὶ κατὰ ταὐτὰ φέρεσθαι πέφυκεν, ἀλλ' ἐν ἡμέρᾳ ἑκάστῃ ὡς τὰ πολλὰ μεταπίπτειν φιλεῖ· τῷ δὲ ἀνδρείῳ τοὺς πολεμίους ὑπεραίρειν αὐχοῦμεν καὶ πλήθει παρὰ πολὺ ὑπερ- V 388 *βάλλεσθαι. μέτρῳ γὰρ αὐτῶν περιεῖναι οὐχ ἧσσον ἢ δεκαπλασίῳ* C *οἰόμεθα. καὶ προσθήσω πολλά τε καὶ μεγάλα εἶναι τὰ νῦν μάλιστα ἡμᾶς εἰς ἀρετὴν ὁρμῶντα, τήν τε τῶν προγόνων δόξαν καὶ τὴν παραδοθεῖσαν ἡμῖν ὑπ' ἐκείνων ἀρχήν. ἡ μὲν γὰρ ἐφ' ἡμῖν τῷ ἀνομοίῳ τοῦ ξυγγενοῦς ἐγκαλύπτεται, ἡ δὲ ὡς ἀναξίους ἡμᾶς ἀποφυγεῖν ἰσχυρίζεται. καὶ σιωπῶ τούτων τῶν γυναίων τὰς οἰμωγὰς καὶ τῶν παίδων τῶν ἡμετέρων τὰ δάκρυα, οἷς νῦν, ὡς ὁρᾶτε, περιαλγήσας μηκῦναι τὸν λόγον οὐ δύναμαι. ἀλλ' ἐκεῖνο μόνον εἰπὼν παύσομαι, ὡς ἐπάνοδος ἡμῖν εἰς τὰ φίλτατα ταῦτα οὐκ ἔσται μὴ τῶν πολεμίων κρατήσασιν. ὧν ἐνθυμηθέντες ἄνδρες τε ἀγαθοὶ γίγνεσθε καὶ μὴ καταισχύνητε τὴν Γιζερίχου δόξαν."*

D *Τοσαῦτα εἰπὼν Γελίμερ Τζάζωνα τὸν ἀδελφὸν ἐκέλευσε Βανδίλοις τοῖς μετ' αὐτοῦ ἐκ Σαρδοῦς ἥκουσι παραίνεσιν ἰδίᾳ ποιήσασθαι. ὁ δὲ αὐτοὺς ξυναγείρας μικρὸν ἄποθεν τοῦ στρατοπέδου ἔλεξε τοιάδε ,,Βανδίλοις μὲν ἅπασιν, ἄνδρες συστρα-*

3. ἐσφάλημεν] ἐσφάλομεν AHL: illud Hm et L correctus. 4. ταὐτὰ AHm. ταῦτα P. 10. ἡμῖν] ὑμῖν L. 17. γίγνεσθε] γίνεσθε L. 21. ξυναγείρας] ξυνεγείρας H.

re timor periculi nequit. Iamque abeat penitus superioris conflictus memoria. Neque enim nostra, sed adversae fortunae culpa nobis accidit illa belli offensio. At non idem semper est, immo vero mutatur quotidie fortunae cursus. Quid quod etiam gloriamur anteire nos hostibus fortitudine, et numero longe esse superiores, cum, ut apparet, plures decuplo simus. His addo multa ac magna, quae iam praesertim valere apud nos debent, incitamenta virtutis: maiorum nempe nostrorum gloriam, et ab ipsis relictam nobis amplissimam ditionem. Nam illa quidem sobolis degeneris vitio obscuratur, haec vero a nobis, tanquam indignis, dilabi, sine ulla dubitatione dicitur. Sileo coniugum, quae hic adsunt, lamenta, ac parvulorum lacrimas, quibus, ut videtis, permotus, orationem cogor abrumpere. Itaque finem dicendi faciam, id unum effatus, nunquam nobis, nisi victoribus, reditum ad haec carissima datum iri. Horum memores, pugnate viriliter, nec labem aspergite nomini Giserici.

Ita concionatus Gelimer, Tzazoni fratri mandavit, ut secum advectos e Sardinia Vandalos seorsum cohortaretur: quos ille, non procul a castris coactos, in hunc modum est allocutus. *Quae modo a Gelimere*

τιῶται, ὑπὲρ τούτων ὁ ἀγών ἐστιν, ὧν δὴ ἀρτίως λέγοντος τοῦ βασιλέως ἠκούσατε, ὑμῖν δὲ πρὸς τοῖς ἄλλοις ἅπασι καὶ πρὸς ὑμᾶς αὐτοὺς ἁμιλλᾶσθαι ξυμβαίνει. νενικήκατε γὰρ ἔναγχος ὑπὲρ τῆς ἡγεμονίας ἀγωνισάμενοι καὶ τὴν νῆσον ἀνεκτήσασθε τῇ Βανδίλων ἀρχῇ· ὥστε ὑμᾶς νῦν μείζω ποιεῖσθαι εἰκὸς τῆς ἀρετῆς τὴν ἐπίδειξιν. οἷς γὰρ ὑπὲρ τῶν μεγίστων ὁ κίνδυνος, μεγίστην εἶναι καὶ τὴν ἐς τοὺς πολεμίους προθυμίαν ἀνάγκη. οἱ μὲν γὰρ ὑπὲρ τῆς ἡγεμονίας ἀγωνιζόμενοι ἡσσηθέντες, ἂν οὕτω τύχοι, οὐκ ἐν τοῖς ἀναγκαιοτάτοις ἐσφάλησαν· οἷς δὲ ὑπὲρ τῶν ὅλων ἡ μάχη, πάντως ὁ βίος πρὸς τὸ τοῦ πολέμου ῥυθμίζεται πέρας, ἄλλως τε, P 240
ἢν μὲν ἄνδρες ἀγαθοὶ ἐν τῷ παρόντι γένησθε βεβαιοῦτε ὑμῖν αὐτοῖς ἀρετῆς ἔργον τὴν τοῦ τυράννου Γώδα γεγονέναι καθαίρεσιν· μαλακισθέντες δὲ νῦν καὶ τῆς ἐπ' ἐκείνοις εὐδοξίας ὡς οὐδὲν ὑμῖν προσηκούσης στερήσεσθε. καίτοι καὶ ἄλλως ἡμᾶς γε εἰκὸς τῶν λοιπῶν Βανδίλων ἐν ταύτῃ πλεονεκτεῖν τῇ μάχῃ. τοὺς μὲν γὰρ σφαλέντας ἡ προλαβοῦσα τύχη ἐκπλήσσει, οἱ δὲ οὐδὲν ἐπταικότες μετ' ἀκραιφνοῦς τοῦ θάρσους ἐς τὸν ἀγῶνα καθίστανται. κἀκεῖ- H 125
νο δὲ οἶμαι οὐκ ἄπο τρόπου εἰρήσεται, ὡς ἢν τῶν πολεμίων κρατήσωμεν, τὸ πλεῖστον τῆς νίκης ὑμεῖς ἀναδήσεσθε μέρος, σωτῆρας τε ὑμᾶς ἅπαντες τοῦ τῶν Βανδίλων καλέσουσιν ἔθνους. οἱ γὰρ σὺν τοῖς πρότερον ἠτυχηκόσιν εὐδοκιμοῦντες εἰκότως αὐτοὶ B

11. βεβαιοῦτε] βεβαιοῦταί H: illud Hm. βεβαιοῦται L. ibid. ὑμῖν Maltretus. Vulgo ἡμῖν. 19. ἀναδήσεσθε] ἀναδήσασθε H. ἀναδήσασθε L.

Rege audistis, commilitones, Vandalis quidem omnibus communem offerunt pugnandi caussam: sed vos praecipuam habetis promendi certatim vires prae caeteris. Et vero si nuper vobis pro regno pugnantibus victoria cessit, et in ditionem Vandalicam per vos insula rediit, eluceat iam magis virtus vestra oportet. Etenim qui de maximis rebus contendunt, ardore maximo hostem petere necesse habent. Certantibus quidem de principatu si vinci contigerit, nihil periit, quod sit admodum necessarium: cum autem armis de summa rerum decernitur, a belli exitu omnis vita pendet. Neque id leve est, quod, ut strenue pugnando, opinionem confirmabitis, quae Godae tyranni exitium ascribit virtuti vestrae, ita iam animum demittendo, ea laude, tanquam indebita, excidetis. At nos altius surgere, et in hoc praelio supra omnes Vandalos eminere debemus. Dum enim in bellum lapsos pristini casus recordatio deiicit, qui non offenderunt, integra pleni audacia pugnant. Neque hoc, ut equidem sentio, inepte quis dixerit, si victoriam consequamur, partem eius maximam, atque adeo gentis Vandalicae salutem vobis confessione publica ascribendam. Nam qui clarum et celebre facinus cum iis edunt, qui male rem ante gesserint, prae-

τὴν ἀμείνω σφετερίζονται τύχην. ταῦτα τοίνυν ἅπαντα λογιζομένους ὑμᾶς φημι χρῆναι παῖδάς τε καὶ γυναῖκας ἀπολοφυρομένους κελεύειν θαρσεῖν τε ἤδη καὶ τὸν θεὸν ἐς ξυμμαχίαν παρακαλεῖν, καὶ θυμῷ μὲν ἐπὶ τοὺς πολεμίους ἰέναι, τοῖς δὲ ὁμοφύλοις ἐς ταύτην ἡγεῖσθαι τὴν μάχην.“

γ'. Τοσαῦτα Γελίμερ τε καὶ Τζάζων παραινέσαντες ἐξῆγον τοὺς Βανδίλους, καὶ ἀμφὶ τὸν τοῦ ἀρίστου καιρὸν, οὐ προσδεχομένων Ῥωμαίων, ἀλλ' ἄριστον σφίσι παρασκευαζόντων, παρῆσαν καὶ παρὰ τὰς τοῦ ποταμοῦ ὄχθας ὡς ἐς μάχην ἐτάξαντο. ἔστι δὲ ποταμὸς ὁ ταύτῃ ῥέων ἀέναος μὲν, οὕτω δὲ τὸ
C *ῥεῦμα βραχὺς ὥστε οὐδὲ ὀνόματος ἰδίου πρὸς τῶν ἐπιχωρίων μεταλαγχάνει, ἀλλ' ἐν ῥύακος μοίρᾳ ὠνόμασται. τούτου δὴ τοῦ ποταμοῦ Ῥωμαῖοι ἐς τὴν ἑτέραν ὄχθην ὡς ἐκ τῶν παρόντων παρασκευασάμενοι ἧκον καὶ ἐτάξαντο ὧδε. κέρας μὲν τὸ ἀριστερὸν Μαρτῖνός τε καὶ Βαλεριανός τε καὶ Ἰωάννης Κυπριανός τε καὶ Ἀλθίας καὶ Μάρκελλος εἶχον καὶ ὅσοι ἄλλοι φοιδεράτων ἄρχοντες ἦσαν, τὸ δὲ δὴ δεξιὸν Πάππος τε καὶ Βαρβᾶτος καὶ Αἰγᾶν καὶ ὅσοι τῶν ἱππικῶν καταλόγων ἦρχον. κατὰ δὲ τὸ μέσον Ἰωάννης ἐτάσσετο, τούς τε ὑπασπιστὰς καὶ δορυφόρους Βελισαρίου*
V 389 *καὶ σημεῖον τὸ στρατηγικὸν ἐπαγόμενος. οὗ δὴ καὶ Βελισάριος*
D *εἰς καιρὸν ξὺν πεντακοσίοις ἱππεῦσιν ἀφίκετο, τοὺς πεζοὺς ὄπισθε βάδην προσιόντας ἀπολιπών. οἱ γὰρ Οὖννοι ἅπαντες ἐν ἄλλῃ ἐτάξαντο χώρᾳ, εἰθισμένον μὲν σφίσι καὶ πρότερον ἥκιστα ἐπιμί-*

8. *σφίσι* L. *σφίσιν* P. 9. *παρὰ* Pm. *περὶ* P. 10. *ἀέναος*] Vulgo *ἀέννασς*. 17. *Βαρβᾶτος*] *Βαρβάτος* P. 21. *πεντακοσίοις* L. *φ'* P. 23. *μὲν* om. L.

cipuam laudem merito referunt. His igitur a vobis mecum perpensis, officium vestrum esse dico, liberos atque uxores miserabiliter lamentantes iubere bono iam esse animo, ac divinam opem implorare. Vestrum etiam est hostem fortius adoriri, et in hoc praelio popularibus nostris praeire.

3. In hanc locuti sententiam Gelimer ac Tzazo, Vandalos educunt, et circa horam prandii, Romanis nec opinantibus, sed parando intentis prandio superveniunt. Mox aciem instruunt non procul a ripa fluvii, qui ibi labitur, perennis quidem, sed adeo tenuis, ut nullo ab indigenis donatus proprio nomine, rivus tantum dicatur. Ubi se pro re nata accinxerunt Romani, ad ripam alteram progressi, ita aciem ordinarunt. Cornu sinistrum tenebant Martinus, Valerianus, Ioannes, Cyprianus, Althias, Marcellus ac caeteri foederatorum duces; dexterum Pappus, Barbatus, Aigan, et quicunque numeris equestribus imperabant; in medio locatus est Ioannes cum scutariis, ipsisque hastatis Belisarii stipatoribus, ac vexillo Praetorio. Eodem Belisarius cum equitibus D. opportune venit, relicto, qui accedebat a tergo lentius, peditatu. Hunni seorsum omnes stabant, a Romanis disiuncti: at veteri quidem more, sed novo

γνῶσθαι τῷ Ῥωμαίων στρατῷ, τότε δὲ καὶ ἐν νῷ ἃ προδεδήλωται ἔχουσιν οὐκ ἦν βουλομένοις ξὺν τῇ ἄλλῃ στρατιᾷ τάσσεσθαι. Ῥωμαίοις μὲν οὖν τὰ τῆς τάξεως ὧδέ πη εἶχε. Βανδίλων δὲ κέρας μὲν ἑκάτερον οἱ χιλίαρχοι εἶχον, ἕκαστός τε ἡγεῖτο τοῦ ἀμφ' P 241
αὐτὸν λόχου, κατὰ δὲ δὴ τὸ μέσον Τζάζων ἦν ὁ τοῦ Γελίμερος ἀδελφός, ὄπισθε δὲ οἱ Μαυρούσιοι ἐτετάχατο. αὐτὸς μέντοι ὁ Γελίμερ πανταχόσε περιιὼν ἐνεκελεύετό τε καὶ ἐς εὐτολμίαν ἐνῆγε. προείρητο δὲ Βανδίλοις ὅπως μήτε δορατίῳ μήτε ἄλλῳ ὁτῳοῦν ὀργάνῳ ἐς ξυμβολὴν τήνδε, ὅτι μὴ τοῖς ξίφεσι, χρῆσθαι.

Χρόνου δὲ τριβέντος συχνοῦ καὶ μάχης οὐδενὸς ἄρχοντος Ἰωάννης τῶν ἀμφ' αὐτὸν ὀλίγους ἀπολέξας, Βελισαρίου γνώμῃ τόν τε ποταμὸν διέβη καὶ ἐς τοὺς μέσους ἐσέβαλεν, ἔνθα δὴ ὁ Τζάζων ὠθισμῷ χρησάμενος ἐδίωξεν αὐτούς. καὶ οἱ μὲν φεύγοντες ἐς τὸ σφῶν στρατόπεδον ἧκον, οἱ δὲ Βανδίλοι διώκοντες ἄχρι B
ἐς τὸν ποταμὸν ἦλθον, οὐ μέντοι διέβησαν. αὖθις δὲ Ἰωάννης πλείους τῶν Βελισαρίου ὑπασπιστῶν ἐπαγαγόμενος ἐς τοὺς ἀμφὶ τὸν Τζάζωνα ἐπεπήδησε, καὶ αὖθις ἐνθένδε ἀποκρουσθεὶς ἐς τὸ Ῥωμαίων στρατόπεδον ἀνεχώρησε, τὸ δὲ τρίτον ξὺν πᾶσι σχεδὸν τοῖς Βελισαρίου δορυφόροις τε καὶ ὑπασπισταῖς τὸ στρατηγικὸν σημεῖον λαβὼν τὴν ἐσβολὴν ἐποιήσατο ξὺν βοῇ τε καὶ πατάγῳ πολλῷ. τῶν δὲ βαρβάρων ἀνδρείως τε αὐτοὺς ὑφισταμένων καὶ μόνοις χρωμένων τοῖς ξίφεσι, γίνεται μὲν καρτερὰ ἡ μάχη, πίπτουσι δὲ Βανδίλων πολλοί τε καὶ ἄριστοι, καὶ Τζάζων αὐτὸς ὁ

12. ἐσέβαλεν] ἐσέβαλλεν HL. 16. ἐπαγαγόμενος A. ἐπαγόμενος P. 18. ἀνεχώρησε L. ἀνεχώρησεν P. 22. καρτερὰ L. κρατερὰ P.

etiam consilio, quod supra exposui, se ad reliquas turmas aggregare nolebant. Hic ordo aciei Romanae fuit. Vandalicae vero utrumque cornu obtinebant Tribuni, quorum quisque suum agmen ducebat. Erat in medio Tzazo Gelimeris frater: aciem a tergo Mauri claudebant. Gelimer quoquoversum volitans, hortabatur, atque animos acuebat, cum prius edixisset, ne Vandali in praelio vel hastili, vel alio quopiam telo, praeterquam gladio, uterentur.

Utrique diu steterant in conspectu, cum Ioannes, delecta suorum exigua manu, de sententia Belisarii, transgressus rivum, in mediam adversae aciei frontem incurrit. Sed retrusos insecutus est Tzazo: atque hi quidem fuga ad suam aciem se recepere: Vandali vero, qui instabant, ad rivum provecti, non transierunt. Iterum Ioannes maiori numero scutariorum Belisarii succinctus, in Tzazonem invehitur: inde iterum repulsus, ad Romanos recurrit. Denique omni fere satellitio Belisarii septus, accepto etiam vexillo Praetorio, cum clamore fremituque ingenti, tertium irruit. Viriliter Barbari impressionem excipiunt, contenti gladiis: acerrime dimicatur. Multi occumbunt Vandali, iique lectissimi: inter hos Tza-

τοῦ Γελίμερος ἀδελφός. τότε δὴ ἅπαν τὸ Ῥωμαίων στράτευμα
C ἐκινήθη καὶ τὸν ποταμὸν διαβάντες ἐπὶ τοὺς πολεμίους ἐχώρησαν,
ἥ τε τροπὴ ἀρξαμένη ἀπὸ τοῦ μέσου λαμπρὰ ἐγεγόνει· τοὺς γὰρ
κατ' αὐτοὺς οὐδενὶ πόνῳ ἐτρέψαντο ἕκαστοι. ἃ δὴ ὁρῶντες οἱ
Μασσαγέται κατὰ τὰ σφίσι ξυγκείμενα σὺν τῷ Ῥωμαίων στρατῷ
τὴν δίωξιν ἐποιήσαντο, οὐκ ἐπὶ πολὺ μέντοι ἡ δίωξις ἥδε ἐγεγό-
νει. οἵ τε γὰρ Βανδίλοι ἐς τὸ σφέτερον στρατόπεδον κατὰ τάχος
ἐσελθόντες ἡσύχαζον καὶ οἱ Ῥωμαῖοι, οὐκ ἂν οἰόμενοι ἐν τῷ χα-
ρακώματι πρὸς αὐτοὺς διαμάχεσθαι οἷοί τε εἶναι, τούς τε νε-
κροὺς ὅσοι ἐχρυσοφόρουν ἀπέδυσαν καὶ ἐς τὸ σφῶν στρατόπεδον
ἀνεχώρησαν. ἀπέθανον δὲ ἐν ταύτῃ τῇ μάχῃ Ῥωμαίων μὲν ἥσ-
σους ἢ πεντήκοντα, Βανδίλων δὲ ὀκτακόσιοι μάλιστα.
D Βελισάριος δέ, τῶν πεζῶν οἱ ἀφικομένων ἀμφὶ δείλην ὀψίαν
H 126 ἄρας, ὡς εἶχε τάχους, παντὶ τῷ στρατῷ ᾔει ἐπὶ τὸ τῶν Βανδί-
λων στρατόπεδον. Γελίμερ τε γνοὺς Βελισάριον ξύν τε τοῖς πε-
ζοῖς καὶ τῷ ἄλλῳ στρατῷ ἐπ' αὐτὸν αὐτίκα ἰέναι, οὐδὲν οὔτε εἰ-
πὼν οὔτε ἐντειλάμενος ἐπί τε τὸν ἵππον ἀναθρώσκει καὶ τὴν ἐπὶ
Νουμίδας φέρουσαν ἔφευγε. καὶ αὐτῷ οἵ τε ξυγγενεῖς καὶ τῶν
οἰκετῶν ὀλίγοι τινὲς εἵποντο καταπεπληγμένοι τε καὶ τὰ παρόντα
ἐν σιγῇ ἔχοντες. καὶ χρόνον μέν τινα ἔλαθε Βανδίλους ἀποδρὰς
Γελίμερ, ἐπεὶ δὲ αὐτόν τε πεφευγέναι ᾔσθοντο ἅπαντες καὶ οἱ
πολέμιοι ἤδη καθεωρῶντο, τότε δὴ οἵ τε ἄνδρες ἐθορύβουν καὶ
τὰ παιδία ἀνέκραγε καὶ αἱ γυναῖκες ἐκώκυον. καὶ οὔτε χρημάτων

1. τὸ ῥωμαίων LHm. τῶν Ῥωμαίων HP. 8. ἐσελθόντες HL. εἰσελθόντες P. 17. ἐπί τε] τε om. L. 23. οὔτε] οὐδὲ P.

zo ipse, Gelimeris frater. Tum Romanus omnis exercitus movere se loco, transilire rivum, hostem petere. Iis, qui inter cornu utrumque erant, inclinari coeptis, aperte omnes dederunt terga, cum a quoque sibi opposito in fugam facile verterentur. Quo animadverso, Massagetae cum Rom. exercitu, ex constituto, ruunt in fugientes. At non longe processum est. Nam sua Vandali castra ingressi propere, quieverunt: Romani, rem illic geri non posse rati, mortuis, quotquot auro fulgebant, spoliatis, in castra rediere. E nostris in hoc praelio L. minus, Vandali circiter DCCC. desiderati sunt.

Tandem Belisarius, accepto peditatu, sub vesperam movit, et cum omnibus copiis, quam celerrime potuit, ad Vandalorum castra contendit. Eum simul ac Gelimer adesse cum peditatu reliquoque exercitu intellexit, tacitus, nec mandatum ullum relinquens, in equum insilit, ac Numidiam versus evadit, propinquis pauculisque famulis trepide ac silentio comitantibus. Vandalos omnes Gelimeris fuga latuit aliquandiu: ea vero cognita, cum hostis iam appareret, virorum ilicet audiri tumultus, puerorum clamor, matrum ululatus: abire omnis cura opum, et capitum ca-

παρόντων μετεποιοῦντο οὔτε τῶν φιλτάτων ὀδυρομένων σφίσιν P 242 ἔμελεν, ἀλλ' ἕκαστος ἔφευγεν οὐδενὶ κόσμῳ ὅπη ἐδύνατο. ἐπελθόντες δὲ Ῥωμαῖοι τό τε στρατόπεδον ἀνδρῶν ἔρημον αὐτοῖς χρήμασιν αἱροῦσι καὶ ἐπιδιώξαντες τὴν νύκτα ὅλην ἄνδρας μὲν ὅσοις ἐντύχοιεν ἔκτεινον, παῖδας δὲ καὶ γυναῖκας ἐποιοῦντο ἐν ἀνδραπόδων λόγῳ. χρήματα δὲ τοσαῦτα τὸ πλῆθος ἐν τούτῳ τῷ στρατοπέδῳ εὗρον ὅσα οὐδεπώποτε ἔν γε χωρίῳ ἑνὶ τετύχηκεν εἶναι. οἵ τε γὰρ Βανδίλοι ἐκ παλαιοῦ τὴν Ῥωμαίων χώραν ληισάμενοι συχνὰ χρήματα ἐς Λιβύην μετήνεγκαν καὶ τῆς χώρας αὐτοῖς ἀγαθῆς ἐν τοῖς μάλιστα οὔσης καρποῖς τε τοῖς ἀναγκαιοτάτοις ἐς ἄγαν εὐθηνούσης, τὰς τῶν χρημάτων προσόδους ξυνέβη, αἵ γε B ἐκ τῶν ἐκείνῃ γινομένων ἀγαθῶν ἠγείροντο, οὐκ ἐς ἑτέραν τινὰ V 390 δαπανᾶσθαι χώραν ἐμπορίᾳ τῇ τῶν ἐπιτηδείων, ἀλλ' αὐτὰς ἀεὶ οἱ τὰ χωρία κεκτημένοι προσεποιοῦντο ἐς πέντε καὶ ἐνενήκοντα ἔτη, ἐν οἷς δὴ Λιβύης οἱ Βανδίλοι ἦρξαν. καὶ ἀπ' αὐτοῦ ἐς πάμπολυ χρῆμά τι ὁ πλοῦτος χωρήσας ἐκείνῃ τῇ ἡμέρᾳ ἐς τῶν Ῥωμαίων τὰς χεῖρας ἐπανῆκεν αὖθις. ἡ μὲν οὖν μάχη καὶ δίωξις ἥδε καὶ τοῦ Βανδίλων στρατοπέδου ἡ ἅλωσις τρισὶ μησὶν ὕστερον γέγονεν ἢ ὁ Ῥωμαίων στρατὸς ἐς Καρχηδόνα ἦλθε, μεσοῦν- C τος μάλιστα τοῦ τελευταίου μηνὸς, ὃν Δεκέμβριον Ῥωμαῖοι καλοῦσι.

δ'. Τότε δὲ κατιδὼν Βελισάριος τὸ Ῥωμαίων στράτευμα πλημμελῶς τε καὶ ξὺν πολλῇ ἀκοσμίᾳ φερόμενον ἤσχαλλε, δει-

1. οὔτε] οὐδὲ P. 4. ὅσοις] ὅσους HL. ὅστις Hm. 6. τῷ στρατοπέδῳ] τῷ om. L. 12. γινομένων L. γενομένων P. 14. ἐνενήκοντα L. ἐννενήκοντα P. 23. ξὺν πολλῇ] ξυμπολλῇ L.

rissimorum plorantium: qua quisque poterat, turbate sese effundere. Accedunt Romani, desertisque castris et gaza potiuntur: deinde in fugientes converso impetu, totam noctem, quoscunque viros offendunt, mactant, pueros ac feminas servituti addicunt. Caeterum in castris illis pecuniae vis tanta reperta est, quanta nulla unquam uno in loco. Siquidem Vandali iam inde olim crebris direpto incursionibus Romano Imperio, grandes auri acervos in Africam transvexerant. Praeterquam quod cum uberrima sit regio, frugibusque ad vitae usus maxime necessariis abundet, proventum pecuniae, quam inde conficiebant, nunquam alio annonae causa distraxerant, sed ibi congesserant, praediis fruiti per annos xcv. quandiu Vandali in Africa regnarunt. Itaque auctae in immensum divitiae, in manus Romanorum eo die redierunt; quo edita pugna, fugati, castrisque exuti sunt Vandali, elapso ab exercitus Romani in urbem Carthaginem adventu trimestri spatio, iamque ad dimidium acto mense ultimo, quem Romani Decembrem vocant.

4. Tum Belisarius, Romanos videns temere et incomposite evagari, id molestissime ferebat. Nox eum tota sollicitum habuit, ne coirent ite-

μαίνων τὴν νύκτα ὅλην μὴ οἱ πολέμιοι, ξυμφρονήσαντές τε καὶ D ἐπ' αὐτοὺς ξυνιστάμενοι, τὰ ἀνήκεστα αὐτοὺς δράσωσιν. ὅπερ εἰ γενέσθαι τρόπῳ ὅτῳ δὴ τηνικαῦτα ξυνέπεσεν, οἶμαι ἂν Ῥωμαίων οὐδένα διαφυγόντα ταύτης δὴ τῆς λείας ἀπόνασθαι. οἱ γὰρ στρατιῶται πένητες ἄνθρωποι κομιδῇ ὄντες καὶ χρημάτων μὲν ἐς ἄγαν μεγάλων, σωμάτων δὲ ὡραίων τε καὶ ὑπερφυῶς εὐπρεπῶν κύριοι ἐκ τοῦ αἰφνιδίου γεγενημένοι κατέχειν τὴν διάνοιαν οὐκέτι ἐδύναντο οὐδὲ κόρον τινὰ τῶν σφίσι παρόντων εὑρεῖν, ἀλλ' οὕτως ἐμέθυον, καταβεβρεγμένοι τοῖς ὑπάρχουσιν εὐτυχήμασιν, ὥστε τούτων ἕκαστος ἅπαντα ἄγων ἐς Καρχηδόνα ἀναστρέφειν P 243 ἐβούλοντο. καὶ περιήρχοντο οὐ κατὰ συμμορίας, ἀλλὰ κατὰ ἕνα ἢ δύο, ὅπη ποτὲ αὐτοὺς ἡ ἐλπὶς ἄγοι, ἅπαντα κύκλῳ διερευνώμενοι ἔν τε νάπαις καὶ δυσχωρίαις καὶ εἴ που σπήλαιον παρατύχοι ἢ ἄλλο ὁτιοῦν ἐς κίνδυνον ἢ ἐνέδραν ἄγον. οὐδὲ γὰρ αὐτοὺς τῶν πολεμίων φόβος οὐδὲ ἡ Βελισαρίου αἰδὼς ἐσῄει οὐδὲ ἄλλο τῶν πάντων οὐδὲν, ὅτι μὴ ἡ τῶν λαφύρων ἐπιθυμία. ταύτης τε ὕπο βιαζόμενοι ἐς ὀλιγωρίαν τῶν ἄλλων ἁπάντων ἐτράποντο. ἃ δὴ ἅπαντα ἐν νῷ ποιούμενος Βελισάριος ἐν ἀπόρῳ εἶχεν ᾗ τὸ παρὸν θέσθαι. ἅμα δὲ ἡμέρᾳ ἐπὶ λόφου τινὸς τῆς ὁδοῦ ἀγχοῦ ἑστήκει, τήν τε οὐκέτι οὖσαν εὐκοσμίαν ἀνακαλούμενος καὶ πολλὰ B πᾶσι στρατιώταις τε ὁμοῦ καὶ ἄρχουσι λοιδορούμενος. τότε δὴ ὅσοις τετύχηκε πλησίον που εἶναι, καὶ μάλιστα οἱ τῆς Βελισαρίου οἰκίας ὄντες, τὰ μὲν ὑπάρχοντα σφίσι χρήματά τε καὶ ἀνδράποδα

5. πένητες AL. πάντες P. 17. ὕπο βιαζόμενοι Grotius. ὑποβιαζόμενοι P. ὕπο βιαζόμενος HL, 18. ἀπόρῳ] ἀπόῤῥῳ A. ibid. ᾗ] ἡ HL. Conf. p. 256 c.

rum hostes, factoque impetu, illos opprimerent. Certe si tunc temporis impressionem quoque modo dedissent, nostrorum nemo, ut equidem arbitror, evasisset hinc, auctus praeda. Milites enim, ut erant omnes oppido homines, et affectionibus humanis obnoxii, cum et ingentes divitias, et corpora singulari forma praedita, in suam repente potestatem redacta cernerent, animum nec tenere, nec oblatis explere poterant: sed dulci fortuna ebrii, ita efferebantur, ut quisque obvia quaeque rapiens, Carthaginem redire vellet. Quacunque spes praedae duceret, non manipulatim, at seorsum singuli, vel bini simul errabant, in saltibus ac deruptis locis, et sicubi speluncam, vel angulum insidiis aptum offenderent, ibi omnia scrutabantur; metum hostium, Belisarii reverentiam, aliam demum quamlibet cogitationem expellente praedae cupiditate: qua victi, caetera flocci faciebant. Haec secum considerans Belisarius, quid e re nata statueret, nesciebat. Ut illuxit, proximum viae tumulum ascendit, et ordinem iam dilapsum instaurans, omnes, cum milites, tum duces, graviter increpuit. Quicunque in vicino erant, maximeque domestici Belisarii,

ξὺν τοῖς ὁμοσκήνοις τε καὶ ὁμοτραπέζοις ἐς Καρχηδόνα ἔπεμπον,
αὐτοὶ δὲ παρὰ τὸν στρατηγὸν ἰόντες τῶν σφίσι παραγγελλομένων
κατήκουον.

Ὁ δὲ Ἰωάννην μὲν τὸν Ἀρμένιον ξὺν διακοσίοις ἐκέλευε Γε-
λίμερι ἕπεσθαι, καὶ μήτε νύκτα μήτε ἡμέραν ἀνιέντας διώκειν,
ἕως αὐτὸν ζῶντα ἢ νεκρὸν λάβοιεν. ἐς δὲ Καρχηδόνα τοῖς ἐπι-
τηδείοις ἐπέστελλε Βανδίλοις, ὅσοι ἐς τὰ ἀμφὶ τὴν πόλιν χωρία
ἐν ἱεροῖς ἱκέται ἐκάθηντο, πιστὰ διδοῦσι καὶ τὰ ὅπλα, ὅπως μή
τι νεωτερίσωσιν, ἀφελομένοις ἔς τε τὴν πόλιν ἐσαγαγοῦσιν ἔχειν, C
ἄχρις αὐτὸς ἔλθοι. ξὺν δὲ τοῖς λειπομένοις πανταχόσε περιιὼν
τούς τε στρατιώτας σπουδῇ ἤγειρε καὶ Βανδίλοις τοῖς ἀεὶ ἐν ποσὶ
πίστεις ὑπὲρ σωτηρίας ἐδίδου. οὐ γὰρ ἔτι ἦν Βανδίλων οὐδένα, H 127
ὅτι μὴ ἐν τοῖς ἱεροῖς, ἱκέτην λαβεῖν. ὧν δὴ τὰ ὅπλα ἀφαιρού-
μενος, ξὺν στρατιώταις φυλάσσουσιν ἐς Καρχηδόνα ἔστελλεν,
οὐ διδοὺς καιρὸν σφίσιν ἐπὶ Ῥωμαίους ξυνίστασθαι. καὶ ἐπεὶ
ἅπαντά οἱ ὡς ἄριστα εἶχεν, ἐπὶ Γελίμερα καὶ αὐτὸς ξὺν τῷ
πλείονι τοῦ στρατοῦ κατὰ τάχος ᾔει. ὁ δὲ Ἰωάννης ἐς πέντε
ἡμέρας τε καὶ νύκτας τὴν δίωξιν ποιησάμενος οὐ πόρρω
ἀπὸ Γελίμερος ἤδη ἐγεγόνει, ἀλλά οἱ τῇ ὑστεραίᾳ ἔμελλεν
ἐς χεῖρας ἰέναι. ἐπεὶ δὲ οὐκ ἔδει Γελίμερα Ἰωάννῃ ἁλῶ- D
ναι, τύχης ἐναντίωμα ξυνηνέχθη τοιόνδε. ἐν τοῖς ξὺν Ἰω- V 391
άννῃ διώκουσιν Οὐλίαριν τὸν Βελισαρίου δορυφόρον τετύχηκεν
εἶναι. ἦν δὲ οὗτος ἀνὴρ θυμοειδὴς μὲν καὶ πρὸς ἀλκὴν ψυχῆς

9. ἀφελομένοις P et Grotius. ἀφελομένους HL.

praedam ac mancipia cum contubernalibus et sodalibus suis Carthaginem mittunt: mox ad Magistrum militum adeuntes, dictis obtemperant.

Ille Ioannem Armenium cum cc. instare Gelimeri iubet, nec diu, nec noctu interspirare, donec vivum aut mortuum ceperint. Tum suis, qui Carthagine erant, familiaribus mandavit uti Vandalos, in templis suburbanis supplices, data fide, exarmarent, ne quid novi moverent, eosque in urbem inductos, ad suum reditum asservarent. Ipse cum reliquis circumvolans, sparsos milites magno studio colligebat; obviis quibusque Vandalis fidem dabat, vim abfuturam. Nec vero Vandalum quemquam iam capere erat, nisi in templis supplicem. Eos armis exutos, cum militari custodia mittebat Carthaginem, spatium ipsis subtrahens colligendi sese, ut Romanis resisterent. Rebus omnibus bene compositis, ipse quoque in Gelimerem magnis itineribus vadit, copiarum parte maxima stipatus. Ioannes diebus v. totidemque noctibus Gelimerem insecutus, ac iam fere assecutus, cum eo postridie congressurus erat. Sed nolente Deo ut Gelimer in manus Ioannis veniret, coepta casus hic adversus turbavit. Inter eos, qui cum Ioanne Gelimerem persequebantur, erat Belisarii Praetorianus Uliaris, vir quidem fortis, et animi corporisque

τε καὶ σώματος ἱκανῶς πεφυκώς, οὐ λίαν δὲ κατεσπουδασμένος, ἀλλ' οἴνῳ τε καὶ γελοίοις ὡς τὰ πολλὰ χαίρων. οὗτος Οὐλίαρις ἡμέρᾳ τῆς διώξεως ἕκτῃ οἰνωμένος ἀμφὶ ἡλίου ἀνατολὰς ὄρνιν τινὰ ἐπὶ δένδρου καθήμενον εἶδε, καὶ τὸ τόξον κατὰ τάχος ἐντείνας κατὰ τοῦ ὄρνιθος ἠφίει τὸ βέλος. καὶ τοῦ μὲν ὄρνιθος ἀποτυγχάνει, Ἰωάννην δὲ ὄπισθεν ἐς τὸν αὐχένα οὔτι ἑκουσίως
P 244 βάλλει. ὁ δὲ καιρίαν τυπεὶς, ἐξ ἀνθρώπων χρόνῳ ὀλίγῳ ὕστερον ἠφανίσθη, πολὺν αὐτοῦ πόθον βασιλεῖ τε Ἰουστινιανῷ καὶ Βελισαρίῳ τῷ στρατηγῷ καὶ Ῥωμαίοις ἅπασι καὶ Καρχηδονίοις ἀπολιπών. ἀνδρείας τε γὰρ καὶ τῆς ἄλλης ἀρετῆς εὖ ἥκων, πρᾶόν τε τοῖς ἐντυγχάνουσι παρεῖχεν αὑτὸν καὶ ἐπιεικέστατον οὐδενὸς ἧσσον. Ἰωάννης μὲν οὖν τὴν πεπρωμένην οὕτως ἀνέπλησεν. Οὐλίαρις δὲ ἐπεὶ ἐν ἑαυτῷ ἐγεγόνει, ἐς κώμην τινὰ πλησίον που οὖσαν καταφυγὼν ἐν τῷ κατὰ ταύτην ἱερῷ ἱκέτης ἐκάθητο· οἱ δὲ στρατιῶται Γελίμερα διώκειν οὐκέτι ὥρμηντο, ἀλλ' Ἰωάννην μὲν ἕως περιῆν ἐθεράπευον, ἐπεὶ δὲ ἐκεῖνος ἐτελεύτησε, τά τε νομιζόμενα ἐς τὴν αὐτοῦ ὁσίαν ἐποίουν καὶ τὸν πάν-
B τα λόγον Βελισαρίῳ δηλώσαντες αὐτοῦ ἔμενον. ὃς, ἐπειδὴ τάχιστα ἤκουσεν, ἔς τε τὸν Ἰωάννου τάφον ἀφίκετο καὶ τὸ ἐκείνου πάθος ἀπέκλαιεν. ἀποκλαύσας δὲ καὶ περιαλγήσας τῇ πάσῃ ξυμφορᾷ πολλοῖς τε ἄλλοις καὶ χρημάτων προσόδῳ τὸν Ἰωάννου τάφον ἐτίμησε. δεινὸν μέντοι Οὐλίαριν οὐδὲν ἔδρασεν, ἐπεὶ οἱ

ῶς
1. ἱκανῶς] ἱκανὸς L, ῶς a m. sec. ἱκανὸς P. 8. πολὺν] πολλὴν L. ibid. αὐτοῦ] αὑτοῦ P. 11. αὑτὸν] αὐτὸν L. ibid. ἐπιεικέστατον] ἐπιεικήστατον A a m. sec. 13. Οὐλίαρις] οὐλίαρος HL: illud Hm. 21. ξυμφορᾷ] συμφορᾷ L.

robore singulari praeditus, at idem parum bene moratus, et scurrili dicacitati vinoque deditissimus. Hic die sexto susceptae in fugientem Gelimerem incursionis, circa solis exortum, cum ebrius avem in arbore sedentem vidisset, intento statim arcu, sagittaque eo impulsa, aberrat a volucri; Ioanni vero cervicem transverberat imprudens. Letali ille accepta plaga, haud multo post efflavit animam, magno sui relicto desiderio Iustiniano Imp. Belisario Magistro mil. Romanis omnibus, adeoque ipsis Carthaginiensibus: vir animi magnitudine ac militari virtute inclytus, comitate in obvium quemque et mansuetudine nulli secundus. Ita porro Ioannes fatum implevit. Ubi ad se rediit compos animi factus Uliaris, in vicum proximum fuga elapsus, se eius templo commisit. Milites, omisso Gelimeris insequendi consilio, Ioanni, quandiu spiravit, curationem adhibuerunt: mortuo iusta solverunt, ac re Belisario nuntiata, ibi substiterunt. Primo ille accepto nuntio, confestim ad Ioannis tumulum sese contulit, eiusque infelici casui illacrimavit. Quo defleto, non sine gravi dolore, praeter alia multa, annuo pecuniae censu sepulcrum Ioannis cohonestavit; Uliarin abire impune passus, quod milites assevera-

στρατιῶται Ἰωάννην σφίσιν ἐπισκῆψαι ὅρκοις ἔφασκον δεινοτάτοις μηδεμίαν ἐς αὐτὸν γενέσθαι τίσιν, ἅτε οὐκ ἐκ προνοίας τὸ μίασμα ἐργασάμενον.

Ταύτῃ μὲν οὖν Γελίμερ διαφεύγει τὸ μὴ ὑπὸ τοῖς πολεμίοις ἐκείνῃ τῇ ἡμέρᾳ γενέσθαι. Βελισάριος δὲ αὐτὸν τὸ ἐντεῦθεν ἐδίωκεν, ἐς πόλιν τε Νουμιδῶν ἐχυρὰν, ἐπὶ θαλάσσῃ κειμένην, ἀφικόμενος, δέκα ἡμερῶν ὁδῷ Καρχηδόνος διέχουσαν, ἣν δὴ Ἱππονερέγιον καλοῦσιν, ἔμαθε Γελίμερα ἐς Παππούαν τὸ C ὄρος ἀναβάντα οὐκέτι ἁλώσιμον Ῥωμαίοις εἶναι. τοῦτο δὲ τὸ ὄρος ἐστὶ μὲν ἐν τοῖς Νουμιδίας ἐσχάτοις ἀκρότομόν τε ἐπὶ πλεῖστον καὶ δεινῶς ἄβατον (πέτραι γὰρ ὑψηλαὶ ἐς αὐτὸ πανταχόθεν ἀνέχουσι), κατῴκηνται δὲ ἐν αὐτῷ Μαυρούσιοι βάρβαροι, οἵ τῷ τε Γελίμερι φίλοι τε καὶ ἐπίκουροι ἦσαν, καὶ πόλις ἀρχαία Μηδεὸς ὄνομα παρὰ τοῦ ὄρους τὰ ἔσχατα κεῖται. ἐνταῦθα Γελίμερ ξὺν τοῖς ἑπομένοις ἡσύχαζε. Βελισάριος δὲ (οὐδὲ γὰρ τοῦ ὄρους ἀποπειράσασθαι ἄλλως τε καὶ χειμῶνος ὥρᾳ οἷός τε ἦν, ἔτι τέ οἱ τῶν πραγμάτων ᾐωρημένων καὶ Καρχηδόνος ἀπολελεῖ- D φθαι ἀξύμφορον ἐνόμιζεν εἶναι) στρατιώτας τε ἀπολεξάμενος καὶ ἄρχοντα Φάραν τῇ τοῦ ὄρους προσεδρείᾳ κατέστησεν. ἦν δὲ ὁ Φάρας οὗτος δραστήριός τε καὶ λίαν κατεσπουδασμένος καὶ ἀρετῆς εὖ ἥκων, καίπερ Ἔρουλος ὢν γένος. ἄνδρα δὲ Ἔρουλον μὴ ἐς ἀπιστίαν τε καὶ μέθην ἀνεῖσθαι, ἀλλ' ἀρετῆς μεταποιεῖσθαι, χαλεπόν τε καὶ ἐπαίνου πολλοῦ ἄξιον. Φάρας δὲ οὐ μόνος τῆς

5. αὐτὸν τὸ] τὸ om. L. αὐτόν τε Grotius. 8. Ἱππονερέγιον] ἵππον ἐρέγιον HL. ἱππονεράγιον A. Ἱππῶνα ῥέγιον P cum Hm. 13. Γελίμερι] γελίμερ L. 14. μηδεὸς L. μηδενὸς P. Medeos RV. 23. μόνος] μόνον Hm et L corr.

rent, gravissimo iureiurando se a Ioanne devinctos, nullam ex eo poenam, quippe lapso per imprudentiam, sumptum iri.

Quo factum est, ut eo die Gelimer hostes evaserit. Illum deinceps insequens Belisarius, cum Hipponem Regium, urbem Numidiae maritimam, munitam, ac dierum iter decem Carthagine dissitam pervenisset, cognovit non posse a Romanis capi Gelimerem, occupato iam monte Pappua: qui in finibus Numidiae situs, verticem admodum praeruptum et inaccessum habet, arduis eminentibus undique scopulis. Eum Mauri Barbari incolunt, quibuscum Gelimer amicitia ac societate coniunctus erat. Montem extremum insidet Medenus, urbs antiqua; ubi Gelimer cum comitatu se continebat. At Belisarius, cum tentare montem nequiret, praesertim hieme, nec sine damno se abesse posse Carthagine existimaret, rebus adhuc pendentibus, montis obsidionem delectis militibus ac duci Pharae demandat. Gnavus erat vir Pharas, et quamvis Erulus, cordatus tamen ac virtute praestans. Rarum sane est, maximaque dignum commendatione, si quis Erulus nec perfidus, nec ebriosus, sed

εὐκοσμίας ἀντείχετο, ἀλλὰ καὶ Ἐρούλων ὅσοι αὐτῷ εἵποντο. τοῦ-
τον δὴ τὸν Φάραν ἐς τὸν τοῦ ὄρους πρόποδα Βελισάριος καθῆ-
σθαι τὴν τοῦ χειμῶνος ὥραν ἐκέλευε καὶ φυλακὴν ἀκριβῆ ἔχειν,
P 245 ὡς μήτε τὸ ὄρος ἀπολιπεῖν Γελίμερι δυνατὰ εἴη μήτε τι τῶν ἀναγ-
καίων ἐς αὐτὸ ἐσκομίζεσθαι. καὶ Φάρας μὲν κατὰ ταῦτα ἐποίει.
Βελισάριος δὲ Βανδίλους, ὅσοι ἐς τὸν Ἱππονερέγιον πρὸς τοῖς
ἱεροῖς ἱκέται ἐκάθηντο, πολλοί τε καὶ ἄριστοι, ἀνέστησέ τε πι-
στὰ λαβόντας καὶ ἐς Καρχηδόνα ξὺν φυλακῇ ἔπεμψεν. ἐνταῦθα
δὲ αὐτῷ καί τι τοιόνδε ξυμπεσεῖν ἔτυχεν.
H 123 Ἐν τῇ Γελίμερος οἰκίᾳ γραμματεὺς ἦν τις Βονιφάτιος Λί-
βυς, ἐκ Βυζακίου ὁρμώμενος, πιστὸς τῷ Γελίμερι ἐς τὰ μάλιστα.
τοῦτον δὴ τὸν Βονιφάτιον Γελίμερ κατ' ἀρχὰς τοῦδε τοῦ πολέμου
ἐς ναῦν ἐμβιβάσας ἄριστα πλέουσαν, ἐν ταύτῃ τε ἅπαντα τὸν
B βασιλικὸν πλοῦτον ἐνθέμενος, ἐκέλευεν ἐς τὸν τοῦ Ἱππονερεγίου
V 392 λιμένα ὁρμίζεσθαι, ἢν τὰ πράγματα σφίσιν οὐκ εὖ καθιστάμενα
ἴδοι, τά τε χρήματα ἔχοντα πλεῖν κατὰ τάχος ἐς Ἱσπανίαν, παρὰ
Θευδίν τε ἀφικέσθαι τὸν τῶν Οὐισιγότθων ἡγούμενον, ἔνθα δὴ
καὶ αὐτὸς διασώζεσθαι ἐκαραδόκει, πονηρᾶς γινομένης Βανδίλοις
τῆς τοῦ πολέμου τύχης. Βονιφάτιος δέ, ἕως μὲν τὰ Βανδίλων
ἐλπίδα εἶχεν, αὐτοῦ ἔμενεν· ἐπεὶ δὲ τάχιστα ἡ ἐν Τρικαμάρῳ
μάχη καὶ τὰ ἄλλα ἅπερ ἐρρήθη ἐγεγόνει, ἄρας τὰ ἱστία ἔπλει κα-

2. πρόποδα] πρόποδον L. 6. ἐς τὸν H. ἐς τὸ L. Articulum om. P. ibid. Ἱππονερέγιον] ἵππον ἐρέγιον HL. ἱπποναράγιον A. Ἱππῶνα ῥέγιον P cum Hm. 8. ξὺν LHm. σὺν A et Maltretus. ἐς HP. ibid. φυλακῇ AL et Maltretus. φυλακὴν HP. φυλακῶν Hm, quod fraudi fuit Reiskio ad Constantin. Porphyrog. vol. 2 p. 776. 18. πονηρᾶς] πονήρας P. 21. ἐρρήθη] ἐῤῥέθη P.

virtutis sit compos. Neque haec moderationis laus uni Pharae propria fuit, verum omnibus communis Erulis, qui sub ipso merebant. Quamobrem huic Belisarius, uti ad montis radices stativa haberet hieme, ac diligenti provideret custodia, ne Gelimeri e monte effugium, neu commeatui ad illum aditus pateret, edixit. Nec defuit mandatis Pharas. Quotquot autem in Hipponis Regii templa confugerunt Vandali, qui plurimi certe et optimates erant, Belisarius, data fide, inde illos amovit, et Carthaginem custodiendos misit. Ibidem hoc ipsi evenit.

Erat in numero domesticorum Gelimeris Bonifacius scriba, natione Afer, ortu Byzacenus, quem Gelimer sibi fidissimum expertus, belli huius initio in navem expeditissimam eum omni regia gaza imposuerat, iusseratque Hipponem Regium appellere, ac si rem Vandalicam labare cerneret, iisdem cum opibus in Hispaniam cursum maturare, et Visigothorum principem Theudin adire: quo et ipse evasurum se salvum sperabat, si belli fortuna Vandalis male cederet. Ibi quidem tamdiu substitit Bonifacius, quandiu spe aliqua res Vandalorum subnixae sunt; statim autem post Tricamarensem pugnam, et caetera, quae narravimus,

θάπερ οἱ ἐπέστελλε Γελίμερ. ἀλλὰ πνεύματος αὐτὸν ἐναντίωμα εἰς τὸν τοῦ Ἱπποτερεγίου λιμένα οὔτι ἑκούσιον αὖθις ἤνεγκεν. ὡς δὲ τοὺς πολεμίους ἀγχοῦ ἤδη που ἠκηκόει εἶναι, τοὺς ναύτας C πολλὰ ὑποσχόμενος ἐλιπάρει ἐς ἄλλην τινὰ ἤπειρον ἢ νῆσον βιασαμένους ἰέναι. οἱ δὲ (οὐ γὰρ ἐδύναντο χειμῶνος σφίσι χαλεποῦ λίαν ἐπιπεσόντος καὶ τὸ τῆς θαλάσσης ῥόθιον, ἅτε ἐν Τυρρηνικῷ πελάγει, ἐς ὕψος μέγα ἐγείροντος) τότε δὴ αὐτοί τε καὶ Βονιφάτιος ἐς ἔννοιαν ἦλθον ὡς ἄρα ὁ θεὸς τὰ χρήματα Ῥωμαίοις διδόναι ἐθέλων τὴν ναῦν οὐκ ἐῴη ἀνάγεσθαι. μόλις μέντοι τοῦ λιμένος ἔξω γενόμενοι ξὺν κινδύνῳ μεγάλῳ τὴν ναῦν ἀνεκώχευον. ὡς δὲ ἀφίκετο ἐς Ἱππονερέγιον Βελισάριος, πέμπει τινὰς παρ' αὐτὸν Βονιφάτιος. οὓς δὴ ἐν ἱερῷ καθῆσθαι ἐκέλευεν, ἐροῦντας μὲν ὡς πρὸς Βονιφατίου σταλεῖεν τοῦ τὰ Γελίμερος χρήματα ἔχοντος, ἀποκρυψομένους δὲ ὅπη ποτὲ εἴη, πρίν D γε δὴ τὰ πιστὰ λάβοιεν ὡς τὰ Γελίμερος χρήματα διδοὺς αὐτὸς ἀπαλλάξει κακῶν ἀπαθὴς, ἔχων ὅσα αὐτοῦ οἰκεῖα εἴη. καὶ οἱ μὲν ταῦτα ἔπρασσον, Βελισάριος δὲ ἥσθη τε τῇ ἀγγελίᾳ καὶ ὀμεῖσθαι οὐκ ἀπηξίου. στείλας τε τῶν ἐπιτηδείων τινὰς τόν τε Γελίμερος πλοῦτον ἔλαβε καὶ Βονιφάτιον ξὺν τοῖς χρήμασιν τοῖς αὐτοῦ ἀφῆκε, πάμπολύ τι χρῆμα τοῦ Γελίμερος συλήσαντα πλούτου.

ε'. Ἐπεὶ δὲ ἐς Καρχηδόνα ἀνέστρεφε, Βανδίλους τε ἅπαντας ἐν παρασκευῇ ἐποιεῖτο, ὅπως ἅμα ἦρι ἀρχομένῳ ἐς Βυζάν- P 246

2. Ἱππονερεγίου] ἱπποναραγίου Hm. ἵππων ἐραγίου L. 7. ἐγείροντος] ἀγείροντος A. 19. ξὺν L. σὺν P.

ex praescripto Gelimeris vela fecit. At reflans ventus in portum Hipponis Regii invitum repulit: ubi de adventu hostium certior factus, a nautis precibus ac promissis contendit, ut obnixi contra, alius continentis insulaeve compotes fierent. Sed cum frustra essent, procella gravissima incumbente, ac maris fluctus, ut fert natura Tyrrhenici pelagi, in immensum tollente, ipsis et Bonifacio in mentem venit agnoscere consilium Dei, qui volens opes illas Romanis dare, navi cursum negaret. Aegre portu evecti, in anchoris magno cum periculo steterunt. Simul Hipponem Regium attigit Belisarius, ad eum quosdam Bonifacius destinavit, in templum iussos perfugere, et declarare, se a Bonifacio missos, Gelimeris gazam habente secum, ac celare ubinam esset, donec fidem accepissent, ipsum, traditis Gelimeris opibus, abiturum incolumem, retentis suis. Illis mandata curantibus, eo laetus nuntio Belisarius fidem iureiurando sancitam dedit, ac per nonnullos e familiaribus, quos ad id misit, Gelimeris accepit divitias: Bonifacium cum suis dimisit, magnam partem auri Gelimeris depeculatum.

5. Reversus Carthaginem Belisarius, Vandalos omnes paratos esse voluit ad proficiscendum primo vere Byzantium: tum copias huc atque

τιον πέμψειε, καὶ στράτευμα ἔστελλεν ἐφ' ᾧ ἀνασώσοιντο Ῥω-
μαίοις ἅπαντα, ὧν Βανδίλοι ἦρχον. Κύριλλον μὲν οὖν ξὺν
πλήθει πολλῷ ἐς Σαρδὼ ἔπεμψε, τὴν Τζάζωνος κεφαλὴν ἔχοντα,
ἐπεὶ οἱ νησιῶται οὗτοι ἥκιστα προσχωρεῖν Ῥωμαίοις ἐβούλοντο,
δεδιότες τε τοὺς Βανδίλους καὶ οὐκ ἂν οἰόμενοι ἀληθῆ εἶναι ὅσα
σφίσι ξυνενεχθῆναι ἐν Τρικαμάρῳ ἐλέγετο. τούτῳ δὲ τῷ Κυ-
B ρίλλῳ ἐπήγγελλε μοῖραν τοῦ στρατοῦ ἐς Κουρσικὴν πέμψαντα τῇ
Ῥωμαίων ἀρχῇ τὴν νῆσον ἀνακτήσασθαι, Βανδίλων κατήκοον
τὰ πρότερα οὖσαν, ἣ Κύρνος μὲν ἐν τοῖς ἄνω χρόνοις ἐπεκαλεῖ-
το, οὐ πόρρω δὲ ἀπὸ Σαρδοῦς ἐστιν. ὁ δ' ἐς Σαρδὼ ἀφικόμε-
νος τὴν Τζάζωνος κεφαλὴν τοῖς ταύτῃ ᾠκημένοις ἀπέδειξε καὶ ἄμ-
φω τὰ νήσω τῇ Ῥωμαίων βασιλείᾳ ἐς φόρου ἀπαγωγὴν ἀνεσώ-
σατο. ἐς δὲ Καισάρειαν τὴν ἐν Μαυριτανοῖς Βελισάριος Ἰωάν-
νην ξὺν λόχῳ πεζικῷ, οὗ δὴ αὐτὸς ἡγεῖτο, ἔπεμψεν, ἣ ὁδῷ μὲν
C ἡμερῶν τριάκοντα εὐζώνῳ ἀνδρὶ Καρχηδόνος διέχει, ἐς Γάδειρά
τε καὶ τὰς Ἡρακλέους στήλας ἰόντι· κεῖται δὲ ἐπὶ θαλάσσῃ, με-
γάλη τε καὶ πολυάνθρωπος ἐκ παλαιοῦ οὖσα. Ἰωάννην δὲ ἄλλον,
τῶν οἰκείων ὑπασπιστῶν ἕνα, ἐς τὸν ἐν Γαδείροις πορθμὸν καὶ
τὴν ἑτέραν τῶν Ἡρακλέους στηλῶν ἔπεμψε, τὸ ἐκείνῃ φρούριον,
ὃ Σέπτον καλοῦσι, καθέξοντα. ἐς δὲ τὰς νήσους, αἵπερ ἀγχοῦ
V 393 εἰσι τῆς ὠκεανοῦ ἐσβολῆς, Ἔβουσά τε καὶ Μαϊόρικα καὶ Μινορίκα

8. Τζάζωνος] τζαόζωνος HL: illud Hm. 8. νῆσον] νῆσων L. 10. Σαρδὼ] σαρδῶ L. 11. Τζάζωνος] τζαόζωνος HL. 16. ἐπὶ θαλάσσῃ] ἐπιθαλάσσης L. 20. Σέπτον] ἐσέπτον H: illud Hm. 21. Μινορίκα] μινορία L.

illuc emisit, ut Romanis recuperarent, quaecunque Vandali obtinuerant. Ac Cyrillum quidem valida succinctum manu in Sardiniam destinavit, cum abscisso Tzazonis capite, propterea quod eius incolae Romanis dedere se recusabant, sibi metuentes a Vandalis, nec putantes vera esse, quae illis apud Tricamarum accidisse fama vulgaverat. Eidem Cyrillo iniunxit, uti partem exercitus in Corsicam mitteret, atque insulam ad Romanam ditionem a Vandalica revocaret. Ea quondam vocata Cyrnus, Sardiniae adiacet. Ille in Sardiniam delatus, Tzazonis caput ostendit incolis, et utramque insulam vectigalem, ut prius, Imperio Rom. fecit. Ioannem cum cohorte peditum, quibus ipse praeerat, Caesaream Mauritaniae Belisarius misit. Abest urbs illa Carthagine spatio, quod diebus xxx. conficiat vir expeditus, qui Gades versus columnasque Herculeas iter intendat: maritima est, magna, ac iam inde olim civibus frequens. Ioannem alterum, e scutariis suis unum, ad fretum Gaditanum et columnam alteram Herculis iussit eo properare consilio, ut positum ibi castellum, quod Septum appellant, reciperet. Ad insulas vero, non procul a freto dissitas, quo Oceanus illabens excipitur, Ebusam aio, et quas vocant lingua vernacula Maioricam ac Minoricam, Apollinarium mi-

ἐπιχωρίως καλούμεναι, Ἀπολλινάριον ἔστελλεν, ὃς ἐξ Ἰταλίας
μὲν ὥρμητο, μειράκιον δὲ ὢν ἔτι ἐς Λιβύην ἀφῖκτο. καὶ πολ- D
λοῖς χρήμασι πρὸς Ἰλδερίχου τότε Βανδίλων ἡγουμένου δεδωρη-
μένος, ἐπειδὴ παρελέλυτο τῆς ἀρχῆς Ἰλδέριχος καὶ ἐν φυλακῇ,
ὥσπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη, εἴχετο, ἐς Ἰουστινια-
νὸν βασιλέα ξὺν Λίβυσι τοῖς ἄλλοις, οἳ τὰ Ἰλδερίχου ἔπρασσον,
ἱκετεύσων ἦλθε. στρατεύσας τε ξὺν τῷ Ῥωμαίων στόλῳ ἐπὶ Γε-
λίμερα καὶ Βανδίλους, ἀνὴρ ἀγαθὸς ἐν τῷ πολέμῳ τῷδε καὶ
πάντων μάλιστα ἐν Τρικαμάρῳ ἐγένετο. καὶ ἀπ᾽ αὐτοῦ τοῦ ἔρ- P 247
γου Βελισάριος τὰς νήσους οἱ τάσδε ἐπέτρεψε. μετὰ δὲ καὶ ἐς H 129
Τρίπολιν Πουδεντίῳ τε καὶ Ταττιμοὺθ πρὸς τῶν ἐκείνῃ Μαυ-
ρουσίων πιεζομένοις στράτευμα πέμψας τὴν Ῥωμαίων δύναμιν
ταύτῃ ἐπέρρωσε.

Στείλας δὲ καὶ ἐς Σικελίαν τινάς, ἐφ᾽ ᾧ τὸ ἐν Λιλυβαίῳ
φρούριον, ἅτε τῇ Βανδίλων ἀρχῇ προσῆκον, ἕξουσιν, ἀπεκρού-
σθη ἐνθένδε, Γότθων ἥκιστα ἀξιούντων Σικελίας τινὰ ξυγχω-
ρεῖν μοῖραν, ὡς οὐδὲν τὸ φρούριον τοῦτο Βανδίλοις προσῆκον.
ὁ δέ, ἐπεὶ ταῦτα ἤκουσε, πρὸς τοὺς ἄρχοντας, οἳ ταύτῃ ἦσαν,
ἔγραψε τάδε „Λιλύβαιον τὸ Βανδίλων φρούριον τῶν βασιλέως
δούλων ἀποστερεῖτε ἡμᾶς, οὐ δίκαια ποιοῦντες οὐδὲ ὑμῖν αὐτοῖς B
ξύμφορα, καὶ ἄρχοντι τῷ ὑμετέρῳ, οὔτε ἑκόντι καὶ μακρὰν ἀπο-
λελειμμένῳ τῶν πρασσομένων, ἐκπολεμῶσαι βούλεσθε [καὶ] βα-

1. Ἀπολλινάριον] Vulgo Ἀπολινάριον. *Apollicicarium* RV. 2. ἀφῖκτο] Vulgo ἀφίκετο. 5. ἔμπροσθεν L. ἔμπροσθε P. *ibid.* ἐρρήθη] ἐῤῥέθη P. *ibid.* Ἰουστινιανὸν] ἰουστινιανοῦ H.

sit, natione Italum: quem adolescentulum acceperat Africa, ac multa pecunia donaverat Ildericus, tunc temporis Rex Vandalorum. Ilderico autem a gubernaculis in carcerem deiecto, ut in superiore libro narravimus, ille cum Afris, rerum Ilderici administris, Iustinianum Aug. supplex adierat. Romanam deinde classem et susceptam in Gelimerem Vandalosque expeditionem sequutus, strenuum se virum praestitit in hoc bello, maximeque in pugna Tricamarensi. Quocirca Belisarius has insulas eius fidei credidit. Postea Tripolin exercitum misit, suppetias laturum Pudentio Tattimuthque, quos vicini Mauri urgebant, itaque Romanas opes illic firmavit.

Missis etiam in Siciliam, qui extructum in Lilybaeo castellum eo nomine occuparent, quod ditioni Vandalicae attributum fuisset, repulsam tulit, Siciliam omnem sibi mordicus asserentibus Gotthis, illudque castellum ad Vandalos pertinere inficiantibus. Quo ille audito, Praefectis illius orae in haec verba scripsit. *Nos Lilybaeo, Vandalorum, qui Imperatori iam serviunt, castello excluditis, per iniuriam, vobis ipsis obfuturam. Id enim agitis, ut cum rege vestro, quamvis invito, et ab iis,*

σιλέα τὸν μέγαν, οὗ τὴν εὔνοιαν πόνῳ πολλῷ κτησάμενος ἔχει. καίτοι πῶς οὐκ ἂν ἀπὸ τοῦ ἀνθρωπείου τρόπου ποιεῖν δόξαιτε, εἰ Γελίμερα μὲν ἔναγχος ἔχειν ξυνεχωρεῖτε τὸ φρούριον, βασιλέα δὲ τὸν τοῦ Γελίμερος κύριον ἀφαιρεῖσθαι τὰ τοῦ δούλου κτήματα ἔγνωτε; μὴ ὑμεῖς γε, ὦ βέλτιστοι· ἀλλ' ἐνθυμεῖσθε, ὡς φιλία μὲν αἰτίας πολλὰς καλύπτειν πέφυκεν, ἔχθρα δὲ οὐδὲ τῶν C *σμικροτάτων ἀδικημάτων ἀνέχεται, ἀλλὰ διερευνᾶται μὲν ἅπαντα ἄνωθεν, οὐ περιορᾷ δὲ πλουτοῦντας τοῖς γε οὐδὲν προσήκουσι τοὺς πολεμίους. εἶτα μάχεται ὑπὲρ ὧν τοὺς προγόνους ἠδικῆσθαί φησι· καὶ ἢν μὲν σφαλῇ ἐν τῷ κινδύνῳ, ἀπώλεσε τῶν ὑπαρχόντων οὐδὲν, εὐημερήσασα δὲ μεταμανθάνειν ποιεῖ τοὺς ἡσσημένους τὸ σύγγνωμον. ὑμεῖς οὖν μήτε δράσητε ἡμᾶς περαιτέρω κακὸν μήτε αὐτοὶ πάθητε, μηδὲ πολέμιον κατεργάσησθε τῷ Γότθων γένει βασιλέα τὸν μέγαν, ὃν ἵλεων ὑμῖν εἶναι ἐν εὐχῇ ἐστιν. εὖ γὰρ ἴστε ὡς τοῦδε μεταποιουμένοις ὑμῖν τοῦ φρουρίου ὁ πόλεμος ἐν ποσὶν ἔσται οὐχ ὑπὲρ τοῦ Λιλυβαίου μόνον, ἀλλ'* D *ὑπὲρ ἁπάντων, ὧν οὐδὲν προσῆκον ὑμῖν εἶτα ἀντέχεσθε."* *τοσαῦτα μὲν ἡ ἐπιστολὴ ἐδήλου. Γότθοι δὲ ἀνήνεγκάν τε ταῦτα ἐς τοῦ Ἀταλαρίχου τὴν μητέρα καὶ πρὸς τῆς γυναικὸς ἐπιτεταγμένον σφίσιν ἀπεκρίναντο ὧδε „Τὰ γράμματα, ἃ γέγραφας, ἄριστε Βελισάριε, παραίνεσιν μὲν ἀληθῆ φέρει, ἐς ἄλλους δὲ ἀνθρώπων τινὰς, οὐκ ἐς τοὺς Γότθους ἡμᾶς ἥκουσαν. ἡμεῖς*

17. ἀντέχεσθε ALPm. ἀντέχεσθαι HP.

quae facitis, alienissimo, suscipiat inimicitias magnus imperator, cuius benevolentiam, labore captatam plurimo, sibi ille adiunxit. Enimvero quomodo non videatur factum vestrum a moribus hominum abhorrere, si postquam Gelimeri per vos licuit castellum tenere nuper, Augustum, nunc Gelimeris dominum, spoliare subditi possessione velitis? Id quidem a vobis absit, praeclarissimi viri: quin hoc potius cogitate, eam esse amicitiae naturam, ut peccata multa obscure ferat. Contra vero inimicitia ne levissimas quidem culpas tolerat, sed praeterita omnia scrutatur, neque hostes negligentia praetermittit, alieno ditatos. Deinde iniuriam, quam maioribus illatam dicit, armis ulcisci ita aggreditur, ut si Martis alea male cesserit, eorum, quae habet, nihil amittat: sin laetum habuerit exitum, efficit ut victi praebere se faciles aliquando discant. Itaque iam nunc absistite vobis iuxta ac nobis officere, nec Gotthis infensum reddite Imperatorem magnum, quem propitium semper vobis optamus. Etenim apprime intelligitis, si vobis castellum hoc vendicaveritis, bellum ilicet affore, quo non Lilybaeum modo, sed quidquid etiam usurpastis ex alieno, repetemus. Haec erat literarum sententia: qua Atalarici matri exposita, eius mandato, in hunc modum Gotthi rescripsere. *Epistola tua, praestantissime Belisari, admonitionem complectitur, veram illam quidem, sed in alios quospiam, minime vero in nos Gotthos*

γὰρ οὐδὲν τῶν βασιλέως Ἰουστινιανοῦ λαβόντες ἔχομεν, μή ποτε οὕτω μανείημεν· Σικελίαν δὲ ξύμπασαν προσποιούμεθα ἡμετέραν οὖσαν, ἧς δὴ ἄκρα μία τὸ ἐν Λιλυβαίῳ φρούριόν ἐστιν. εἰ δὲ Θευδέριχος τὴν ἀδελφὴν τῷ Βανδίλων βασιλεῖ ξυνοικοῦσαν τῶν τινι Σικελίας ἐμπορίων ἐκέλευσε χρῆσθαι, οὐδὲν τοῦτο πρᾶγμα. οὐδὲ γὰρ ἂν τοῦτο δικαιώματος ὑμῖν ὁτουοῦν ἀξίωσιν φέροι. σὺ μέντοι, ὦ στρατηγέ, πράττοις ἂν τὰ δίκαια πρὸς P 248 ὑμᾶς, ἤν γε τῶν ἐν ἡμῖν ἀντιλεγομένων τὴν διάλυσιν οὐχ ὡς πολέμιος, ἀλλ' ἅτε φίλος ποιεῖσθαι θέλοις. διαφέρει δέ, ὅτι οἱ μὲν φίλοι τὰ διάφορα ἐν τῇ διαίτῃ, οἱ δὲ πολέμιοι ἐν τῇ μάχῃ διακρίνειν πεφύκασιν. ἡμεῖς μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ περὶ τούτων διαιτᾶν ἐπιτρέψομεν, ὅπῃ ἂν αὐτῷ δοκῇ νόμιμά τε καὶ δίκαια εἶναι. βουλόμεθα δέ σε ὡς βέλτιστα βουλεύσασθαι ἢ ὡς ταχύτατα καὶ τὴν παρὰ τοῦ σοῦ βασιλέως προσδέχεσθαι γνῶσιν." τοσαῦτα μὲν καὶ ἡ τῶν Γότθων γραφὴ ἐδήλου. Βελισάριος δὲ ἀνενεγκὼν ἅπαντα ἐς βασιλέα ἡσύχαζεν, ἕως αὐτῷ βασιλεὺς ἐπι- B στέλλοι ὅσα ἂν αὐτῷ βουλομένῳ εἴη.

ς'. Φάρας δὲ τῇ προσεδρείᾳ ἤδη ἄλλως τε καὶ χειμῶνος V 394 ὥρᾳ ἀχθόμενος, ἅμα δὲ καὶ οὐκ ἂν οἰόμενος οἷός τε εἶναι ἐμποδὼν σφίσι τοὺς ἐκείνῃ Μαυρουσίους στήσεσθαι, τῇ ἐς Παππούαν ἀναβάσει ξὺν προθυμίᾳ πολλῇ ἐνεχείρησεν. ἅπαντας μὲν οὖν εὖ μάλα ἐξοπλίσας τοὺς ἑπομένους ἀνέβαινε. βεβοηθηκότων δὲ C τῶν Μαυρουσίων, ἅτε ἐν χωρίῳ ἀνάντει τε καὶ λίαν δυσβάτῳ,

2. προσποιούμεθα] προσποιοῦμεν LHm. 8. ἡμῖν] ὑμῖν Grotius.

convenientem. Nihil enim, quod ad Iustinianum Aug. pertineat, usurpavimus: tanta absit a nobis insania. Nostram autem esse contendimus Siciliam totam, cuius e promontoriis unum est Lilybaei castellum. Quod si Theodericus sorori suae, Regi Vandalorum nuptae, Siculi alicuius emporii copiam fecit, id pro nihilo habe, cum apud nos legis auctoritate non valeat. Tu vero, Magister militum, aequum feceris, si in animum induxeris non hostiliter, sed amice transigere controversiam. In quo illud discrimen est, quod amici lites arbitrio dirimunt, hostes armis. Nos certe huius arbitrum controversiae Iustinianum August. feremus, quod ex aequo et bono iudicaverit, amplexuri. Porro cupimus, ut praecipiti consilio maturum praeoptes, sententiamque expectes principis tui. Haec a Gotthis rescripta. At Belisarius de re tota certiori facto Imperatore, nihil movere statuit, donec eius mandata accepisset.

6. Iam Pharas ad obsidionis et hibernae tempestatis taedium spem adiungens, fore ut Mauri montani obstare minime possent, Pappuam superare aggreditur impigre. Itaque cum suos omnes egregie armasset, ad montem subiit. Occurrunt Mauri, et ea facilitate, quam ipsa loci acclivis iniquitas praebebat, cladem afferunt ascendentibus. Nihilo se-

ἡ λύμη εὐπετῶς ἐπὶ τοὺς ἀνιόντας ἐγίνετο. καρτερῶς δὲ τοῦ
Φάρα βιαζομένου τὴν ἄνοδον, δέκα μὲν καὶ ἑκατὸν τῶν ἀμφ'
αὐτὸν ἐν τῷ ἔργῳ τούτῳ ἀπέθανον, αὐτὸς δὲ ξὺν τοῖς ἐπιλοίποις
ἀποκρουσθεὶς ἀνεχώρησε, καὶ ἀπ' αὐτοῦ ἀποπειράσασθαι μὲν
τῆς ἀνόδου, ἀντιστατοῦντος τοῦ πράγματος, οὐκέτι ἐτόλμα,
φυλακὴν δὲ κατεσπουδασμένην, ὡς ἔνι μάλιστα, κατεστήσατο,
εἴ πως οἱ πιεζόμενοι τῷ λιμῷ οἱ ἐν Παππούᾳ σφᾶς αὐτοὺς ἐγχει-
H 130 ρίσειαν, καὶ οὔτε ἀποδιδράσκειν αὐτοὺς ἐνεδίδου οὔτε τι τῶν
ἔξωθεν ἐς αὐτοὺς φέρεσθαι. ἔνθα δὴ τῷ τε Γελίμερι καὶ τοῖς
D ἀμφ' αὐτὸν ἀδελφιδοῖς τε καὶ ἀνεψιαδοῖς οὖσι καὶ ἄλλοις εὖ γε-
γονόσι ξυνέπεσε κακοπαθείᾳ χρῆσθαι, ἣν ὅπως ποτὲ εἴποι τις,
οὐκ ἂν ὁμοίως τοῖς πράγμασι φράζοι. ἐθνῶν γὰρ ἁπάντων ὧν
ἴσμεν ἡμεῖς ἁβρότατον μὲν τὸ τῶν Βανδίλων, ταλαιπωρότατον
δὲ τὸ Μαυρουσίων τετύχηκεν εἶναι. οἱ μὲν γάρ, ἐξ ὅτου Λι-
βύην ἔσχον, βαλανείοις τε οἱ ξύμπαντες ἐπεχρῶντο ἐς ἡμέραν
ἑκάστην καὶ τραπέζῃ ἅπασιν εὐθηνούσῃ, ὅσα δὴ γῆ τε καὶ θά-
λασσα ἥδιστά τε καὶ ἄριστα φέρει. ἐχρυσοφόρουν δὲ ὡς ἐπὶ
πλεῖστον, καὶ Μηδικὴν ἐσθῆτα, ἣν νῦν Σηρικὴν καλοῦσιν, ἀμ-
πεχόμενοι, ἔν τε θεάτροις καὶ ἱπποδρομίοις καὶ τῇ ἄλλῃ εὐπα-
θείᾳ, καὶ πάντων μάλιστα κυνηγεσίοις, τὰς διατριβὰς ἐποιοῦν-
το. καὶ σφίσιν ὀρχησταὶ καὶ μῖμοι ἀκούσματά τε συχνὰ καὶ θεά-
P 249 ματα ἦν, ὅσα μουσικά τε καὶ ἄλλως ἀξιοθέατα ἐν ἀνθρώποις
ξυμβαίνει εἶναι. καὶ ᾤκηντο μὲν αὐτῶν οἱ πολλοὶ ἐν παραδεί-

8. αὐτὸν] αὐτὸν L. 10. ἄλλοις] ἄλλως AHL. 16. εὐθη-
νούσῃ] εὐθενούσῃ L. 23. αὐτῶν] αὐτοῖς L.

gnius perrumpente ascensum Phara, cadunt ipsius milites cx. tum ipse cum reliquis propulsus recepit sese; neque ausus deinceps ascensum tentare ob nimiam difficultatem, satis habuit custodiam quam intentissimam potuit agitare, ut qui erant in monte Pappua ad deditionem compellerentur fame, neminem inde elabi, neque eo quidquam foris impertari sinens. Ibi Gelimer, et qui eum secuti fuerant, ipsius cum a sorore tum ex fratre nepotes, aliique nobiles, iis aerumnis sunt conflictati, quas nemo verbis exaequare possit. Enimvero nationum omnium, quas novimus, nulla victu lautiori gaudebat quam Vandali: rursus nulla aridiori se sustentat, quam Mauri. Nam illi, ex quo Africam occupaverant, quotidianis omnes balneis, et mensae conquisitis terra marique suavissimis cibis extructae insueverant. Aureo plerique cultu, et veste Medica (Sericam appellant hodie) splendidi, in spectaculis ac ludis Circensibus caeterisque deliciis, praesertim in venatione toti erant. Saltatoribus ac mimis instructissimi, aurium oculorumque voluptatibus affluebant, quas homines ex concentibus musicis, et rebus ad aspectum praeclarissimis capiunt. Multi in pomariis benignissime riguis, atque optime con-

σοις, ὑδάτων καὶ δένδρων εὖ ἔχουσι· ξυμπόσια δὲ ὅτι πλεῖστα ἐποίουν, καὶ ἔργα τὰ ἀφροδίσια πάντα αὐτοῖς ἐν μελέτῃ πολλῇ ἤσκητο. Μαυρούσιοι δὲ οἰκοῦσι μὲν ἐν πνιγηραῖς καλύβαις, χειμῶνί τε καὶ θέρους ὥρᾳ, καὶ ἄλλῳ τῷ ξύμπαντι χρόνῳ, οὔτε χιόσιν οὔτε ἡλίου θέρμῃ ἐνθένδε οὔτε ἄλλῳ ὁτῳοῦν ἀναγκαίῳ κακῷ ἐξιστάμενοι. καθεύδουσι δὲ ἐπὶ τῆς γῆς κώδιον οἱ εὐδαίμονες αὐτοῖς, ἂν οὕτω τύχοι, ὑποστρωννύντες. ἱμάτια δὲ σφίσιν οὐ ξυμμεταβάλλειν ταῖς ὥραις νόμος, ἀλλὰ τριβώνιόν τε ἁδρὸν καὶ χιτῶνα τραχὺν ἐς καιρὸν ἅπαντα ἐνδιδύσκονται. ἔχουσι B δὲ οὔτε ἄρτον οὔτε οἶνον οὔτε ἄλλο οὐδὲν ἀγαθόν, ἀλλὰ τὸν σῖτον, ἢ τὰς ὀλύρας τε καὶ κριθάς, οὔτε ἕψοντες οὔτε ἐς ἄλευρα ἢ ἄλφιτα ἄγοντες οὐδὲν ἀλλοιότερον ἢ τὰ ἄλλα ζῷα ἐσθίουσι. τοιούτοις δὴ οὖσι τοῖς Μαυρουσίοις οἱ ἀμφὶ τὸν Γελίμερα συχνὸν ξυνοικήσαντες χρόνον τήν τε ξυνειθισμένην αὐτοῖς δίαιταν ἐς τοῦτο ταλαιπωρίας μεταβαλόντες, ἐπειδὴ καὶ αὐτὰ σφᾶς τὰ ἀναγκαῖα ἤδη ἐπελελοίπει, οὐκέτι ἀντεῖχον, ἀλλὰ καὶ τὸ τεθνάναι αὐτοῖς ἥδιστον καὶ τὸ δουλεύειν ἥκιστα αἰσχρὸν ἐνομίζετο.

Ὧν δὴ Φάρας αἰσθόμενος γράφει πρὸς Γελίμερα τάδε „Εἰμὶ μὲν καὶ αὐτὸς βάρβαρος καὶ γραμμάτων τε καὶ λόγων οὔτε ἠθὰς οὔτε ἄλλως ἔμπειρος γέγονα. ὅσα δέ με ἄνθρωπον ὄντα εἰδέναι ἀνάγκη, ἐκ τῆς τῶν πραγμάτων φύσεως ἐκμαθὼν ἔγραψα. C τί ποτε ἄρα πεπονθώς, ὦ φίλε Γελίμερ, οὐ σαυτὸν μόνον, ἀλλὰ καὶ ξύμπαν τὸ σαυτοῦ γένος ἐς τὸ βάραθρον τοῦτο ἐμβέβληκας, ὅπως δηλαδὴ μὴ γένοιο δοῦλος; πάντως γάρ σε καὶ νεανιεύεσθαι

7. ὑποστρωννύντες ALHm. ὑποστρωννύοντες HP.

sitis habitabant. Crebra inter illos convivia, et in omni re Venerea accurata exercitatio. Mauri vero hiemem aeque ut aestatem, aliasque tempestates traducunt in casulis, ubi respirare vix queas: neque illos inde nix, neque aestus, neque ullum vitae incommodum exigit. Ipsis pro lecto humus: divites pellem villosam sibi forte substernunt. Crasso pallio, tunicaque aspera semper induti, non solent vestes mutare pariter cum tempestatibus. Pane, vino, caeterisque mitioris victus commodis carent: far autem, olyram atque hordeum, nec mitigata igni, nec commolita, mandunt iumentorum ritu. Ita natis factisque Mauris iamdiu permisti Gelimeris comites, et ab illa sua vivendi ratione eo miseriae deducti, ut vel maxime necessaria iam ipsos deficerent, succumbebant, ac mortem suavissimam, servitutem non indecoram esse ducebant.

Re Pharas intellecta, has ad Gelimerem literas dedit. *Equidem et ipse sum Barbarus, et literarum rudis, nec unquam consuetudinem cum Musis habui. Quae tamen, ut homo, nequeo ignorare, ea ad te, natura ipsa dictante, scribo. Unde fieri dicam, care Gelimer, ut te ac tuos omnes in hoc barathrum calamitatis demiseris, ne iugum accipias?*

τοῦτο, οἶμαι, καὶ τὴν ἐλευθερίαν προΐσχεσθαι, ὡς δὴ ἅπαντα
ταύτης τὰ μοχθηρὰ ἀνταλλάσσεσθαι ἄξιον. εἶτα νῦν Μαυρου-
σίων τοῖς γε ἀτυχεστάτοις οὐκ οἴει δουλεύειν, ὃς τὴν ἐλπίδα τοῦ
V 395 σώζεσθαι, ἢν τὰ κράτιστα φέρῃ, ἐπ' αὐτοῖς ἔχεις. καίτοι πῶς
ἂν οὐχὶ τῷ παντὶ ἄμεινον εἴη δουλεύειν ἐν Ῥωμαίοις πτωχεύοντα
ἢ τυραννεῖν ἐν Παππούᾳ τε καὶ Μαυρουσίοις; πάντως δέ σοι καὶ
τὸ ξυνδούλῳ Βελισαρίῳ εἶναι ὑπερβολή τις ὕβρεως φαίνεται.
D ἄπαγε, ὦ βέλτιστε Γελίμερ. ἦ καὶ ἡμεῖς οὐκ ἐξ εὐπατριδῶν
γεγονότες βασιλεῖ νῦν ὑπηρετεῖν αὐχοῦμεν; καὶ μὴν λέγουσιν Ἰου-
στινιανῷ βασιλεῖ βουλομένῳ εἶναι ἔς τε βουλὴν ἀνάγραπτόν σε
ποιήσασθαι, τιμῆς μεταλαχόντα τῆς ἀνωτάτω, ἣν δὴ πατρι-
κίων καλοῦσι, καὶ χώρᾳ τε πολλῇ καὶ ἀγαθῇ καὶ χρήμασι μεγά-
λοις δωρήσασθαι, Βελισάριόν τε ἐθέλειν ἀναδέχεσθαι πάντα
ταῦτα ἔσεσθαί σοι, πίστεις διδόντι. σὺ δὲ ὅσα μὲν ἡ τύχη μο-
χθηρὰ ἤνεγκε, φέρειν γενναίως οἷός τε εἶ πάντα τὰ ἐνθένδε ἀν-
θρώπῳ γε ὄντι ἀναγκαῖα εἶναι οἰόμενος. ἢν δέ τινι ἀγαθῷ τὰ
δυσχερῆ ταῦτα ξυγκεραννύειν βεβούλευται, τοῦτο δὲ αὐτὸς ἐθε-
P 250 λούσιος δέξασθαι οὐκ ἂν ἀξιοίης; ἢ οὐχ ὁμοίως τοῖς φλαύροις
ἀναγκαῖά γε ἡμῖν καὶ τὰ παρὰ τῆς τύχης ἀγαθὰ λογιστέον; ἀλλὰ
ταῦτα μὲν οὐδὲ τοῖς σφόδρα ἀνοήτοις δοκεῖ. σοὶ δὲ, νῦν μὲν
βεβαπτισμένῳ ταῖς συμφοραῖς, ἀξυνέτῳ, ὡς τὸ εἰκὸς, ξυμβαί-
νει εἶναι· ἀθυμία γὰρ ἐκπλήξασα ἐς ἀβουλίαν τρέπεσθαι πέφυ-

4. ἢν] ἢ Pm. ibid. φέρῃ AL. φέρει P. φέρειν Pm. 8. ἦ] ἢ L. 14. διδόντι Hoeschelius. διδόντα P. διδόναι Hm. 21. ξυμβαίνει L. συμβαίνει P.

Hoc enim, nisi fallor, iactas, ac libertatem obtendis, tanquam dignam, cuius causa aerumnae quaelibet subeantur. Nec tamen vides te infelicissimae Maurorum feci servire, dum in ea salutis ac dignitatis tuae spem figis. At nonne praestaret subesse domino apud Romanos vel ad mendicitatem redactum, quam Pappuae ac Maurorum tyrannum esse? Probrosum scilicet supra quam dici possit, ac turpe ducis, subditum esse cum Belisario eidem principi. Apage istiusmodi cogitationem, praeclarissime Gelimer. An non et ipsi claris orti natalibus, Imperatori obsequi gloriamur? Porro ferunt constitutum esse Iustiniano Aug. ascribere te senatui, summo Patriciatus honore ornatum, et optimo latifundio pecuniaque ingenti donare, ac velle Belisarium, data fide, haec omnia in se recipere, ac praedem fieri. Tu quidem adversos omnes Fortunae casus magno ferre animo potes, hac opinione imbutus, nihil ab ipsa invectum esse, quod tibi, quippe homini, patiendum non sit necessario. Verum si Deo placet aerumnas tuas bono aliquo temperare, id tu videlicet ultro respuas? Nonne aeque necessaria censenda sunt munera Fortunae ac damna? Ita profecto sentiant vel maxime stupidi. Iam quidem te malis mersum, credibile est consilio defici: nam huius inopiam

κεν· ἣν δὲ φέρειν τὴν διάνοιαν τὴν σαυτοῦ δύναιο, καὶ μὴ πρὸς τύχην μεταβαλλομένην ἀγανακτεῖν, παρέσται σοι αὐτίκα δὴ μάλα H 131
τά τε ξύμφορα ἑλέσθαι ἅπαντα καὶ τῶν ἐπικειμένων ἀπηλλάχθαι κακῶν."

Ταῦτα Γελίμερ τὰ γράμματα ἀναλεξάμενος ἀποκλαύσας τε δεινῶς ἀντέγραψεν ὧδε· „Καὶ τῆς ξυμβουλῆς, ἥν μοι ἐποιήσω, B
πολλὴν ἔχω σοι χάριν καὶ πολεμίῳ ἀδικοῦντι δουλεύειν οὐκ ἀνεκτὸν οἶμαι, παρ' οὗ ἂν δίκην εὐξαίμην λαβεῖν, εἴ μοι ὁ θεὸς ἵλεως εἴη, ὅς γε οὐδὲν πώποτε ἄχαρι πρὸς ἐμοῦ οὔτε ἔργῳ παθὼν οὔτε λόγῳ ἀκούσας πολέμῳ μὲν αἰτίαν οὐκ ἔχοντι παρέσχετο σκῆψιν, ἐμὲ δὲ ἐς τοῦτο μετήνεγκε τύχης, Βελισάριον οὐκ οἶδα ὅθεν ἐπενεγκών. καίτοι καὶ αὐτῷ ἀνθρώπῳ γε ὄντι καὶ βασιλεῖ οὐδὲν ἀπεικὸς ξυμβήσεσθαί τι ὧν οὐκ ἂν ἕλοιτο. ἐγὼ μέντοι περαιτέρω τι γράφειν οὐκ ἔχω. ἀφείλετο γάρ με τὴν ἔννοιαν ἡ παροῦσα τύχη. ἀλλὰ χαῖρέ μοι, ὦ φίλε Φάρα, καί μοι κιθάραν τε καὶ ἄρτον ἕνα καὶ σπόγγον δεομένῳ πέμπε." ταῦτα ἐπεὶ ἀπε- C
νεχθέντα ὁ Φάρας ἔγνω, χρόνον δή τινα διηπορεῖτο τῆς ἐπιστολῆς τὸ ἀκροτελεύτιον ξυμβαλεῖν οὐκ ἔχων, ἕως οἱ ὁ ταύτην κομίσας ἔφρασεν ὡς ἄρτου μὲν ἑνὸς δέοιτο Γελίμερ, ἐπιθυμῶν ἐς θέαν τε αὐτοῦ ἀφικέσθαι καὶ βρῶσιν, ἐπεὶ ἐξ οὗ εἰς Παππούαν ἀναβέβηκεν, οὐδένα πω ἄρτον ὠπτημένον εἶδε. σπόγγος δέ οἱ ἀναγκαῖος εἴη· τοῖν γάρ οἱ ὀφθαλμοῖν ἅτερος, τραχυνόμενος τῇ ἀλουσίᾳ, ἐς ἄγαν ἐπῆρται. κιθαριστῇ δὲ ἀγαθῷ ὄντι ᾠδή τις αὐτῷ ἐς ξυμφορὰν τὴν παροῦσαν πεποίηται, ἣν δὴ πρὸς κιθά-

parere tristitia consuevit, cum mentem perculit. Si vero id consequaris, ut sustineas animum, nec fortunae mutationem acerbius feras, promptum erit optima quaeque amplecti, teque urgenti expedire calamitate.

His Gelimer lectis literis, graviter flens, ita rescripsit. *Quod mihi consilium dedisti, magnam habeo tibi gratiam: ut autem hosti iniusto serviam, id vero mihi intolerandum videtur. Si Deus faveret, repetere poenas ab eo vellem, qui a me nunquam nec facto violatus nec verbo, bello, cuius nulla est causa legitima, praetextum praebuit, meque in hunc statum redegit, accito, nescio unde, immissoque Belisario. Non improbabile esse sciat, passurum ipsum, tanquam hominem ac principem, eorum aliquid, unde abhorret. Nequit ultra progredi stilus, auferente mentem calamitate, quae me circumvenit. Vale, amice Phara, et mihi, quod te oro, citharam, panem unum ac spongiam mitte.* Haec Pharas cum perlegisset, haesit aliquandiu circa postremum epistolae caput, ignarus quo id spectaret, donec exposuit tabellarius; panem unum a Gelimere peti, ipsius tandem videndi gustandique cupido: non enim panem vidisse coctum, ex quo Pappuam ascendisset: opus habere spongia, quod oculorum eius alter intumuisset, illuvie exasperatus: cum vero fidicen peritus esset, carmen de infelicitate sua a se compositum, flebilibus ly-

ραν θρηνῆσαί τε καὶ ἀποκλαῦσαι ἐπείγεται. ταῦτα ἀκούσας Φά-
D ρας καὶ περιαλγήσας τε καὶ τύχην τὴν ἀνθρωπείαν ἀπολοφυράμε-
νος, κατὰ τὰ γεγραμμένα ἐποίει, καὶ πάντα ἔπεμπεν ὅσων αὐτοῦ
ἔχρηζε Γελίμερ. τῆς μέντοι προσεδρείας οὐδὲν μεθιεὶς ἐφύλασσε
μᾶλλον ἢ πρότερον.

ζ. Ἤδη δὲ τριῶν μηνῶν χρόνος ἐν ταύτῃ δὴ τῇ προσεδρείᾳ
ἐτρίβη καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ ὁ Γελίμερ ἐδεδίει, τοὺς πο-
λιορκοῦντας ἐπ' αὐτὸν οὐκ ἐς μακρὰν ἀναβήσεσθαι ὑποτοπάζων,
P 251 καὶ τῶν οἱ ξυγγενῶν παιδίων τὰ πλεῖστα σώματα σκώληκας ἐν
ταύτῃ δὴ τῇ ταλαιπωρίᾳ ἤφίει. καὶ ἐν ἅπασι μὲν περιώδυνος
ἦν, ἐς ἅπαντα δὲ, πλήν γε δὴ τοῦ θνήσκειν, δυσάρεστος. τῇ
μέντοι κακοπαθείᾳ παρὰ δόξαν ἀντεῖχεν, ἕως οἱ θέαμα ἰδεῖν ξυν-
ηνέχθη τοιόνδε. γυνή τις Μαυρουσία, σῖτον ὀλίγον ἀμωσγέ-
V 396 πως συγκοψαμένη, μᾶζαν δὲ ἐνθένδε βραχεῖαν κομιδῇ ποιησα-
μένη ἐς ζέουσαν τὴν σποδιὰν τὴν ἐν τῇ ἐσχάρᾳ ἐνέβαλλεν. οὕτω
γὰρ νόμος ἐν Μαυρουσίοις τοὺς ἄρτους ὀπτᾶσθαι. παρὰ ταύ-
την δὴ τὴν ἐσχάραν δύο παῖδε καθημένω καὶ τῷ λιμῷ ὑπεράγαν
B βιαζομένω, ἅτερος μὲν αὐτῆς τῆς ἀνθρώπου υἱὸς, ἣ τὴν μᾶζαν
ἐμβεβλημένη ἐτύγχανεν, ὁ δὲ ἕτερος Γελίμερος ἀδελφιδοῦς ὤν,
ἐβουλέσθην ταύτην δὴ τὴν μᾶζαν ἁρπάσασθαι, ἐπειδὰν αὐτοῖς
τάχιστα ὠπτῆσθαι δοκῇ. τούτοιν τοῖν παίδοιν ὁ μὲν Βανδίλος
προτερήσας ἔφθασέ τε τὴν μᾶζαν ἁρπάσας καὶ ζέουσαν ἔτι ὡς μά-

2. ἀπολοφυράμενος AL. ἀπολοφυρόμενος P. 3. τὰ om. L. 6. δὴ addidi ex L. 14. μᾶζαν] Vulgo μάζαν hic et infra. 21. δοκῇ L. δοκεῖ P. ibid. Βανδίλος] βανδίλοις L.

rae numeris aptare velle, et plorando modulari. Quo Pharas audito, condolens, atque humanam sortem deplorans, epistolae satisfecit, ac Gelimeri, quidquid postulaverat, misit. Tum perstans in obsidione, aditus omnes diligentius custodivit.

7. In hac obsidione mensibus elapsis tribus, et hieme iam exeunte, Gelimerem timor invasit, suspicantem obsessores illuc propediem ascensuros. Complures pueri, propinqui eius, putrescentibus paedore corporibus verminabant. Et quanquam omnibus indolebat animo Gelimer, prae se tamen ferebat constantiam, uno mortis periculo flexibilem, in aerumnis praeter opinionem perstans atque obdurans: donec sub ipsius oculis res ista contigit. Femina quaedam Maura confectam e pauxillo frumento, utcunque contuso, placentulam, in favillam foci immiserat: quo pacto panes coquere solent Mauri. Assederant ad focum pueri duo: quorum alter Gelimeris erat ex sorore nepos, alter filius feminae, quae in cinerem placentam iniecerat. Ambo rabida instincti fame, inhiabant placentae, hanc parati rapere, simul cocta videretur. Promptius irruens puer Vandalus, eam praeripit, et ferventissimam adhuc, multoque obductam cinere, fame victus, in os iniicit et absorbet. In comam socius

λιστα σποδιᾶς τε ἀνάπλεων οὖσαν, ὑπερβιαζομένου αὐτὸν τοῦ λιμοῦ, ἐς τὸ στόμα ἐμβαλλόμενος ἤσθιεν, ὁ δὲ ἕτερος λαβόμενος αὐτοῦ τῶν ἐν τῇ κεφαλῇ τριχῶν ἐπάταξέ τε κατὰ κόρρης καὶ αὖθις ῥαπίσας ἠνάγκασε τὴν μᾶζαν ξὺν βίᾳ πολλῇ ἀποβαλεῖν ἤδη ἐν τῇ φάρυγγι οὖσαν. τοῦτο τὸ πάθος οὐκ ἐνεγκὼν Γελίμερ (παρηκολούθει γὰρ ἐξ ἀρχῆς ἅπασιν) ἐθηλύνθη τε τὴν διάνοιαν καὶ πρὸς Φάραν ὡς τάχιστα ἔγραψε τάδε „Εἴ τινι καὶ ἄλλῳ τε- C τύχηκε πώποτε τὰ δεινὰ καρτερήσαντι ἀπ' ἐναντίας ἰέναι τῶν πρόσθεν αὐτῷ βεβουλευμένων, τοιοῦτον δή τινα καὶ ἐμὲ νόμιζε εἶναι, ὦ βέλτιστε Φάρα. εἰσῆλθε γάρ με ἡ σὴ ξυμβουλή, ἣν δὴ ἀλογῆσαι ἥκιστα βούλομαι. οὐ γὰρ ἂν ἀντιτείνοιμι περαιτέρω τῇ τύχῃ οὐδὲ πρὸς τὴν πεπρωμένην ζυγομαχοίην, ἀλλ' ἕψομαι αὐτίκα δὴ μάλα, ὅπῃ ἂν αὐτῇ ἐξηγεῖσθαι δοκῇ· ὅπως μέντοι τὰ πιστὰ λάβοιμι, ἀναδέχεσθαι Βελισάριον βασιλέα ποιήσειν ἅπαντα, ὅσα μοι ἔναγχος ὑπεδέξω. ἐγὼ γάρ, ἐπειδὰν τάχιστα τὴν πίστιν δοίητε, ἐμαυτόν τε ὑμῖν ἐγχειριῶ καὶ ξυγγενεῖς τούσδε καὶ Βανδίλους, ὅσοι ξὺν ἡμῖν ἐνταῦθά εἰσι."

Τοσαῦτα μὲν τῷ Γελίμερι ἐν τῇ ἐπιστολῇ τῇδε ἐγέγραπτο. D Φάρας δὲ ταῦτά τε Βελισαρίῳ καὶ τὰ πρότερον γεγραμμένα σφίσι πρὸς ἀλλήλους σημήνας ἐδεῖτο ὡς τάχιστά οἱ δηλῶσαι ὅ τι ἂν H 132 αὐτῷ βουλομένῳ εἴη. Βελισάριος δὲ (καὶ γάρ οἱ ἐν ἐπιθυμίᾳ μεγάλῃ ἦν ζῶντα Γελίμερα βασιλεῖ ἀγαγεῖν) ἐπειδὴ τάχιστα τὰ γράμματα ἀνελέξατο, περιχαρής τε ἐγεγόνει καὶ Κυπριανὸν φοιδεράτων ἄρχοντα ἐς Παππούαν ἐκέλευεν ἰέναι ξὺν ἄλλοις τισίν,

1. ἀνάπλεων L. ἀνάπλεον P. 8. κόρρης] κόρης ALHm. 13. δοκῇ A. δοκεῖ P.

involat, et semel iterumque impacto maxillae pugno, multa vi placentam excutit, iam fauces implentem. Rem totam ab initio contemplatus Gelimer, luctuoso spectaculo victus ac mollitus animo, statim has ad Pharam literas exarat. *Si quis unquam obfirmato pectore adversa passus, de sententia decessit, eum me esse puta, praeclare Phara. Animum subiit consilium tuum, quod iam sane aspernari nolo. Obluctari Fortunae, et cum Fato rixari, desinens, quocunque vocat, sine mora nunc sequar. Da solum operam, ut fide interposita recipiat Belisarius, praestiturum Imperatorem, quaecunque pollicitus es mihi nuper. Statim ut fidem accepero, cum propinquis ac Vandalis, quotquot hic adsunt, me vobis dedam.*

Haec per literas Gelimer: quibus Pharas, cum prioribus illis, quae scriptae ultro citroque fuerant, Belisario impertitis, eum rogat, ut quid fieri velit quamprimum significet. Belisarius, cum Gelimerem vivum ad Imperatorem ducere maximopere cuperet, perlectis literis, mirum in modum gavisus est, ac Cyprianum, foederatorum ducem, cum aliis nonnullis ad montem Pappuam misit, iussum fidem astringere iureiurando, inco-

ὅρκους τε αὐτοῖς ἐπέστελλε περὶ σωτηρίας Γελίμερός τε καὶ τῶν
ξὺν αὐτῷ διδόναι, καὶ ὡς ἐπίτιμός τε παρὰ βασιλεῖ καὶ οὐδενὸς
ἐνδεὴς εἴη. οἵπερ ἐπεὶ παρὰ τὸν Φάραν ἀφίκοντο, ἦλθον ξὺν
αὐτῷ ἔς τι χωρίον παρὰ τὸν τοῦ ὄρους πρόποδα, ἔνθα σφίσι
Γελίμερ μετάπεμπτος ἦλθε καὶ τὰ πιστὰ λαβὼν ᾗπερ ἐβούλετο
ἐς Καρχηδόνα ξὺν αὐτοῖς ἧκεν. ἐτύγχανε δὲ Βελισάριος δια-
τριβήν τινα ἐν τῷ τῆς πόλεως προαστείῳ ποιούμενος, ὅπερ Ἄκλας
P 252 καλοῦσιν. ἔνθα δὴ ὁ Γελίμερ παρ' αὐτὸν εἰσῆλθε, γελῶν γέ-
λωτα οὔτε φαῦλον οὔτε κρύπτεσθαι ἱκανὸν ὄντα, τῶν τε αὐτὸν
θεωμένων ἔνιοι μὲν τῇ τοῦ πάθους ὑπερβολῇ ἁπάντων τε αὐτὸν
ἐκστῆναι τῶν κατὰ φύσιν ὑπώπτευον καὶ παραπαίοντα ἤδη λόγῳ
οὐδενὶ τὸν γέλωτα ἔχειν. οἱ μέντοι φίλοι ἀγχίνουν τε τὸν ἄν-
θρωπον ἐβούλοντο εἶναι καὶ (ἅτε οἰκίας μὲν βασιλικῆς γεγονότα,
ἐς βασιλείαν δὲ ἀναβεβηκότα, καὶ δύναμίν τε ἰσχυρὰν χρήματά
τε μεγάλα ἐκ παιδὸς ἄχρι καὶ ἐς γῆρας περιβαλόμενον, εἶτα ἐς
φυγήν τε καὶ δέος πολὺ ἐμπεσόντα καὶ κακοπάθειαν τὴν ἐν Παπ-
B πούᾳ ὑποστάντα, καὶ νῦν ἐν αἰχμαλώτων λόγῳ ἥκοντα, πάντων
τε ταύτῃ τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν τε καὶ φλαύρων ἐν πείρᾳ
γεγονότα) ἄλλου οὐδενὸς ἄξια τὰ ἀνθρώπεια ἢ γέλωτος πολλοῦ
οἴεσθαι εἶναι. περὶ μὲν οὖν τοῦ γέλωτος, ὃν Γελίμερ ἐγέλα, λε-
γέτω ἕκαστος ὥς πη γινώσκει, καὶ ἐχθρὸς καὶ φίλος. Βελισά-
ριος δὲ ἐς βασιλέα ὡς Γελίμερ δοριάλωτος εἴη ἐν Καρχηδόνι
ἀνενεγκὼν ᾔτει ξὺν αὐτῷ ἐς Βυζάντιον ἀφικέσθαι. ἅμα δὲ αὐ-
τόν τε καὶ Βανδίλους ἅπαντας οὐκ ἐν ἀτιμίᾳ ἐφύλασσε καὶ τὸν
στόλον ἐν παρασκευῇ ἐποιεῖτο.

22. δοριάλωτος] δορυάλωτος P.

lumem fore cum suis Gelimerem, ab Augusto honorifice habitum iri, nec ipsi quidquam defuturum. Ad Pharam illi cum pervenissent, una cum eo se contulerunt ad montis radices: quo et ipse venit accitus Gelimer, et accepta fide ex animi sententia, Carthaginem cum ipsis profectus est. In suburbano, cui nomen Aclas, commorans tunc Belisarius, ibi illum accepit, effuse palam ridentem. Quo viso, quidam e statu mentis deiectum esse calamitatis ingentis vi, ac iam delirum, ridere sine re iudicabant. Amici vero pugnabant, acri ipsum iudicio pollere, et humana omnia risu tantum digna maximo ducere: postquam ipse regio sanguine cretus, regnum adeptus, summis opibus divitiisque amplissimis a puero ad senectutem fruitus, fugisset, trepidasset, durissima pertulisset in monte Pappua, iam denique captivus teneretur, utramque fortunam plene expertus. At illum Gelimeris risum pro suo quisque sensu, tum amicus, tum inimicus, interpretetur. Mox Belisarius captum Gelimerem servari Carthagine Imperatori significat, instatque ut cum eo Byzantium sibi liceat navigare. Interea ipsum omnesque Vandalos in liberali habens custodia, classem ornavit.

Πολλὰ μὲν οὖν καὶ ἄλλα ἐν τῷ παντὶ αἰῶνι ἤδη τε κρείσσω ἐλπίδος ἐς πεῖραν ἦλθε καὶ ἀεὶ ἥξει, ἕως ἂν αἱ αὐταὶ τύχαι ἀνθρώπων ὦσι. τά τε γὰρ λόγῳ ἀδύνατα δοκοῦντα εἶναι ἔργῳ ἐπι- C τελῆ γίνεται καὶ τὰ τέως ἀδύνατα φανέντα πολλάκις, εἶτα ἀποβάντα θαύματος ἄξια ἔδοξεν εἶναι. εἰ μέντοι τοιαῦτα ἔργα πώποτε γεγενῆσθαι τετύχηκεν οὐκ ἔχω εἰπεῖν, τὸν Γιζερίχου τέταρτον ἀπόγονον καὶ τὴν βασιλείαν τὴν αὐτοῦ πλούτῳ τε καὶ στρα- V 397 τιωτῶν δυνάμει ἀκμάζουσαν πρὸς πεντακισχιλίων ἀνδρῶν ἐπηλύτων τε καὶ οὐκ ἐχόντων ὅπη ὁρμίζοιντο ἐν χρόνῳ οὕτω βραχεῖ καταλελύσθαι. τοσοῦτον γὰρ ἦν τὸ τῶν ἱππέων πλῆθος τῶν Βελισαρίῳ ἑπισπομένων, οἳ καὶ τὸν πόλεμον ἅπαντα πρὸς Βανδίλους διήνεγκαν. τοῦτο γὰρ εἴτε τύχῃ εἴτε τινὶ ἀρετῇ γέγονε, δικαίως ἄν τις αὐτὸ ἀγασθείη. ἐγὼ δὲ ὅθενπερ ἐξέβην ἐπάνειμι. D

η'. Ὁ μὲν οὖν Βανδιλικὸς πόλεμος ἐτελεύτα ὧδε. ὁ δὲ φθόνος, οἷα ἐν μεγάλῃ εὐδαιμονίᾳ φιλεῖ γίνεσθαι, ὤδινεν ἤδη ἐς Βελισάριον, καίπερ αὐτὸν οὐδεμίαν παρέχοντα σκῆψιν. τῶν γὰρ ἀρχόντων τινὲς διέβαλλον αὐτὸν ἐς βασιλέα, τυραννίδα αὐ- P 253 τῷ οὐδαμόθεν προσήκουσαν ἐπικαλοῦντες. βασιλεὺς δὲ ταῦτα μὲν ἐς τὸ πᾶν οὐκ ἐξήνεγκεν, ἢ τὴν διαβολὴν ἐν ὀλιγωρίᾳ ποιησάμενος, ἢ καὶ βέλτιον αὐτῷ ἐνομίσθη. Σολόμωνα δὲ πέμψας

3. δοκοῦντα] φανέντα addit L et uncis inclusum H. 8. ἐπηλύτων] ἐπηλύδων L a m. sec. ἐπηλύδων est p. 308 b. ἐπηλύτην 257 d. 322 c. ἐπηλύται 424 c. ἐπηλύτας 425 a. 10. τῶν β. L. τῷ B. P. 11. τὸν om. L. 14. Βανδιλικὸς] βανδηλικὸς L. 16. αὐτὸν] αὐτῷ AL. αὐτῶν H. αὐτὸν Hm. 20. ἢ καὶ βέλτιον αὐτῷ ἐνομίσθη] Vide ad p. 338, 10.

Multa quidem alia, supra spem omnem posita, aetates omnes praeteritae viderunt accidere, et consequentes videbunt: quandiu eadem erit humanae vitae conditio. Fiunt enim, quae non posse fieri videbantur; et quae habita saepe sunt impossibilia, postea cum extiterunt, admirabilitatis plurimum habuere. Num autem iis, quae hic narrantur, similia aliquando contigerint, mihi non est promptum dicere. Quantum est, quod quina advenarum millia (tot enim equites, qui soli bellum gessere cum Vandalis, secum advexerat Belisarius) cum portum, in quem appellerent, non haberent, Gizerici abnepotem, eiusque regnum, divitiis, ac militibus pollens, everterint tam brevi tempore. Mirandum profecto seu fortunae, seu virtutis opus. Ego vero unde diverti, illuc redeo.

8. Hic fuit exitus belli Vandalici. Iam vero individua magnae felicitatis comes invidia in Belisarium ringebatur, quamvis ab eo nulla daretur ansa obtrectationis. Ad Imperatorem duces quidam illius nomen de tyrannidis ambitu, unde erat alienissimus, detulerunt. Quam calumniam Augustus in vulgus non extulit, sive illam negligeret, sive expedire silentium iudicaret: sed Salomonem misit, atque optionem fecit Be-

*αἵρεσιν Βελισαρίῳ παρέσχετο ἑλέσθαι ὁπότερα ἂν αὐτῷ βουλομέ-
νῳ εἴη, πότερα ξὺν Γελίμερί τε καὶ Βανδίλοις ἐς Βυζάντιον ἥκειν,
ἢ αὐτοῦ μένοντι ἐκείνους στεῖλαι. ὁ δὲ (οὐδὲ γὰρ ἔλαθον αὐ-
τὸν οἱ ἄρχοντες τὴν τυραννίδα ἐπενεγκόντες) ἐς Βυζάντιον ἀφι-
κέσθαι ἠπείγετο, ὅπως δὴ τήν τε αἰτίαν ἐκλύσηται καὶ τοὺς δια-
βαλόντας μετελθεῖν δύνηται. ὅτῳ δὲ τρόπῳ τὴν τῶν κατηγόρων
B πεῖραν ἔμαθον, ἐρῶν ἔρχομαι. ὅτε δὴ τὴν διαβολὴν τήνδε
ποιεῖσθαι οἱ διαβάλλοντες ἤθελον, δείσαντες μὴ σφίσιν ὁ τὴν ἐπι-
στολὴν μέλλων βασιλεῖ κομιεῖν ἐν θαλάσσῃ ἀφανισθεὶς τὰ πρασ-
σόμενα διακωλύσῃ, ἐν δύο γραμματείοις τὴν τυραννίδα γράψαν-
τες, ἀγγέλους δύο ὡς βασιλέα ἐν ναυσὶ δύο στέλλειν διενοοῦντο.
τούτοιν ἅτερος μὲν λαθὼν ἔπλευσεν, ὁ δὲ ἕτερος ἐξ ὑποψίας δή
τινος ἐν Μανδρακίῳ ἥλω, καὶ τὰ γράμματα τοῖς λαβοῦσιν αὐτὸν
ἐγχειρίσας ἔκπυστα ἐποίησε τὰ πρασσόμενα. ταύτῃ τε μαθὼν
H 133 Βελισάριος, ἐς ὄψιν ἐλθεῖν τὴν βασιλέως, ὥσπερ ἐρρήθη, ἠπεί-
γετο. ταῦτα μὲν δὴ ἐν Καρχηδόνι ἐφέρετο ὧδε.*

C *Μαυρούσιοι δὲ, ὅσοι ἔν τε Βυζακίῳ καὶ Νουμιδίᾳ ᾤκηντο,
ἐς ἀπόστασίν τε ἐξ αἰτίας οὐδεμιᾶς εἶδον καὶ τὰς σπονδὰς διαλύ-
σαντες χεῖρας ἀνταίρειν ἐξαπιναίως Ῥωμαίοις ἔγνωσαν. καὶ τοῦτο
οὐκ ἄπο τοῦ οἰκείου τρόπου σφίσιν ἐπράσσετο. ἔστι γὰρ ἐν Μαυ-
ρουσίοις οὔτε θείου φόβος οὔτε ἀνθρώπων αἰδώς. μέλει γὰρ
αὐτοῖς οὔτε ὅρκων οὔτε ὁμήρων, ἢν καὶ παῖδες ἢ ἀδελφοὶ τῶν ἐν*

1. *ὁπότερα ἂν*] *ὁποτέραν* H: illud Hm. 15. *ἐρρήθη*] *ἐῤῥέθη* P.
22. *οὔτε ὅρκων οὔτε*] *οὐδὲ ὅρκων οὐδὲ* P.

lisario, malletne cum Gelimere ac Vandalis venire Byzantium, an manens in Africa, ipsos mittere. Ille haud ignarus sibi a ducibus inferri crimen affectatae tyrannidis, proficisci Byzantium maturabat, ut calumnias obtereret, eiusque artifices coërceret. Quo autem pacto delatorum molitionem cognoverit, iam planum faciam. Cum hanc illi criminationem instruerent, ac vererentur ne optato careret exitu, si quid in mari humanitus ei accideret, qui ad Augustum allaturus erat epistolam, binas literas, tyrannidis indices, scribere, totidemque ad ipsum tabellarios in duas naves impositos, mittere constituerunt. Eorum alter, a nemine deprehensus, mare transmisit: alter in portu Mandracio, data aliqua suspicione, interceptus, tenentibus se, literas tradidit, technamque enuntiavit. Qua cognita Belisarius Imperatorem adire, ut dictum est, festinabat. Haec in urbe Carthagine.

Mauros vero, tum Byzacii, tum Numidiae incolas, ad defectionem mera animi libido induxit perpulitque, ut, rupto foedere, in Romanos derepente insurgerent. Neque id ab eorum ingenio alienum. Nam apud Mauros nec Dei timor, nec hominum reverentia locum habent. Nulla est iurisiurandi religio, nulla obsidum cura, quamvis illi vel filii fuerint vel

σφίσιν ἡγουμένων τύχωσιν ὄντες. οὐδὲ ἄλλῳ οὐδενὶ εἰρήνη ἐν Μαυρουσίοις, ὅτι μὴ τῶν πολεμίων τῷ κατ' αὐτῶν δέει κρατύνηται. ὅπως δὲ αὐτοῖς αἵ τε πρὸς Βελισάριον σπονδαὶ ἐγένοντο D
καὶ ὅτῳ διελύθησαν τρόπῳ, ἐγὼ δηλώσω. ἡνίκα ὁ βασιλέως στόλος ἐπίδοξος ἐγεγόνει ὡς ἐς Λιβύην ἀφίξεται, δείσαντες οἱ Μαυρούσιοι μή τι ἐνθένδε κακὸν λάβωσι ταῖς ἐκ τῶν γυναικῶν μαντείαις ἐχρῶντο. ἄνδρα γὰρ μαντεύεσθαι ἐν τῷ ἔθνει τούτῳ οὐ θέμις, ἀλλὰ γυναῖκες σφίσι κάτοχοι ἐκ δή τινος ἱερουργίας γινόμεναι προλέγουσι τὰ ἐσόμενα, τῶν πάλαι χρηστηρίων οὐδενὸς ἧσσον. τότε οὖν πυνθανομένοις αὐτοῖς, ὥσπερ ἐρρήθη, αἱ γυναῖκες ἀνεῖλον, στρατὸν ἐξ ὑδάτων, Βανδίλων κατάλυσιν, Μαυρουσίων φθοράν τε καὶ ἧσσαν, ὅτε Ῥωμαίοις ὁ στρατηγὸς ἀγένειος ἔλθοι. ταῦτα ἀκούσαντες οἱ Μαυρούσιοι, ἐπειδὴ τὸ βασιλέως στράτευμα εἶδον ἐκ θαλάσσης ἧκον, ἐν δέει τε μεγάλῳ ἐγένοντο καὶ ξυμμαχεῖν Βανδίλοις ἥκιστα ἤθελον, ἀλλ' ἐς Βε- P 254
λισάριον πέμψαντες καὶ τὴν εἰρήνην, ὡς πρόσθεν δεδήλωται, V 398
κρατυνάμενοι ἡσύχαζόν τε καὶ τὸ μέλλον ὅπη ἐκβήσεται ἐκαραδόκουν. ἐπεὶ δὲ Βανδίλων τὰ πράγματα ἤδη ἐς πέρας ἀφῖκτο, πέμπουσιν ἐς τὸ Ῥωμαίων στράτευμα, διερευνώμενοι εἴ τις αὐτοῖς ἐν ἀρχῇ ἀγένειός ἐστιν. ἐπεὶ δὲ ἅπαντας πώγωνος ἑώρων ἐμπιπλαμένους, οὐ χρόνον τὸν παρόντα σφίσι τὸ μαντεῖον σημαίνεσθαι ᾤοντο, ἀλλὰ πολλαῖς γενεαῖς ὕστερον, ταύτῃ τὸ λόγιον ἑρμηνεύοντες, ᾗ αὐτοὶ ἤθελον. αὐτίκα μὲν οὖν ἐς τὴν διάλυσιν τῶν σπονδῶν ὥρμηντο, ἀλλὰ τὸ ἐκ Βελισαρίου δέος αὐτοὺς B

19. ἐς τὸ L. Aberat τό.

fratres principum, quibus ipsi obtemperant. Neque ulla re, nisi hostis vicini metu, in pace continentur. Iam qua ratione foedus icerint cum Belisario, idemque violarint, expediam. Cum esset opinio venturam in Africam Augusti classem, sibi inde timentes Mauri, fatidicas mulieres consuluerunt. Quippe viris nefas est apud illos vaticinari, sed feminae, peractis quibusdam sacris, afflatae spiritu, futura pandunt, nihilo secius quam antiqua oracula. Tum demum scitantibus responderunt, *Ex aquis exercitum*, *Vandalorum excidium*, *Maurorum cladem ac perniciem afore*, *quando cum Romanis dux imberbis venisset*. Quo Mauri audito, ubi Imperatoris exercitum mari erumpentem videre, perterriti, societatem Vandalis renuntiarunt, ac pace per oratores, quemadmodum supra dixi, sancita cum Belisario, nihil movere, exitus expectatione suspensi. Accisis Vandalorum rebus, destinant ad Rom. exercitum, qui explorent, sitne dux aliquis inter eos imberbis. Postquam omnes bene barbatos animadverterunt, non instans, sed aliud post aetates multas secuturum tempus vaticinio designari putarunt, ex sua illud sententia interpretantes. Statim inito foederis scindendi consilio, nihil eos aliud tenuit, nisi terror nominis

διεκώλυεν. οὐ γάρ ποτε τῷ πολέμῳ Ῥωμαίων περιέσεσθαι, παρόντος γε αὐτοῦ, ἐν ἐλπίδι εἶχον. ὡς δὲ τὴν ἄφοδον αὐτοῦ ξὺν τοῖς ὑπασπισταῖς αὐτοῦ καὶ δορυφόροις ποιεῖσθαι ἤκουσαν, ἤδη τε τὰς ναῦς ὑπ᾽ αὐτῶν τε καὶ Βανδίλων πληροῦσθαι ἐπύθοντο, τὰ ὅπλα ἐξαπιναίως ἀράμενοι ἅπασαν κακοῦ ἰδέαν ἐς τοὺς Λίβυας ἐπεδείξαντο. οἱ γὰρ στρατιῶται ὀλίγοι τε ἐν ἑκάστῃ ἐσχατιᾶς χώρᾳ καὶ ἔτι ἀπαράσκευοι ὄντες, καταθέουσιν οὐκ ἂν εἶχον πανταχόσε τοῖς βαρβάροις ἀνθίστασθαι, οὐδὲ τὰς ἐπεκδρομὰς συχνάς τε καὶ οὐκ ἐκ τοῦ ἐμφανοῦς γινομένας διακωλύσειν. ἀλλ᾽
C ἄνδρες μὲν οὐδενὶ κόσμῳ ἐκτείνοντο, γυναῖκες δὲ ξὺν παισὶν ἐν ἀνδραπόδων λόγῳ ἐγίνοντο, τά τε χρήματα ἐκ πάσης ἐσχατιᾶς ἤγετο καὶ φυγῆς ἡ χώρα ξύμπασα ὑπεπίμπλατο. ταῦτα Βελισαρίῳ ἤδη που ἀναγομένῳ ἠγγέλλετο. καὶ αὐτὸς μὲν ἀναστρέφειν οὐκέτι εἶχε, Σολόμωνι δὲ διέπειν τὸ Λιβύης κράτος παρείχετο, ἀπολέξας τῶν ὑπασπιστῶν καὶ δορυφόρων τῶν αὐτοῦ μέρος πλεῖστον· ὥστε Σολόμωνι ἑπομένους Μαυρουσίων ὅτι τάχιστα τοὺς ἐπαναστάντας τῆς ἐς Ῥωμαίους ἀδικίας ξὺν προθυμίᾳ πολλῇ τίσασθαι. καὶ βασιλεὺς δὲ στρατιὰν ἄλλην Σολόμωνι ἔπεμψε,
D ξὺν Θεοδώρῳ τε τῷ ἐκ Καππαδοκίας καὶ Ἰλδίγερι· ὃς δὴ Ἀντωνίνης γαμβρὸς τῆς Βελισαρίου γυναικὸς ἦν. ἐπειδὴ δὲ τῶν ἐπὶ Λιβύης χωρίων τοὺς φόρους οὐκέτι ἦν ἐν γραμματείοις τεταγμένους εὑρεῖν, ἧπερ αὐτοὺς ἀπεγράψαντο ἐν τοῖς ἄνω χρόνοις Ῥω-

7. ἂν εἶχον PHm. ἀντεῖχον HL. 12. ὑπεπίμπλατο] ὑπεμπίπλατο L. 15. ἀπολέξας τῶν] ἀπολέξας καὶ τῶν HL. *ibid.* καὶ δορ.] τε δορ. HL: illud Hoeschelius in annot. *ibid.* αὐτοῦ] αὑτοῦ P.

Belisarii: quo praesente, non sperabant fore unquam ut Romanis bello superiores evaderent. At ubi ipsum cum scutariis atque hastatis protectoribus suis discedere, iisque iam ac Vandalis impleri naves audierunt, sumptis improviso armis, omnes nocendi artes in Afros exercuere. Milites enim, cum ad limites singulos et pauci essent, et imparati, impares quoque erant inhibendis frequentibus ac furtivis excursionibus, quibus omnia Barbari infesta habebant. Viri foedissime mactabantur, feminae cum parvulis abstrahebantur in servitutem; limitanea quaeque regio praedae erat: ubique fuga ac trepidatio. De his factus certior Belisarius, cum iam oram solveret, neque esset integrum regredi, Salomoni regendam Africam tradidit, delectuque habito, partem maximam Praetorianorum suorum reliquit; ut, eo duce, quamprimum magno animo ultum irent nefaria in Romanos ausa Maurorum rebellium. Salomoni Imperator alias misit copias cum Theodoro Cappadoce, et Ildigere, genero Antoninae uxoris Belisarii. Et quoniam vectigalia iam in literis et codicibus rationariis reperiri non poterant, prout olim perscripta fuerant a Romanis;

μαῖοι, ἅτε Γιζερίχου ἀναχαιτίσαντός τε καὶ διαφθείραντος κατ' ἀρχὰς ἅπαντας, Τρύφων τε καὶ Εὐστράτιος πρὸς βασιλέως ἐστάλησαν, ἐφ' ᾧ τοὺς φόρους αὐτοῖς τάξουσι κατὰ λόγον ἑκάστῳ. οἳ δὴ οὐ μέτριοι Λίβυσιν οὐδὲ φορητοὶ ἔδοξαν εἶναι.

θ'. Βελισάριος δὲ ἅμα Γελίμερί τε καὶ Βανδίλοις ἐς Βυ- P 255 ζάντιον ἀφικόμενος γερῶν ἠξιώθη, ἃ δὴ ἐν τοῖς ἄνω χρόνοις Ῥωμαίων στρατηγοῖς τοῖς νίκας τὰς μεγίστας καὶ λόγου πολλοῦ ἀξίας ἀναδησαμένοις διετετάχατο. χρόνος δὲ ἀμφὶ ἐνιαυτοὺς ἑξακοσίους παρῳχήκει ἤδη ἐξ ὅτου ἐς ταῦτα τὰ γέρα οὐδεὶς ἐληλύθει, ὅτι μὴ Τίτος τε καὶ Τραϊανὸς, καὶ ὅσοι ἄλλοι αὐτοκράτορες στρατηγήσαντες ἐπί τι βαρβαρικὸν ἔθνος ἐνίκησαν. τά τε γὰρ λά- H 134 φυρα ἐνδεικνύμενος καὶ τὰ τοῦ πολέμου ἀνδράποδα ἐν μέσῃ πόλει ἐπόμπευσεν, ὃν δὴ θρίαμβον ἐκάλουν Ῥωμαῖοι, οὐ τῷ παλαιῷ B μέντοι τρόπῳ, ἀλλὰ πεζῇ βαδίζων ἐκ τῆς οἰκίας τῆς αὑτοῦ ἄχρι ἐς τὸν ἱππόδρομον· κἀνταῦθα [ἐκ Βανδίλων], αὖθις ἕως ἐς τὸν χῶρον ἀφίκετο, οὗ δὴ ὁ θρόνος ὁ βασίλειός ἐστιν. ἦν δὲ λάφυρα μὲν ὅσα δὴ ὑπουργίᾳ τῇ βασιλέως ἀνεῖσθαι εἰώθει, θρόνοι τε χρυσοῖ καὶ ὀχήματα, οἷς δὴ τὴν βασιλέως γυναῖκα ὀχεῖσθαι νόμος, καὶ κόσμος πολὺς ἐκ λίθων ἐντίμων συγκείμενος, ἐκπώματά τε χρυσᾶ, καὶ τὰ ἄλλα ξύμπαντα ὅσα ἐς τὴν βασιλέως θοίνην χρήσιμα. ἦν δὲ καὶ ἄργυρος ἕλκων μυριάδας ταλάντων πολλὰς καὶ πάντων τῶν βασιλικῶν κειμηλίων πάμπολύ τι χρῆμα V 399 (ἅτε Γιζερίχου τὸ ἐν Ῥώμῃ σεσυληκότος παλάτιον, ὥσπερ ἐν τοῖς C

14. ἐκ τῆς — Βανδίλων om. L. *ibid.* αὐτοῦ] αὑτοῦ P. 15. κἀνταῦθα] κἀντεῦθεν Grotius. *ibid.* ἐκ Βανδίλων delet Grotius et om. RV. ἐκ βαλβίδων Maltretus.

quippe illa suppresserat ipso regni sui initio Gizericus, et omnino sustulerat; Tryphonem atque Eustratium Augustus misit, cuique tributum descripturos proportione; quod Afris immodicum et intolerabile visum est.

9. Postquam Byzantium Belisarius cum Gelimere Vandalisque advenit, honoribus affectus est, qui quondam Romanis ducibus, maximas clarissimasque victorias consecutis, decernebantur: cum nemo iam ab annis circiter DC. adeptus eos fuisset, praeter Titum, Traianum, ac caeteros Imperatores, qui ducto in Barbaram aliquam nationem exercitu, victores redierant. Etenim spolia et captivos spectandos exhibens, pompam, sive, ut Romani appellabant, triumphum, per urbem mediam duxit, non veteri tamen more. Siquidem a suis aedibus in Circum usque pedibus processit, ibique a carceribus ad solium Imperatoris. In spoliis videre erat quaecunque regiis usibus addici solent: sellas aureas, vehicula uxoris principis, mundi gemmei ingentem vim, pocula ex auro, epularem omnem supellectilem regis, talentorum argenti multas myriadas, et magnam regiorum vasorum copiam: quae Gizericus, uti supra memoravimus, in Rom.

ἔμπροσθεν λόγοις ἐρρήθη), ἐν τοῖς καὶ τὰ Ἰουδαίων κειμήλια ἦν, ἅπερ Οὐεσπασιανοῦ Τίτος μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν ἐς Ῥώμην ξὺν ἑτέροις τισὶν ἤνεγκε. καὶ αὐτὰ τῶν τις Ἰουδαίων ἰδὼν καὶ παραστὰς τῶν βασιλέως γνωρίμων τινὶ „ταῦτα“ ἔφη „τὰ χρήματα ἐς τὸ ἐν Βυζαντίῳ παλάτιον ἐσκομίζεσθαι ἀξύμφορον οἴομαι εἶναι. οὐ γὰρ οἷόν τε αὐτὰ ἑτέρωθι εἶναι ἢ ἐν τῷ χώρῳ, οὗ δὴ Σολομὼν αὐτὰ πρότερον ὁ τῶν Ἰουδαίων βασιλεὺς ἔθετο. διὰ ταῦτα γὰρ καὶ Γιζέριχος τὰ Ῥωμαίων βασίλεια
D εἷλε καὶ νῦν τὰ Βανδίλων ὁ Ῥωμαίων στρατός.“ ταῦτα ἐπεὶ ἀνενεχθέντα βασιλεὺς ἤκουσεν, ἔδεισέ τε καὶ ξύμπαντα κατὰ τάχος ἐς τῶν Χριστιανῶν τὰ ἐν Ἱεροσολύμοις ἱερὰ ἔπεμψεν. ἀνδράποδα δὲ ἦν τοῦ θριάμβου Γελίμερ τε αὐτὸς, ἐσθῆτά πού τινα ἐπὶ τῶν ὤμων ἀμπεχόμενος πορφυρᾶν, καὶ τὸ ξυγγενὲς ἅπαν, Βανδίλων τε ὅσοι εὐμήκεις τε ἄγαν καὶ καλοὶ τὰ σώματα ἦσαν. ὡς δὲ ἐν τῷ ἱπποδρόμῳ Γελίμερ ἐγεγόνει, καὶ τόν τε βασιλέα ἐπὶ βήματος ὑψηλοῦ καθήμενον τόν τε δῆμον ἐφ᾽ ἑκάτερα ἑστῶτα
P 256 εἶδε, καὶ αὐτὸν οὗ ἦν κακοῦ περισκοπῶν ἔγνω, οὔτε ἀπέκλαυσεν οὔτε ἀνῴμωξεν, ἐπιλέγων δὲ οὐκ ἐπαύσατο κατὰ τὴν Ἑβραίων γραφὴν, ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. ἀφικόμενον δὲ αὐτὸν κατὰ τὸ βασιλέως βῆμα τὴν πορφυρίδα περιελόντες, πρηνῆ πεσόντα προσκυνῆσαι Ἰουστινιανὸν βασιλέα ἠνάγκασαν. τοῦτο δὲ καὶ Βελισάριος ἐποίει, ἅτε ἱκέτης βασιλέως

1. ἔμπροσθεν] ἔμπροσθε L. ibid. ἐρρήθη] ἐῤῥέθη P. 6. οἴομαι] ᾤετο Lm. 18. Ἑβραίων] Eccles. I, 2.

palatio compilaverat. In his vasa Iudaeorum erant, quae Titus Vespasiani filius, post Hierosolymorum excidium Romam cum aliis asportarat. Ea conspicatus Iudaeus quidam, unum ex Augusti familiaribus adiit, itaque monuit: *Non expedit, mea quidem sententia, aurum hoc in palatium Byzantium inferri. Nusquam enim servari potest, nisi ubi principio repositum fuit a Salomone Iudaeorum rege. Quae causa extitit, cur et Romanam olim regiam Gizericus, et Vandalicam Rom. exercitus modo ceperit.* Haec Imperatori renuntiata metum incussere, ita ut totum id, quidquid erat, in Hierosolymitana Christianorum templa deferri iusserit. Porro hos triumphus captivos habuit: Gelimerem ipsum, cum veste purpurea circundata humeris; propinquos ipsius omnes; e Vandalis procerissimos quosque, et oris dignitate praestantes. Circum ingressus Gelimer, ubi Augustum sublimi in solio sedentem, stantemque hinc inde populum vidit, et animum ad se referens, quo infortunii devenisset, attendit; nec lacrimas, nec gemitus edidit, at semper in ore habuit vocem illam, ex Hebraeorum monumentis petitam: *Vanitas vanitatum, et omnia vanitas.* Ut ventum est ad Caesareum solium, exuta purpura, prono vultu procumbere, et Iustiniannum Aug. adorare compulsus est: quem honorem Be-

ξὺν αὐτῷ γεγονώς. βασιλεύς τε Ἰουστινιανὸς καὶ ἡ βασιλὶς Θεοδώρα τὰς Ἰλδερίχου παῖδάς τε καὶ ἐκγόνους πάντας τοὺς ἐκ Οὐα- B λεντινιανοῦ βασιλέως ξυγγενείας χρήμασιν ἱκανοῖς ἐδωρήσαντο, καὶ Γελίμερι χωρία οὐκ εὐκαταφρόνητα ἐν Γαλατίᾳ δόντες ὁμοῦ τοῖς ξυγγενέσιν ἐνταῦθα οἰκεῖν ξυνεχώρησαν. ἐς πατρικίους μέντοι ἀνάγραπτος Γελίμερ ἥκιστα ἐγεγόνει, ἐπεὶ οὐ μετατίθεσθαι τῆς Ἀρείου δόξης ἤθελεν.

Ὀλίγῳ δὲ ὕστερον Βελισαρίῳ καὶ ὁ θρίαμβος κατὰ δὴ τὸν παλαιὸν νόμον ξυνετελέσθη. ἐς ὑπάτους γὰρ προελθόντι οἱ ξυνέπεσε φέρεσθαί τε πρὸς τῶν αἰχμαλώτων καὶ ἐν τῷ δίφρῳ ὀχουμένῳ, τῷ δήμῳ ῥιπτεῖν αὐτὰ δὴ ἐκεῖνα τοῦ Βανδίλων πολέμου τὰ λάφυρα. τά τε γὰρ ἀργυρώματα καὶ ζώνας χρυσᾶς καὶ ἄλλου C πλούτου Βανδιλικοῦ πολύ τι χρῆμα ἐκ τῆς Βελισαρίου ὑπατείας ὁ δῆμος ἥρπασε, καί τι τῶν οὐκ εἰωθότων ἀνανεοῦσθαι τῷ χρόνῳ ἔδοξε. ταῦτα μὲν δὴ οὕτως ἐν Βυζαντίῳ ἔσχε.

ί. Σολόμων δὲ τὸ ἐν Λιβύῃ παραλαβὼν στράτευμα, ἐπηρμένων μὲν, ὡς προδεδήλωται, τῶν Μαυρουσίων, ἠωρημένων δὲ τῶν ὅλων πραγμάτων, ἐν ἀπόρῳ εἶχεν ἤ τὸ παρὸν θέσθαι. τούς τε γὰρ στρατιώτας ἐν Βυζακίῳ καὶ Νουμιδίᾳ οἱ βάρ- D βαροι ἀνῃρηκέναι καὶ ἅπαντα ἄγειν τε καὶ φέρειν τὰ ἐκείνῃ ἠγγέλλοντο. μάλιστα δὲ αὐτόν τε καὶ Καρχηδόνα πᾶσαν συνετάραξε τὰ ἐς Αἰγᾶν τε τὸν Μασσαγέτην καὶ Ῥουφῖνον τὸν Θρᾷκα ἐν Βυ-

2. Οὐαλεντινιανοῦ] Βαλεντινιανοῦ P. 13. ὑπατείας] ὑπατίας AL. 22. Αἰγᾶν HP hic et infra cum diaeresi.

lisarius quoque persolvit, cum Gelimere supplex. Imperator autem Iustinianus ac Theodora Augusta Ilderici filias, et omnem Valentiniani Aug. prosapiam multa pecunia donarunt: Gelimeri fundos in Galatia assignarunt non contemnendos, ubi ipsi cum propinquitate habitare licuit. At Patriciorum ordini ideo non fuit ascriptus, quia ab Arianismo discedere noluit.

Haud multo post Belisarius alterum, et veteri quidem more, triumphum egit. Nam illum consulem captivi portarunt: idemque e curuli illas ipsas belli Vandalici manubias populo sparsit. Siquidem Belisario consule vasa argentea, zonas aureas, aliarumque rerum pretiosarum, quas habuerant Vandali, magnam copiam populus rapuit, ac dies partem eorum, quae desuetudine iam pridem abierant, revocare visa est. Byzantii quidem haec ita se habuerunt.

10. In Africa vero Salomon, accepto armorum imperio, cum Mauri, uti supra narravimus, rebellassent, ac suspensa rerum summa in ancipiti nutaret, pendens et ipse animi, quid in praesenti statueret, nesciebet. Ex nuntiis enim cognoverat, Barbaros, deletis Byzacii Numidiaeque praesidiis, illic agere et ferre omnia: in primis quae Aigani Massagetae et Rufino Thraci apud Byzacenos acciderant, cum ipsum, tum Carthaginem

ζακίῳ ξυνενεχθέντα. ἄμφω γὰρ λογίμω ἐς ἄγαν ἔν τε τῇ Βελι-
σαρίου οἰκίᾳ ἤστην καὶ τῷ Ῥωμαίων στρατεύματι, ἅτερος μὲν
αὐτῶν Αἰγᾶν ἐν τοῖς Βελισαρίου δορυφόροις ταττόμενος, ὁ δὲ
ἕτερος, ἅτε ἁπάντων εὐψυχότατος, τὸ σημεῖον τοῦ στρατηγοῦ
P 257 ἐν ταῖς παρατάξεσιν εἰωθὼς φέρειν, ὃν δὴ βανδοφόρον καλοῦσι
Ῥωμαῖοι. τότε γὰρ τούτω τὼ ἄνδρε ἱππικῶν καταλόγων ἡγου-
H 135 μένω ἐν Βυζακίῳ, ἐπειδὴ τοὺς Μαυρουσίους εἶδον τά τε ἐν ποσὶ
V 400 ληιζομένους καὶ Λίβυας ἅπαντας ἐν ἀνδραπόδων λόγῳ ποιησαμέ-
νους, τηρήσαντες ἐν στενοχωρίᾳ ξὺν τοῖς σφίσιν ἑπομένοις τοὺς
τὴν λείαν παραπέμποντας, αὐτούς τε κτείνουσι καὶ τοὺς αἰχμα-
λώτους ἀφαιροῦνται πάντας. ὡς δὲ οὗτος ὁ λόγος ἐς τῶν βαρ-
βάρων τοὺς ἄρχοντας ἧκε, Κουζίαν τε καὶ Ἐσδιλάσαν καὶ Ἰου-
φρούθην καὶ Μεδισινίσαν, οὐ μακρὰν ταύτης δὴ τῆς στενοχω-
ρίας ἀπέχοντας, χωροῦσιν ἐπ' αὐτοὺς παντὶ τῷ στρατῷ περὶ δεί-
λην ὀψίαν. οἱ Ῥωμαῖοι δέ, κομιδῇ τε ὀλίγοι ὄντες καὶ ἐν χώρῳ
B στενῷ ἐς μέσον μυριάδων πολλῶν ἀπειλημμένοι, ἀμύνεσθαι τοὺς
ἐπιόντας οὐχ οἷοί τε ἦσαν. ἔνθα γὰρ ἂν τραπεῖεν, ἀεὶ κατὰ νώ-
του ἐβάλλοντο. τότε δὴ Ῥουφῖνός τε καὶ Αἰγᾶν ξὺν ὀλίγοις τισὶν
ἐς πέτραν ἐγγύς που οὖσαν ἀναδραμόντες ἐνθένδε τοὺς βαρβά-
ρους ἠμύνοντο. τέως μὲν οὖν, ἕως τοῖς τόξοις ἐχρῶντο, οὐκ
ἐτόλμων σφίσιν ἐκ τοῦ εὐθέος ἐς χεῖρας ἐλθεῖν οἱ πολέμιοι, ἀλλὰ
τὰς αἰχμὰς ἐσηκόντιζον· ἐπεὶ δὲ τὰ βέλη ἅπαντα σφᾶς ἤδη ἐπι-
λελοίπει, οἵ τε Μαυρούσιοι αὐτοῖς ἐς χεῖρας ἦλθον καὶ αὐτοὶ τοὺς

12. „κουζίαν Reg.“ MALT. Sic ALHm et RV. *Κουζῖναν* HP.
13. τῆς add. L. 16. μέσον] μέσων L.

universam conturbabant. Siquidem erant ambo inter Belisarii domesticos et in exercitu Romano clarissimi: Aigan quidem stipator erat Belisarii, Rufinus autem, virtutis ergo ac strenuitatis eximiae, vexillum Praetorium in praeliis ferre consueverat: quo munere fungentem Romani bandiferum vocant. Hi tunc duces equitum in provincia Byzacena, ubi a Mauris obvia quaeque rapi, et Afros omnes abduci in servitutem viderunt, virorum angustias obsedere cum suis, et praedae abactoribus imminentes, illis occisis, captivos omnes receperunt. Cladis nuntio permoti, qui non procul aberant, Barbarorum duces, Cuzinas, Isdilasas, Iuphruthes ac Medisinisas, omnes eo copias promovent, inclinata iam die. Romani, cum et pauci admodum essent, arctoque in spatio multis millibus cingerentur, non sufficiebant propulsandae impressioni. Nam quocunque se verterent, eorum terga missilibus figebantur. Tum Rufinus et Aigan cum paucis in vicinam rupem cursu evadunt, atque inde Barbaros prohibent. Et quandiu quidem arcubus usi sunt, refugit hostis recta impetum dare, et manus conserere, sed vibrare spicula satis habuit. Ubi vero pharetras exhausere, tunc demum Maurus certare cominus, Romani repellere gla-

ξίφεσιν ἐκ τῶν παρόντων ἠμύνοντο. τοῦ δὲ πλήθους τῶν βαρβάρων βιαζομένου, Αἰγᾶν μὲν κρεουργηθεὶς τὸ σῶμα ὅλον ἐνταῦθα ἔπεσε, Ῥουφῖνον δὲ οἱ πολέμιοι ἁρπάσαντες ἦγον. αὐτίκα C δὲ τῶν ἀρχόντων τις Μεδισινίσσας, δείσας μὴ διαφυγὼν πράγματα σφίσιν αὖθις παρέχοι, τῆς τε κεφαλῆς αὐτὸν ἀφαιρεῖται καὶ ταύτην ἐς τὰ οἰκεῖα λαβὼν ταῖς γυναιξὶ ταῖς αὐτοῦ ἔδειξε, μεγέθους τε ὑπερβολῇ καὶ τριχῶν πλήθει ἀξιοθέατον οὖσαν. ἐπεὶ δὲ ἡμᾶς ὁ τῆς ἱστορίας λόγος ἐνταῦθα ἤγαγεν, ἐπάναγκες εἰπεῖν ἄνωθεν ὅθεν τε τὰ Μαυρουσίων ἔθνη ἐς Λιβύην ἦλθε καὶ ὅπως ἐνταῦθα ᾠκήσαντο.

Ἐπειδὴ Ἑβραῖοι ἐξ Αἰγύπτου ἀνεχώρησαν καὶ ἄγχι τῶν Παλαιστίνης ὁρίων ἐγένοντο, Μωσῆς μὲν σοφὸς ἀνήρ, ὃς αὐτὸς τῆς ὁδοῦ ἡγήσατο, θνήσκει, διαδέχεται δὲ τὴν ἡγεμονίαν Ἰησοῦς ὁ τοῦ Ναυῆ παῖς, ὃς ἔς τε τὴν Παλαιστίνην τὸν λεὼν τοῦτον εἰσήγαγε καὶ ἀρετὴν ἐν τῷ πολέμῳ κρείσσω ἢ κατὰ ἀνθρώπου φύσιν D ἐπιδειξάμενος τὴν χώραν ἔσχε. καὶ τὰ ἔθνη ἅπαντα καταστρεψάμενος τὰς πόλεις εὐπετῶς παρεστήσατο, ἀνίκητός τε παντάπασιν ἔδοξεν εἶναι. τότε δὲ ἡ ἐπιθαλασσία χώρα ἐκ Σιδῶνος μέχρι τῶν Αἰγύπτου ὁρίων Φοινίκη ξύμπασα ὠνομάζετο. βασιλεὺς δὲ εἷς τὸ παλαιὸν ἐφειστήκει, ὥσπερ ἅπασιν ὡμολόγηται, οἳ Φοινίκων τὰ ἀρχαιότατα ἀνεγράψαντο. ἐνταῦθα ᾤκηντο ἔθνη πολυανθρωπότατα, Γεργεσαῖοί τε καὶ Ἰεβουσαῖοι καὶ ἄλλα ἄττα ὀνό-

4. „μεδισινίσσας Reg." Malt. Sic LHm. *Μεδισινίσας* HP.
11. Ἑβραῖοι] ἑβραῖοι L hic et infra. 18. ἡ om. L.
22. Γεργεσαῖοι] γερκαῖοι L.

diis, pro re nata. Tandem illos obruente numero Barbarorum, conscissus plagis Aigan occubuit: Rufinum captum atque abductum dux Medisinisas confestim obtruncavit, veritus ne is fuga elapsus negotium denuo exhiberet. Idem Barbarus illius caput, magnitudine et comae densitate insigne, domum attulit, atque uxoribus ostendit suis. Quandoquidem vero ad Mauros instituto historiae deducti sumus, locus postulat ut rem altius repetentes, unde illi in Africam venerint, et quo ibi modo sedes fixerint, declaremus.

Cum Hebraei, ex Aegypto egressi, non longe a Palaestinae finibus abessent, dux viae Moses, vir sapiens, e vita migravit. Ducatum suscepit Iesus Naue filius: qui gente hac in Palaestinam inducta, regionem obtinuit, virtutem in bello promens humana maiorem, ac debellatis indigenis omnibus, urbium facile potitus est, audiitque plane invictus. Tunc temporis maritima omnis regio, a Sidone ad Aegypti fines, Phoenice dicebatur, nec nisi unum ibi quondam fuisse regem confessione omnium constat, qui de Phoenicum antiquitatibus scripsere. Illic gentes numero abundantes degebant, Gergesaei, Iebusaei, aliaeque aliis discretae nomi-

ματα ἔχοντα, οἷς δὴ αὐτὰ ἡ τῶν Ἑβραίων ἱστορία καλεῖ. οὗτος ὁ λαὸς ἐπεὶ ἄμαχόν τι χρῆμα τὸν ἐπηλύτην στρατηγὸν εἶδον, ἐξ
P 258 ἠθῶν τῶν πατρίων ἐξαναστάντες ἐπ' Αἰγύπτου ὁμόρου οὔσης ἐχώρησαν. ἔνθα χῶρον οὐδένα σφίσιν ἱκανὸν ἐνοικήσασθαι εὑρόντες, ἐπεὶ ἐν Αἰγύπτῳ πολυανθρωπία ἐκ παλαιοῦ ἦν, ἐς Λιβύην ἐστάλησαν. πόλεις τε οἰκίσαντες πολλὰς ξύμπασαν Λιβύην μέχρι στηλῶν τῶν Ἡρακλέους ἔσχον, ἐνταῦθά τε καὶ ἐς ἐμὲ τῇ Φοινίκων φωνῇ χρώμενοι ᾤκηνται. ἐδείμαντο δὲ καὶ φρούριον ἐν Νουμιδίᾳ πόλει, οὗ νῦν πόλις Τίγισίς ἐστί τε καὶ ὀνομάζεται. ἔνθα στῆλαι δύο ἐκ λίθων λευκῶν πεποιημέναι ἄγχι κρήνης εἰσὶ τῆς μεγάλης, γράμματα Φοινικικὰ ἐγκεκολαμμένα ἔχουσαι τῇ
B Φοινίκων γλώσσῃ λέγοντα ὧδε, ἡμεῖς ἐσμεν οἱ φυγόντες ἀπὸ προσώπου Ἰησοῦ τοῦ λῃστοῦ υἱοῦ Ναυῆ. ἦσαν δὲ καὶ ἄλλα ἔθνη ἐν Λιβύῃ πρότερον ᾠκημένα, οἳ διὰ τὸ ἐκ παλαιοῦ ἐνταῦθα ἱδρῦσθαι αὐτόχθονες εἶναι ἐλέγοντο. καὶ ἀπ' αὐτοῦ Ἀνταῖον, τὸν αὐτῶν βασιλέα, ὃς ἐν Κλιπέᾳ Ἡρακλεῖ ἐπάλαισε, τῆς γῆς υἱὸν ἔφασαν εἶναι. χρόνῳ δὲ ὕστερον καὶ ὅσοι μετὰ Διδοῦς ἐκ Φοινίκης ἀνέστησαν, ἅτε πρὸς ξυγγενεῖς τοὺς ἐν Λιβύῃ ᾠκημένους ἀφίκοντο. οἳ δὴ αὐτοῖς Καρχηδόνα κτίσαι τε καὶ ἔχειν ἐθελούσιοι
C ξυνεχώρησαν. προϊόντος δὲ τοῦ χρόνου ἐγένετο ἡ τῶν Καρχηδονίων δύναμις μεγάλη καὶ πολυάνθρωπος. μάχης τε σφίσι γενομένης πρὸς τοὺς ὁμόρους, οἳ πρότεροι, ὥσπερ ἐρρήθη, ἐκ Πα-

5. ἐν om. L. 9. πόλει delet Hoeschelius. 11. ἐγκεκολαμμένα] ἐκκεκολαμμένα HL. 13. Ναυῆ] ναβῆ L. 22. ἐρρήθη] ἐῤῥέθη P.

nibus in Hebraeorum historia. At ubi ducem advenam vinci non posse intellexerunt, relicta patria, in Aegyptum conterminam commigrarunt. Hic loco non invento, qui sedes ipsis satis laxas praeberet, quod iam ab aevo longinquo frequens populis Aegyptus esset, in Africam concesserunt: quam totam usque ad columnas Herculeas obtinuerunt, multisque urbibus conditis, frequentarunt. Phoenicum lingua etiamnum utuntur incolae. Castellum quoque struxerunt in urbe Numidia: ubi est urbs, iam dicta Tigisis. Ibi ad fontem uberrimum columnae e lapide candido visuntur duae, quae incisam Phoenicum literis et verbis sententiam hanc servant: *Nos ii sumus, qui fugimus a facie Iesu latronis filii Naue.* Ante horum adventum colebant Africam alii populi; qui quod ibi iam inde antiquitus habitassent, regionis soboles vocabantur. Hinc perhibent terrae filium fuisse Antaeum, ipsorum regem, qui Clipeae cum Hercule luctatus est. Post etiam qui e Phoenicia cum Didone migrarunt, ad colonos Africae, tanquam consanguineos, se contulerunt, atque ipsis volentibus, Carthaginem condiderunt tenueruntque. Procedente tempore, Carthaginenses opibus numeroque aucti mirum in modum, vicinos, qui priores, quemadmo-

λαιστίνης ἀφίκοντο καὶ τὰ νῦν Μαυρούσιοι καλοῦνται, ἐκράτη-
σάν τε αὐτῶν οἱ Καρχηδόνιοι καὶ ὡς ἀπωτάτω οἰκεῖν Καρχηδόνος H 136
ἠνάγκασαν. ἔπειτα δὲ Ῥωμαῖοι πάντων καθυπέρτεροι τῷ πο- V 401
λέμῳ γενόμενοι Μαυρουσίους μὲν ἐς ἐσχατιὰς τῆς ἐν Λιβύῃ οἰ-
κουμένης χώρας ἱδρύσαντο, Καρχηδονίους δὲ καὶ Λίβυας τοὺς
ἄλλους κατηκόους σφίσιν ἐς φόρου ἀπαγωγὴν ἐποιήσαντο. ὕστε-
ρον δὲ οἱ Μαυρούσιοι πολλὰς κατὰ Βανδίλων νίκας ἀνελόμενοι D
Μαυριτανίαν τε τὴν νῦν καλουμένην ἐκ Γαδείρων μέχρι τῶν
Καισαρείας ὁρίων τείνουσαν καὶ Λιβύης τῆς ἄλλης τὰ πλεῖστα
ἔσχον. τὰ μὲν δὴ τῆς Μαυρουσίων ἐν Λιβύῃ ἐνοικήσεως ταύτῃ
πῃ ἔσχε.

ιαʹ. Σολόμων δὲ τὰ ἐς Ῥουφῖνον καὶ Αἰγᾶν ξυνενεχθέντα
ἀκούσας τόν τε πόλεμον ἐν παρασκευῇ ἐποιεῖτο καὶ πρὸς τοὺς
Μαυρουσίων ἄρχοντας ἔγραψε τάδε „Ἤδη μὲν καὶ ἄλλοις ἀν-
θρώπων τισὶν ἀπονενοῆσθαί τε καὶ ἀπολωλέναι τετύχηκεν, οἳ οὐ-
δενὶ πρότερον τεκμηριῶσαι ἔσχον ὅπῃ ποτὲ αὐτοῖς τὰ τῆς ἀπο- P 259
νοίας ἐκβήσεται. ὑμεῖς δέ, οἷς τὸ παράδειγμα ἐγγύθεν ἐκ τῶν
ξυνοίκων ὑμῖν Βανδίλων ἐστί, τί ποτε ἄρα παθόντες χεῖράς τε
ἀνταίρειν ἔγνωτε βασιλεῖ τῷ μεγάλῳ καὶ τὴν ὑμῶν αὐτῶν σωτη-
ρίαν προΐεσθε; καὶ ταῦτα ὅρκους τε τοὺς δεινοτάτους ἐν γράμ-
μασι δόντες καὶ τοὺς παῖδας τοὺς ὑμετέρους τῶν ὡμολογημένων
ἐνέχυρα παρεχόμενοι; ἢ ἐπίδειξίν τινα ἐγνώκατε ποιεῖσθαι, ὡς
ὑμῖν οὔτε θεοῦ οὔτε πίστεως οὔτε τῆς ξυγγενείας αὐτῆς οὔτε τῆς
σωτηρίας οὔτε ἄλλου ὁτουοῦν ἐστί τις λόγος; καίτοι, εἰ τὰ ἐς τὸ

dum dictum est, e Palaestina venerant, et hodie vocantur Mauri, acie fusos, longissime ab urbe Carthagine sibi sedes legere coëgerunt. Dein Romani, omnibus debellatis, extremas oras Africae, habentis hominum domicilia, Mauris assignarunt; Carthaginenses caeterosque Afros stipendiarios habuerunt. Denique Mauri, Vandalis saepe victis, quam appellant nunc Mauritaniam, a Gadibus ad Caesareae limites pertinentem, et reliquae Africae partem maximam occuparunt. Hactenus de sedibus Maurorum in Africa.

11. Iam vero Salomon, de Rufini casu atque Aiganis certior factus, dum bellum parat, has ad duces Maurorum literas dedit. *Amentes quidem alios quosdam vidit humanum genus, qui in exitium ruerint, cum nihil, ex quo vecordiae suae exitum coniicerent, praecessisset. At vos, Vandalorum, qui communem vobiscum regionem habuerunt, propinquo exemplo monitos, quae tanta cepit insania, ut vestrae salutis prodigi, in magnum Imperatorem arma capere non sitis veriti: idque post iusiurandum gravissimum literis consignatum, post datos pactorum obsides liberos vestros? Num vobis propositum est, palam omnibus facere, apud vos nec Deum, nec fidem, nec propinquitatem, neque aliud quidquam valere? Quod si ita numen co-*

θεῖον ὑμῖν οὕτως ἤσκηται, τίνι ξυμμάχῳ πιστεύοντες ἐπὶ τὸν Ῥωμαίων βασιλέα χωρεῖτε; εἰ δὲ τοὺς παῖδας ἀπολοῦντες στρα- B τεύεσθε, τί ποτέ ἐστιν ὑπὲρ ὅτου κινδυνεύειν βεβούλησθε; ἀλλ' εἰ μὲν ἤδη τις εἰσῆλθεν ὑμᾶς τῶν φθασάντων μετάμελος, γράψατε ὅπως ὑμῖν εὖ τὰ πεπραγμένα θησόμεθα· εἰ δὲ τὸ τῆς ἀπονοίας ὑμῖν οὔπω λελώφηκε, δέξασθε Ῥωμαϊκὸν πόλεμον μετὰ τῶν ὅρκων, οἷς ἐλωβήσασθε, καὶ τῆς ἐς τοὺς παῖδας τοὺς ὑμετέρους ἀδικίας ὑμῖν προσιόντα." τοσαῦτα μὲν Σολόμων ἔγραψεν. οἱ δὲ Μαυρούσιοι ἀπεκρίναντο ὧδε „Βελισάριος μὲν ἐπαγγελίαις μεγάλαις ἡμᾶς περιελθὼν ἔπεισε βασιλέως Ἰουστινιανοῦ κατηκόους εἶναι· Ῥωμαῖοι δὲ τῶν ἀγαθῶν ἡμῖν οὐδενὸς μεταδόντες λιμῷ πιεζομένους ἠξίουν φίλους τε ἡμᾶς καὶ ξυμμάχους ἔχειν. ὥστε εἰκότως ἂν μᾶλλον ὑμῖν ἢ Μαυρουσίοις τὸ μὴ πιστοῖς καλεῖσθαι προσήκει. λύουσι γὰρ τὰς σπονδὰς οὐχ ὅσοι ἀδικούμε- C νοι ἐκ τοῦ ἐμφανοῦς τῶν πέλας κατηγοροῦντες ἀφίστανται, ἀλλ' ὅσοι ὑποσπόνδους ἔχειν ἀξιοῦντές τινας εἶτα βιάζονται. καὶ τὸν θεὸν πολέμιον σφίσι ποιοῦνται οὐχ οἳ ἂν τὰ σφέτερα αὐτῶν κομιούμενοι ἐφ' ἑτέρους χωροῖεν, ἀλλ' ὅσοι τῶν ἀλλοτρίων ἐπιβατεύοντες ἐς κίνδυνον πολέμου καθίστανται. παίδων μέντοι ἕνεκεν ὑμῖν μελήσει, οἷς μίαν ἄγεσθαι γυναῖκα ἀνάγκη· ἡμᾶς γὰρ, οἷς καὶ κατὰ πεντήκοντα, ἂν οὕτω τύχοι, ξυνοικοῦσι γυναῖκες, παίδων οὐκ ἄν ποτε ἐπιλείποι γονή."

5. ὑμῖν εὖ — ἀπονοίας addidi ex A. Maltreto, qui haec sic interpolavit; γράψατε· εἰ δὲ ἄγος ὑμῖν οὔπω — veriorem viam monstrare poterat RV interpretatio, *nos certiores per litteras facite, ut ea bene vobiscum agendo transigamus. Si autem temeritatis vos adhuc piget* —. 6. δέξασθε] δέξαισθε L. 21. ξυνοικοῦσι] συνοικοῦσι L.

litis, cuiusnam freti auxilio Imperatorem Romanum invaditis? Si belli susceptione perditis filios, quid tandem est, cuius causa in discrimen vos offeratis? Agite vero, ac si vos ante actorum poenitet, id per literas renuntiate. Si vester sceleratus furor nihil remisit, Martem Romanum accipite, ad vos venientem cum sacramento, quod violastis, et cum iniuria, qua liberos vestros afficitis. Haec Salomon: cui Mauri sic rescripsere. *Belisarius quidem nos, promissis magnificis circumventos, in Iustiniani Aug. ditionem pellexit. Romani vero, nos beneficentiae expertes omnino factos et fame pressos, amicos et socios habere volunt. Ex quo apparet perfidiae notam vobis convenire, non Mauris. Sunt enim foedifragi, non qui deficiunt a vicinis, aperte convictis iniuriae, sed qui violant foederatos: neque odium Dei suscipiunt, qui alios adoriuntur, sua recepturi, sed qui bellum committunt, involantes in aliena. Vos porro moveat sobolis cura, quibus unam tantum uxorem ducere licet: nos qui quinquaginta, si fors ita ferat, nobis adiungimus, nunquam proles deficiet.*

Ταῦτα ἀναλεξαμένῳ Σολόμωνι τὸ στράτευμα ὅλον ἐπὶ Μαυ-
ρουσίους ἐπάγειν ἔδοξε. διαθέμενός τε τὰ ἐν Καρχηδόνι πρά-
γματα, παντὶ τῷ στρατῷ ἐς Βυζάκιον ᾔει. γενόμενος δὲ ἐς Μάμ-
μης τὸ χωρίον, ἔνθα δὴ οἱ τέτταρες τῶν Μαυρουσίων ἄρχοντες D
ἐστρατοπεδεύσαντο, ὧν ὀλίγῳ πρότερον ἐπεμνήσθην, χαράκωμα
ἐποιήσατο. ὄρη δέ ἐστιν ἐνταῦθα ὑψηλὰ καὶ χωρίον ὁμαλὲς ἐς
τὸν πρόποδα τῶν ὀρῶν, ἔνθα οἱ βάρβαροι παρασκευασάμενοι
ἐπὶ μάχην ἐποιοῦντο τὴν παράταξιν ὧδε. κύκλον ἐκ τῶν καμή-
λων ταξάμενοι, ὅπερ καὶ τὸν Καβάωνα ἐν τοῖς ἔμπροσθε λόγοις
εἰργάσθαι ἐρρήθη, κατὰ δύο καὶ δέκα μάλιστα τοῦ μετώπου βά-
θος ἐποίουν. καὶ γυναῖκας μὲν ξὺν τοῖς παισὶν ἐς παράταξιν
ἐπάγεσθαι νόμος ὀλίγας, τὰς δὲ πλείους κατέθεντο τοῦ κύκλου
ἐντός· αἵπερ αὐτοῖς χαρακώματά τε καὶ καλύβας ποιοῦνται, καὶ
ἱπποκομοῦσιν ἐμπείρως, καὶ τῶν τε καμήλων τῆς τε τροφῆς ἐπι-
μελοῦνται· καὶ θήγουσαι τὰ τῶν ὅπλων σιδήρια πολλοὺς σφίσι P. 260
παραιροῦνται τῶν ἐν ταῖς παρατάξεσι πόνων· αὐτοὶ δὲ πεζοὶ ἐς V. 402
μέσους τῶν καμήλων τοὺς πόδας ἵσταντο, ἀσπίδας τε καὶ ξίφη
ἔχοντες καὶ δοράτια, οἷς ἀκοντίζειν εἰώθασι. τινὲς δὲ αὐτῶν ἐν
τοῖς ὄρεσιν ἔχοντες τοὺς ἵππους ἡσύχαζον. Σολόμων δὲ τὸ μὲν H 137
ἥμισυ τοῦ Μαυρουσίων κύκλου, ὃ πρὸς τῷ ὄρει ἐτύγχανεν ὄν,
ἀφῆκεν, οὐδένα ἐνταῦθα καταστησάμενος. ἔδεισε γὰρ μὴ κα-
τιόντες τε οἱ ἐν τῷ ὄρει πολέμιοι καὶ οἱ ἐν τῷ κύκλῳ ἐπιστρεφό-

10. ἐρρήθη] ἐῤῥέθη P. *ibid.* κατὰ] καὶ τὰ L. 12. ὀλίγας — ἐντὸς om. RV. *ibid.* τὰς δὲ πλείους HmP ex coniectura Scaligeri. Libri omnes τοῖς δὲ πλείοσι.

Haec postquam Salomon legit, universum exercitum in Mauros ducendum censuit. Itaque rebus Carthagine in tuto positis, cum omnibus copiis Byzacium petiit. Simul ut Mammam attigit, ubi quatuor, quos paulo supra recensui, Maurorum duces castra posuerant, vallum duxit. Sunt illic montes excelsi: radicibus planities adiacet; in qua Barbari, ad pugnam se accingentes, sic aciem instituerunt. Frontis altitudo duodenis camelorum in orbem dispositorum ordinibus ad eum fere modum constabat, quem a Cabaone servatum in superiore libro narravimus. Est autem hoc in more positum, ut feminas cum pueris paucas in aciem accipiant inserantque ordinibus: maximam partem in medio collocent. Eae valla ac tuguria construunt, equos scienter curant, camelos alunt, acuunt arma, sic, ut viros magna parte bellici laboris levent. Ipsi pedites inter camelorum pedes stabant, clypeis gladiisque instructi, necnon hastilibus, quae vibrare solent. Nonnulli equites in montibus se continebant. At Salomon orbiculatae Maurorum phalangis dimidiam partem, quae montem spectabat, tentare nolens, neminem illi opposuit. Quippe verebatur ne hostes, qui iugum insederant, degrederentur, et qui orbem fecerant, se

μενοι ἀμφιβόλους ἐν τῇ παρατάξει τοὺς ἐκείνῃ ταττομένους ποιήσωνται. ἐς δὲ τοῦ κύκλου τὸ λειπόμενον ὅλον ἀντιτάξας τὸ στράτευμα, ἐπειδὴ αὐτῶν τοὺς πολλοὺς εἶδε πεφοβημένους τε καὶ μὴ B θαρσοῦντας, διὰ τὰ ἐς Αἰγᾶν τε καὶ Ῥουφῖνον ξυνενεχθέντα, βουλόμενος ὑπόμνησιν αὐτοῖς ποιήσασθαι τοῦ θαρσεῖν ἔλεξε τοιάδε

„Ἄνδρες οἱ Βελισαρίῳ ξυστρατευσάμενοι, μηδεὶς ὑμᾶς τῶν ἀνδρῶν τῶνδε φόβος εἰσίτω, μηδὲ, εἰ Μαυρούσιοι κατὰ μυριάδας πέντε συνειλεγμένοι Ῥωμαίων ἤδη πεντακοσίων ἐκράτησαν, τοῦτο ὑμῖν ἐν παραδείγματος μοίρᾳ γινέσθω. ἀλλ᾽ ἀναμνήσθητε μὲν τῆς ἀρετῆς τῆς ὑμετέρας, ἐκλογίζεσθε δὲ ὡς Βανδίλοι μὲν Μαυρουσίων ἐκράτουν, ὑμεῖς δὲ Βανδίλων ἀκονιτὶ κύριοι τῷ πολέμῳ γεγένησθε, καὶ ὡς τοὺς τῶν μειζόνων κεκρατηκότας παρὰ τῶν καταδεεστέρων πεφοβῆσθαι οὐ δίκαιον. καίτοι πάντων ἀν-C θρώπων ἐς ἀγῶνα πολέμου φαυλότατον εἶναι δοκεῖ τὸ Μαυρουσίων ἔθνος. γυμνοί τε γάρ οἱ πλεῖστοί εἰσι καὶ αὐτῶν ὅσοι ἀσπίδας ἔχουσι, βραχείας τε ταύτας καὶ οὐκ εὖ πεποιημένας οὐδὲ ἀπωθεῖσθαι τὰ προσιόντα δυναμένας προβέβληνται. καὶ τὰ δύο ταῦτα δοράτια ἀπορρίψαντες, ἢν μή τι δράσωσιν, αὐτόματοι ἐς φυγὴν τρέπονται. ὥστε πάρεστιν ὑμῖν τὴν πρώτην φυλαξαμένοις τῶν βαρβάρων ὁρμὴν ἀνελέσθαι οὐδενὶ πόνῳ τὸ τοῦ πολέμου κράτος. τῆς δὲ ὑμετέρας ὁπλίσεως ἥλικον πρὸς τοὺς ἐναντίους

3. μὴ θαρσ.] μὴ om. HL: unde ῥαθυμοῦντας aut ἀθυμοῦντας coniicit Hoeschelius. 7. ξυστρατευσάμενοι] ξυνστρατευσάμενοι HL. 12. ἀκονιτὶ] ἀκοντὶ HL: ἴσ. ἀκονιτὶ Hm. 13. γεγένησθε L. γεγένεσθε H. ἐγένεσθε P. ibid. παρὰ Hm. περὶ HP. 16. οἱ πλεῖστοι] οἱ om. L. 18. προβέβληνται] προβέβληται L.

converterent, eosque interciperent, utrinque telis obnoxios in conflictu, quos ibi ipse collocasset. Coronae reliquae obiecit copias omnes: in quibus multos animadvertens Aiganis et Rufini casu territos, ac sibi diffidentes, ut commonendo relevaret animos, oratione hac usus est.

Belisarii in bello comites, nolite istos timere, neque in exemplum aut praeiudicium victoriam trahere, quam modo quinquaginta Maurorum millia e quingentis Romanis retulerunt. Sed virtutis memores vestrae, id cogitate, Maurorum victores Vandalos, a vobis sine pulvere ac sudore devictos, in ius et potestatem vestram venisse, nec consentaneum esse, ut fortiorum domitores ab infirmioribus terreantur. Nec vero ulla est natio tam male ad dimicandum comparata, quam Mauri. Nudi enim plerique sunt: nec quisquam scutum gerit, nisi admodum breve, male compactum, nec missilibus repellendis idoneum. Duo gerunt spicula; quibus intortis, si frustra fuerint, statim se in fugam coniiciunt: ita ut, ubi primum Barbarorum impetum eluserimus, certa ac facilis nos victoria maneat. Satis ca-

τὸ διαλλάσσον ἐστὶν, ὁρᾶτε δήπου. καὶ τούτων ἔξω, ψυχῶν μὲν ἀρετὴ καὶ σωμάτων ἀλκὴ καὶ πολέμων ἐμπειρία καὶ τὸ θαρσεῖν, διὰ τὸ πάντας ἤδη νενικηκέναι τοὺς πολεμίους, ὑμῖν πρόσεστιν· οἱ δὲ Μαυρούσιοι τούτων ἁπάντων ἐστερημένοι μόνῳ τῷ σφῶν αὐτῶν ὁμίλῳ πιστεύουσι. ῥᾷον δὲ ὀλίγοι ὡς ἄριστα D παρεσκευασμένοι πλῆθος οὐκ ἀγαθῶν τὰ πολέμια νικῶσιν ἀνθρώπων ἢ πρὸς αὐτῶν ἡσσῶνται. τῷ μὲν γὰρ ἀγαθῷ στρατιώτῃ τὸ θαρσεῖν ἐφ᾽ ἑαυτῷ πάρεστι, τῷ δὲ ἀνάνδρῳ τὸ τῶν συντεταγμένων πλῆθος ἐς ἐπισφαλῆ στενοχωρίαν ὡς τὰ πολλὰ περιίσταται. καὶ μὴν καὶ καμήλων τῶνδε ὑμᾶς ὑπερφρονεῖν ἄξιον, αἳ οὔτε ἀμύνειν τοῖς πολεμίοις οἷαί τέ εἰσι καὶ πληγεῖσαι, ὡς τὸ εἰκὸς, μείζονος ταραχῆς τε καὶ ἀταξίας αἴτιαι τούτοις γενήσονται. καὶ τὸ προπετὲς, ὃ διὰ τὸ πρότερον εὐημερῆσαι οἱ πολέμιοι κέκτηνται, ὑμῖν ξυναγωνιεῖσθαι ξυμβήσεται. τόλμα γὰρ τῇ μὲν δυνάμει ξυμμετρουμένη τάχα τι καὶ τοὺς αὐτῇ χρωμένους ὀνήσει, ὑπεραίρουσα δὲ ταύτην ἐς κίνδυνον ἄγει· ὧν ἐνθυμούμενοι καὶ τῶν πολεμίων καταφρονοῦντες σιγήν τε καὶ κόσμον ἀσκεῖτε· τούτων γὰρ P 261 ἐπιμελόμενοι ῥᾷόν τε καὶ ἀπονώτερον τῆς τῶν βαρβάρων ἀκοσμίας κρατήσομεν.“ τοσαῦτα μὲν Σολόμων εἶπεν.

Οἱ δὲ τῶν Μαυρουσίων ἄρχοντες ἐπειδὴ καὶ αὐτοὶ τοὺς βαρβάρους καταπεπληγμένους τὴν Ῥωμαίων εὐκοσμίαν εἶδον, βουλόμενοι αὐτῶν τὸ πλῆθος ἐπὶ τὸ θαρσεῖν αὖθις ἀντικαθιστά-

7. ἡσσῶνται L. ἡσσοῦνται P. 12. ταραχῆς τε] τε om. L. 17. σιγήν A. σιγῇ P. ibid. κόσμον — ῥᾷόν τε καὶ addidi ex A. Silentium simul et ordinem praestate RV, qui sequentia τούτων — κρατήσομεν non expressit.

tem videtis ipsi quantum inter vestram et hostilem armaturam intersit. Praeterea animi vis, corporis robur, bellorum usus, ac reportatis e cunctis hostibus victoriis fulta fiducia vobis suppetunt. Quibus Mauri adminiculis plane destituti, nulla re, nisi copiarum numero suarum fidunt. At pauci, optime instructi, imbellem multitudinem facilius profligant, quam eius impressione franguntur. Etenim boni militis confidentia sita in ipso est: ignavum illa, qua fidit, commilitonum multitudo in periculosas angustias plerumque redigit. Denique vobis cameli isti ridendi sunt, qui nec hostem prohibere valent, et saucii, maiorem, ut liquet, perturbationem ipsis confusionemque parient. Quin illa ipsa praeceps alacritas, quae hosti ex pristino successu nascitur, nobis favebit ac militabit. Sumpta quidem pro virium modo audacia, eos forte, quos agit, nonnihil iuverit: sed quae viribus maior est, in discrimen adducit. Dictorum memores, atque hostem ducentes infra nos, incompositam Barbarorum aciem silentio ac leviori opera proteremus. Hactenus Salomon.

Vicissim Maurorum duces, cum Barbaros praeclara Romanorum dispositione attonitos viderent, ut animos revocarent, ita hortati sunt. Ho-

ναι, τοιάδε παρεκελεύσαντο „Ὡς μὲν ἀνθρώπεια Ῥωμαῖοι σώ-
ματα ἔχουσι καὶ οἷα σιδήρῳ πλησσόμενα εἴκειν μεμαθήκαμεν, ὦ
ξυστρατιῶται, οἷς αὐτῶν ἔναγχος τοὺς πάντων ἀρίστους πὴ μὲν
καταχωσθέντας τοῖς δόρασι τοῖς ἡμετέροις ἐκτείναμεν, πὴ δὲ ἁρ-
πάσαντες δοριαλώτους ἡμῶν αὐτῶν πεποιήμεθα. τούτων δὲ
B τοιούτων ὄντων, ὡς καὶ νῦν αὐτῶν τῷ πλήθει παρὰ πολὺ προέ-
χειν αὐχοῦμεν, ὁρᾶν πάρεστι. καὶ μὴν καὶ ὑπὲρ τῶν μεγίστων
ἡμῖν ὁ ἀγών ἐστιν, ἢ Λιβύης ἁπάσης κυρίοις εἶναι, ἢ τοῖς ἀλα-
ζόσι τούτοις δουλεύειν. ὥστε ἡμῖν ἀνάγκη ὡς μάλιστα ἐν τῷ
παρόντι ἀνδραγαθίζεσθαι. οἷς γὰρ ὑπὲρ τῶν ὅλων ὁ κίνδυνος,
μὴ οὐχὶ εὐψυχοτάτοις εἶναι ἀξύμφορον. τῆς δὲ τῶν πολεμίων
ὁπλίσεως ὑπερφρονεῖν ἡμᾶς προσήκει. ἤν τε γὰρ πεζῇ ἐφ᾽ ἡμᾶς
ἴωσιν, οὐκ εὐσταλεῖς ἔσονται, ἀλλ᾽ ἡσσηθήσονται τοῦ Μαυρου-
σίων τάχους, καὶ τὴν ἵππον αὐτοῖς ἥ τε τῶν καμήλων ὄψις ἐκ-
πλήξασα καὶ τὸν ἄλλον τοῦ πολέμου θόρυβον ἡ τούτων κραυγὴ
V 403 ὑπερηχοῦσα ἐς ἀταξίαν, ὥς γε τὸ εἰκός, καταστήσεται. καὶ τὴν
C ἐς Βανδίλους νίκην εἴ τις ἐκλογιζόμενος ἀνανταγωνίστους αὐτοὺς
H 138 οἴεται εἶναι, γνώμης ἁμαρτάνει. ἡ μὲν γὰρ τοῦ πολέμου ῥοπὴ τῇ
τοῦ στρατηγοῦντος ἀρετῇ κρίνεσθαι πέφυκε· Βελισάριον δὲ, ὃς
τῆς Βανδίλων ἐπικρατήσεως αἰτιώτατος γέγονεν, ἐκποδὼν νῦν
ἡμῖν ἑστηκέναι πεποίηκε τὸ δαιμόνιον. ἄλλως τε καὶ ἡμεῖς Βαν-
δίλους πολλάκις νενικηκότες, περιελόντες τε τὴν αὐτῶν δύναμιν,
ἑτοιμότερόν τε καὶ απονώτερον Ῥωμαίοις τὸ κατ᾽ αὐτῶν πεποιή-

4. καταχωσθέντας L. καταχωθέντας P. 5. δοριαλώτους] δι-
ρυαλώτους P.

mana ac ferro penetrabilia corpora Romanorum esse didicimus super, commilitones: cum lectissimos, partim confossos hastis nostris, peremimus, partim captos servituti addiximus. Quae quidem ita sunt; at videre etiam est, quam vere gloriemur multo maiori numero copiarum. Accedit quod maximi momenti res agitur in hac pugna, utrum scilicet universae domini Africae futuri simus, an contra arrogantium illorum servi. Nunc igitur, ut cum maxime, viribus animoque usus. Nam qui de rerum summa dimicant, nisi rem fortissime gesserint, damnum gravissimum contrahunt. Illa autem hostium armatura vestro digna contemptu est. Si in nos pedibus invadant, armis gravioribus praepediti, Maurica celeritate vincentur: si equites accedant, equos cameli vel aspectu terrebunt, ac pleniori sono strepitum fremitumque praelii superantes, Romanam aciem procul dubio turbabunt. Iam si quis e victoria Vandalica coniicit esse illos invictos, is profecto fallitur. Etenim momenta belli virtute ducis librari solent. At nunc fortuna Belisarium, cui maxime victoria illa ascribenda est, a nobis procul amovit. Quanquam et nos, victis saepe Vandalis ac minutis eorum viribus, faciliorem et proniorem viam ad victoriam Romanis muniimus: quae

μεθα κράτος. καὶ νῦν δὲ πολεμίων τῶνδε κρατήσειν, ἢν τῷ ἔργῳ ἀνδραγαθίζησθε, ἐλπίδα ἔχομεν."

Τοσαῦτα καὶ οἱ Μαυρουσίων ἄρχοντες παρακελευσάμενοι τῆς ξυμβολῆς εἴχοντο. καὶ τὰ μὲν πρῶτα πολλὴ ἀκοσμία ἐς τὸ Ῥωμαίων στράτευμα ἐγεγόνει. οἱ γὰρ ἵπποι αὐτοῖς τῇ τε κραυγῇ καὶ τῇ ὄψει τῶν καμήλων ἀχθόμενοι ἀνεχαιτιζόν τε καὶ ἀπορριπτοῦντες τοὺς ἐπιβάτας οὐδενὶ κόσμῳ οἱ πλεῖστοι ἔφευγον. καὶ D ἐν τούτῳ ἐπεκδρομὰς ποιούμενοι οἱ Μαυρούσιοι καὶ τὰ δοράτια, ὅσα σφίσιν ἐν ταῖς χερσὶν ἦν, ἀκοντίζοντες, θορύβου τε αὐτῶν ἐμπίπλασθαι τὸ στράτευμα ἐποίουν καὶ οὔτε ἀμυνομένους οὔτε ἐν τάξει μένοντας ἔπλησσον. ὕστερον δὲ Σολόμων, κατιδὼν τὰ πρασσόμενα, ἔκ τε τοῦ ἵππου ἀποθρώσκει πρῶτος καὶ τοὺς ἄλλους ἅπαντας ἐς τοῦτο ἐνάγει. καὶ ἐπειδὴ ἀπέβησαν, τοῖς μὲν ἄλλοις ἐνετέλλετο ἡσυχάζουσι καὶ τὰς ἀσπίδας προβαλλομένοις, δεχομένοις τε τὰ παρὰ τῶν πολεμίων πεμπόμενα ἐν τῇ τάξει μένειν· αὐτὸς δὲ στρατιώτας οὐχ ἧσσον ἢ πεντακοσίους ἐπαγόμενος ἐς τὴν τοῦ κύκλου ἐπίσκηψε μοῖραν. οὓς δὴ τὰ ξίφη ἀνελομένους ἐκέλευε τὰς καμήλους, αἳ ταύτῃ ἑστήκεσαν, κτείνειν. P 262 τότε Μαυρούσιοι μέν, ὅσοι ἐκείνῃ ἐτετάχατο, ἐς φυγὴν ὥρμηντο, οἱ δὲ ξὺν τῷ Σολόμωνι κτείνουσι καμήλους ἀμφὶ διακοσίας, αὐτίκα τε ὁ κύκλος, ἐπεὶ αἱ κάμηλοι ἔπεσον, ἐσβατὸς Ῥωμαίοις ἐγένετο. καὶ αὐτοὶ μὲν δρόμῳ ἐς τὸ τοῦ κύκλου μέσον ἐχώρουν, ἔνθα αἱ Μαυρουσίων γυναῖκες ἐκάθηντο· οἱ δὲ βάρβαροι ἐκπεπληγμένοι

1. ἢν] ἢ HL. εἰ P. 2. ἀνδραγαθίζησθε] ἀνδραγαθίζεσθε L. —εσθαι L corr. 4. εἴχοντο] εἶχον L. εἴχοντο L corr. 10. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P.

iam nobis hostes, ut equidem speramus, vincemus; si modo fortiter depugnabitis.

Ita suos hortati Maurorum duces, pugnam capessunt. Ac primo quidem congressu, Romanae turmae non parum turbatae sunt. Nam equi camelorum fremitu aspectuque efferati, retrectando, se efferebant, ac plerique, excussis sessoribus, confuse fugiebant. Hic erumpere Mauri, incurrere, hastilia, quotquot ad manum habent, vibrare, hostilem aciem tumultu caeco implere, et adversarios nil repugnantes emotosque ordinibus impune configere. Conspicatus haec Salomon, primus ex equo desilit, idemque omnes ut faciant admonet: quibus ad pedes degressis, eorum quidem parti imperat, ut presso gradu praetentisque clypeis missilia hostium excipiant atque ordines servent: ipse vero assumptis non minus quingentis militibus, in coronae partem impetum facit, eosque districtis ensibus stragem dare camelis ibi stantibus iubet. Tum fugere omnes Mauri, quicunque ibidem locati fuerant. Illi vero cum Salomone cc. circiter camelos conficiunt: quibus stratis, ruptus orbis viam Romanis praebuit. Hi statim cursu petere meditullium, ubi coniuges Maurorum sede-

ἐς τὸ ὄρος, ὅπερ ἄγχιστα ἦν, ἀποχωροῦσι. φεύγοντάς τε αὐτοὺς
ξὺν πάσῃ ἀκοσμίᾳ ἐπισπόμενοι Ῥωμαῖοι ἔκτεινον. καὶ λέγονται
Μαυρουσίων μύριοι ἐν τούτῳ τῷ πόνῳ ἀποθανεῖν. γυναῖκές τε
B πᾶσαι ξὺν τοῖς παισὶν ἐν ἀνδραπόδων λόγῳ ἐγένοντο. καὶ καμή-
λους οἱ στρατιῶται πάσας, ὅσας οὐκ ἔκτειναν, ἐληίσαντο. οὕτω
τε Ῥωμαῖοι μὲν ξὺν πάσῃ τῇ λείᾳ ἐς Καρχηδόνα ᾔεσαν, τὴν
ἐπινίκιον ἑορτὴν ἄξοντες.

ιβ΄. Οἱ δὲ βάρβαροι θυμῷ χρώμενοι πανδημεὶ ἐπὶ Ῥω-
μαίους αὖθις, οὐδένα σφῶν ἀπολιπόντες, ἐστράτευσαν, καὶ
καταθεῖν τὰ ἐν Βυζακίῳ χωρία ἤρξαντο, οὐδεμιᾶς ἡλικίας τῶν
C σφίσι παραπιπτόντων φειδόμενοι. ἄρτι τε Σολόμωνι ἐς Καρχη-
δόνα ἐληλακότι βάρβαροι πλήθει μεγάλῳ ἐς Βυζάκιον ἐληλυθέναι
καὶ ληίζεσθαι πάντα τὰ ἐκείνῃ ἠγγέλλοντο. ἄρας οὖν κατὰ τά-
χος παντὶ τῷ στρατῷ ἐπ᾽ αὐτοὺς ᾔει. γενόμενος δὲ ἐν Βουρ-
γάωνι, ἔνθα οἱ πολέμιοι ἐστρατοπεδεύσαντο, ἡμέρας μέν τινας
ἀντεκάθητο, ὅπως, ἐπειδὰν τάχιστα ἐν τῷ ὁμαλεῖ γένωνται οἱ
Μαυρούσιοι, τῆς ξυμβολῆς ἄρχοι. ὡς δὲ ἐκεῖνοι ἐν τῷ ὄρει ἔμε-
νον, διεῖπέ τε ὡς ἐς μάχην καὶ διεκόσμει τὸ στράτευμα, οἱ δὲ
Μαυρούσιοι ἐς μὲν τὸ πεδίον ἥκιστα Ῥωμαίοις τὸ λοιπὸν ἐς μά-
D χην ἰέναι διενοοῦντο (ἤδη γὰρ αὐτοὺς ἄμαχόν τι δέος ἐσῄει), ἐν
δὲ τῷ ὄρει ἤλπιζον ῥᾷον περιέσεσθαι αὐτῶν τῷ πολέμῳ. ἔστι
δὲ τὸ ὄρος Βουργάων ἐπὶ πλεῖστον μὲν ἀπότομον καὶ τὰ πρὸς ἀν-

6. ξὺν πάσῃ] ξυμπάσῃ L. 21. ῥᾷον — πολέμῳ addidi ex A.
22. Βουργάων om. L.

bant: pavidi Barbari ad vicinum montem evadere: consternatis in fugam instare, et inferre necem Romani. In eo praelio decem Maurorum millia concidisse fama est. Captae cum pueris feminae omnes, et in servitutem redactae sunt: cameli, quibus ferrum pepercerat, in manus venere militum. Itaque Romani cum omni praeda Carthaginem redierunt, diem festum victoriae causa celebraturi.

12. Irritati Barbari, conflatis ex universa gente, nemine praetermisso, copiis, bellum in Romanos instaurant, et incursare Byzacium incipiunt, obvios quosque, sine ullo aetatis discrimine sternentes ferro. Carthaginem vix intraverat Salomon, cum venit nuntius, Barbaros magno numero in Byzacium irrupisse, ibique omnia depopulari. Ille e vestigio cum exercitu universo movet, eoque properat. Burgaonem, ubi hostes metati erant, cum attigisset, per dies aliquot e regione consedit, paratus, simul ac Mauri in planum devenissent, praelium committere. At illi in monte haerebant. Tum ipse aciem ad pugnam instruit ordinatque. Verum animis obstinaverant Mauri nunquam in campo cum Romanis decernere, et formidine gravissima correpti, in monte spem habebant repositam. Est mons Burgaon plurimis in locis abruptus, et qua ad Orien-

σχοντα ἥλιον δεινῶς ἄβατον, τὰ δὲ πρὸς ἑσπέραν εὐέφοδόν τε καὶ ὑπτίως ἔχον. καὶ σκοπέλω ὑψηλὼ δύο ἀνέχετον νάπην τινὰ ἐν μέσῳ σφῶν ἐργαζομένω, στενὴν μὲν κομιδῇ, ἐς βάθος δέ τι V 404 ἄβατον κατατείνασαν. οἱ δὲ βάρβαροι τὴν μὲν ἄκραν τοῦ ὄρους ἀπέλιπον ἀνδρῶν ἔρημον, οὐδὲν ἐνθένδε πολέμιον οἰόμενοι σφίσιν ἔσεσθαι· ὁμοίως δὲ καὶ τὸν ἀμφὶ τὸν πρόποδα χῶρον ἔλιπον, οὗ δὴ εὐπρόσοδος ὁ Βουργάων ἦν. κατὰ δὲ τὰ μέσα στρατοπε- P 263 δευσάμενοι ἔμενον, ὅπως, ἢν οἱ πολέμιοι ἐπὶ σφᾶς ἀνιόντες μάχης ἄρξωσιν, αὐτοὶ ἤδη ὕπερθεν ἐκείνων γινόμενοι κατὰ κορυφὴν βάλλωσιν. ἦσαν δὲ αὐτοῖς ἐν τῷ ὄρει καὶ ἵπποι πολλοὶ ἢ ἐς φυγὴν παρεσκευασμένοι, ἢ ἐς τὴν δίωξιν, ἢν τῆς μάχης κρατήσωσι.

Σολόμων δὲ, ἐπεὶ εἶδε τοὺς Μαυρουσίους οὐκέτι ἐν τῷ ὁμαλεῖ ἐθέλοντας διαμάχεσθαι, καὶ ἅμα τῇ προσεδρείᾳ τὸ Ῥωμαίων στράτευμα ἐν χωρίῳ ἐρήμῳ ἤχθετο, ἐς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις ἐν τῷ Βουργάωνι ἠπείγετο. ἰδὼν δὲ τοὺς στρατιώτας κα- H 139 ταπεπληγμένους τῷ τῶν ἐναντίων ὁμίλῳ πολυπλασίῳ ἢ ἐν τῇ προτέρᾳ μάχῃ γεγενημένῳ, ξυγκαλέσας τὸ πλῆθος ἔλεξε τοιάδε B

„Τὸ μὲν δέος, ᾧ πρὸς ὑμᾶς οἱ πολέμιοι χρῶνται, οὐχ ἑτέρου τοῦ κατηγόρου δεῖται, ἀλλ' αὐτεπάγγελτον ἐξελήλεγκται τὴν οἴκοθεν ἐπαγόμενον μαρτυρίαν. ὁρᾶτε γὰρ δή που τοὺς ἐναντίους ἐς τόσας μὲν καὶ τόσας μυριάδας ξυνειλεγμένους, οὐ τολμῶντας δὲ ἡμῖν ἐς τὸ πεδίον καταβαίνοντας ξυμβαλεῖν, οὐδὲ πιστεύειν

2. ἀνέχετον] ἀννέχετον A. 16. τῷ om. L. 22. τολμῶντας] τολμοῦντα L.

tem spectat, insuperabilis: ab occasu fere supinus est, facilemque ascensum praebet. Assurgunt in sublime gemini scopuli: qui in spatio interiacente recessum efficiunt valde angustum depressumque in altitudinem inviam. Ac montis quidem verticem nullo praesidio Barbari insiderant, nihil inde hostile metuentes: similiter imum ad radices clivum, ubi mollem ascensum Burgaon habet, reliquerant: medium castris obtinebant; ut si illuc subiret hostis, inirctque certamen, imminentes ipsi ex edito iacularentur. Praesto erant in monte equi plurimi, vel ad maturandam fugam, vel ad hostem insequendum, si vincerent.

Ubi Mauros in plano pugnare nolle, et Rom. exercitui in solitudine considere molestum esse animadvertit Salomon, cum hoste manus in ipso monte Burgaone conferre festinat. Prius tamen quia milites videbat attonitos adversariorum numero, multis maiori, quam ante, partibus, vocata concione, ita disseruit. *Oblatus vobis ab hoste metus neminem, a quo vanitatis arguatur, requirit. Se ipse refellit ultro, per se in se testis locupletissimus. In unum coactas tot myriadas hostium in campum descendere, et nobiscum congredi non audere, nec sibi, sed iniqui loci praesidio fidere videtis. Quocirca nihil iam vobis opus hortatu. Quos enim et res gestae et*

ἐπὶ σφίσιν αὐτοῖς ἔχοντας, ἀλλ' εἰς τὴν τοῦ χωρίου τούτου δυσ-
κολίαν καταφυγόντας. ὥστε ὑμῖν οὐδέ τι ἐγκελεύεσθαι ἐν τῷ
παρόντι ἐπάναγκες. οἷς γὰρ τὰ πράγματα καὶ ἡ τῶν πολεμίων
ἀσθένεια τὸ θαρσεῖν δίδωσιν, οὐδὲν οἶμαι τῆς ἐκ τῶν λόγων
ὠφελείας προσδεῖ. τοσοῦτον δὲ ὑμᾶς ὑπομνῆσαι δεήσει ὡς, ἢν
μετὰ τῆς εὐτυχίας καὶ τήνδε τὴν ξυμβολὴν διενέγκωμεν, λελεί-
C ψεται ἡμῖν, Βανδίλων τε νενικημένων καὶ Μαυρουσίων ἐς ταὐτὸ
τύχης ἐληλακότων, τῶν Λιβύης ἀγαθῶν ἀπόνασθαι πάντων,
οὐδὲν ὅ τι καὶ πολέμιον ἐννοεῖν ἔχουσιν. ὅπως δὲ μὴ κατὰ κορυ-
φὴν ὑμᾶς οἱ πολέμιοι βάλλωσι, μηδέ τι ἐκ τοῦ χωρίου ἡμῖν γί-
γνοιτο βλάβος, ἐγὼ προνοήσω."

Τοσαῦτα παρακελευσάμενος Σολόμων, Θεόδωρον ἐκέλευεν,
ὃς τῶν ἐξκουβιτώρων ἡγεῖτο (οὕτω γὰρ τοὺς φύλακας Ῥωμαῖοι
καλοῦσι), πεζοὺς χιλίους ἐπαγαγόμενον ἀμφὶ δείλην ὀψίαν ἔχον-
τά τε καὶ τῶν σημείων τινὰ ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον τοῦ
Βουργάωνος λάθρα ἀναβῆναι, οὗ μάλιστα δύσοδόν τε τὸ ὄρος
καὶ σχεδόν τι ἀπόρευτον ἦν· ἐπιστείλας ὥστε, ἐπειδὰν ἄγχι ἐς
τὸν τοῦ ὄρους κολωνὸν ἵκωνται, ἐνταῦθα ἡσυχάζοντας τὸ λοιπὸν
D διανυκτερεύειν, ἅμα δὲ ἡλίῳ ἀνίσχοντι καθύπερθεν φαινομένους
τῶν πολεμίων καὶ τὰ σημεῖα ἐνδεικνυμένους βάλλειν. ὁ δὲ κατὰ
ταῦτα ἐποίει. καὶ ἐπειδὴ πόρρω ἦν τῶν νυκτῶν, διὰ τοῦ κρη-
μνώδους ἐγγὺς τοῦ σκοπέλου ἀφικόμενοι μὴ ὅτι Μαυρουσίοις,

2. τι om. L. 6. τήνδε τὴν] τὴν om. L. 9. ἐννοεῖν] ἐν νῷ? 11. βλάβος] βλάβης LHm. 14. ἐπαγαγόμενον] ἐπαγόμενον L. 16. Βουργάωνος] βαργάωνος L. 17. ἄγχι] δὲ Suidas s. v. κολωνός. 18. ἵκωνται] ἥκωνται H. ibid. ἡσυχάζοντας] ἡσυχάζοντες Suidas. 19. δὲ] τε L.

perspecta hostium imbecillitas bono esse animo iubent, verborum subsidio non egere illos existimo. Id unum convenit menti subiicere, si nobis hoc etiam praelium feliciter cesserit, reliquum fore ut omni abiecta belli cogitatione, quippe Mauris pariter ac Vandalis debellatis, Africae bonis et commodis omnibus perfruamur. Caeterum ne telis hostium petamur desuper, neu detrimenti quidquam inde accipiamus, providebo.

His verbis suos hortatus Salomon, Theodorum, ducem excabitorum (sic Romani vigiles vocant) cum peditibus mille et signis aliquot ad illud Burgaonis latus, quod Orienti obversum est, sub noctem mittit, his instructum mandatis: in montem, qua asperrimus est ac propemodum inaccessus, ascendant: ubi ad verticem fere successerint, ibi noctem quieti ducant: primo sole appareant, ex alto hostibus imminentes, signisque elatis, tela coniiciant. Mos imperanti gestus. Nocte intempesta, ad rupem per abrupta evadunt, non Mauris modo, sed Romanis etiam omnibus

ἀλλὰ καὶ Ῥωμαίους ἅπαντας ἔλαθον· ἐς προφυλακὴν γὰρ τῷ λόγῳ ἐστέλλοντο, μή τις ἔξωθεν ἐς τὸ στρατόπεδον κακουργήσων ἴοι· ὄρθρου δὲ βαθέος Σολόμων παντὶ τῷ στρατῷ κατὰ τοῦ Βουργάωνος τὰ ἔσχατα ἐπὶ τοὺς πολεμίους ἀνέβαινε. καὶ ἐπειδὴ πρωῒ ἐγεγόνει, ἐγγύς τε οἱ πολέμιοι καθεωρῶντο, οὐκέτι γυμνὴν, ὥσπερ τὸ πρότερον, οἱ στρατιῶται τὴν τοῦ ὄρους ὑπερβολὴν ὁρῶντες, ἀλλὰ ἀνδρῶν τε ἀνάπλεων καὶ σημεῖα Ῥωμαϊκὰ ἐνδεικνυμένων P 264 (ἤδη γὰρ καὶ ὑπέφαινέ τι ἡμέρας) διηποροῦντο. ἐπεὶ δὲ τῶν χειρῶν οἱ ἐν τῇ ἄκρᾳ ἦρχον, οἵ τε Ῥωμαῖοι τὸ στράτευμα οἰκεῖον εἶναι καὶ οἱ βάρβαροι ἐν μέσῳ τῶν πολεμίων γεγονέναι ᾐσθάνοντο, βαλλόμενοι δὲ ἑκατέρωθεν, καὶ οὐ παρὸν σφίσι τοὺς πολεμίους ἀμύνεσθαι, ἐς ἀλκὴν μὲν οὐκέτι ἔβλεπον, ἐς φυγὴν δὲ αὐτίκα ξύμπαντες ὥρμηντο. οὔτε δὲ ἐς τοῦ Βουργάωνος τὴν ὑπερβολὴν ἀναδραμεῖν ἔχοντες, πρὸς τῶν πολεμίων κατεχομένην, οὔτε ἐς τὸ ὁμαλὲς διὰ τοῦ πρύποδος προϊέναι, ἐνθένδε σφίσιν ἐπικειμένων τῶν ἐναντίων, ἔς τε τὴν νάπην καὶ ἐς τῶν σκοπέλων τὸν B ἕτερον δρόμῳ πολλῷ ᾔεσαν, οἱ μὲν αὐτοῖς ἵπποις, οἱ δὲ καὶ πεζῇ. ἅτε δὲ ὅμιλος πολὺς ἐν φόβῳ καὶ θορύβῳ μεγάλῳ φεύγοντες, σφᾶς τε αὐτοὺς ἔκτεινον καὶ ἐς τὴν νάπην βαθεῖαν κομιδῇ οὖσαν ἐπιπίπτοντες ἀεὶ οἱ πρῶτοι ἔθνησκον, τοῖς μέντοι ὄπισθεν ἰοῦσιν οὐ παρείχοντο τοῦ κακοῦ αἴσθησιν. ἐπεὶ δὲ τῶν τεθνεώτων ἵππων V 405 τε καὶ ἀνθρώπων ἡ νάπη ἔμπλεως γενομένη διάβασιν ἐκ τοῦ

1. προφυλακὴν] πρὸς φυλακὴν HL: illud Hm. 8. ὑπερφαίνει AHL: ὑπερέφαινε PHm cum Scaligero. Scribendum erat ὑπέφαινε. 13. Βουργάωνος] Βουργαῶνος Suidas s. v. ὁμαλές.

inscientibus. Nam ita profecti fuerant, quasi irent excubitum ac provisum, ne quis extrinsecus ad castra infestus subreperet. Sub obscuro mane, per extremum Burgaonis clivum cum omnibus copiis subit ad hostes Salomon: quos ut in propinquo prima lux patefecit, ac die postea magis illucescente, montis culmen non iam nudum, ut prius, sed viris Romana signa ostentantibus refertum conspexere milites, suspensis animis haeserunt. Verum inito ab iis, qui cacumen obtinebant, certamine, illos Romani suos esse commilitones, Barbari interceptos se ab hostibus intellexere. Utrinque mox appetiti, cum arcere eos non possent, non iam ad vim spectare, sed repente omnes in fugam ruere. Quoniam vero neque ad Burgaonis culmen iam ab hoste insessum contendere, nec per ima clivi in campum, instante illinc infenso exercitu, se proripere poterant, ad recessum illum praecipitem rupemque alteram, pars equis, pars pedibus effuse ibant: utque erat confertissima turba, caeco ac tumultuoso metu urgente fugam, alii mutuis concidebant vulneribus, alii, qui praecurrebant, in saltum altissimum prolabentes, peribant, exitium non advertentibus, qui sequebantur. Tandem ubi equis hominibusque extinctis opple-

Βουργάωνος ἐς ὄρος ἐποίει τὸ ἕτερον, ἐνταῦθα ἐσώζοντο οἱ ὑπολειπόμενοι, διὰ τῶν σωμάτων τὴν πορείαν ποιούμενοι. ἀπέθανον δὲ ἐν τούτῳ τῷ πόνῳ Μαυρουσίων μὲν μυριάδες πέντε, ὡς C αὐτῶν ἰσχυρίζοντο οἱ περιόντες, Ῥωμαίων δὲ τὸ παράπαν οὐδείς, οὐ μὴν οὐδὲ πληγήν τινα ἔλαβεν ἢ πρὸς τῶν πολεμίων ἢ τύχης αὐτῷ ξυμβάσης τινὸς, ἀλλὰ ἀκραιφνεῖς ἅπαντες τῆς νίκης ἀπώναντο ταύτης. διέφυγον δὲ καὶ οἱ τῶν βαρβάρων ἡγούμενοι πάντες, πλήν γε δὴ ὅτι Ἐσδιλάσας πίστεις λαβὼν Ῥωμαίοις αὑτὸν ἐνεχείρισεν. γυναικῶν μέντοι καὶ παίδων λείαν τοσαύτην τὸ πλῆθος Ῥωμαῖοι εἷλον ὥστε προβάτου τιμῆς παῖδα Μαυρού- H 140 σιον τοῖς ὠνεῖσθαι βουλομένοις ἀπέδοντο. καὶ τότε Μαυρουσίων τοὺς ὑπολειπομένους γυναικῶν τῶν σφετέρων τὸ λόγιον ἐσῄει, ὡς D ἄρα τὸ γένος αὐτοῖς πρὸς ἀνδρὸς ἀγενείου ὀλεῖται. τὸ μὲν οὖν Ῥωμαίων στράτευμα ξύν τε τῇ λείᾳ καὶ τῷ Ἐσδιλάσᾳ ἐς Καρχηδόνα ἐσήλαυνον, τῶν δὲ βαρβάρων ὅσοις μὴ ἀπολωλέναι ξυμβέβηκεν, ἐν Βυζακίῳ μὲν ἱδρῦσθαι ἀδύνατα ἐδόκει εἶναι, ὅπως μὴ ὀλίγοι ὄντες πρὸς Λιβύων τῶν σφίσιν ὁμόρων βιάζωνται. ξὺν δὲ ἄρχουσι τοῖς σφετέροις εἰς Νουμιδίαν ἀφικόμενοι ἱκέται γίνονται Ἰάβδᾳ, ὃς τῶν ἐν Αὐρασίῳ Μαυρουσίων ἦρχε. μόνοι δὲ Μαυρουσίων ἐν Βυζακίῳ διέμειναν ὧν ἡγεῖτο Ἀντάλας, ὃς δὴ ἐν τούτῳ τῷ χρόνῳ τὴν ἐς Ῥωμαίους πίστιν φυλάξας κακῶν ἀπαθὴς ξὺν τοῖς ὑπηκόοις τοῖς αὐτοῦ ἔμεινεν.

22. αὐτοῦ] αὐτοῦ P.

tus saltus, aequum transitum a Burgaone ad montem alterum praebuit, tunc residui per calcata cadavera elapsi sunt. Ea clade, si superstites audiamus, interiere quinquaginta Maurorum millia, Romanorum ne unus quidem: immo vero nec plagam quisquam vel ab hoste vel casu aliquo accepit: sed omnes illaesi atque incolumes victoriam hanc sunt consecuti. Effugerunt Barbarorum duces, praeter Esdilasam, qui, accepta fide, se Romanis permisit. Porro tanta feminarum ac puerorum multitudo cessit illis in praedam, ut, quo oviculum, eodem puerum Maurum pretio venderent volentibus emere. Tum demum, qui superfuerant, Maurarum mulierum vaticinium, quae Mauris perniciem ab imberbi viro inferendam praedixerant, intellexerunt. Romanus exercitus cum praeda atque Esdilasa Carthaginem rediit. Barbarorum reliquiae, cum non satis tutum videretur apud Byzacenos consistere, quod periculum esset, ne, ad paucos redacti, ab Afris finitimis opprimerentur, in Numidiam cum suis ducibus se receperunt, et Iabdae, Maurorum Aurasium montem incolentium principis, fidem implorarunt. Maurorum solos retinuit Byzacium subditos Antalae: qui in data Romanis fide id temporis manens expers damni cum suis extitit.

ιγ'. Ἐν ᾧ δὲ ταῦτα ἐν Βυζακίῳ ἐγένετο, ἐν τούτῳ Ἰάβδας, P 265 *ὃς τῶν ἐν Αὐρασίῳ Μαυρουσίων ἦρχε, πλέον ἢ τρισμυρίους ἄνδρας μαχίμους ἐπαγόμενος ἐληΐζετο τὰ ἐπὶ Νουμιδίας χωρία, ἠνδραπόδιζέ τε τῶν Λιβύων πολλούς. ἐτύγχανε δὲ Ἀλθίας ἐν κεντουρίαις τῶν ἐκείνῃ φρουρίων φυλακὴν ἔχων, ὃς τῶν αἰχμαλώτων τινὰς ἀφελέσθαι τοὺς πολεμίους ἐν σπουδῇ ἔχων ξὺν Οὔννοις τοῖς αὐτῷ ἑπομένοις, ἑβδομήκοντα μάλιστα οὖσιν, ἔξω τοῦ φρουρίου ἐγένετο. λογισάμενός τε ὡς οὐχ οἷός τέ ἐστι πλήθει Μαυρουσίων τοσούτῳ ξὺν ἀνδράσιν ἑβδομήκοντα ἐς χεῖρας ἰέναι, στενοχωρίαν καταλαβεῖν τινα ἤθελεν, ὅπως ἂν δι' αὐτῆς* B *ὁδῷ ἰόντων τῶν πολεμίων τῶν τινας αἰχμαλώτων ἀναρπάσαι δυνατὸς εἴη. καὶ (οὐ γάρ ἐστι τοιαύτη τις ἐνταῦθα ὁδὸς) ἐπεὶ πεδία ὕπτια πανταχῆ τῶν ἐκείνῃ χωρίων ἐστὶν, ἐπενόει τάδε. πόλις ἐστί που πλησίον Τίγισις ὄνομα, τότε μὲν εὐτείχιστος οὖσα, κρήνην δὲ μεγάλην τινὰ ἐν στενοχωρίᾳ πολλῇ ἔχουσα. ταύτην Ἀλθίας τὴν κρήνην καταλαβεῖν ἔγνω, λογισάμενος ὡς δίψῃ ἀναγκαζόμενοι ἐνταῦθα πάντως ἀφίξονται οἱ πολέμιοι· ἄλλο γὰρ ὕδωρ ἄγχιστά πῃ ὡς ἥκιστά ἐστι. πᾶσι μὲν οὖν τὸν τοῦ πλήθους ἐκλογιζομένοις παράλογον ἔδοξε μανιώδης αὐτοῦ ἡ ἔννοια εἶναι. οἱ* C *δὲ Μαυρούσιοι κόπῳ τε πολλῷ καὶ πνίγει μεγάλῳ θέρους ὥρᾳ ὡμιληκότες, δίψῃ τε, ὡς τὸ εἰκὸς, ἀπ' αὐτοῦ μεγίστῃ ἐχόμενοι, παρὰ τὴν κρήνην δρόμῳ πολλῷ ἦλθον, οὐδὲν ἐναντίωμα ἐν νῷ ἔχοντες. ἐπειδὴ δὲ τὸ ὕδωρ πρὸς τῶν πολεμίων ἐχόμενον εὗρον,*

14. *εὐτείχιστος*] *ἀτείχιστος* L. 18. *τὸν τοῦ*] Legebatur *τὸ τοῦ*. Mutavi ex Suida s. v. *παράλογος*, qui *τὸν* ante *παράλογον* habet. 19. *αὐτοῦ ἡ ἔννοια εἶναι*] *εἶναι αὐτοῦ ἡ ἔννοια* Suidas.

13. Dum haec in provincia Byzacena geruntur, interea Iabdas Aurasianorum Maurorum princeps, bellatoribus amplius xxx. m. stipatus, Numidiam vastat, Afrosque in servitutem non paucos abripit. Ad centurias praepositus Althias custodiae castellorum regionis illius, cum hosti captivos quosdam eripere vehementer cuperet, castello Hunnos ad summum LXX. qui sub ipso merebant, eduxit: ac secum reputans non posse fieri, ut cum viris LXX. tot Mauros aggrederetur, angustias occupare decrevit, qua transeuntibus Barbaris captivos adimeret. At quoniam ibi nulla erat eiusmodi via, patente scilicet quoquoversum camporum aequore, rationem hanc iniit. Sita in propinquo urbs Tigisis, ac validis tunc moenibus cincta, in arctissimo loco fontem uberem habet. Eum Althias obsidere constituit, in animum inducens, fore ut Barbaros illuc sitis compelleret, nihil aquae praeterea praebente vicinia. Nemo erat, qui copias tam inique inter se numero comparatas attendens, eius consilium non damnaret insaniae. Porro Mauri, collecta ex labore aestuque gravissimo (quippe aestas fervebat) maxima siti, ad fontem contento cursu, adversi nihil suspicantes, venerunt. Ubi vero ab hostibus teneri illum apparuit, stetere

ἀπορούμενοι ξύμπαντες ἔστησαν, τοῦ πλείστου τῆς ἰσχύος ἤδη
δαπανηθέντος σφίσι τῇ τοῦ ὕδατος ἐπιθυμίᾳ. διὸ δὴ Ἰάβδας τῷ
Ἀλθίᾳ ἐς λόγους ἥκων τὸ τριτημόριόν οἱ δώσειν ὡμολόγει τῆς
λείας, ἐφ᾽ ᾧ δὴ Μαυρούσιοι πίωσιν ἅπαντες. ὁ δὲ τὸν μὲν λό-
γον ἐνδέχεσθαι οὐδαμῇ ἤθελε, μονομαχεῖν δὲ πρὸς αὐτὸν ὑπὲρ
D τούτων ἠξίου. τοῦ τε Ἰάβδα ταύτην δὴ δεξαμένου τὴν πρόκλη-
V 406 σιν, ξυνέκειτο ἡσσηθέντος, ἂν οὕτω τύχῃ, τοῦ Ἀλθία Μαυ-
ρουσίους πιεῖν. ἔχαιρέ τε ἅπας ὁ τῶν Μαυρουσίων στρατὸς,
εὐέλπιδες ὄντες, ἐπεὶ Ἀλθίας μὲν ἰσχνός τε ἦν καὶ οὐ μέγας τὸ
σῶμα, Ἰάβδας δὲ κάλλιστός τε ἦν καὶ μαχιμώτατος Μαυρου-
σίων ἁπάντων. ἄμφω μὲν οὖν ἱππεῖς ἐτύγχανον ὄντες. ὁ δὲ
P 266 Ἰάβδας τὸ δοράτιον ἠκόντισε πρῶτος, οὗπερ Ἀλθίας ἐπ᾽ αὐτὸν
ἰόντος χειρὶ λαβέσθαι τῇ δεξιᾷ παρὰ δόξαν ἰσχύσας Ἰάβδαν τε
καὶ τοὺς πολεμίους κατέπληξε. τῇ δὲ λαιᾷ χειρὶ τὸ τόξον ἐντεί-
νας αὐτίκα, ἐπεὶ ἀμφιδέξιος ἦν, τὸν Ἰάβδα ἵππον βαλὼν ἔκτεινε.
πεσόντος τε αὐτοῦ ἵππον ἕτερον τῷ ἄρχοντι Μαυρούσιοι ἦγον,
ἐφ᾽ ὃν ἀναθορὼν Ἰάβδας εὐθὺς ἔφευγε· καί οἱ κόσμῳ οὐδενὶ ὁ
τῶν Μαυρουσίων στρατὸς εἵπετο. ὅ τε Ἀλθίας τούς τε αἰχμα-
B λώτους καὶ τὴν λείαν ἀφελόμενος ξύμπασαν ὄνομα μέγα ἐκ τοῦ
ἔργου τούτου ἀνὰ πᾶσαν Λιβύην ἔσχε. ταῦτα μὲν οὖν τῇδε
ἐχώρησε.

Σολόμων δὲ ἐν Καρχηδόνι ὀλίγον τινὰ διατρίψας χρόνον,
ἐπί τε ὄρος τὸ Αὐράσιον καὶ Ἰάβδαν ἐπῆγε τὸ στράτευμα, ἐπι-

6. Ἰάβδα] ἰαύδα L, et similiter infra. 13. ἰόντος] ἰόντι HL: illud Hm. 16. Μαυρούσιοι] μαυρουσίων L. 17. „ἔφυγε Reg.“ Sic LHm. ἔφευγε HP.

omnes, ignari quo se verterent, exhaustis iam aquae desiderio viribus. Quocirca Iabdas cum Althia collocutus, tertiam praedae partem ipsi promisit, si Mauris omnibus aquae copia fieret. Renuit ille, neque aliter ea de re, nisi singulari certamine, decidere cum ipso voluit. Probante Iabda provocationem, convenit, ut, si forte Althias vinceretur, Mauris bibendi potestas esset: laetitia gestiit universus eorum exercitus, obiecta ex eo spe, quod corpore esset Althias gracili modicoque: Iabdas Mauris omnibus dignitate formae et pugnandi vi antecelleret. Ergo in equis ambo prodeunt. Hastile Iabdas vibrare occupat: id veniens manu dextera Althias praeter opinionem omnium arripit, eoque facto Iabdam atque hostes percellit. Mox arcu adducto laeva, qua perinde ut dextera utebatur, Iabdae equum configit ac necat. Hoc strato, alterum Mauri admovent suo principi: qui simul ipsum conscendit, aufugit, sequente incomposito Maurorum exercitu. Althias, captivis cum omni praeda receptis, illo facinore magnum per totam Africam sibi nomen paravit. Ita res ibi successit.

Salomon autem Carthagine moratus aliquantisper, montem versus Aurasiam contra Iabdam copias duxit, eum insimulans, nec falso, quod, dum

νεγκὼν αὐτῷ ὅτι, ἡνίκα ὁ Ῥωμαίων στρατὸς τὴν ἐν Βυζακίῳ ἀσχολίαν εἶχε, πολλὰ ἐληίσατο τῶν ἐν Νουμιδίᾳ χωρίων. καὶ ἦν δὲ οὕτως. ὥρμων δὲ Σολόμωνα ἐπὶ τὸν Ἰάβδαν Μαυρουσίων ἄρχοντες ἕτεροι, Μασσωνᾶς τε καὶ Ὀρταΐας, τῆς σφετέρας ἔχθρας ἕνεκα· Μασσωνᾶς μέν, ὅτι οἱ τὸν πατέρα Μεφανίαν H 141 C κηδεστὴς ὢν Ἰάβδας δόλῳ ἔκτεινεν, ὁ δὲ ἕτερος, ὅτι ξὺν τῷ Μαστίνᾳ, ὃς τῶν ἐν Μαυριτανίᾳ βαρβάρων ἡγεῖτο, ἐξελάσαι αὐτόν τε καὶ Μαυρουσίους, ὧν ἦρχεν, ἐκ τῆς χώρας ἐβούλευσεν, ἔνθα δὴ ἐκ παλαιοῦ ᾤκηντο. ὁ μὲν οὖν Ῥωμαίων στρατός, ἡγουμένου αὐτοῖς Σολόμωνος, καὶ Μαυρουσίων ὅσοι σφίσιν ἐς ξυμμαχίαν ἦλθον, ἐστρατοπεδεύσαντο εἰς ποταμὸν Ἀμίγαν, ὃς τὸ Αὐράσιον παραρρέων ἀρδεύει τὰ ἐκείνῃ χωρία. τῷ δὲ Ἰάβδᾳ ἐς μὲν τὸ πεδίον τοῖς πολεμίοις ἀντιτάξασθαι ἀξύμφορον ἐφαίνετο εἶναι, τὰ δὲ ἐν Αὐρασίῳ ἐξηρτύετο ὅπῃ οἱ ἐδόκει τοῖς ἐπιοῦσιν ὡς δυσχολώτατα ἔσεσθαι. τοῦτο δὲ τὸ ὄρος ἡμερῶν μὲν ὁδῷ δέκα καὶ τριῶν μάλιστα Καρχηδόνος διέχει, μέγιστον δὲ ἁπάντων D ἐστὶν ὧν ἡμεῖς ἴσμεν. ἡμερῶν γὰρ τριῶν ἐνταῦθα εὐζώνῳ ἀνδρὶ περίοδός ἐστι. καὶ τῷ μὲν ἐς αὐτὸ ἰέναι βουλομένῳ δύσοδόν τέ ἐστι καὶ δεινῶς ἄγριον, ἄνω δὲ ἥκοντι καὶ ἐν τῷ ὁμαλεῖ γενομένῳ πεδία τε φαίνεται καὶ κρῆναι πολλαί, ποταμούς τε ποιοῦσαι καὶ παραδείσων πολύ τι χρῆμα θαυμάσιον οἷον. καὶ ὅ τε σῖτος, ὃς ἐνταῦθα φύεται, ἥ τε ὀπώρα ἑκάστη διπλάσια τὸ μέγεθός ἐστιν ἢ ἐν τῇ ἄλλῃ ἁπάσῃ Λιβύῃ γίνεσθαι πέφυκεν. ἔστι δὲ καὶ φρού-

4. Ὀρταΐας] ὀρταΐας L. Ὀρθαΐας P. Orteas RV. Conf. p. 466, 12. 487, 9.

Rom. exercitus Byzacenis motibus impeditus esset, ipse multa Numidiae loca vastasset. Salomonem in Iabdam alii Maurorum principes, Massonas videlicet atque Orthaïas, instigabant, privatis inducti inimicitiis; Massonas quidem ob necem Mephaniae patris sui, cuius gener cum esset Iabdas, nihilominus illum ex insidiis interfecerat: alter vero, quod Iabdas et Mastinas, Barbarorum Mauritaniae princeps, ipsum ac Mauros, quibus imperabat, e regione, quam incoluerat ab antiquo, pellere destinassent. Itaque Rom. exercitus, Salomone duce, cum Mauris omnibus sociis, castra metatus est ad fluvium Amigam, qui Aurasium praeterlabens, tractum illum rigat. Iabdas e re sua non fore sentiens, si aciem hosti opponeret in planitie, omnia in Aurasio monte comparavit, prout censuit iis maxime impeditum iri adventum hostis. Abest mons ille Carthagine dierum iter fere XIII. omnium, qui quidem nobis noti sunt, maximus. Tantum enim spatium ambitu colligit, quantum triduo vir expeditus percurrat. Atque illum quidem si velis ascendere, difficilem in declivi horridumque offendes. Verum ubi superaveris, et ad culmen planum evaseris, offeret se camporum aequor patentium, scaturiens fontibus, qui amnes efficiunt: tot pomaria, ut miraculo sint. Frumentum ac poma, quaecunque ibi proveniunt, tanto altero maiora sunt, quam in reliqua

ρια ἐνταῦθά πῃ ἀτημελημένα, τῷ μὴ δοκεῖν ἀναγκαῖα τοῖς ταύτῃ
ᾠκημένοις εἶναι. ἐξ ὅτου γὰρ τὸ Αὐράσιον Μαυρούσιοι Βανδί-
λους ἀφείλοντο, οὐδείς πω ἐς αὐτὸ πολέμιος ἦλθεν οὐδὲ ἐς δέος
τοὺς βαρβάρους κατέστησεν, ἀλλὰ καὶ πόλιν Ταμούγαδιν, ἣ
πρὸς τῷ ὄρει ἐν ἀρχῇ τοῦ πεδίου πρὸς ἀνίσχοντα ἥλιον πολυάν-
P 267 θρωπος οὖσα ᾤκητο, ἔρημον ἀνθρώπων οἱ Μαυρούσιοι ποιησά-
μενοι ἐς ἔδαφος καθεῖλον, ὅπως μὴ ἐνταῦθα ᾖ δυνατὰ ἐνστρατο-
πεδεύσασθαι τοῖς πολεμίοις, ἀλλὰ μηδὲ κατὰ πρόφασιν τῆς πό-
λεως ἄγχι ἐς τὸ ὄρος ἰέναι. εἶχον δὲ οἱ ταύτῃ Μαυρούσιοι καὶ
τὴν πρὸς ἑσπέραν τοῦ Αὐρασίου χώραν, πολλήν τε καὶ ἀγαθὴν
οὖσαν. καὶ τούτων ἐπέκεινα Μαυρουσίων ἔθνη ἕτερα ᾤκηντο,
ὧν ἦρχεν Ὀρταΐας, ὃς Σολόμωνί τε καὶ Ῥωμαίοις, ὥς ἔμπροσθεν
ἐρρήθη, ξύμμαχος ἦλθε. τούτου τοῦ ἀνθρώπου ἐγὼ λέγοντος
ἤκουσα ὡς ὑπὲρ τὴν χώραν, ἧς αὐτὸς ἄρχοι, οὐδένες ἀνθρώπων
οἰκοῦσιν, ἀλλὰ γῆ ἔρημος ἐπὶ πλεῖστον διήκει, ταύτης τε ἐπέ-
B κεινα ἄνθρωποί εἰσιν οὐχ ὥσπερ οἱ Μαυρούσιοι μελανόχροοι,
ἀλλὰ λευκοί τε λίαν τὰ σώματα καὶ τὰς κόμας ξανθοί. ταῦτα
μὲν δὴ ὧδέ πως ἔχει.

Σολόμων δὲ Μαυρουσίων τε τοὺς ξυμμάχους δωρησάμενος
V 407 χρήμασι μεγάλοις καὶ πολλὰ παρακελευσάμενος παντὶ τῷ στρατῷ
ἐς ὄρος τὸ Αὐράσιον ὡς ἐς μάχην διατεταγμένος ἀνέβαινεν, οἰό-
μενος ἐκείνῃ τῇ ἡμέρᾳ τοῖς τε πολεμίοις διὰ μάχης ἰέναι καὶ ἐπ'
αὐτῶν διακρίνεσθαι, ὅπη ἂν ᾖ βουλομένῃ τῇ τύχῃ. οὐ γὰρ οὖν

3. οὐδείς πω — ἦλθεν addidi ex AL. *nullus ad ipsum hostis accessit* RV. *ibid.* οὐδὲ ALH. οὐδὲν P. 4. Ταμούγαδιν] *Tamugam* RV. 12. ὀρταΐας L. Ὀρθαΐας P. *Citaias* RV. 13. ἐρρήθη] ἐῤῥέθη P.

Africa. Nulla castellis cura impenditur, quod incolis minime necessaria videantur. Ex quo enim Mauri Vandalos exegerunt Aurasio, nihil timuerunt. Urbem quoque Tamugadin, quae ab Oriente monti adiacebat, et planitiei dabat initium, Mauri civibus, quibus abundabat, sublatis, aequarunt solo, ut nec metari illic, nec per vicinae urbis occasionem ad montem hostes subire possent. Obtinuerant quoque iidem Mauri, qua Aurasius ad Occasum vergit, regionem magnam ac fertilem: cui continentes erant aliorum sedes Maurorum, subditorum Orthaiae, qui, ut ante dicebam, in Salomonis ac Romanorum societatem sese contulerat. Is mihi asseveravit, ultra suae ditionis fines longissimam solitudinem esse, ac deinde hominum genus, cui non atra, ut Mauris, sed candida sit cutis ac flava caesaries. Haec hactenus.

Iam vero Salomon Mauris sociis magnam pecuniae vim dilargitus, eosque enixe hortatus, in montem Aurasium copias omnes subducit, instructa acie, eo die cum hoste conflicturum se ratus, et pro fortunae arbitrio decreturum. Quamobrem milites nec sibi nec equis affatim com-

οὐδὲ τροφὰς, ὅτι μὴ ὀλίγας, σφίσι τε καὶ ἵπποις τοῖς σφετέροις οἱ στρατιῶται ἐπήγοντο. πορευθέντες δὲ ἐν δυσχωρίᾳ πολλῇ πεντήκοντα μάλιστα σταδίους ηὐλίσαντο. τοσαύτην τε ὁδὸν ἐς ἡμέ- C ραν ἑκάστην ἀνύοντες ἑβδομαῖοι ἀφικνοῦνται ἐς χῶρον, ἔνθα φρούριόν τε παλαιὸν ἦν καὶ ποταμός τις ἀέναος. ὄρος ἀσπίδος τῇ σφετέρᾳ γλώσσῃ Λατῖνοι καλοῦσι τὸν χῶρον. ἐνταῦθα σφίσι στρατοπεδεύεσθαι ἠγγέλλοντο οἱ πολέμιοι, καὶ ἐπειδὴ ἐν τῷ χωρίῳ τούτῳ ἐγένοντο πολέμιόν τε οὐδὲν ἀπήντα, στρατοπεδευσάμενοι καὶ ὡς ἐς μάχην παρασκευασάμενοι αὐτοῦ ἔμενον, ἡμερῶν τε αὐτοῖς ἐνταῦθα τριῶν χρόνος ἐτρίβη. ὡς δὲ οἵ τε πολέμιοι τὸ παράπαν σφίσιν ἐκποδὼν ἵσταντο καὶ τὰ ἐπιτήδεια ἐπελελοίπει, ἐνθύμιον Σολόμωνί τε καὶ τῇ στρατιᾷ ἁπάσῃ ἐγένετο, ὡς ἄρα τις πρὸς Μαυρουσίων τῶν ξυμμάχων ἐπιβουλὴ ἐς αὐτοὺς D γίνοιτο· οἵ γε, καίπερ οὐκ ἀμελετήτως τῆς ἐν Αὐρασίῳ πορείας ἔχοντες, ἐπιστάμενοί τε, ὡς τὸ εἰκὸς, ὅσα τοῖς πολεμίοις βεβουλευμένα ἐτύγχανεν, ἐς ἑκάστην μὲν αὐτοῖς ἡμέραν λάθρα ἐπειγόμενοι, ὥσπερ ἐλέγετο, πολλάκις δὲ καὶ κατασκοπῆς ἕνεκα ἐς αὐτοὺς πρὸς Ῥωμαίων σταλέντες, οὐδὲν ἀγγεῖλαι ὑγιὲς ἔγνωσαν, ὅπως δὴ μὴ προμαθόντες τροφάς τε σφίσιν ἐς χρόνον πλείω ἔχοντες ἐς ὄρος τὸ Αὐράσιον ἀναβαίνοιεν καὶ τὰ ἄλλα παρασκευά- H 142 σοιντο ὅπῃ ἄριστα ἔσεσθαι ἔμελλεν. ὅλως δὲ ἐνέδραν σφίσι πρὸς ἀνδρῶν ξυμμάχων γεγενῆσθαι ὑποτοπήσαντες ἐς δέος ἦλθον, λογιζόμενοι ὡς ἄπιστοι λέγονται εἶναι Μαυρούσιοι φύσει, ἄλλως τε

5. ἀέναος] ἀένναος P. 12. ἁπάσῃ] πάσῃ L.

meatus providerant. Per confragosa enisi, nocturnae quietis gratia resederunt, itinere stadiorum ferme L. confecto. Tantumdem viae diebus singulis procedentes, demum septimo locum attingunt, quem sua Latini linguà montem Aspidis vocant; ubi vetus castellum est, ac iugis amnis, et stativa habere hostis ferebatur. Eo Romani cum evasissent, nec se hostis offerret ullus, castris illic positis constitere, ad pugnam accincti, et triduum consumpsere. Verum ante digressis penitus hostibus, ac iam deficientibus cibariis, coepit Salomon et cum eo Rom. omnis exercitus fraudem a Mauris foederatis structam suspicari. Illi quidem prae se curam ferebant suscepti in monte Aurasio itineris; sed plane conscii, (ut simile vero erat) consiliorum hostis, et furtim ad ipsum itantes quotidie, ut ferebatur, quin etiam exploratum saepe missi a Romanis, nihil veri referre voluerant, ne Romani quo res loco esset praemoniti, atque ob id viatico in longius spatium instructi, in montem Aurasium ascenderent, et caetera quam optime expedirent. Omnino autem illa structarum a sociis insidiarum suspicio metum ipsis afferebat, id cogitantibus, audire Mauros natura perfidos, tum vero maxime, cum sociam Romanis aliisve

ἡνίκα Ῥωμαίοις ἢ ἄλλοις τισὶ ξυμμαχοῦντες ἐπὶ Μαυρουσίους P 268 στρατεύονται. ὧν δὴ ἐνθυμηθέντες, ἅμα δὲ καὶ λιμῷ πιεζόμενοι, ἐνθένδε τε κατὰ τάχος ἀναχωροῦσιν ἄπρακτοι καὶ ἐς τὸ πεδίον ἀφικόμενοι χαράκωμα ἐποιήσαντο.

Μετὰ δὲ Σολόμων τοῦ στρατοῦ μοῖράν τινα φυλακῆς ἕνεκα ἐν Νουμιδίᾳ καταστησάμενος (χειμὼν γὰρ ἤδη ἦν) ξὺν τοῖς ἐπιλοίποις ἐς Καρχηδόνα ᾔει. ἔνθα δὴ ἕκαστα διεῖπέ τε καὶ διεκόσμει, ὅπως ἅμα ἦρι ἀρχομένῳ πλείονι παρασκευῇ καί, ἢν δύνηται, ξυμμάχων Μαυρουσίων ἐκτὸς ἐπὶ τὸ Αὐράσιον αὖθις στρατεύοι. ἅμα δὲ καὶ στρατηγούς τε καὶ στρατιὰν ἄλλην καὶ νηῶν στόλον B ἐπὶ Μαυρουσίους ἐξηρτύετο, οἳ ἐν Σαρδοῖ τῇ νήσῳ ἵδρυνται· αὕτη γὰρ ἡ νῆσος μεγάλη μέν ἐστι καὶ ἄλλως εὐδαίμων, ἐς τὰς δύο μάλιστα τῆς Σικελίας κατατείνουσα μοίρας (ἡμερῶν γὰρ ὁδὸν εἴκοσιν εὐζώνῳ ἀνδρὶ τὸ τῆς γῆς περίμετρον ἔχει), Ῥώμης τε καὶ Καρχηδόνος ἐν μέσῳ κειμένη πρὸς Μαυρουσίων τῶν ταύτῃ ᾠκημένων πιέζεται. Βανδίλοι γὰρ τὸ παλαιὸν ἐς τούτους τοὺς βαρβάρους ὀργῇ χρώμενοι ὀλίγους δή τινας ξὺν ταῖς γυναιξὶν ἐς Σαρδὼ πέμψαντες ἐνταῦθα. εἶρξαν. χρόνου δὲ προϊόντος τὰ ὄρη καταλαμβάνουσιν, ἃ Καρνάλεως ἐγγύς πού ἐστι, τὰ μὲν πρῶτα λῃστείας ἐκ τοῦ ἐμφανοῦς ἐς τοὺς περιοίκους ποιούμενοι, C ἐπεὶ δὲ οὐχ ἧσσον ἐγένοντο ἢ τρισχίλιοι, καὶ ἐς τοὐμφανὲς καταθέοντες λανθάνειν τε ἥκιστα ἀξιοῦντες ἅπαντα ἐληίζοντο τὰ

18. εἶρξαν Hm cum Scaligero. Vulgo ἦρξαν. 19. Καρνάλεως] καρανάλεως L. *prope Caralim* RV. 20. ἐμφανοῦς] ἀφανοῦς? ibid. ποιούμενοι HL. οὐ ποιούμενοι P. 21. ἐγένοντο] ἐγένετο L. 22. ἐληίζοντο] ἐληίζαντο L.

operam navant in susceptis contra Mauros expeditionibus. His perpensis, simulque urgente fame, inanes reque infecta excedunt ocius, et in planitiem reduces se vallo muniunt.

Post, Salomon copiarum parte apud Numidiam, ut ibi praesidium agitaret, relicta, cum iam esset hiems, caeteras reduxit Carthaginem: ubi singula paravit adornavitque ad alteram expeditionem primo vere in montem Aurasium suscipiendam maiori instructu, ac, si posset, absque Maurorum auxiliis. Eodem tempore duces alios, copiasque et classem adversus Mauros Sardiniae incolas accinxit. Magna haec est insula atque opulenta in primis. Siciliae partes fere duas adaequat: nam eius ambitus habili viatori dierum iter xx. praebet. Romam Carthaginemque interiacet, Maurorum incolarum grassationibus infesta. His quondam irati Barbaris Vandali, exiguam eorum manum cum uxoribus ablegaverant in Sardiniam, ibique clausos continebant. Progrediente tempore elapsi illi, vicinos Carali montes occuparunt: unde viciniam occultis latrociniis infestarunt initio. Deinde cum ad tria millia excrevissent, renuntiarunt latebris, ita ut aperte circumiectis in locis omnibus grassarentur

ἐκείνῃ χωρία, Βαρβαρικῖνοι πρὸς τῶν ἐπιχωρίων καλούμενοι. ἐπὶ τούτους δὴ τοὺς Μαυρουσίους ὁ Σολόμων τὸν στόλον ἐν τούτῳ τῷ χειμῶνι ἡτοίμαζε. ταῦτα μὲν οὖν ἐν Λιβύῃ ἐφέρετο τῇδε.

ιδ΄. Ἐν δὲ Ἰταλίᾳ κατὰ τοὺς αὐτοὺς χρόνους τάδε γενέ- V 408
σθαι τετύχηκε. Βελισάριος ἐπὶ Θευδᾶτόν τε καὶ τὸ Γότθων D
ἔθνος πρὸς Ἰουστινιανοῦ βασιλέως ἐστέλλετο, καταπλεύσας τε ἐς Σικελίαν, ταύτην δὴ τὴν νῆσον πόνῳ οὐδενὶ ἔσχεν. ὅντινα δὲ τρόπον, ἐν τοῖς ὄπισθέ μοι λόγοις λελέξεται, ὅτε με ὁ λόγος ἐς τῶν Ἰταλικῶν πραγμάτων τὴν ἱστορίαν ἄγοι. νῦν γάρ μοι οὐκ ἀπὸ τρόπου ἔδοξεν εἶναι ξύμπαντα ἀναγραψάμενον τὰ ἐν Λιβύῃ ξυνενεχθέντα οὕτω δὴ ἐπὶ τὸν λόγον τὸν ἀμφὶ Ἰταλίαν τε καὶ Γότθους ἰέναι. τὸν μὲν οὖν χειμῶνα τοῦτον Βελισάριος μὲν ἐν Συρακούσαις, Σολόμων δὲ ἐν Καρχηδόνι διέτριψε. καὶ τέρας ἐν τῷδε τῷ ἔτει ξυνηνέχθη γενέσθαι δεινότατον. ὁ γὰρ ἥλιος ἀκτίνων χωρὶς τὴν αἴγλην, ὥσπερ ἡ σελήνη, ἐς τοῦτον δὴ τὸν ἐνιαυτὸν
ἅπαντα ἠφίει, ἐκλείποντί τε ἐπὶ πλεῖστον ἐῴκει, τὴν ἀμαρυγὴν P 269
τὴν αὐτοῦ οὐ καθαρὰν οὐδὲ ᾗπερ εἰώθει ποιούμενος. ἐξ οὗ τε συμβῆναι τοῦτο τετύχηκεν, οὔτε πόλεμος οὔτε λιμὸς οὔτε τι ἄλλο ἐς θάνατον φέρον τοὺς ἀνθρώπους ἀπέλιπε. χρόνος δὲ ἦν, ὅτε δέκατον ἔτος Ἰουστινιανὸς τὴν βασιλείαν εἶχεν.

Ἅμα δὲ ἦρι ἀρχομένῳ, ὅτε οἱ Χριστιανοὶ ἑορτὴν ἦγον, ἣν δὴ πασχαλίαν καλοῦσι, στρατιωτῶν στάσις ἐν Λιβύῃ ἐνέπεσεν.

6. Γότθων] γότθοι L. 9. ὅτε] ὅτι H: ὅτε Hm cum Scaligero. 18. αὐτοῦ] αὑτοῦ P.

tur, dicti ab indigenis Barbaricini. Hos contra Mauros Salomon hac hieme classem paravit. Is erat rerum cursus in Africa.

14. Per id tempus haec in Italia contigerunt. Belisarius adversus Theodatum et Gotthos a Iustiniano Aug. missus, cum in Siciliam appulisset, eam insulam nullo negotio recepit: quod qua ratione processerit, consequentes libri docebunt, cum institutus narrationis ordo me ad historiam rerum Italicarum deduxerit. Nunc enim haud ab re esse duco, seriem rerum Africae tradere, ac deinde in Italiam et ad Gotthos transire. Igitur hanc hiemem Syracusis Belisarius egit, Carthagine Salomon. Insignis ostento gravissimo hic annus fuit: quo nempe toto sol sine radiis, ut luna, iners colluxit, nec fulgorem nitidum, ut assolet, sed ferrugineum misit, laboranti plerumque similis. Ex quo id accidit, nec bellum, nec fames, nullum denique letiferi mali genus, circumsedere mortales desiit. Fuit autem hic annus imperii Iustiniani decimus.

Vere novo, quo tempore Christiani Paschale, ut appellant, festum concelebrant, seditionem in Africa milites concivere, cuius originem, exi-

ἢ ὅπως τε ἐφύη καὶ ἐς ὅ τι ἐτελεύτησεν, ἐρῶν ἔρχομαι. ἐπειδὴ
Βανδίλοι ἡσσήθησαν τῇ μάχῃ, ὥσπερ μοι ἔμπροσθεν εἴρηται,
οἱ Ῥωμαῖοι στρατιῶται τὰς αὐτῶν παῖδάς τε καὶ γυναῖκας ἐν γα-
B μετῶν ἐποιήσαντο λόγῳ. ἡ δὲ αὐτῶν ἑκάστη τὸν ἄνδρα ἐνῆγε
τῶν χωρίων τῆς κτίσεως μεταποιεῖσθαι, ὧν αὐτὴ πρότερον κυ-
ρία ἐτύγχανεν οὖσα, οὐχ ὅσιον λέγουσα εἶναι, εἰ Βανδίλοις μὲν
ξυνοικοῦσαι τούτων ἀπώναντο, τοῖς δὲ αὐτοὺς νενικηκόσιν ἐς γά-
μον ἐλθοῦσαι οὕτω δὴ τῶν σφίσιν ὑπαρχόντων στερήσονται.
ταῦτα δὲ οἱ στρατιῶται ἐν νῷ ἔχοντες Σολόμωνι εἴκειν οὐκ ᾤοντο
χρῆναι τὰ Βανδίλων χωρία ἔς τε τὸ δημόσιον καὶ ἐς τὸν βασι-
λέως οἶκον ἐθέλοντι ἀναγράψασθαι, φάσκοντί τε ὡς τὰ μὲν ἀν-
δράποδα καὶ τὰ ἄλλα πάντα χρήματα τοῖς στρατιώταις ἐς λά-
C φυρα ἰέναι οὐκ ἀπεικὸς εἶναι, γῆν μέντοι αὐτὴν βασιλεῖ τε καὶ
H 143 τῇ Ῥωμαίων ἀρχῇ προσήκειν, ἥπερ αὐτοὺς ἐξέθρεψέ τε καὶ στρα-
τιώτας καλεῖσθαί τε καὶ εἶναι πεποίηκεν, οὐκ ἐφ' ᾧ σφίσιν αὐ-
τοῖς τὰ χωρία κεκτήσονται, ὅσα ἂν βαρβάρους ἐπιβατεύοντας
τῆς Ῥωμαίων βασιλείας ἀφέλοιντο, ἀλλ' ἐφ' ᾧ ἐς τὸ δημόσιον
ταῦτα ἰέναι, ὅθεν σφίσι τε ξυμβαίνει καὶ τοῖς ἄλλοις ἅπασι τὰς
σιτήσεις κομίζεσθαι. αὕτη μὲν τῆς στάσεως αἰτία ξυνέπεσε. καὶ
ἑτέραν δέ τινα ξυνηνέχθη γενέσθαι τοιάνδε, ἣ οὐδέν τι ἧσσον, εἰ
μὴ καὶ μᾶλλον, ἅπαντα ξυνταράξαι τὰ ἐν Λιβύῃ πράγματα ἴσχυ-
σεν. ἐν τῷ Ῥωμαίων στρατοπέδῳ τῆς Ἀρείου δόξης οὐχ ἧσσον
D ἢ χιλίους στρατιώτας εἶναι ξυνέπεσεν· ὧν δὴ οἱ πολλοὶ βάρβαροι
ἦσαν καὶ αὐτῶν τινες ἐκ τοῦ Ἐρούλων ἔθνους. τούτους δὴ οἱ

10. ἐς τὸν HL. ἐς om. P. 21. ξυνταράξαι] „ξυνταράξασθαι Reg.“ Malt. Sic LHm.

tumque nunc exequar. Postquam acie fusi sunt Vandali, quemadmodum supra narravimus, eorum filias atque uxores in matrimonium Romani milites duxerunt. Tum virum quaeque suum instigare ad occupandas possessiones, quas ipsae prius tenuerant, cum dicerent iniquum esse, tum se illis potitas, cum essent Vandalorum coniuges; iam vero Vandalorum victoribus connubio iunctas, e suis fundis exturbari. His inducti milites, Salomoni, Vandalorum praedia partim in publicum, partim in fiscum redigere volenti, obsistere statuerunt, neque audire dicentem, iure quidem ac merito captivos pecuniamque omnem militi in praedam cedere, agros autem ad Imperatorem Imperiumque Romanum pertinere: a quo enutriti, nec dicti solum essent milites, verum etiam instituti, non ut possessiones invaderent, Romano Imperio a Barbaris per vim ereptas, sed ut aerario restituerent, unde ipsi caeterique omnes alerentur. Seditionis haec causa extitit. Accessit altera, quae non minori, immo vero maiori vi in Africa cuncta miscuit. Erant forte in castris Romanis Ariani milites saltem mille: quo in numero multi Barbari: inter hos

τῶν Βανδίλων ἱερεῖς ἐς τὴν στάσιν τὰ μάλιστα ὥρμων, οὐ γὰρ σφίσιν ἦν δυνατὰ τῷ θεῷ ἐξοσιοῦσθαι τὰ εἰωθότα, ἀλλὰ ἀπεκέκλειντο καὶ μυστηρίων καὶ ἱερῶν ἁπάντων. οὐ γὰρ εἴα βασιλεὺς Ἰουστινιανὸς ἄνδρα Χριστιανὸν οὐ μεταλαχόντα δόξης ὀρθῆς ἢ βαπτίσματι ἢ ἄλλῳ τῳ μυστηρίῳ χρῆσθαι. μάλιστα δὲ αὐτοὺς ἡ πασχαλία ἑορτὴ ξυνετάραξε, καθ᾽ ἣν οὐχ οἷοί τε ἐγίνοντο τὰ σφέτερα αὐτῶν παιδία τῷ θείῳ βαπτίζειν λουτρῷ, ἢ ἄλλο τι ἐργάζεσθαι ἐς ταύτην δὴ τὴν ἑορτὴν ἄγον. ὥσπερ δὲ οὐχ ἱκανὰ ταῦτα τῷ δαιμονίῳ διαφθεῖραι τὰ Ῥωμαίων πράγματα ἐν σπουδῇ ἔχοντι, ξυνέπεσέ τι καὶ ἄλλο τοῖς τὴν στάσιν μελετῶσιν ἐφόδιον. τοὺς γὰρ Βανδίλους, οὓς Βελισάριος ἐς Βυζάντιον ἤνεγκε, κατεστήσατο βασιλεὺς ἐς καταλόγους ἱππικοὺς πέντε, V 409 ὅπως ἐν πόλεσι ταῖς ἑῴαις τὸν ἅπαντα ἱδρύσωνται χρόνον· οὓς P 270 καὶ Ἰουστινιανοὺς Βανδίλους καλέσας ἐκέλευσε ξὺν ναυσὶν ἐς τὴν ἕω κομίζεσθαι. τούτων δὴ τῶν Βανδίλων στρατιωτῶν οἱ μὲν πλεῖστοι ἐς τὴν ἕω ἀφίκοντο καὶ τοὺς καταλόγους πληροῦντες, ἐς οὓς διατετάχαται, ἄχρι τοῦδε ἐπὶ Πέρσας στρατεύονται· οἱ δὲ ἄλλοι, ἀμφὶ τετρακοσίους ὄντες, ἐπεὶ ἐν Λέσβῳ ἐγένοντο, κεκολπωμένων σφίσι τῶν ἱστίων τοὺς ναύτας βιασάμενοι Πελοποννήσῳ προσέσχον. ἐνθένδε τε ἀπάραντες ἐς Λιβύην κατέπλευσαν ἐν χωρίῳ ἐρήμῳ, οὗ δὴ τὰς ναῦς ἀπολιπόντες καὶ συσκευασάμε-

14. „Ἰουστινιανοὺς], Ita correxi. Male enim legebam Ἰουστινιανός. Qua in scriptura vitium agnoscet qui leget annotata a Nic. Alemanno in c. XI. Hist. arcanae.“ Malt. Ad Ἰουστινιανοὺς nihil diversitatis annotatum ex AL. ibid. ἐκέλευσε L. ἐκέλευσεν P.

Eruli aliquot. His maxime ad seditionem faces Vandali sacerdotes subdebant, frementes ereptam sibi facultatem vacandi, ut soliti erant, rei divinae, et ad mysteria sacraque omnia praeclusum aditum. Etenim Iustinianus Aug. Christianis, qui non recte sentirent, baptismate mysteriisque omnibus interdixerat. Inprimis festum Paschale eos urebat, quo infantes suos divino lavacro mergere, caeterisque ad festum hoc pertinentibus operari prohibebantur. Tum etiam, quasi ista daemoni, Romanam rem pessundare satagenti, nequaquam sufficerent, aliud incidit, eorum, qui seditionem moliebantur, consilio promovendo accommodatum. Vandalos a Belisario Byzantium transportatos Imperator in equestres numeros quinque distribuerat, ut essent in Orientis urbibus perpetui stationarii: quos et Iustinianorum Vandalorum nomine insignitos, navibus in Orientem deferri iusserat. Eo quidem pars illorum maxima pervenit, ubi et numeros militares, in quos fuere contributi, implentes, cum Persis etiamnum belligerant. Caeteri, circiter 400. ubi in Lesbum ventum est, obliquarunt velorum sinus, et nautis frustra obnitentibus in Peloponnesum appulere: unde cum solvissent, ad desertum quoddam applicuerunt Africae littus: relictis ibi navigiis vasisque collectis, in montem

B νοι ἐς τὸ ὄρος τὸ Αὐράσιον καὶ ἐς Μαυριτανίαν ἀνέβησαν. οἷς
δὴ ἐπηρμένοι οἱ στρατιῶται, οἷς ἦν ἐν ἐπιμελείᾳ ἡ στάσις, ἔτι
μᾶλλον ξυνίσταντο ἐν σφίσιν αὐτοῖς. καὶ λόγοι τε πολλοὶ περὶ
τούτου καὶ ὅρκοι ἤδη ἐν τῷ στρατοπέδῳ ἐγίνοντο. ἐπειδή τε
τὴν ἑορτὴν ἄγειν ἔμελλον, ἀχθόμενοι τῇ κωλύμῃ τῶν ἱερῶν οἱ
Ἀρειανοὶ σφόδρα ἐνέκειντο.

Ἔδοξέ τε αὐτῶν τοῖς κορυφαίοις ἐν τῷ ἱερῷ τῇ πρώτῃ τῆς
ἑορτῆς ἡμέρᾳ, ἣν μεγάλην καλοῦσι, Σολόμωνα κτεῖναι. καὶ
ἔλαθόν γε οὐδενὸς τοῦτο δὴ ἐξενεγκόντος τὸ βούλευμα. ἅτε γὰρ
πολλῶν ὄντων τῶν τὰ δεινὰ βουλευομένων ὁ λόγος περιφερόμενος
ἐς δυσμενῆ οὐδένα ἐξέπιπτε, ταύτῃ τε λανθάνειν ἐξίσχυσεν, ἐπεὶ
C καὶ Σολόμωνος οἱ πολλοὶ δορυφόροι τε καὶ ὑπασπισταὶ καὶ τῶν
οἰκετῶν οἱ πλεῖστοι ἐς ταύτην δὴ τὴν στάσιν ξυνετετάχατο τῇ τῶν
χωρίων ἐπιθυμίᾳ. ἡμέρας δὲ ἤδη τῆς κυρίας παρούσης Σολόμων
μὲν ἐν τῷ ἱερῷ ἐκάθητο, μακρὰν τῶν αὐτοῦ ἀπολελειμμένος κα-
κῶν. εἰσελθόντες δὲ οἷς τὸν ἄνδρα τοῦτον κτεῖναι ἐδέδοκτο,
νεύμασί τε ἀλλήλοις ἐγκελευσάμενοι, τῶν ξιφῶν ἥπτοντο, ἔδρα-
σαν μέντοι οὐδέν, ἢ τὰ τελούμενα τηνικαῦτα ἐν τῷ ἱερῷ αἰσχυ-
νόμενοι, ἢ διὰ τὴν τοῦ στρατηγοῦ δόξαν ἐρυθριῶντες, ἢ καί τι
θεῖον αὐτοὺς διεκώλυσεν. ἐπειδὴ δὲ τά τε ἱερὰ ἐκείνῃ τῇ ἡμέρᾳ
ἤσκητο ἤδη καὶ οἴκαδε ἐκομίζοντο ἕκαστοι, ἀλλήλους ᾐτιῶντο
οἱ στασιῶται, ἅτε μαλθακοὺς οὐκ ἐν δέοντι γεγενημένους, καὶ
D αὖθις ἀπετίθεντο ἐς τὴν ἐπιοῦσαν τὸ βούλευμα. ὁμοίως δὲ καὶ

10. τῶν om. L. 15. αὐτοῦ] αὑτοῦ HL.

Aurasium ac Mauritaniam evaserunt. His animati, qui seditioni studebant, milites, coire saepius, in castris id crebris sermonibus agitare, fidem mutuam sacramento astringere: Ariani quoque, appetente iam festo, urgere rem acrius, sacrorum interdictione graviter offensi.

Itaque eorum coryphaeis placuit, ut primo solenniorum die, quem vocant Magnum, in templo Salomon occideretur. Id consilium, nullo indicio enuntiatum, latebat. Cum enim idem multi facinus coquerent, qui de illo circumferebantur sermones, ad neminem emanabant alienum a factione. Atque ita latere coniuratio potuit, maxime cum Salomonis stipatores scutariique non pauci, ac plerique eius domestici ad illam se adiunxissent, praediorum amore ducti. Praestituta iam dies aderat, ac supplex in templo Salomon, longe aberat ab imminentis exitii cogitatione, cum ingressi, qui caedem decreverant, se invicem hortari nutu coepere, et manus admovere gladiis. Verumtamen facinore abstinuerunt, sive sacrorum, quae tum in templo peragebantur, sive ducis clarissimi reverentia, seu vi aliqua divina cohibiti. Sacris eo die confectis, reversi domum factiosi mutuis querelis mollitiem sibi obiectabant praeposteram. Reiecto in diem sequentem consilio, similiter animo affecti post-

τῇ ὑστεραίᾳ διαγεγονότες ἄπρακτοι ἐκ τοῦ ἱεροῦ ἀνεχώρησαν, ἔς τε τὴν ἀγορὰν ἐλθόντες ἀλλήλοις ἐκ τοῦ ἐμφανοῦς ἐλοιδοροῦντο, αὐτός τε ἕκαστος μαλθακόν τε τὸν πέλας καὶ τῆς ἑταιρείας διαλύτην ἀποκαλῶν τὴν ἐς Σολόμωνα αἰδῶ· ὀνειδίζειν οὐκ ἀπηξίου. διὸ δὴ οὐκέτι ἀκίνδυνον σφίσιν ᾤοντο ἔσεσθαι τὴν ἐν Καρχηδόνι διατριβήν, ἅτε ἐς τὸ πᾶν ἐξενεγκόντες τὸ βούλευμα. οἱ μὲν οὖν πολλοὶ τῆς πόλεως ἔξω κατὰ τάχος γενόμενοι τά τε χωρία ἐληίζοντο καὶ Λίβυσιν οἷς ἐντύχοιεν ὡς πολεμίοις ἐχρῶντο. οἱ δὲ H 144 ἄλλοι ἐν τῇ πόλει διαμείναντες οὐ παρεῖχον αἴσθησιν ἧς εἶχον αὐ- P 271 τοὶ γνώμης, ἀλλ' ἀγνοεῖν τὰ βεβουλευμένα προσεποιοῦντο.

Σολόμων δὲ ἀκούσας ὅσα πρὸς τῶν στρατιωτῶν ἐν τῇ χώρᾳ ἐπράσσετο, ἐς θόρυβόν τε πολὺν ἐμπεσὼν τοῖς ἐν τῇ πόλει ἐγκελευόμενος οὐκ ἀνίει ἐς εὔνοιαν τὴν βασιλέως παρακαλῶν. οἱ δὲ κατ' ἀρχὰς μὲν ἐνδέχεσθαι τοὺς λόγους ἐδόκουν, ἡμέρᾳ δὲ τῇ πέμπτῃ, ἐπεὶ τοὺς ἐξεληλυθότας ἐν βεβαίῳ τυραννεῖν ἤκουσαν, ἐς τὸν ἱππόδρομον ξυλλεγέντες ἔς τε Σολόμωνα καὶ τοὺς ἄλλους ἄρχοντας ἀναίδην ὕβριζον. ἔνθα δὴ πρὸς Σολόμωνος σταλεὶς Θεόδωρος ὁ Καππαδόκης παρηγορεῖν τε καὶ τιθασεύειν αὐτοὺς ἐνεχείρει, οὐδέν τι ἐπαΐοντας τῶν λεγομένων. ἦν δέ τις Θεο- B δώρῳ τούτῳ δυσμένειά τε καὶ ἐπιβουλῆς ὑποψία ἐς Σολόμωνα. διὸ δὴ οἱ στασιῶται στρατηγόν τε αὐτὸν σφίσιν αὐτίκα τῇ βοῇ ἐψηφίσαντο, καὶ σὺν αὐτῷ δορυφοροῦντες καὶ θορύβῳ πολλῷ

11. Σολόμων] σολομῶν L. 13. οὐκ ἀνίει] οὐκ [ἂν] ἀνίει H. 18. τιθασεύειν] τιθασσεύειν P. 22. σὺν αὐτῷ HL. σὺν om. P.

ridie, iterum re infecta e templo exierunt. Ut in forum progressi sunt, alter in alterum palam convitia iacere, vicinum quisque ignavum et amicitiae violatorem vocare, nimiam in Salomonem observantiam exprobrare. Ita demum conspiratione vulgata, complures parum tuti Carthagine sibi visi, confestim ex urbe excesserunt: mox vici ab iis diripi, obviique Afri omnes hostilem in modum haberi coepti. Qui in urbe substiterant, nullum edebant signum propositi, initique consilii ignorationem prae se ferebant.

Quid in agris patrarent milites, ubi Salomon audiit, turbatus admodum, eos, qui in urbe erant, ad fidem studiumque Imperatori praestandum hortari non destitit. Assentiri illi initio videbantur. At die quinto, postquam eos, qui se in agros eiecerant, tutam exercere tyrannidem intellexerunt, congregati in Circum, contumeliosa dicteria in Salomonem caeterosque duces impudenter dicebant. Missus a Salomone Theodorus Cappadox, eos blanda oratione mitigare aggressus est frustra, cum dicenti nihil attentionis tribuerent. Huic simultas cum Salomone intercedebat non sine aliqua paratae in eum fraudis suspicione: qua moti seditiosi, illum extemplo magnis clamoribus ducem suum re-

*χρώμενοι ἐς τὸ παλάτιον κατὰ τάχος ἧκον. ἔνθα δὴ Θεόδωρον
μὲν ἕτερον, ὃς τῶν φυλακῶν ἡγεῖτο, κτείνουσιν, ἄνδρα τῆς τε
ἄλλης ἀρετῆς ἐπὶ πλεῖστον ἥκοντα καὶ διαφερόντως ἀγαθὸν τὰ
πολέμια. ἐπεὶ δὲ τοῦ φόνου τούτου ἐγεύσαντο, ἅπαντα ἤδη τὸν
ἐν ποσὶν ἔκτεινον, εἴτε Λίβυν εἴτε Ῥωμαῖον Σολόμωνι γνώριμον
εἴτε χρήματα ἐν χερσὶν ἔχοντα, ἐνθένδε τε ἐς τὸ ληΐζεσθαι ἀπε-
C χώρησαν, ἀναβαίνοντες δὲ ἐς τὰς οἰκίας, ἔνθα δὴ μὴ στρατιῶ-
V 410 ται ἠμύνοντο, ἅπαντα τὰ τιμιώτατα ἥρπαζον, ἄχρι νύξ τε ἐπι-
γενομένη καὶ μέθη τὸν πόνον διαδεξαμένη κατέπαυσε. Σολόμων
δὲ ἐς τὸ ἱερὸν, ὃ ἐστι μέγα ἐν παλατίῳ, διαφυγὼν ἔλαθεν, ἔνθα
δὴ καὶ Μαρτῖνος αὐτῷ ἀμφὶ δείλην ὀψίαν ἦλθεν. ἐπεὶ δὲ οἱ
στασιῶται πάντες ἐκάθευδον, ἐξελθόντες ἐκ τοῦ ἱεροῦ ἐς τὴν
Θεοδώρου τοῦ ἐκ Καππαδοκίας οἰκίαν ἦλθον, ὃς αὐτοὺς δειπνῆ-
σαί τε οὔ τι προθυμουμένους ἠνάγκασε, καὶ ἐς τὸν λιμένα δια-
κομίσας ἐς λέμβον νεὼς δή τινος ἐσεκόμιζον, ὃς δὴ ἐνταῦθα
D Μαρτίνῳ παρεσκευασμένος ἐτύγχανεν. εἵποντο δὲ Προκόπιός
τε, ὃς τάδε ξυνέγραψε, καὶ τῆς Σολόμωνος οἰκίας ἄνδρες πέντε
μάλιστα. σταδίους τε τριακοσίους ἀνύσαντες ἀφίκοντο ἐς Μισ-
σούαν τὸ Καρχηδονίων ἐπίνειον, καὶ ἐπεὶ ἐγένοντο ἐν τῷ ἀσφα-
λεῖ, αὐτίκα Σολόμων ἐκέλευε Μαρτῖνον ἐς Νουμιδίαν παρὰ Βα-
λεριανόν τε καὶ τῶν ξυναρχόντων τοὺς ἄλλους ἰέναι, πειρᾶσθαί
τε, εἴ πως δύναιτο αὐτῶν ἕκαστος τῶν τινας γνωρίμων στρατιω-*

2. ἕτερον Pm. Vulgo *πρότερον. alium* RV. *ibid.* φυλακῶν] φυλάκων Scaliger. 18. *μισσούαν* ALHm. *Μεσσούαν* HP. *Missam* RV.

nuntiant, et in ipsum officio stipatorum fungentes, multo cum strepitu ad palatium properant. Hic Theodorum alterum, excubitorum ducem, virum ingenti virtute praeditum, atque egregium bellatorem interimunt. Huius sanguine delibato, obvium quemque mactant nullo discrimine, Afrum iuxta ac Romanum Salomoni amicum, quamvis pecuniam ad manum habeat offeratque. Inde se ad direptionem convertunt. Itaque domos ingressi, militari praesidio vacuas, pretiosissima quaeque rapiunt, donec noctis interventus et consecuta ebrietas quietem attulerunt. Interea Salomon in templo palatii, sane magno, latebat: quo et Martinus sub noctem sese recepit. Inde egressi, cum iam somnus seditiosos complexus esset, in domum se contulere Theodori Cappadocis, qui coena illos, vel invitos, accepit, et ad portum delátos, in cuiusdam navigii maioris lembum, qui ibi Martino paratus erat, imposuit. Qui haec literis mandavit Procopius, comitem se illis addidit, cum Salomonis domesticis omnino quinque. Stadia trecenta provecti, Messuam, navale Carthaginiensium, attigerunt. Simul ac fuere in tuto, Martinum Salomon in Numidiam ad Valerianum ducesque caeteros destinat, mandatque, ut pro virili quisque parte amicos sibi milites vel pecunia, vel alia quapiam ratione ille-

τῶν ἢ χρήμασιν ἢ τρόπῳ ἑτέρῳ τῳ ὑπελθὼν ἐς εὔνοιαν τὴν βασιλέως μεταγαγεῖν. καὶ πρὸς Θεόδωρον γράμματα ἔπεμπε, Καρχηδόνος τε ἐπιστέλλων ἐπιμελεῖσθαι καὶ τἄλλα διέπειν ὅπῃ ἂν αὐτῷ δοκῇ δυνατὰ εἶναι, αὐτὸς δὲ ξὺν Προκοπίῳ παρὰ Βελισάριον P 272 ἐς Συρακούσας ἀφίκετο. ἅπαντά τε αὐτῷ ἀγγείλας, ὅσα ἐν Λιβύῃ γενέσθαι ξυνέπεσεν, ἐδεῖτο κατὰ τάχος ἰέναι τε ἐς Καρχηδόνα καὶ βασιλεῖ ἀμῦναι πάσχοντι πρὸς στρατιωτῶν τῶν αὐτοῦ τὰ ἀνόσια. καὶ Σολόμων μὲν ταῦτα ἐποίει.

ιε'. Οἱ δὲ στασιῶται τὰ ἐν Καρχηδόνι ἅπαντα ληισάμενοι ἔς τε Βούλλης ξυλλεγέντες πεδίον Στότζαν, τῶν Μαρτίνου B δορυφόρων ἕνα, τύραννον σφίσιν εἵλοντο, ἄνδρα θυμοειδῆ καὶ δραστήριον, ἐφ' ᾧ τοὺς βασιλέως ἄρχοντας ἐξελάσαντες Λιβύης ὅλης κρατήσουσιν. ὁ δὲ ἅπαν ἐξοπλίσας τὸ στράτευμα, ἐς ὀκτακισχιλίους μάλιστα ξυνιὸν ἐπὶ Καρχηδόνα ἐπῆγεν, ὡς τὴν πόλιν αὐτίκα δὴ μάλα παραστησόμενος οὐδενὶ πόνῳ. ἔπεμπε δὲ καὶ ἐς Βανδίλους τούς τε ἐκ Βυζαντίου ξὺν ταῖς ναυσὶν ἀποδράντας καὶ ὅσοι οὐχ εἵποντο Βελισαρίῳ τὸ ἐξ ἀρχῆς, ἢ διαλαθόντες, ἢ ὅτι οἱ Βανδίλους τηνικαῦτα παραπέμποντες ἐν λόγῳ αὐτοὺς οὐδενὶ ἐποιήσαντο. ἦσαν δὲ οὐχ ἧσσον ἢ χίλιοι, οἳ οὐκ ἐς μακρὰν C τῷ Στότζᾳ ἐς τὸ στρατόπεδον ξὺν προθυμίᾳ ἦλθον. ἀφίκετο δὲ οἱ καὶ δούλων πολύς τις ὅμιλος. καὶ ἐπειδὴ ἐγένοντο Καρχηδόνος ἐγγύς, ἔπεμψεν ὁ Στότζας, κελεύων οἱ ὡς τάχιστα παραδοῦναι τὴν πόλιν, ἐφ' ᾧ κακῶν ἀπαθεῖς μείνωσιν. οἱ δὲ ἐν Καρ-

10. ἔς τε] ἔς τε τὸ L. ibid. Βούλλης] βούλης H: illud Hm.
13. ἐς L. εἰς P.

ctos, Imperatori devincire contendant: Theodoro scribit, ut Carthagini invigilet, et cuncta, quam optime fieri posse iudicabit, constituat. Ipse cum Procopio Syracusas vectus, expositis Belisario rebus Africae, enixe instat, Carthaginem quamprimum petat, ultumque eat Imperatorem, a militibus suis iniquissime habitum. Ita quidem se gessit Salomon.

15. Seditiosi vero, direpta Carthagine, in campum Bullae conveniunt, et Stozam Martini stipatorem, animosum sane virum ac strenuum, tyrannum sibi deligunt, ut Caesarianis exactis ducibus, universa Africa potiantur. Ille coactos ad octo millia milites cum armasset, Carthaginem ita petiit, quasi urbem primo aditu nulloque negotio occupaturus esset. Tum quoque ad Vandalos misit, neque eos modo sollicitavit, qui Byzantio cum navibus elapsi redierant, sed qui etiam secuti non fuerant Belisarium: sive delituissent, sive a Vandalorum deductoribus relicti, neque ullo fuissent habiti numero. Erant hi numero saltem mille: qui brevi ad Stozae castra alacres confluxere, simul etiam ingens servorum turba. Admoto ad urbem exercitu, mittit Stozas denuntiatum, quamprimum deditio fiat, ut vis absit, ac noxa. At Theodorus, et qui

χηδόνι καὶ Θεόδωρος, πρὸς ταῦτα ἄντικρυς ἀπειπόντες, βασιλεῖ ὡμολόγουν Καρχηδόνα φυλάσσειν. πέμψαντες δὲ παρ' αὐτὸν Ἰωσήφιον, τῶν τε βασιλέως φυλάκων γραμματέα οὐκ ἀφα-
D νῆ γεγονότα καὶ τῆς Βελισαρίου οἰκίας ὄντα, κατὰ χρείαν δέ τινα
H 145 καὶ πρὸς αὐτοὺς ἐς Καρχηδόνα ἔναγχος ἐσταλμένον, ἠξίουν μὴ σφᾶς περαιτέρω βιάζεσθαι. Στότζας δέ, ἐπεὶ ταῦτα ἤκουσεν, Ἰωσήφιόν τε αὐτίκα ἔκτεινε καὶ ἐς πολιορκίαν καθίστατο. κατορρωδήσαντές τε οἱ ἐν τῇ πόλει τὸν κίνδυνον, σφᾶς τε αὐτοὺς καὶ Καρχηδόνα Στότζᾳ ἐγχειρίσαι ὁμολογίᾳ διενοοῦντο. τὸ μὲν οὖν Λιβύης στρατόπεδον ἐφέρετο τῇδε.

Βελισάριος δέ, ἄνδρας ἀπολέξας ἑκατὸν τῶν αὐτοῦ δορυφόρων τε καὶ ὑπασπιστῶν καὶ Σολόμωνα ἐπαγόμενος, μιᾷ νηὶ ἐς
P 273 Καρχηδόνα κατέπλευσε περὶ λύχνων ἁφάς, ἡνίκα τὴν πόλιν οἱ πολιορκοῦντες σφίσιν ἐγχειριεῖσθαι τῇ ὑστεραίᾳ ἐκαραδόκουν. ἐν
V 411 ἐλπίδι τε ταῦτα ἔχοντες τὴν νύκτα ἐκείνην ηὐλίσαντο. ἐπεὶ δὲ ἡμέρα τε ἐγεγόνει καὶ Βελισάριον παρεῖναι ἔμαθον, λύσαντες ὡς τάχιστα τὸ στρατόπεδον αἰσχρῶς τε καὶ κόσμῳ οὐδενὶ ἐς φυγὴν ὥρμηντο. Βελισάριος δὲ τοῦ στρατοῦ ἀμφὶ δισχιλίους ἀγείρας καὶ ἐς εὔνοιαν αὐτοὺς τὴν βασιλέως λόγοις τε ὁρμήσας καὶ χρήμασι πολλοῖς ἐπιρρώσας τὴν δίωξιν ἐπὶ τοὺς φεύγοντας ἐποιήσατο. καὶ αὐτοὺς ἐς Μέμβρησαν πόλιν καταλαμβάνει, πεντήκοντα καὶ τριακοσίοις σταδίοις Καρχηδόνος διέχουσαν. ἔνθα δὴ ἑκάτεροι στρατοπεδευσάμενοι ἐς μάχην παρεσκευάζοντο, οἱ μὲν

11. αὐτοῦ] αὑτοῦ P. 18. ἀγείρας ALPm. ἐγείρας P.

cum eo Carthaginem tenebant, plane praeciderunt, professi, urbem se Imperatori servare, et a Stoza, ut vi inferenda absisteret, postularunt, misso ad eum Iosephio, non ignobili viro, qui antea custodum Palatii Imp. scriba fuerat, tunc autem Belisarii domesticus, negotii cuiusdam causa Carthaginem venerat. His Stozas auditis, illico Iosephium necat, et obsidionem capessit. Obiecto periculo territi, qui in urbe degebant, iam se et Carthaginem pactione inita Stozae dedere in animo habebant. Hic status erat rei militaris in Africa.

Belisarius autem, centum e satellitio suo delectis, Salomone comite, navim, quam unam acceperat, Carthaginem appulit prima face: quando obsessores deditionem urbis postridie faciendam cupidissime expectabant: qua spe capti pernoctarunt. Ut illuxit, ac Belisarium adesse auditum est, movere protinus, et turpiter inordinateque se in fugam dedere. Belisarius, cum militum duo circiter millia collegisset, ac verbis, ut Imperatori studerent, hortatus donativo etiam amplissimo confirmasset, insecutus est fugientes, et assecutus ad urbem Membresam, stadiis ccœ. Carthagine dissitam. Utrique ibi metati, se ad pugnam accingunt: ac

ἀμφὶ Βελισάριον ἐς ποταμὸν Βαγράδαν, οἱ δὲ ἕτεροι ἐν χωρίῳ B *ὑψηλῷ τε καὶ δυσκόλῳ τὸ χαράκωμα ποιησάμενοι. ἐς γὰρ τὴν πόλιν οὐδέτεροι ἐσελθεῖν ἔγνωσαν, ἐπεὶ ἀτείχιστος οὖσα ἐτύγχανε. τῇ δὲ ὑστεραίᾳ καθίσταντο ἐς τὴν ξυμβολήν, οἱ μὲν στασιῶται πλήθει τῷ σφετέρῳ πιστεύοντες, οἱ δὲ ἀμφὶ Βελισάριον, ἅτε ἀφρόνων τε καὶ ἀστρατηγήτων ὑπερφρονοῦντες τῶν πολεμίων. ἃ δὴ Βελισάριος ταῖς τῶν στρατιωτῶν διανοίαις βεβαίως ἐναποθέσθαι βουλόμενος ἅπαντας ξυγκαλέσας ἔλεξε τοιάδε „Ἐλπίδος μὲν καὶ εὐχῆς ἧσσον, ἄνδρες συστρατιῶται, βασιλεῖ τε καὶ Ῥωμαίοις τὰ πράγματα ἔχει. ἐς ξυμβολὴν γὰρ τανῦν ἥκομεν, ἐξ ἧς οὐδὲ τὸ νικᾶν ἄκλαυστον ἕξομεν, ἐπὶ ξυγγενεῖς τε καὶ συντρόφους στρατεύοντες. ἔχομεν δὲ τοῦ κακοῦ παραψυχὴν τήνδε, ὥς γε οὐ τῆς μάχης ἄρχοντες αὐτοί, ἀλλ' ἀμυνόμενοι ἐς* C *τὸν κίνδυνον καθιστάμεθα. ὁ γὰρ ἐς τοὺς φιλτάτους τὴν ἐπιβουλὴν ποιησάμενος καὶ τὸ ξυγγενὲς διαλύσας οἷς ἔδρασεν, οὐ πρὸς τῶν φίλων, ἢν ἀπόληται, θνήσκει, ἀλλ' ἐν πολεμίου γεγονὼς μοίρᾳ τοῖς ἠδικημένοις ἐκτίνει τὴν δίκην. πολεμίους δὲ καὶ βαρβάρους καὶ ὅ τι ἂν τις εἴποι δεινότερον εἶναι δείκνυσι τοὺς ἐναντίους οὐ Λιβύη μόνον ὑπὸ ταῖς τούτων χερσὶν ἐς λείαν ἐλθοῦσα, οὐδὲ οἱ ταύτην οἰκοῦντες οὐ δέον παρ' ἐκείνων ἀνῃρημένοι, ἀλλὰ καὶ Ῥωμαίων στρατιωτῶν πλῆθος, οὓς οἱ δυσμενεῖς οὗτοι κτείνειν ἐτόλμησαν, μίαν αὐτοῖς αἰτίαν τὴν ἐς τὴν πολιτείαν ἐπικαλέσαντες εὔνοιαν· οἷς νῦν τιμωροῦντες ἐπ' αὐτοὺς*

4. *στασιῶται*] *στρατιῶται* AHL. *adversarii* RV. Conf. p. 274 d. 298 c. 299 a. 13. *ὡς* Classenus. *ἧς* P. *ἣν* Hm. *ᾗ* Grotius. 20. *οἱ*] *οὐ* L. [*οὐ*] *οἱ* H.

Belisarius quidem propter fluvium Bagradam, Stozas vero in loco edito ac difficili vallum ducit, neutro urbi, moenibus nudae, committere se volente. Postero die ad pugnandum accedunt, hinc factiosi numero confisi[1], illinc Belisariani, hostium, tanquam mente et duce carentium, contemptu elati. Quod ipsum Belisarius ut altius in animis militum imprimeret, vocata concione sic verba fecit. *Res quidem, commilitones, cum Imperatori, tum Romanis infra spem ac votum procedunt. Ecce enim ad pugnam venimus, unde ne victores quidem redibimus sine luctu, cum consanguineis et sodalibus praeliati. Eo tamen nos consolamur, quod ipsi non lacessimus bello, sed vim repellentes ad dimicandum accedimus. Quisquis autem sibi coniunctissimos male perdere voluit, et propinquitatis vincula suis facinoribus rupit, non ab amicis, si intereat, e medio tollitur, sed perduellis iure habitus, poenas iis persolvit, quos affecit iniuria. Hos vero, qui contra nos stant, hostes esse et Barbaros, ac si quid gravius dici potest, non solum Africa ab ipsis direpta, et indignissime caesi incolae demonstrant, sed tot etiam Romani milites, quos furiosi isti, ob id unum, quod essent addicti Reip. ausi sunt contrucidare.*

ἥκομεν, δυσμενεῖς εἰκότως τοῖς πάλαι φιλτάτοις γεγενημένοι.
D φύσει μὲν γὰρ οὐδένες τῶν πάντων ἀνθρώπων οἰκείως ἂν ἢ ἐναντίως ἀλλήλοις ἔχοιεν, αἱ δὲ πράξεις ἑκάστων ἢ τῷ ὁμοτρόπῳ ἐς ξυμμαχίαν συνάπτουσαι ἢ τῷ διαλλάσσοντι τῆς γνώμης ἐς τὸ δυσμενὲς διακρίνουσαι φίλους, ἂν οὕτω τύχοι, ἢ πολεμίους ἀλλήλους ποιοῦσιν. ὡς μὲν οὖν ἐπ᾽ ἀνθρώπους ἀνοσίους τε καὶ πολεμίους στρατεύομεν, ἱκανῶς ἔχομεν, ὡς δὲ καταφρονεῖσθαί εἰσι παρ᾽ ἡμῶν ἄξιοι, ἐγὼ δηλώσω. ὅμιλος γὰρ ἀνθρώπων οὐ νόμῳ ξυνιόντων, ἀλλ᾽ ἐκ τοῦ ἀδίκου ξυνειλεγμένων ἀνδραγαθίζεσθαι ἥκιστα πέφυκεν, οὐδαμῶς τῆς ἀρετῆς τῷ παρανόμῳ ξυνοικίζεσθαι δυναμένης, ἀλλ᾽ ἀεὶ τῶν οὐχ ὁσίων ἀφισταμένης. οὐ μὴν
P 274 οὐδὲ τὴν εὐκοσμίαν φυλάξουσιν οὐδὲ τῶν ὑπὸ Στότζα παραγγελλομένων ἀκούσουσι. τυραννίδα γὰρ ἄρτι καθισταμένην καὶ οὔπω τὴν τοῦ θαρσεῖν ἐξουσίαν λαβοῦσαν ὑπερορᾶσθαι πρὸς τῶν ἀρχομένων ἀνάγκη. οὔτε γὰρ εὐνοίᾳ τετίμηται, ἐπεὶ μισεῖσθαι ἡ τυραννὶς πέφυκεν, οὔτε φόβῳ ἄγει τοὺς ὑπηκόους· ἀφείλετο γὰρ αὐτῆς τὴν παρρησίαν τὸ δεδιέναι. ἀρετῆς δὲ καὶ εὐκοσμίας ἀπολελειμμένων τῶν πολεμίων ἡσσᾶσθαι πρόχειρον. πολλῷ τοίνυν, ὅπερ εἶπον, τῷ καταφρονήματι ἐπὶ τούσδε ὑμᾶς τοὺς πολεμίους ἰέναι προσήκει. οὐ γὰρ τῷ πλήθει τῶν μαχομένων, ἀλλὰ τάξει τε καὶ ἀνδρείᾳ φιλεῖ διαμετρεῖσθαι τὸ τοῦ πολέμου κράτος."
H 146 Βελισάριος μὲν τοσαῦτα παρῄνεσε. καὶ Στότζας δὲ παρε-
B κελεύσατο ὧδε „Ἄνδρες, οἳ ξὺν ἐμοὶ τῆς ἐς Ῥωμαίους δουλείας

21. ἀνδρείᾳ] Vulgo ἀνδρίᾳ hic et infra.

Eorum vicem iam ultum imus, iure inimici amicissimis olim. Neque enim natura mutuum hominibus vel amicitiam vel simultatem ingenuit, verum cuiusque facta, dum animos vel studiorum similitudine copulant, vel dissimilitudine distrahunt, inter se vel amicos, si ita contigerit, vel hostes reddunt. Ac satis quidem illud tenemus, bellum nobis esse cum impiis ac perduellibus: nunc, quam nobis contemnendi sint, declarabo. Ita comparatum est, ut hominum turba non lege, sed scelere congregata, nihil fortiter gerat, propterea quod fortitudo habitare cum improbitate non potest, neque ullum habet commercium cum flagitiis. Huc accedet summa inter illos confusio, et mandatorum Stozae contemptus. Necesse enim est spernatur a subditis tenera adhuc tyrannis, necdum fidenter imperandi auctoritatem adepta: quandoquidem nec gratia valet, cum per se tyrannis invisa sit, nec metu subditos regit, cum ipsa prae metu libere loqui nesciat. Porro quibus desunt fortitudo ac disciplina, victoriam ii facilem offerunt. Itaque vos generoso, ut dixi, contemptu hostis erectos, in eum vadere decet, ac meminisse, potiores in bello partes recto ordine ac virtute, non pugnantium numero esse metiendas.

Hactenus Belisarius: vicissim Stozas ita suos hortatus est. *Nemo vestrum, o viri, qui mecum Romano servitio exiistis, in mortem ruere*

ἔξω γεγένησθε, μηδεὶς ὑμῶν ὑπὲρ τῆς ἐλευθερίας ἀπαξιούτω θνήσκειν, ἧς ἀνδρείᾳ τε καὶ τῇ ἄλλῃ ἀρετῇ τετυχήκατε. οὐ γὰρ οὕτω δεινὸν τὸ τοῖς κακοῖς συγγηράσκοντα τελευτῆσαι τὸν βίον ὡς μετὰ τὴν τῶν δυσκόλων ἐλευθερίαν αὖθις ἐς αὐτὰ ἐπανήκειν. ὁ γὰρ ἐν μέσῳ χρόνος τῆς ἀπαλλαγῆς γεύσας χαλεπωτέραν, ὥς γε τὸ εἰκὸς, τὴν συμφορὰν ἀπεργάζεται. τούτων δὲ τοιούτων ὄντων ἐπάναγκες ὑμᾶς ἀναμνησθῆναι μὲν ὡς Βανδίλους τε καὶ Μαυρουσίους νενικηκότες αὐτοὶ μὲν τῶν ἐν τοῖς πολέμοις ἀπώ- V 412 νασθε πόνων, κύριοι δὲ ἄλλοι τῶν λαφύρων γεγένηνται πάντων. ἐκλογίζεσθε δὲ ὡς στρατιώταις ὑμῖν τὸν πάντα αἰῶνα ὁμιλεῖν τοῖς τοῦ πολέμου κινδύνοις ἀνάγκη, ἢ ὑπὲρ τῶν βασιλέως πρα- C γμάτων, ἤν γε αὖθις ἐκείνῳ δουλεύητε, ἢ ὑπὲρ ὑμῶν, ἢν τὴν ἐλευθερίαν διασώζοιτε ταύτην. ὁπότερον δὲ ἀμφοῖν αἱρετώτερον, τοῦτο ἑλέσθαι ὑμῖν πάρεστιν, ἢ μαλακιζομένοις ἐν τῷ παρόντι, ἢ ἀνδραγαθίζεσθαι βουλομένοις. ἀλλὰ μὴν κἀκεῖνο εἰσιέναι ὑμᾶς προσήκει, ὡς ὅπλα κατὰ Ῥωμαίων ἀράμενοι, ἢν ὑπ' αὐτοῖς ἔσησθε, οὐ μετρίων οὐδὲ συγγνωμόνων δεσποτῶν πειραθήσεσθε, ἀλλὰ πείσεσθε μὲν τὰ ἀνήκιστα, προσέσται δὲ ὑμῖν τὸ μὴ ἀδίκως ἀπολωλέναι. ὁ μὲν οὖν θάνατος ὅτῳ ἂν ὑμῶν ἀφίξηται, ταύτῃ δῆλον εὐκλεὴς ἔσται. βίος δὲ κρατήσασι μὲν τῶν πολεμίων αὐτόνομός τε καὶ τὰ ἄλλα εὐδαίμων, ἡσσημένοις D δὲ πικρὸς μὲν, ἄλλο οὐκ ἂν εἴποιμι, τὴν ἐλπίδα δὲ ξύμπασαν

7. ὄντων om. L. 8. νενικηκότες] νενικηκότας Hm et L a m. sec. ibid. πολέμοις] πολεμίοις A. 12. ὑμῶν Grotius. Vulgo ἡμῶν. 18. πειραθήσεσθε ALHm. πειρασθήσεσθε HP. 20. ἀφίξηται ALHm. ἀφίξεται HP. 22. ἄλλο] ἀλλ' L.

dubitet pro libertate, quam virili robore ac praestanti virtute vobis peperistis. Est enim minus homini grave in aerumnis consenescere atque emori, quam, ubi se ab illis asseruerit, in easdem relabi. Et vero tempus, quo intercurrente degustata libertas fuit, procul dubio calamitatis sensum efficit acerbiorem. Quae cum ita sint, meminisse debetis, vos, qui Vandalos ac Mauros vicistis, sudorem e laboribus bellicis plurimum, alios spolia omnia retulisse. Hoc etiam perpendite, vobis, cum sitis milites, vitam omnem inter Martis discrimina conterendam, vel pro Imperatore, si redeatis sub eius iugum, vel pro vobis, si libertatem retineatis. Utra pars optabilior sit, iam statuere licet, et vel ignavia, vel praeclaris facinoribus declarare. Id quoque vobis cogitandum, quod arma ausi in Romanos capere, si in eorum potestatem veneritis, non faciles ac clementes experturi dominos, sed ultima quaeque passuri sitis, cum eo miseriae cumulo, ut non iniuste periisse videamini. Ergo liquet honeste casurum, quicumque vestrum hic oppetierit. Qui supererunt, si victores discedent, eos vita manet nemini mancipata, bonisque omnibus circumfluens; si victi, acerba, atque, uno verbo, spem omnem in eorum

ἐς τὸν ἐκείνων ἔλεον ἔχων. ἡ δὲ ξυμβολὴ οὐκ ἐξ ἀντιπάλου τῆς δυνάμεως ἔσται. τῷ τε γὰρ πλήθει παρὰ πολὺ ἡσσῶνται ἡμῶν οἱ πολέμιοι καὶ ὡς ἥκιστα προθυμούμενοι ἐφ᾽ ἡμᾶς ἴασιν. οὓς οἶμαι καὶ τῆσδε ἡμῖν εὔχεσθαι τῆς ἐλευθερίας μεταλαχεῖν." τοσαῦτα μὲν καὶ ὁ Στότζας εἶπεν.

Ἰόντων δὲ ἐς τὴν ξυμβολὴν τῶν στρατοπέδων πνεῦμα σκληρόν τε καὶ δεινῶς λυπηρὸν κατ᾽ ὄψιν ἐς τοὺς Στότζα στασιώτας ἐνέπεσε. διὸ δὴ ἀξύμφορον σφίσιν ᾤοντο εἶναι τὴν μάχην αὐτόθι ποιήσασθαι, δεδιότες μὴ τὸ πνεῦμα ὑπερβιαζόμενον τὰ μὲν τῶν πολεμίων βέλη ἐπὶ σφᾶς ἰθύνοι, βελῶν δὲ τῶν σφετέρων ἡ
P 275 ῥύμη ὡς μάλιστα ἀναστέλλοιτο. ἄραντες οὖν ἐγκάρσιοι ᾖεσαν, λογιζόμενοι ὡς ἢν καὶ πολέμιοι, ὡς τὸ εἰκὸς, μεταβάλλοιντο, ὅπως δὴ μὴ ὄπισθεν ὑπὸ σφῶν ἐνοχλοῖντο, κατὰ πρόσωπον αὐτοῖς τὸ πνεῦμα ἔσται. Βελισάριος δὲ, ἐπεὶ αὐτοὺς εἶδε τὴν τάξιν λιπόντας, καὶ κόσμῳ οὐδενὶ περιιόντας, αὐτίκα δὴ ἐκέλευε τῶν χειρῶν ἄρχειν. οἱ δὲ ἀμφὶ Στότζαν ἐς ταραχὴν ἐκ τοῦ ἀπροσδοκήτου καταστάντες ξὺν ἀταξίᾳ πολλῇ, ὡς ἕκαστός πη ἐδύνατο, ἐς φυγὴν ὥρμηντο, ἐς Νουμιδίαν τε ἀφικόμενοι συνελέγοντο αὖθις. ὀλίγοι μέντοι αὐτῶν ἐν τῷ πόνῳ τούτῳ ἀπέθανον, καὶ αὐτῶν οἱ πλεῖστοι Βανδίλοι ἦσαν. δίωξιν γὰρ Βελισάριος ἥκιστα ἐς αὐτοὺς ἐποιήσατο, ἐπεί οἱ, λίαν τοῦ στρατεύματος
B βραχέος ὄντος, ἱκανὸν κατεφαίνετο, εἰ σφίσιν οἱ πολέμιοι ἐν τῷ παρόντι νενικημένοι ἐκποδὼν στήσονται. τοῖς δὲ στρατιώταις

10. σφᾶς] σφὰς L hic et alibi saepissime. 17. ἐδύνατο] ἐδύνατο[a] L

misericordia positam habens. Caeterum dispar erit in praelio conditio virium. Numero nobis inferiores longe sunt adversarii, nec promptis nos animis petunt, qui, ut equidem coniicio, huius nostrae libertatis participes esse optant. Nec plura Stozas.

Ecce autem, dum utrinque ad pugnam proceditur, in factiosam Stozae aciem ex adverso ventus cooritur vehemens ac permolestus. Quarobrem se ibi praelium non facturos secundum rati, cum timerent ne violentiori flatu in se hostium tela agerentur validius, ac suorum impetus frangeretur, inde se moverunt oblique, ut, quod factum iri existimabant, si hostilis acies se converteret, impressionis aversae vitandae causa, adverso vento verberaretur. Verum Belisarius, ubi illos turbatis ordinibus ac promiscue circumagi animadvertit, praelium confestim iniri iubet. Illi inopinato impetu perculsi, pro virili quisque parte, incompositissime fugere, donec ingressi Numidiam se ibi denuo collegerunt, paucis desideratis, quorum plerique fuere Vandali. Neque enim instare voluit Belisarius, cui copiis admodum modicis instructo satis esse videbatur, hostes in praesenti victos illinc facessisse. Eorum castra, ipsius per-

ἐνδόσου τὸ χαράκωμα τῶν ἐναντίων διαρπάσασθαι, αἱροῦσί τε αὐτὸ ἔρημον ἀνδρῶν. ἐνταῦθα εὕρηνται πολλὰ μὲν χρήματα, πολλαὶ δὲ γυναῖκες; ὧν δὴ ἕνεκα ὁ πόλεμος κατέστη ὅδε. ταῦτα Βελισάριος διαπεπραγμένος ἐς Καρχηδόνα ἀπήλαυνε. καί οἵ τις ἐκ Σικελίας ἥκων ἀπήγγελλεν ὡς στάσις ἐν τῷ στρατοπέδῳ ἐπιπεσοῦσα τὰ πράγματα ἀνασοβεῖν μέλλοι, ἢν μὴ αὐτὸς κατὰ τάχος σφίσιν ἐπανήκων τὴν κωλύμην ποιήσηται. καὶ αὐτὸς μὲν τὰ ἐν Λιβύῃ ὅπη ἐδύνατο διαθέμενος καὶ Καρχηδόνα Ἰλδίγερί τε καὶ Θεοδώρῳ παραδοὺς ἐς Σικελίαν ᾔει. C

Οἱ δὲ ἐν Νουμιδίᾳ Ῥωμαίων ἄρχοντες, ἐπεὶ τοὺς ἀμφὶ Στότζαν ἥκειν τε καὶ ξυλλέγεσθαι ἐνταῦθα ἤκουσαν, παρεσκεύαζον τὰ ἐς παράταξιν, ἦσαν δὲ ἡγεμόνες φοιδεράτων μὲν Μάρκελλός τε καὶ Κύριλλος, καταλόγου δὲ ἱππικοῦ μὲν Βαρβᾶτος, πεζῶν δὲ Τερέντιός τε καὶ Σάραπις. Μαρκέλλῳ μέντοι ἐπήκοον ἅπαντες, ἅτε Νουμιδίας τὴν ἀρχὴν ἔχοντι. ὃς ἐπεὶ ἐν χωρίῳ Γαζοφύλοις, δυοῖν μάλιστα ἡμέραιν ὁδῷ Κωνσταντίνης ἀπέχοντι, Στότζαν ξὺν ὀλίγοις τισὶν ἤκουσεν εἶναι, προτερῆσαι, πρὶν τοὺς H 147 στασιώτας ἅπαντας ξυλλεγῆναι, βουλόμενος, κατὰ τάχος ἐπ' αὐτοὺς ἐπῆγε τὸ στράτευμα. ὡς δὲ τά τε στρατόπεδα ἐγγὺς ἐγεγόνει καὶ ἡ μάχη ἔμελλεν ἐν χερσὶν ἔσεσθαι, μόνος ὁ Στότζας ἐς D μέσους τοὺς ἐναντίους ἥκων ἔλεξε τοιάδε „Ἄνδρες συστρατιῶται,

1. αἱροῦσι] Vulgo αἵρουσι. 11. παρεσκεύαζον τὰ] παρεσκευάζοντο L. τὰ om. H. 13. Βαρβᾶτος] Βαρβάτος P, eodemque accentu in similibus nominibus. βαρβαῖτος L. 14. Σάραπις] ῥάραπις LHm. Conf. p. 359, 16. 20. μόνος] μόνον H. 21. συστρατιῶται] ξυστρατιῶται Lm.

missu, direptioni relicta milites occuparunt, viris quidem omnino vacua, sed acervos pecuniae repererunt ac mulierum gregem, quae belli causam huius praebuerant. His confectis, rediit Carthaginem Belisarius. Eo nuntius e Sicilia venit, nata in castris seditione, summam fore rerum conversionem, nisi ipse maturo reditu illam averteret. Itaque compositis, quoquomodo potuit, rebus Africae, et Carthagine Ildigeris ac Theodori fidei credita, in Siciliam renavigavit.

Qui vero in Numidia degebant Romani duces, ut primum Stozae copias eo confluere et coire audierunt, ad pugnam se compararunt. Foederatis Marcellus ac Cyrillus praeerant, equitatui Barbatus, peditibus Terentius et Seraphis: quanquam parebant omnes Marcello, utpote Numidiae duci: qui postquam Gazophylis, unde Constantina bidui distat, Stozam cum paucis esse accepit, in animo habens illum prius occupare, quam factiosi in unum omnes convenissent, celeriter eo duxit exercitum. In conspectu iam erant acies, atque adeo in procinctu, cum solus ad medium adversariorum agmen progressus Stozas, oratione hac usus est. *Nae vos iniuria, commilitones, propinquis ac sodalibus vestris bellum in-*

οὐ δίκαια ποιεῖτε ἐπὶ ξυγγενεῖς τε καὶ ξυντρόφους στρατεύοντες, ἐπ' ἄνδρας τε ὅπλα αἰρόμενοι, οἳ τοῖς κακοῖς τοῖς ὑμετέροις καὶ
V 413 τοῖς εἰς ὑμᾶς ἀδικήμασιν ἀχθόμενοι βασιλεῖ τε καὶ Ῥωμαίοις πολεμεῖν ἔγνωσαν. ἢ οὐ μέμνησθε ὡς ἐστέρησθε μὲν τῶν ἄνωθεν ὑμῖν ὀφειλομένων συντάξεων, ἀφῄρησθε δὲ τῶν πολεμίων τὰ λάφυρα, ἃ τῶν ἐν μάχαις κινδύνων ἆθλα ὁ τοῦ πολέμου τέθεικε νόμος; καὶ τοῖς μὲν τῆς νίκης ἀγαθοῖς ἕτεροι τρυφᾶν ἐς τὸν ἅπαντα χρόνον ἠξίουν, ὑμεῖς δὲ ἐν οἰκετῶν ἕπεσθε μοίρᾳ; εἰ μὲν οὖν ἐμοὶ χαλεπαίνετε, πάρεστιν ὑμῖν ἐς τόδε μὲν τὸ σῶμα
P 276 τῷ θυμῷ χρῆσθαι, τὸ δὲ ἐς τοὺς ἄλλους διαφυγεῖν μίασμα· εἰ δέ μοι αἰτίαν οὐδεμίαν ἐπενεγκεῖν ἔχετε, ὥρα ὑμῖν ὑπὲρ αὐτῶν ἀνελέσθαι τὰ ὅπλα.“ ὁ μὲν οὖν Στότζας τοσαῦτα εἶπεν. οἱ δὲ στρατιῶται τούς τε λόγους ἐνεδέχοντο καὶ αὐτὸν πολλῇ εὐνοίᾳ ἠσπάζοντο. κατιδόντες δὲ οἱ ἄρχοντες τὰ γινόμενα σιγῇ τε ὑπεχώρουν καὶ ἐς ἱερὸν, ὃ ἐν Γαζοφύλοις ἦν, καταφεύγουσι. Στότζας δὲ ἀμφότερα τὰ στρατεύματα ἐς ἓν ξυλλαβὼν ἐπ' αὐτοὺς ᾔει. καταλαβών τε ἐν τῷ ἱερῷ καὶ τὰ πιστὰ δοὺς ἅπαντας ἔκτεινε.

B ιϛ'. Ταῦτα ἐπεὶ βασιλεὺς ἤκουσε, Γερμανὸν τὸν ἀνεψιὸν αὐτοῦ, ἄνδρα πατρίκιον, ξὺν ὀλίγοις τισὶν ἔπεμψε. καὶ Σύμμαχος δὲ αὐτῷ καὶ Δόμνικος, ἄνδρες ἐκ βουλῆς, εἵποντο, ἅτερος μὲν ὕπαρχός τε καὶ χορηγὸς τῆς δαπάνης ἐσόμενος, Δόμνικος δὲ τῷ πεζῷ στρατῷ ἐπιστατήσων. Ἰωάννης γὰρ ἐτελεύτα

11. ὑμῖν L et Grotius, ἡμῖν P. 17. δοὺς L. διδοὺς P. 19. αὐτοῦ] αὐτοῦ P.

fertis, in eos armati, qui vestra offensi calamitate et fraudibus quas patimini, adversus Imperatorem et Romanos arma vertere decreverunt. Num obliti estis, negata vobis, quae iamdiu debentur, stipendia, ereptaque hostium spolia, quibus lex belli superata praeliorum pericula remuneratur? Alii victoriae fructibus gaudere semper volunt ac triumphare; vos in famulorum ordinem redacti sequimini. Iam si mihi succensetis, en licet in corpus hoc iram exerere, sine ullo in alium quemquam piaculo. Si nihil est, quod de me conqueramini, iam tempus est causam communem armis tueri. Haec locuto Stozae, assensi sunt milites, et salutatione summam benevolentiam significarunt. Quo viso, tacite se subducunt duces, et in Gazophylorum templum perfugiunt. Stozas utroque in unum collecto exercitu, eos insequitur, ac deprehensos in templo, contra datam fidem, omnes interficit.

16. De his certior factus Imperator Germanum, fratris sui filium, e Patriciorum ordine, cum exiguo comitatu misit. Eum Symmachus et Domnicus, senatores ambo, sequebantur; ille quidem Praefecturam et quaesturam castrensem gesturus, hic vero Magister futurus peditum: iam enim qui hoc munere fungebatur, morbo Ioannes obierat. Carthaginem

ἤδη νοσήσας, ᾧ δὴ ἐπέκειτο ἡ τιμὴ αὕτη. ἐπειδή τε ἐς Καρχηδόνα κατέπλευσαν, τούς τε παρόντας σφίσι στρατιώτας ὁ Γερμανὸς ἠρίθμει καὶ τῶν γραμματέων ἀναλεγόμενος τὰ βιβλία, οὗ πάντα ἀναγέγραπται τῶν στρατιωτῶν τὰ ὀνόματα, εὕρισκε τὸ μὲν τριτημόριον τοῦ στρατοῦ ἔν τε Καρχηδόνι καὶ ταῖς ἄλλαις πόλεσιν ὄν, τοὺς δὲ ἄλλους ἅπαντας τῷ τυράννῳ ἐπὶ Ῥωμαίους C ξυντεταγμένους. μάχης μὲν οὖν διὰ ταῦτα οὐκ ἦρχε, τοῦ δὲ στρατοπέδου ἐπεμελεῖτο ὡς μάλιστα. λογισάμενός τε ὡς τῶν πολεμίων ξυγγενεῖς, ἢ ὁμοσκήνους, τοὺς ἐν Καρχηδόνι ἀπολελειμμένους ξυμβαίνει εἶναι, ἄλλα τε πολλὰ ἐπαγωγὰ πᾶσιν ἐφθέγγετο καὶ σταλῆναι πρὸς βασιλέως ἐς Λιβύην αὐτὸς ἔφασκεν, ἐφ᾽ ᾧ ἠδικημένοις μὲν στρατιώταις ἀμυνεῖ, κολάσει δὲ τοὺς ἀδικίας τινὸς ἐς αὐτοὺς ἄρξαντας. ἅπερ οἱ στασιῶται πυνθανόμενοι κατ᾽ ὀλίγους αὐτῷ προσχωρεῖν ἤρχοντο. καὶ αὐτοὺς ὁ Γερμανὸς τῇ τε πόλει ξὺν φιλοφροσύνῃ ἐδέχετο καὶ τὰ πιστὰ δοὺς ἐν τιμῇ εἶχε, τάς τε ξυντάξεις αὐτοῖς τοῦ χρόνου ἐδίδου, καθ᾽ ὃν ἐπὶ Ῥω- D μαίους ἐν ὅπλοις ἦσαν. ἐπεὶ δὲ ὁ περὶ τούτων λόγος περιφερόμενος ἐς ἅπαντας ἦλθε, κατὰ πολλοὺς ἤδη τοῦ τυράννου ἀποτασσόμενοι ἐς Καρχηδόνα ἐσήλαυνον. καὶ τότε δὴ Γερμανὸς ἐξ ἀντιπάλου τῆς δυνάμεως ἔσεσθαί οἱ πρὸς τοὺς ἐναντίους τὴν μάχην ἐλπίσας τὰ ἐς τὴν παράταξιν ἐξηρτύετο.

Ἐν τούτῳ δὲ ὁ Στότζας τοῦ μὲν κακοῦ ἤδη αἰσθόμενος, P 277 δεδιὼς δὲ μή οἱ καὶ πλειόνων στρατιωτῶν τῇ ἀποστάσει ἔτι μᾶλ-

12. ἀμυνεῖ] Vulgo ἀμύνει. 16. ξυντάξεις] συντάξεις L.

cum appulissent, milites, qui tum aderant, Germanus recensuit. Lectis deinde scribarum codicibus, in quos omnia relata erant militum nomina, nonnisi tertiam copiarum partem Carthagine et in aliis urbibus restare comperit, caeteros tyranno in Romanos militare. Ea de causa dilato praelio, curam exercitui reficiendo impendit. Ubi vero residuos Carthagine milites partim propinquos, partim contubernales hostium esse intellexit, cum alia multa ipsis blandimenta dedit, tum id quoque dixit, se ab Augusto missum in Africam, ut oppressis militibus afferret opem, eorumque oppressoribus poenas imponeret. Qua de re moniti factiosi, dilabi paulatim, seque ad eius ductum applicare coeperunt. Quibus et in urbem benevole, et in fidem honorifice acceptis, stipendia vel illius temporis, quo arma in Romanos tulerant, Germanus numeravit. Id postquam nuntiavit omnibus fama quoquoversum dispersa, turmatim a tyranno desciscentes, Carthaginem properabant. Tum Germanus aequis viribus pugnaturum se sperans, quae ad praelium opus erant, expediit.

Interea Stozas, malo cognito, veritus ne maiori suorum defectione magis imminueretur exercitus, ferro experiri quamprimum, et praecipi-

λον τὸ στράτευμα ἐλασσοῦσθαι ξυμβαίη, διακινδυνεύειν τε ἐν τῷ παραυτίκα ἠπείγετο καὶ τοῦ πολέμου ὀξύτερον ἀντιλαμβάνεσθαι. καὶ ἦν γάρ τις αὐτῷ ἐκ τῶν ἐν Καρχηδόνι στρατιωτῶν ἐλπὶς ἀποστάσεως πέρι, ᾤετό τε αὐτούς, ἤν που σφίσιν ἄγχιστα γένηται, πόνῳ οὐδενὶ αὐτομολήσειν, ἐς πάντας τὴν ἐλπίδα ἐξενεγκών· ταύτῃ τε αὐτοὺς μάλιστα ἐπιρρώσας παντὶ τῷ στρατῷ κατὰ τάχος ἐπὶ Καρχηδόνα ᾔει. γενόμενός τε αὐτῆς ἄπο σταδίων πέντε καὶ τριάκοντα, ἐστρατοπεδεύσατο τῆς θαλάσσης οὐ μακρὰν
B *ἄποθεν, καὶ Γερμανὸς ἅπαν ἐξοπλίσας τὸ στράτευμα διατάξας ὡς ἐς μάχην ἐξῆγε. καὶ ἐπεὶ τῆς πόλεως ἔξω ἐγένοντο, ἠκηκόει γὰρ ὅσα ἐν ἐλπίδι ὁ Στότζας εἶχε, συγκαλέσας ἅπαντας ἔλεξε*
H 148 *τοιάδε „Ὡς μὲν οὐδὲν ἂν δικαίως, ὦ ξυστρατιῶται, βασιλεῖ μέμψεσθε οὐδέ τι αἰτιάσεσθε τῶν ἐς ὑμᾶς αὐτῷ πεπραγμένων,*
V 414 *οὐδεὶς ἄν, οἶμαι, τῶν πάντων ἀντείποι· ὅς γε ὑμᾶς ἐξ ἀγροῦ ἥκοντας σύν τε τῇ πήρᾳ καὶ χιτωνίσκῳ ἑνὶ ξυναγαγὼν ἐς Βυζάντιον τηλικούσδε εἶναι πεποίηκεν ὥστε τὰ Ῥωμαίων πράγματα νῦν ἐφ᾽ ὑμῖν κεῖσθαι. ὡς δὲ οὐ περιυβρίσθαι μόνον, ἀλλὰ καὶ τὰ πάντων δεινότατα παρ᾽ ὑμῶν αὐτῶν πεπονθέναι τετύχηκε, ξυνεπίστασθε*
C *καὶ ὑμεῖς δήπουθεν. ὧν δὴ τὴν μνήμην ὑμῖν ἐς ἀεὶ βουλόμενος διασώζεσθαι τὰς τῶν ἐγκλημάτων αἰτίας ἀφῆκεν, ὄφλημα τοῦτό γε αὐτῷ μόνον ὀφείλεσθαι παρ᾽ ὑμῶν ἀξιῶν, τὴν ὑπὲρ τῶν πεπραγμένων αἰσχύνην. ταύτῃ τοίνυν ἡγμένους ὑμᾶς*

1. *ξυμβαίη* L. *ξυμβαίνῃ* P. 4. *πέρι*] *περὶ* L. 7. *ἄπο*] *ἀπὸ* HL. *ἄπω* Hoeschelius in annot. 13. *μέμψεσθε*] *μέμψησθε* P. ibid. *ὑμᾶς*] *ἡμᾶς* HL: illud Hoeschelius in annot. 17. *περιυβρίσθαι*] *περιυβρίζεσθαι* LHm.

tantem belli occasionem arripere contendebat. Spem enim habebat aliquam, fore ut milites, qui Carthagine erant, deficerent, ac si propius accederet, eos facile ad se transituros putabat. Qua spe in vulgus prolata, cum suorum animos firmasset, omnibus succinctus copiis Carthaginem advolavit, nec procul a mari, in loco, qui stadiis xxxv. ab urbe distat, metatus est. Germanus milites arma iussit omnes induere, instructosque ad pugnam eduxit. Et quoniam quae Stozae spes esset audierat, extra urbem pro concione sic verba fecit. *Id omnes mihi, ut equidem arbitror, assentientur, nihil esse, quod iure de Imperatore queramini, commilitones, neque eorum quidquam, quae vobis fecit, expostulationem mereri. Vos ille ex agro cum pera tuniculaque una profectos Byzantii collegit, eoque provexit, ut rem Romanam in vestris modo manibus habeatis. Ipsi autem conscii vobis estis, vos pro his contumelias et gravissimas quasque iniurias rependisse Augusto: quarum semper memores non alia vos ratione vult facere, quam venia admissorum; nihil a vobis exigens, nisi conceptum ex his pudorem: quo, ut decet, impulsi vos ad officia fidei referatis, et pristinam ingrati animi culpam emende-*

μεταμανθάνειν τε τὴν πίστιν εἰκὸς καὶ τὴν πρόσθεν ἀγνωμοσύνην
ἐπανορθοῦν. μετάμελος γὰρ ἐν δέοντι τοῖς ἐπταικόσιν ἐπιγιγνό-
μενος συγγνώμονας αὐτοῖς τοὺς ἠδικημένους ποιεῖν εἴωθεν,
ὑπουργία τε εἰς καιρὸν ἐλθοῦσα τὸ τῶν ἀχαρίστων ὄνομα μετα-
βάλλειν φιλεῖ. εὖ δὲ ὑμᾶς δεήσει κἀκεῖνο εἰδέναι, ὡς, ἢν ἐν
τῷ παρόντι εὖνοι μάλιστα βασιλεῖ γένησθε, οὐδεμία τοῖς προ-
λαβοῦσι λελείψεται μνήμη. πᾶσα γὰρ πρᾶξις πέφυκεν ἀεὶ τοῖς D
ἀνθρώποις ἐκ τῆς καταστροφῆς ὀνομάζεσθαι· ἁμάρτημά τε γε-
γονὸς ἅπαξ ἀποίητον μὲν οὐδ' ἂν ἐν χρόνῳ τῷ παντὶ γένοιτο,
ἐπανορθωθὲν δὲ πράξεσι τῶν αὐτὸ εἰργασμένων ἀμείνοσιν εὐπρε-
ποῦς τε τῆς σιωπῆς ἐπιτυγχάνει καὶ ἐς λήθην ὡς τὰ πολλὰ περιί-
σταται. καίτοι, ἢν μὲν ὀλιγωρίᾳ τινὶ ἐς τούτους δὴ τοὺς κατα-
ράτους τὰ νῦν χρήσησθε, ὕστερον δὲ πολλοὺς πολέμους ὑπὲρ
Ῥωμαίων ἀγωνιζόμενοι τὸ κατὰ τῶν πολεμίων πολλάκις ἀναδή-
σησθε κράτος, οὐκ ἂν ἔτι ὁμοίως ἀνθυπουργηκέναι βασιλεῖ δό-
ξαιτε. οἱ γὰρ ἐν αὐτοῖς εὐδοκιμοῦντες οἷς ἥμαρτον εὐπρεπεστέ-
ραν τὴν ἀπολογίαν ἐς ἀεὶ φέρονται. τὰ μὲν οὖν ἐς βασιλέα ταύ-
τῃ πῃ λογιζέσθω ὑμῶν ἕκαστος. ἐγὼ δὲ οὔτε ἀδικίας τινὸς εἰς
ὑμᾶς ἄρξας, ἐνδειξάμενός τε πάσῃ δυνάμει τὴν εἰς ὑμᾶς εὔνοιαν,
καὶ τανῦν καθιστάμενος ἐς κίνδυνον τόνδε, τοσοῦτον αἰτεῖσθαι P 278
ἅπαντας ἔγνωκα· μηδεὶς ξὺν ἡμῖν ἐπὶ τοὺς πολεμίους παρὰ γνώ-
μην χωρείτω. ἀλλ' εἴ τῳ ὑμῶν ἐκείνοις ἤδη βουλομένῳ ἐστὶ ξυν-
τάττεσθαι, μηδὲν μελλήσας ξὺν τοῖς ὅπλοις ἐπὶ τὸ τῶν ἐναντίων

15. δόξαιτε L. δόξετε P.

tia. Offensos mitigat, eorumque indulgentiam sontibus promeretur in loca edita poenitentia, et obsequii tempestivi ea vis est, ut turpe ingrati nomen honesto mutet. Vobis certe nullus dubitandi locus relinquitur, quin, si impense vos Augusto studere modo constiterit, praeterita culpa sempiternae oblivioni mandetur. Acta quaevis consentaneum exitui suo nomen apud homines nancisci solent. Infectum quidem fieri nequit, quod male semel factum est; id tamen si auctores melioribus factis pensaverint, honesto silentio tegitur, et plerumque oblivione conteritur voluntaria. Quod si iam adversus illam execrabilem turbam lente vos ac remisse geratis, atque alia deinde multa pro Romanis praelia facientes, multas victorias reportetis, non pari fide navasse Augusto operam videbimini. Illi certe se purgant melius, qui in eo ipso praeclare agunt, in quo ante peccaverant. Et ea quidem, quae ad Imperatorem spectant, ita quisque vestrum consideret. Ego vero, cum adeo non ulla vos iniuria lacessiverim, ut benevolentiam potius in vos meam omni ope probarim, iam acie dimicaturus, ab omnibus unum hoc petere statui, ut nemo invitus nobiscum hostem invadat; at si quis vestrum stare ab eo vult, sine mora cum armis ad castra adversa transeat, id solum nobis grati-

στρατόπεδον ἴτω, τοῦτο μόνον ἡμῖν χαριζόμενος, ὅτι οὐ λάθρα ἡμᾶς, ἀλλ' ἐκ τοῦ ἐμφανοῦς ἀδικεῖν ἔγνω. τούτου γὰρ ἕνεκα οὐκ ἐν Καρχηδόνι, ἀλλ' ἐν μεταιχμίῳ γενόμενος τοὺς λόγους ποιοῦμαι, ὅπως ἂν μηδενὶ αὐτομολεῖν ἐς τοὺς ἐναντίους ἐθέλοντι ἐμπόδιος εἴην, παρὸν ἅπασι κινδύνου ἐκτὸς τὴν ἐς τὴν πολιτείαν
B ἐνδείκνυσθαι γνώμην." Γερμανὸς μὲν τοσαῦτα εἶπε. ταραχὴ δὲ πολλὴ ἐν τῷ Ῥωμαίων στρατῷ γέγονεν, ἐπεὶ πρῶτος ἠξίου αὐτὸς ἕκαστος εὔνοιάν τε τὴν ἐς βασιλέα τῷ στρατηγῷ ἐπιδείξασθαι καὶ ὅρκους δεινοτάτους ὑπὲρ τούτων ὀμεῖσθαι.

ιζ. Χρόνον μὲν οὖν τινα ἑκάτεροι ἀλλήλοις ἀντικαθήμενοι ἔμενον. μετὰ δὲ οἱ στασιῶται οὐδὲν σφίσι παραχωροῦν ἐνορῶν-
C τες ὧν προὔλεγε Στότζας, ἔδεισάν τε, ἅτε τῆς ἐλπίδος παρὰ δόξαν ψευσθέντες, καὶ τὴν τάξιν διαλύσαντες ἀνεχώρησαν, ἔς τε Νουμίδας ἀπήλαυνον, οὗ δὴ αὐτοῖς αἵ τε γυναῖκες καὶ τῆς λείας χρήματα ἦσαν. ἔνθα καὶ ὁ Γερμανὸς παντὶ τῷ στρατῷ οὐκ ἐς μακρὰν ἦλθε, τά τε ἄλλα παρασκευασάμενος ὡς ἄριστα καὶ ἁμάξας πολλὰς τῷ στρατοπέδῳ ἐπαγόμενος. καταλαβών τε τοὺς ἐναντίους ἐν χωρίῳ, ὃ δὴ Καλλασβάταρας καλοῦσι Ῥωμαῖοι, τὰ ἐς τὴν παράταξιν ἐξηρτύετο τρόπῳ τοιῷδε. τὰς ἁμάξας μετωπηδὸν στήσας πεζοὺς πάντας κατ' αὐτὰς ἔταξεν, ὧν Δόμνικος ἦρχεν, ὅπως τὰ νῶτα ἐν τῷ ἀσφαλεῖ ἔχοντες θαρσήσουσι μᾶλλον. τῶν δὲ ἱππέων ἄνδρας τε ἀρίστους καὶ τοὺς ἐκ
D Βυζαντίου σὺν αὐτῷ ἥκοντας αὐτὸς ἐν ἀριστερᾷ τῶν πεζῶν εἶχε,

5. τὴν πολιτείαν L. τὴν om. P. 18. Καλλασβάταρας] καλλαβατάρας L: in margine Scaliger σκάλας βέτερες. *Calabastores* RV.

ficans, ut non occulte, sed palam iniuriam inferre velit. Idcirco enim vos in medio campo, non intra Carthaginis muros alloquor, ne cuiquam transfugium meditanti impedimentum afferam, sed cunctis potestas sit, suum in Remp. animum tuto declarandi. Hanc Germani orationem consecuta est magna Romani exercitus tumultuatio, cum quisque duci egregiam in Augustum voluntatem vel sacramento gravissimo testari prius eniteretur.

17. Cum e regione positi exercitus gemini aliquandiu stetissent, nec Stozae verbis exitum accedere cernerent factiosi, illos praeter opinionem spe lapsos timor invasit, solutaque acie in Numidiam retraxit, ubi coniuges et collectam ex praeda pecuniam reliquerant. Eodem paulo post Germanus cum omnibus copiis sese contulit, praeter caetera, quibus optime instructus erat, ingentem plaustrorum vim secum agens. Hostem assecutus ad Scalas veteres, ut Romani vocant, aciem ita disposuit. Obiectis hosti carrorum frontibus, peditatum omnem, cui Domnicus praeerat, ad illud munimentum locavit, ut a tergo tuti rem gererent animosius. A laeva peditatus stetit ipse cum lectissimis equitum, et qui Byzantio cum eo venerant: caeteros in cornu dextero, non in unum co-

τοὺς δὲ ἄλλους ἅπαντας ἐς κέρας τὸ δεξιὸν οὐ ξυντεταγμένους,
ἀλλὰ κατὰ λόχους τρεῖς μάλιστα ἔστησε. καὶ αὐτῶν Ἰλδίγερ μὲν
ἑνὸς ἡγεῖτο, ἑτέρου δὲ Θεόδωρος ὁ Καππαδόκης, τοῦ δὲ λειπο- V 415
μένου, μείζονος ὄντος, Ἰωάννης ὁ Πάππου ἀδελφὸς τέταρτος
αὐτός. οὕτω μὲν Ῥωμαῖοι ἐτάξαντο. οἱ δὲ στασιῶται ἀντί-
ξοοι μὲν αὐτοῖς ἔστησαν, οὐκ ἐν κόσμῳ μέντοι ταξάμενοι, ἀλλὰ H 149
βαρβαρικώτερον ἐσκεδασμένοι. εἵποντο δὲ αὐτοῖς οὐ μακρὰν
ἄποθεν Μαυρουσίων μυριάδες πολλαί, ὧν ἄλλοι τε πολλοὶ καὶ
Ἰάβδας καὶ Ὀρταΐας ἦρχον, οὐ μέντοι ἅπαντες πιστοὶ τοῖς ἀμφὶ
τὸν Στότζαν ἐτύγχανον ὄντες, ἀλλὰ πολλοὶ παρὰ Γερμανὸν πέμ-
ποντες πρότερον ὡμολόγουν, ἐπειδὰν ἐν τῷ ἔργῳ γένωνται ξὺν P 279
τῷ βασιλέως στρατῷ, ἐπὶ τοὺς πολεμίους τετάξεσθαι. οὐ μὴν
αὐτοῖς πιστεύειν παντάπασιν ὁ Γερμανὸς εἶχεν, ἐπεὶ ἄπιστον φύ-
σει τὸ Μαυρουσίων γένος ἐστὶν ἐς πάντας ἀνθρώπους. διὸ δὴ
οὐδὲ ξὺν τοῖς στασιώταις ἐτάξαντο, ἀλλ' ὄπισθεν ἔμενον, καρα-
δοκοῦντες τὸ ἐσόμενον, ὅπως ξὺν τοῖς νικήσασι καὶ αὐτοὶ τὴν
δίωξιν ἐπὶ τοὺς ἡσσωμένους ποιήσωνται. Μαυρούσιοι μὲν τοιαύ-
τῃ γνώμῃ οὐκ ἀναμιγνύμενοι τοῖς στασιώταις ὄπισθεν εἵποντο.
Στότζας δὲ ἄγχιστά πῃ τῶν πολεμίων γενόμενος, ἐπειδὴ σημεῖον
τὸ Γερμανοῦ εἶδε, τοῖς παροῦσιν ἐγκελευσάμενος ἐπ' αὐτὸν ᾔει.
Ἔρουλοι δέ, ὅσοι στασιῶται ἀμφ' αὐτὸν τεταγμένοι ἐτύγχανον,
οὐδὲ εἵποντο, ἀλλὰ καὶ παντὶ σθένει ἐκώλυον, φάσκοντες οὐκ
εἰδέναι μὲν τὴν Γερμανοῦ δύναμιν, ὁποία ποτέ ἐστιν, ἐξεπί- B

4. τέταρτος αὐτός add. AH: om. P. Solum τέταρτος L: unde αὐτός uncis inclusum in H. 9. Ἰάβδας] Ἰαύδας LHm. 11. ξὺν L. σὺν P. 12. τετάξεσθαι] τετάξασθαι HL. 17. τοιαύτῃ L. τῇ αὐτῇ P.

actos, sed in tria divisos agmina, statuit: quorum primum Ildiger, alterum Theodorus Cappadox; postremum, quod maius erat, Ioannes Pappi frater ducebat. Aciei Romanae ita instructae oppositi stabant factiosi, non locati ex ordine, sed more barbaro sparsi. Nec longe aberant multae Maurorum myriades, quibus, ut sileam complures alios, Iabdas atque Ortaias imperabant. Neque omnes pactam Stozae fidem servabant: iam enim multi per internuntios Germano promiserant, ubi praelium cum Caesarianis initum esset, staturos se contra hostem. His Germanus ut prorsus crederet, adduci non poterat, ob ingenitam Mauris in omnes perfidiam. Quamobrem seorsum post rebellium aciem constitere, exitum opperientes, ut victos cum victoribus insequerentur. Ac Mauris quidem de communi sententia constitutum erat, ut factiosos separate praeire sinerent. Stozas vero iam hosti proximus, simul Germani vexillum vidit, astantes hortatus, contra ire instituit. Qui circa illum aderant factionis participes Eruli, adeo non secuti sunt, ut totis viribus retinuerint, monentes, nescire ipsum, quantum Germanus polle-

στασθαι μέντοι ὡς οὐδαμοῦ σφίσιν ἀνθέξουσιν ὅσοι ἐς κέρας τὸ δεξιὸν τῶν πολεμίων ἐτάξαντο. ἢν μὲν οὖν ἐπ᾽ ἐκείνους χωρήσειεν, αὐτοί τε οὐχ ὑποστάντες ἐς φυγὴν τρέψονται καὶ τὸ ἄλλο στράτευμα, ὡς τὸ εἰκὸς, ξυνταράξουσιν· ἢν δέ γε σφᾶς ἀπωσάμενος Γερμανὸς τρέψηται, ἅπαντα σφίσι διαφθαρήσεται αὐτίκα δὴ μάλα τὰ πράγματα. τούτοις ὁ Στότζας ἀναπεισθεὶς τοὺς μὲν ἄλλους τοῖς ἀμφὶ Γερμανὸν μάχεσθαι εἴασεν, αὐτὸς δὲ ξὺν τοῖς ἀρίστοις ἐπί τε Ἰωάννην καὶ τοὺς ξὺν αὐτῷ τεταγμένους ᾔει. οἱ δὲ οὐχ ὑποστάντες κόσμῳ οὐδενὶ ἐς φυγὴν ὥρμηντο. οἵ τε στασιῶται πάντα μὲν αὐτῶν τὰ σημεῖα εὐθὺς ἔλαβον, φεύγοντας
C δὲ ἀνὰ κράτος ἐδίωκον, τινὲς δὲ καὶ ἐπὶ τοὺς πεζοὺς ἤλαυνον, ἤδη τε τὴν τάξιν ἐκλιπεῖν οἱ πεζοὶ ἤρξαντο. ἐν τούτῳ δὲ Γερμανὸς αὐτός τε τὸ ξίφος σπασάμενος καὶ ἅπαν τὸ ταύτῃ στράτευμα ἐς τοῦτο ὁρμήσας, πόνῳ τε πολλῷ τοὺς κατ᾽ αὐτὸν στασιώτας ἐτρέψατο καὶ δρόμῳ ἐπὶ τὸν Στότζαν ἐχώρησε. τούτου δέ οἱ ἐνταῦθα τοῦ ἔργου καὶ τῶν ἀμφὶ Ἰλδίγερά τε καὶ Θεόδωρον ξυναραμένων, οὕτως ἀλλήλοις ἑκάτεροι ἀνεμίγνυντο, ὥστε διώκοντες οἱ στασιῶται τῶν τινας πολεμίων ὑφ᾽ ἑτέρων καταλαμβανόμενοι ἔθνησκον. τῆς τε ξυγχύσεως ἐπὶ μέγα χωρούσης οἱ μὲν ἀμφὶ Γερμανὸν, ἔτι ὄπισθεν ἰόντες, ἔτι μᾶλλον ἐνέκειντο, οἱ δὲ στασιῶται ἐς πολὺ δέος ἐμπεπτωκότες οὐκέτι ἐς ἀλκὴν ἔβλεπον.
D ἔνδηλοι μέντοι οὐδέτεροι οὔτε σφίσιν αὐτοῖς οὔτε ἀλλήλοις ἐγίνοντο. μιᾷ τε γὰρ φωνῇ καὶ τῇ αὐτῇ τῶν ὅπλων σκευῇ οἱ πάν-

7. τοῖς] τοὺς HL. 10. τὰ σημεῖα L. τὰ om. P. ibid. φεύγοντας] φεύγοντες L. 19. ξυγχύσεως L. συγχύσεως P.

ret; pro certo se habere dextrum hostium cornu minime restiturum: eo si impetus fieret, inclinatum statim iri in fugam; inde procul dubio orituram caeterorum perturbationem: sin ipsi a Germano repulsi terga vertere cogerentur, momento res suas omnes funditus perituras. His Stozas evictus, certamen cum Germano alios inire iussit: ipse cum suorum flore Ioannem, eosque, qui cum ipso erant, adortus est. Illi impressione fracti, terga promiscue vertere: factiosi instare fugacibus, vexillis eorum omnibus statim potiti. Quidam etiam in peditatum invecti, iam eius ordines rumpebant, cum Germanus stricto gladio omnes cornu sui turmas compellens, obiectum sibi rebellium agmen labore multo disiecit, ac subinde in Stozam incurrit. Tum rem coniuncte aggressis Ildigere ac Theodoro, utrique ita se miscuere, ut, dum quosdam seditiosi insequerentur, ab aliis comprehensi, occubuerint. Cumque magis ac magis permiscerent sese, et implicarent, acrius a tergo Germanus premebat, sic, ut iam hostis gravi metu correptus, non se intenderet ad firmitatem. Nemo suos ab adversariis internoscebat, quod una omnes lingua, iisdemque armis uterentur, indiscreta etiam specie, habitu, caeterisque similes

τες ἐχρῶντο, οὔτε μορφῇ τινι οὔτε σχήματι οὔτε ἄλλῳ ὁτῳοῦν διαλλάσσοντες. διὸ δὴ Γερμανοῦ γνώμῃ οἱ τοῦ βασιλέως στρατοῦ, ὅτου ἂν λάβοιντο, ἐπυνθάνοντο ὅστις ποτὲ εἴη· ἔπειτα, ἤν τις Γερμανοῦ στρατιώτης φήσειεν εἶναι, οὐκοῦν τὸ Γερμανοῦ ξύμβολον ἐκέλευον λέγειν, τοῦτο δὲ εἰπεῖν οὐδαμῇ ἔχοντα εὐθὺς ἔκτεινον. ἐν τούτῳ τῷ πόνῳ τὸν Γερμανοῦ ἵππον τῶν τις πολεμίων λαθὼν ἔκτεινεν, αὐτός τε ὁ Γερμανὸς ἐς τὸ ἔδαφος ἐκπεσὼν ἐς κίνδυνον ἦλθεν, εἰ μὴ κατὰ τάχος οἱ δορυφόροι ἐσώσαντο, φραξάμενοί τε αὐτὸν καὶ ἀναβιβάσαντες ἐφ' ἕτερον ἵππον. P 280

Ὁ μὲν οὖν Στότζας ἐν τῷ θορύβῳ τούτῳ ξὺν ὀλίγοις τισὶ διαφυγεῖν ἴσχυσε. Γερμανὸς δὲ τοῖς ἀμφ' αὐτὸν ἐγκελευσάμενος εὐθὺ τοῦ πολεμίων στρατοπέδου ἐχώρησεν. ἐνταῦθά οἱ τῶν στασιωτῶν ὑπηντίαζον ὅσοι τοῦ χαρακώματος ἐπὶ τῇ φυλακῇ ἐτετάχατο. μάχης τε ἀμφὶ τὴν αὐτοῦ εἴσοδον καρτερᾶς γενομένης παρ' ὀλίγον μὲν οἱ στασιῶται ἦλθον τοὺς ἐναντίους ἀπώσασθαι, πέμψας δὲ ὁ Γερμανὸς τῶν οἱ ἑπομένων τινὰς κατ' ἄλλην ἀποπειρᾶσθαι χώραν τοῦ στρατοπέδου ἐκέλευεν. οἳ δὴ οὐδενὸς ταύτῃ ἀμυνομένου ἐντὸς τοῦ χαρακώματος ξὺν βραχεῖ πόνῳ ἐγένοντο. B οἵ τε στασιῶται κατιδόντες αὐτοὺς ἐς φυγὴν ὥρμηντο, καὶ Γερμανὸς παντὶ τῷ ἄλλῳ στρατῷ ἐπεπήδησεν ἐς τὸ τῶν πολεμίων V 416 στρατόπεδον. ἐνταῦθα τὰ χρήματα οἱ στρατιῶται οὐδενὶ πόνῳ ἁρπάζοντες οὔτε τοὺς ἐναντίους ἐν λόγῳ ἐποιοῦντό τινι H 150 οὔτε τοῦ στρατηγοῦ ἐγκελευομένου ἔτι κατήκουον, παρόντων χρη-

1. οὔτε — οὔτε — οὔτε] οὐδὲ — οὐδὲ — οὐδὲ P. 11. αὐτὸν] αὑτὸν P. 12. ἐχώρησεν] ἐχώρησαν P. 22. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 23. τοῦ στρατηγοῦ L. Aberat τοῦ.

essent. Quapropter, auctore Germano, quemcunque Caesariani caperent, quis esset interrogabant. Si quis Germani se militem diceret, Germani tesseram proferre iubebant; si nesciret, illico mactabant. Tum hostium quidam furtivo ictu confecit equum Germani; qui collapsus in periculum venisset, nisi protectores ocius circumfusi ipsum servassent, armis vallando et in alterum tollendo equum.

In eo tumultu Stozas effugium nactus, cum paucis sese proripuit. Germanus suos verbis excitans, recta ad hostium castra contendit. Hic, effusis obviam cunctis valli custodibus, acriter pro aditu pugnatum est, nec propius quidquam factum, quam ut oppugnatores a rebellibus propellerentur. Germanus autem eorum manum, quos habebat secum, submisit, iussitque alia parte castra tentare. Illi in vallum qua defensoribus nudum erat, continuo penetrarunt: quos ut viderunt seditiosi, protinus se in pedes dederunt, ac Germanus cum omni exercitu castra intravit. Ibi milites praedam facilem nacti, dum eam raperent, nec de hostibus laborabant, nec ducis hortamenta exaudiebant; pecuniae praesentia capti.

μάτων. διὸ δὴ ὁ Γερμανὸς, δείσας μὴ ξυμφρονήσαντες οἱ πο-
λέμιοι ἐπ' αὐτοὺς ἴωσιν, αὐτὸς ξὺν ὀλίγοις τισὶν ἐς τοῦ χαρακώ-
ματος τὴν εἴσοδον ἔστη, πολλά τε ὀλοφυρόμενος καὶ τοὺς οὐδὲν
C ἐπαΐοντας ἐς εὐκοσμίαν παρακαλῶν. τῶν δὲ Μαυρουσίων πολλοὶ
τῆς τροπῆς οὕτω γεγενημένης τούς τε στασιώτας ἐδίωκον ἤδη καὶ
ξὺν τῷ βασιλέως στρατῷ σφᾶς αὐτοὺς τάξαντες ἐληΐζοντο τὸ τῶν
ἡσσημένων στρατόπεδον. Στότζας δὲ, κατ' ἀρχὰς μὲν ἐπὶ τῷ
τῶν Μαυρουσίων στρατῷ τὸ θαρσεῖν ἔχων, ὡς ἀναμαχούμενος
παρ' αὐτοὺς ἤλαυνεν. αἰσθόμενος δὲ τῶν ποιουμένων, ξὺν
ἑκατὸν ἀνδράσι διαφυγεῖν μόλις ἴσχυσεν. αὖθις δὲ ἀμφ' αὐτὸν
πολλοὶ ξυλλεγέντες ἐνεχείρησαν μὲν τοῖς ἐναντίοις ἐς χεῖρας ἐλ-
θεῖν, ἀποκρουσθέντες δὲ οὐδέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον,
Γερμανῷ ἅπαντες προσεχώρησαν. μόνος τε ὁ Στότζας σὺν Βαν-
δίλοις ὀλίγοις τισὶν ἐς Μαυριτανοὺς ἀνεχώρησε, καὶ παῖδα τῶν
D τινος ἀρχόντων γυναῖκα λαβὼν αὐτοῦ ἔμεινε. καὶ ἡ μὲν στάσις
ἐς τοῦτο ἐτελεύτα.

ιη'. Ἦν δέ τις ἐν τοῖς Θεοδώρου τοῦ Καππαδόκου δορυ-
φόροις Μαξιμῖνος ὄνομα, πονηρὸς μάλιστα. οὗτος ὁ Μαξιμῖ-
νος, τῶν στρατιωτῶν πλείστους διομοσαμένους ἐπὶ τῇ πολιτείᾳ
ξὺν αὐτῷ ἔχων, τυραννίδι ἐπιθέσθαι διενοεῖτο. ἔτι δὲ πλείους
ἑταιρίζεσθαι ἐν σπουδῇ ἔχων ἄλλοις τε τὸ βούλευμα φράζει καὶ
P 281 Ἀσκληπιάδῃ, ὁρμωμένῳ μὲν ἐκ Παλαιστίνης, εὖ δὲ γεγονότι
καὶ πρώτῳ τῶν Θεοδώρου ἐπιτηδείων. ὁ γοῦν Ἀσκληπιάδης Θεο-

20. αὐτῷ] αὐτῷ P. 23. Θεοδώρου] Θεοδώρῳ HL. Is. Θεοδώ-
ρου Hm.

Quare metuens Germanus, ne hostes, collectis animis viribusque eos invaderent, cum paucis in valli aditu stabat, quiritans, et ad disciplinam adhortans surdos. Nunc tandem Mauri magno numero coepere persequi factiosos in fugam actos, iunctique Caesarianis expugnata castra diripuerunt. Ac prius quidem Stozas Maurorum copiis fidens, eo fugam intendit, ut ipsis fretus praelium redintegraret: ubi vero quo se modo gererent animadvertit, vix illi cum viris centum evadendi facultas fuit. Coacti denuo circa ipsum sat multi, restituere pugnam aggressi sunt, sed nihilo segnius, immo vero ardentius repulsi, omnes in Germani fidem venerunt. Sic demum Stozas a Romanis plane derelictus, cum Vandalis aliquot concessit in Mauritaniam: ubi, ducta in matrimonium cuiusdam principis filia, habitavit. Seditionis hic fuit exitus.

18. Inter Theodori Cappadocis stipatores quidam erat, maxime improbus, nomine Maximinus. Hic militum quamplurimorum, qui in Remp. coniuraverant praesidio nixus, tyrannidem affectabat. Cumque adhuc plures sibi adiungere studeret, consilii sui cum alios participes fecit, tum Asclepiadem, virum in Palaestina claris ortum natalibus, ac principem familiarium Theodori. Germano molitionem plane indicat Asclepiades,

Θεοδώρῳ κοινολογησάμενος τὸν πάντα λόγον εὐθὺς Γερμανῷ εἰσαγγέλλει. καὶ ὅς, οὐκ ἐθέλων ἔτι οἱ τῶν πραγμάτων ᾐωρημένων ἑτέρας τινὸς ταραχῆς ἄρξαι, θωπείᾳ μᾶλλον τὸν ἄνθρωπόν τινι ἢ τιμωρίᾳ περιελθεῖν ἔγνω καὶ ὅρκοις αὐτὸν καταλαβεῖν τῆς ἐς τὴν πολιτείαν εὐνοίας. ἦν τοίνυν εἰθισμένον ἅπασι Ῥωμαίοις ἐκ παλαιοῦ μηδένα δορυφόρον τῶν τινος ἀρχόντων καθίστασθαι, ἢν μὴ δεινοτάτους πρότερον ὅρκους παρεχόμενος τὰ πιστὰ δοίη τῆς ἐς αὐτόν τε καὶ τὸν βασιλέα Ῥωμαίων εὐνοίας. μεταπεμψάμενος B
οὖν τὸν Μαξιμῖνον τῆς τε εὐτολμίας αὐτὸν ἐπῄνει καὶ δορυφορεῖν τὸ λοιπόν οἱ ἐπέστελλεν. ὁ δὲ περιχαρὴς γεγονὼς τῷ ὑπερβάλλοντι τῆς τιμῆς, ταύτῃ τε ῥᾷον αὐτῷ τὴν ἐπίθεσιν προχωρήσειν ὑποτοπάζων, τόν τε ὅρκον ὑπέστη καὶ τὸ λοιπὸν ἐν τοῖς Γερμανοῦ δορυφόροις ταττόμενος τά τε ὀμωμοσμένα εὐθὺς ἀλογεῖν ἠξίου καὶ τὰ ἐς τὴν τυραννίδα πολλῷ ἔτι μᾶλλον κρατύνεσθαι. ἡ μὲν οὖν πόλις ἑορτήν τινα πανδημεὶ ἦγε, πολλοὶ δὲ τῶν Μαξιμίνου στασιωτῶν ἀμφὶ τὸν τοῦ ἀρίστου καιρὸν ἐς παλάτιον κατὰ τὰ σφίσι ξυγκείμενα ἧκον. οὗ δὴ ὁ μὲν Γερμανὸς τοὺς ἐπιτηδείους εἱστία, παρειστήκει δὲ τῇ θοίνῃ ξὺν τοῖς ἄλλοις δορυφόροις C
ὁ Μαξιμῖνος. προϊόντος δὲ τοῦ πότου, εἰσελθών τις Γερμανῷ ἀπαγγέλλει στρατιώτας πολλοὺς κόσμῳ οὐδενὶ πρὸ τῆς αὐλείου θύρας ἑστῶτας αἰτιᾶσθαι ξυντάξεις πολλοῦ χρόνου τὸ δημόσιον σφίσιν ὀφείλειν. καὶ ὃς τῶν δορυφόρων τοὺς πιστοτάτους ἐκέ-

6. δορυφόρον] δορυφόρων AL. 9. οὖν om. HL: addit Hoeschelius in annot. 17. ξυγκείμενα] συγκείμενα L. 21. ξυντάξεις] συντάξεις L.

prius cum Theodoro communicatam. At quoniam res Africae pendebant adhuc in dubio, Germanus, ut novo motui praecluderet aditum, blanditiis potius hominem, quam poena, in officio continere, et Reip. sacramento devincire constituit. Est hoc in veteri more positum apud Romanos, ut nemo Praefecti cuiusquam satellitio prius ascribatur, quam sui in ipsum atque Imperatorem studii fidem fecerit gravissimo iureiurando. Ergo Germanus accito Maximino, cum intrepidum eius animum laudasset, velle se dixit, suos inter protectores habere ipsum in posterum. Is tanto honoris cumulo laetus, eoque viam sibi ad optatum conspirationis exitum sterni ratus, sacramento se obligavit. Exinde inter Germani Praetorianos auctoratus, iuramenti religione statim exuta, ad firmandam tyrannidem multo vehementius incubuit. Tandem aliquando cum diem festum universa civitas ageret, circa horam prandii, Maximianae factionis participes multi in palatium ex compacto conveniunt: ubi Germano amicos epulis accipiente, Maximinus cum stipatoribus caeteris mensae astabat. Iam processerat convivium, cum ingressus quidam Germano nuntiat, magnam catervam militum pro foribus atrii stare promiscue, et expostulare, quod multi stipendia temporis sibi debita ab aerario non solverentur. Il-

λευσε λάθρα τὸν Μαξιμῖνον ἐν φυλακῇ ἔχειν, αἴσθησιν αὐτῷ
τινα τοῦ ποιουμένου ὡς ἥκιστα παρεχομένους. οἱ μὲν οὖν στα-
σιῶται ξύν τε ἀπειλῇ καὶ ταραχῇ ἐπὶ τὸν ἱππόδρομον δρόμῳ ἐχώ-
ρουν οἵ τε τῆς βουλῆς αὐτοῖς μετασχόντες κατὰ βραχὺ ἐγειρόμε-
V 417 νοι ἐκ τῶν οἰκημάτων ἐνταῦθα ξυνέρρεον. καὶ εἰ μὲν ξυλλεγῆ-
D ναι ἅπαντας ἐς ταὐτὸ ἔτυχεν, οὐκ ἄν τις, οἶμαι, καταλύειν αὐ-
τῶν τὴν δύναμιν εὐπετῶς ἔσχε· νῦν δὲ Γερμανὸς προτερήσας ἔτι
ἀπολελειμμένου τοῦ πλείστου ὁμίλου ἅπαντας αὐτίκα τοὺς αὐτῷ
τε καὶ βασιλεῖ εὐνοϊκῶς ἔχοντας ἐπ' αὐτοὺς ἔπεμψεν. οἳ δὴ οὐ
προσδεχομένοις τοῖς στασιώταις εἰς χεῖρας ἦλθον. οἱ δὲ οὔτε
Μαξιμῖνον σὺν αὐτοῖς ἔχοντες, ὅνπερ σφίσιν ἐξηγήσεσθαι τοῦ κιν-
δύνου ἐκαραδόκουν, οὔτε τὸ πλῆθος ὁρῶντες αὐτοῖς, ᾗπερ ᾤοντο,
ξυλλεγέν, ἀλλὰ καὶ μαχομένους παρὰ δόξαν σφίσι τοὺς στρατιώ-
τας θεώμενοι καὶ ἀπ' αὐτοῦ ἐς ὀλιγωρίαν ἐλθόντες ἡσσήθησάν τε
ῥᾳδίως τῇ μάχῃ καὶ κόσμῳ οὐδενὶ ἐς φυγὴν ὥρμηντο. καὶ αὐ-
P 282 τῶν οἱ ἐναντίοι πολλοὺς μὲν ἔκτεινον, πολλοὺς δὲ παρὰ Γερμα-
νὸν ζωγρήσαντες ἦγον. ὅσοι μέντοι οὐκ ἔφθησαν εἰς τὸν ἱππό-
H 151 δρομον ἥκοντες, οὐδεμίαν αἴσθησιν τῆς ἐπὶ Μαξιμίνῳ παρέσχοντο
γνώμης. Γερμανὸς δὲ αὐτοὺς μὲν διερευνᾶσθαι οὐκέτι ἠξίου, ἐπ-
υνθάνετο δὲ εἰ Μαξιμίνῳ, ἐπειδὴ ὠμωμόκει, τὰ ἐς τὴν ἐπιβου-
λὴν ἤσκητο. ἐληλεγμένον τε ὡς ἐν τοῖς αὐτοῦ δορυφόροις τε-
τόμενος τὴν ἐπίθεσιν ἔτι μᾶλλον ποιοίη, ἄγχιστά πη αὐτὸν τοῦ
Καρχηδόνος περιβόλου ἀνεσκολόπισεν. οὕτω τε τὴν στάσιν κα-

4. αὐτοῖς L. αὐτῆς P. 6. ἔτυχεν] ἔτυχον H. 9. οἳ] εἰς H. οἳ Hm et L corr. 12. αὐτοῖς] αὐτοῖς P hic et paullo post. ibid. ᾗπερ] οὕπερ H: illud Hm.

lico Germanus perspectissimae fidei protectoribus clam iniungit, ita Maximinum asservent, ut non advertat. Tum factiosi minaciter frementes tumultuantesque ad Circum decurrere: puncto temporis exciti domibus consilii consortes eodem confluere. Ac mea quidem sententia, si omnes coiissent, haud facile quisquam eorum vires convellere potuisset. Verum antevertit Germanus, nullaque interposita mora, quoscunque sibi et Imperatori addictos noverat, eo misit, maxime adhuc absente numero. Illi de improviso adorti sunt factiosos. Hi vero, cum nec Maximinum, quem ineundi certaminis ducem cupidissime expectabant, secum haberent, nec multitudinem cernerent ad se, ut animo praeceperant, congregatam, sed a militibus peti se nec opinantes viderent, desponderunt animum, et facile victi dissipatique sunt: multi caesi ab adversariis: multi item vivi ad Germanum adducti. Qui nondum in Circum venerant, quo essent in Maximinum animo dissimularunt: neque illos excutere Germanus voluit. De Maximino autem inquisiit, an, post sacramentum dictum, dedisset operam conspirationi? Convictum in eam enixius incubuisse, ex quo ipsum in protectorum suorum numerum ascivisset, proxime Carthaginis moenia

ταλύειν παντάπασιν ἔσχε. Μαξιμίνου μὲν ἐπιβουλὴ ἐτελεύτησεν ὧδε.

ιθ'. Γερμανὸν δὲ ξύν τε Συμμάχῳ καὶ Δομνίκῳ μεταπεμψάμενος βασιλεὺς Σολόμωνι αὖθις ἅπαντα Λιβύης τὰ πράγματα ἐνεχείρισε, τρισκαιδέκατον ἔτος τὴν αὐτοκράτορα ἔχων ἀρχήν· στράτευμά τε αὐτῷ παρασχόμενος καὶ ἄρχοντας ἄλλους τε καὶ Ῥουφῖνον καὶ Λεόντιον, τοὺς Ζάννα τοῦ Φαρεσμάνου, καὶ Ἰωάννην τὸν Σισιννιόλου υἱόν. Μαρτῖνος γὰρ καὶ Βαλεριανὸς ἤδη πρότερον ἐς Βυζάντιον μετάπεμπτοι ἦλθον. Σολόμων δὲ καταπλεύσας ἐς Καρχηδόνα καὶ τῆς Στότζα στάσεως ἀπαλλαγεὶς μετρίως τε ἐξηγεῖτο καὶ Λιβύην ἀσφαλῶς διεφύλασσε, διακοσμῶν τε τὸν στρατὸν καὶ εἴ τι μὲν ὕποπτον ἐν αὐτῷ εὕρισκεν, ἔς τε Βυζάντιον καὶ παρὰ Βελισάριον πέμπων, νέους δὲ στρατιώτας ἐς τὸν ἐκείνων ἀριθμὸν καταλέγων καὶ Βανδίλων τοὺς ἀπολελειμμένους καὶ οὐχ ἥκιστά γε αὐτῶν γυναῖκας ἁπάσας ὅλης ἐξοικίζων Λιβύης, πόλιν τε ἑκάστην περιέβαλλε τείχει καὶ τοὺς νόμους ξὺν ἀκριβείᾳ φυλάξας πολλῇ τὴν πολιτείαν ὡς μάλιστα διεσώσατο. καὶ ἐγένετο Λιβύη ἐπ' ἐκείνου χρημάτων τε προσόδῳ δυνατὴ καὶ τὰ ἄλλα εὐδαίμων.

Ἐπεὶ δὲ ἅπαντά οἱ ὡς ἄριστα διετέτακτο, ἐπί τε Ἰάβδαν καὶ τοὺς ἐν Αὐρασίῳ Μαυρουσίους αὖθις ἐστράτευε. καὶ πρῶτα

7. τοὺς] τοῦ AHL. *ibid.* Ζάννα] Ξάννα p. 286 a. *Zannae* hic et infra RV. *ibid.* Φαρεσμάνου] Φαρασμάνους p. 286 a. *Pharesmanis* RV. 8. Σισιννιόλου] *Sisinii* RV. *ibid.* Βαλεριανὸς] βελισάριος Hm. 15. ἁπάσας] ἁπάσης AL. 20. Ἰάβδαν] „ἰαύδαν Reg." MALT. Sic LHm.

in patibulum sustulit, itaque seditionem difflavit. Huc reddit Maximini prava molitio.

19. Imperator vero Germanum cum Symmacho ac Domnico Byzantium revocavit, resque omnes Africae iterum Salomoni commisit, anno imperii sui XIII. adiunctis copiis atque ducibus, quorum e numero fuere Rufinus ac Leontius, filii Zannae, cuius pater Pharesmanes, et Ioannes Sisinioli filius. Iam ante revocati Byzantium fuerant Martinus et Valerianus. Appulsus Carthaginem Salomon, iam Stozae factione discussa, moderate Africam rexit, ac tuto custodiit, in id incumbens, ut exercitum ad disciplinam componeret; quoscunque suspectae fidei invenisset, qua Byzantium, qua ad Belisarium amandaret, ac supplementum scriberet legionibus; Vandalos, qui remanserant, eorumque uxores omnes ex Africa penitus exterminaret. Praeterea singulas urbes moenibus cinxit, et diligenti legum observatione rem ibi publicam tenuit ac servavit. Fuit Africa, quamdiu rationes eius hic procuravit, pecuniae proventu potens, et omnino fortunata.

Rebus omnibus praeclare constitutis, in Iabdam Maurosque Aurasii montis incolas alteram expeditionem suscepit. Cum parte copiarum prae-

μὲν Γόνθαριν, τῶν δορυφόρων τῶν αὐτοῦ ἕνα, ἄνδρα ἀγαθὸν
τὰ πολέμια, ξὺν στρατεύματι ἔπεμψεν. ὃς δὴ ἐς Ἀβίγαν ποτα-
μὸν ἀφικόμενος ἐστρατοπεδεύσατο ἀμφὶ Βάγαϊν, πόλιν ἔρημον.
P 283 ἐνταῦθά τε τοῖς πολεμίοις ἐς χεῖρας ἐλθὼν καὶ μάχῃ ἡσσηθεὶς ἔς
τε τὸ χαράκωμα ἀποχωρήσας τῇ Μαυρουσίων προσεδρείᾳ ἐπιέζετο
ἤδη. ἔπειτα δὲ καὶ αὐτὸς τῷ παντὶ στρατῷ ἀφικόμενος, ἐπειδὴ
σταδίοις ἑξήκοντα τοῦ στρατοπέδου ἀπεῖχεν, οὗ Γόνθαρις ἡγεῖτο,
χαράκωμά τε ποιησάμενος αὐτοῦ ἔμενε καὶ τὰ ξυμπεσόντα τοῖς
ἀμφὶ Γόνθαριν ἅπαντα ἀκούσας μοῖράν τε αὐτοῖς τοῦ στρα-
τοῦ ἔπεμψε καὶ θαρσοῦντας ἐκέλευε διαμάχεσθαι τοῖς πολεμίοις.
οἱ δὲ Μαυρούσιοι καθυπέρτεροι ἐν τῇ ξυμβολῇ, ὥσπερ ἐρρήθη,
γινόμενοι ἐποίουν τάδε. Ἀβίγας ὁ ποταμὸς ῥεῖ μὲν ἐκ τοῦ Αὐ-
B ρασίου, κατιὼν δὲ ἐς τὸ πεδίον ἀρδεύει τὴν γῆν οὕτως ὅπως ἂν
V 418 βουλομένοις ᾖ τοῖς ταύτῃ ἀνθρώποις. περιάγουσι γὰρ τὸ ῥεῦμα
τοῦτο οἱ ἐπιχώριοι ὅπῃ ποτὲ σφίσιν ἐς τὸ παραυτίκα ξυνοίσειν
οἴονται, ἐπεὶ ἐν τῷδε τῷ πεδίῳ ἀπώρυγες συχναὶ τυγχάνουσιν
οὖσαι, ἐς ἃς δὴ ὁ Ἀβίγας σχιζόμενός τε καὶ ἐς πάσας ἰὼν ὑπὸ
γῆν φέρεται καὶ αὖθις ὑπὲρ γῆν διαφαίνεται, ξυνάγων τὸ ῥεῦμα.
τοῦτο δὲ ἐπὶ πλεῖστον τοῦ πεδίου ξυμβαῖνον ἐν ἐξουσίᾳ τοῖς ταύτῃ
ᾠκημένοις τίθεται εἶναι, ἐπιβύσασι χώματι τοὺς ῥωχμοὺς ἢ αὖ-
θις αὐτοὺς ἀποκαλύψασι τοῖς ὕδασι τοῦ ποταμοῦ τοῦδε ὅ τι βού-
λοιντο χρῆσθαι. τότε οὖν ἁπάσας οἱ Μαυρούσιοι τὰς ἐκείνῃ
C ἀπώρυγας ἀποφράξαντες ἀφιᾶσι τὸ ῥεῦμα ὅλον φέρεσθαι ἀμφὶ τὸ

11. ἐρρήθη] ἐῤῥέθη P. 12. Ἀβίγας] ἀβίβας L. 16. τὴν om. L. ibid. ἀπώρυγες Scaliger. Libri et Suidas (s. v. ῥωχμός) ἀπορρῶγες. 19. ξυμβαῖνον] συμβαῖνον Suidas. 20. ἐπιβύσασι —] Suidas s. v. ἐπιβύσαντες. 23. ἀπώρυγας] Libri ἀπορρῶγας.

missus Gontharis, e stipatorum ipsius numero, bellator egregius, cum ad fluvium Abigam pervenisset, non procul ab urbe deserta, cui nomen Bagai, castra posuit. Hic cum hoste congressus victusque, se in vallum recepit: ubi iam a Mauris arcta obsidione premebatur, quando Salomon cum exercitu universo adveniens, castra stadiis LX. ab iis procul, quibus Gontharis praeerat, metatus est, ibique substitit. Audita Gontharis clade, suorum partem subsidio misit, iussitque magno animo cum hoste confligere. At Mauri, victoriam adepti, ut dictum est, ad artem hanc se converterunt. Ex Aurasio labitur Abigas, et in planitiem devolutus, agros rigat pro incolarum arbitrio, aquam derivantium, prout illis ex usu praesenti videtur esse. Est enim camporum aequor crebris intercisum canalibus, in quos scissus Abigas, omnes subinfluit, ac subterraneis meatibus erumpens, undas colligit. Quod cum per longissimum tractum fiat, aqua fluvii in manibus est incolarum, qui alveis vel obstructis aggere, vel reclusis, illam ad libitum dispensant. Ergo Mauri, canalibus, quicunque ibi

τῶν Ῥωμαίων στρατόπεδον. ἀφ' οὗ δὴ τέλμα βαθὺ γεγονὸς καὶ ἀπόρευτον ἐξέπληξέ τε αὐτοὺς ὅτι μάλιστα καὶ ἐς ἀπορίαν κατέστησε. ταῦτα ἀκούσας Σολόμων κατὰ τάχος ᾔει. οἱ δὲ βάρβαροι δείσαντες ἀναχωροῦσιν ἐς τοῦ Αὐρασίου τὸν πρόποδα. καὶ ἐν χώρῳ, ὃν Βάβωσιν καλοῦσι, στρατοπεδευσάμενοι ἔμενον. ἄρας τε Σολόμων τῷ παντὶ στρατῷ ἐνταῦθα ἧκε. καὶ τοῖς πολεμίοις ἐς χεῖρας ἐλθὼν κρατήσας τε παρὰ πολὺ αὐτῶν ἐς φυγὴν ἔτρεψε. καὶ ἀπ' αὐτοῦ οἱ Μαυρούσιοι μάχην μὲν ἐκ τοῦ ἀντιπάλου πρὸς Ῥωμαίους διενεγκεῖν ἀξύμφορον σφίσιν ᾤοντο εἶναι· οὐ γὰρ αὐτῶν περιέσεσθαι τῇ μάχῃ ἤλπιζον· ἐς δὲ τοῦ Αὐρασίου D τὴν δυσχωρίαν ἐλπίδα εἶχον ἀπολέγοντας τῇ ταλαιπωρίᾳ Ῥωμαίους χρόνῳ ὀλίγῳ ἐνθένδε ἐξανίστασθαι ὥσπερ τὸ πρότερον. οἱ μὲν οὖν πολλοὶ ἔς τε Μαυριτανοὺς καὶ ἐς τοὺς πρὸς μεσημβρίαν τοῦ Αὐρασίου βαρβάρους ᾤχοντο, Ἰάβδας δὲ ξὺν Μαυρουσίοις δισ- H 152 μυρίοις ἐνταῦθα ἔμενεν. ἐτύγχανε δὲ φρούριον οἰκοδομησάμενος ἐν Αὐρασίῳ Ζερβούλην ὄνομα. οὗ δὴ εἰσελθὼν ξὺν πᾶσι Μαυρουσίοις ἡσύχαζε. Σολόμων δὲ χρόνον μὲν τρίβεσθαι τῇ πολιορκίᾳ ἥκιστα ἤθελε, μαθὼν δὲ τὰ ἀμφὶ πόλιν Ταμουγάδην πεδία σίτου ἀκμάζοντος ἔμπλεα εἶναι ἐς αὐτὰ ἐπῆγε τὸ στράτευμα καὶ ἐγκαθεζόμενος ἐδῄου τὴν γῆν. πυρπολήσας δὲ ἅπαντα ἐς Ζερβούλην τὸ φρούριον αὖθις ἔστρεψεν.

4. Αὐρασίου] μαυρουσίου H. 5. Βάβωσιν] Fabosim RV. 14. Ἰάβδας] ἰαύδας LHm. Eadem varietas infra. 16. Αὐρασίῳ] αὐλασίῳ HL: illud Hm.

sunt, tunc obturatis, totum amnem circum Romana castra vagaturum dimittunt. Nata hinc alta atque insuperabilis lacuna eos in metum gravissimum summasque angustias adduxit. Accepto rei nuntio Salomon accurrit: mox territi Barbari, ad radices Aurasii retrocedunt, et in loco, quem Babosin vocant, stativa ponunt. Movet Salomon; omnes eo copias ducit, editoque praelio hostem egregie vincit ac fugat. Exin Mauri suis rationibus non conducere iudicarent collatis signis cum Romanis certare; et vero victoriam desperabant. Sed Aurasii derupta ac salebrae spem ipsis hanc offerebant, fore ut Romani, labore itineris fatiscentes, inde brevi, ut in priori expeditione, discederent. Itaque multi in Mauritaniam et ad Barbaros trans Aurasium, qua meridiem spectat, positos concesserunt: illic Iabdas cum xx. m. Maurorum substitit. In Aurasio castellum Zerbulen aedificaverat: quo ipse cum suis omnibus ingressus, sese continuit. Nec voluit in eo obsidendo tempus terere Salomon. Verum ubi circumiecta urbi Tamugadae arva segete iam adulta exuberare didicit, in ea induxit exercitum, ibique stativa habens, populationes fecit. Cunctis demum igne corruptis, ad castellum Zerbulen se convertit.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ, ᾧ Ῥωμαῖοι ἐδῄουν τὴν γῆν, Ἰαβ-
P 284 δας καταλιπὼν Μαυρουσίων τινὰς, οὓς μάλιστα ᾤετο ἐς τὴν
φρουρίου τὴν φυλακὴν ἱκανοὺς ἔσεσθαι, αὐτὸς ἐς τὴν Αὐρασίου
ὑπερβολὴν ξὺν τῷ ἄλλῳ στρατῷ ἀνέβη, ὅπως μὴ πολιορκουμέ-
νους ἐνταῦθα τὰ ἐπιτήδεια σφᾶς ἐπιλίποι. χῶρόν τε εὑρὼν κρη-
μνοῖς τε πανταχόθεν ἀνεχόμενον καὶ πρὸς ἀποτόμων πετρῶν κα-
λυπτόμενον, Τοῦμαρ ὄνομα, ἐνταῦθα ἡσύχαζε. Ῥωμαῖοι δὲ
Ζερβούλην τὸ φρούριον ἐς τρεῖς ἐπολιόρκουν ἡμέρας. καὶ τόξοις
χρώμενοι, ἅτε οὐχ ὑψηλοῦ ὄντος τοῦ τείχους, πολλοὺς τῶν ἐν
ταῖς ἐπάλξεσι βαρβάρων ἔβαλλον. τύχῃ δέ τινι ξυνέπεσεν ἅπαν-
B τας Μαυρουσίων τοὺς ἡγεμόνας τούτοις δὴ ἐντυχόντας τοῖς βέ-
λεσι θνήσκειν. ἐπεὶ δὲ ὅ τε τῶν τριῶν ἡμερῶν χρόνος ἐτρίβη καὶ
νὺξ ἐπέλαβε, Ῥωμαῖοι μὲν οὐδὲν τοῦ θανάτου πέρι τῶν ἐν Μαυ-
ρουσίοις ἡγεμόνων πυθόμενοι διαλύειν ἐβουλεύοντο τὴν προσε-
δρείαν. ἄμεινον γὰρ Σολόμωνι ἐφαίνετο ἐπί τε Ἰάβδαν καὶ Μαυ-
ρουσίων τὸ πλῆθος ἰέναι, οἰομένῳ, ἢν ἐκείνους πολιορκίᾳ ἑλεῖν
δύνηται, ῥᾷόν τε καὶ ἀπονώτερον τοὺς ἐν Ζερβούλῃ βαρβάρους
προσχωρήσειν σφίσιν. οἱ δὲ βάρβαροι οὐκέτι ἀντέχειν τῇ προσε-
δρείᾳ οἰόμενοι, ἐπεὶ αὐτοῖς ἅπαντες ἤδη οἱ ἡγεμόνες ἀνῄρηντο,
φεύγειν τε κατὰ τάχος καὶ τὸ φρούριον ἀπολιπεῖν ἔγνωσαν. αὐ-
C τίκα γοῦν ἅπαντες σιγῇ τε καὶ οὐδεμίαν τοῖς πολεμίοις αἴσθησιν
παρεχόμενοι ἔφευγον, οἵ τε Ῥωμαῖοι ἐς τὴν ἀναχώρησιν ἅμα ἡμέ-
ρᾳ ξυνεσκευάζοντο. καὶ ἐπεὶ ἐν τῷ τείχει οὐδεὶς, καίπερ πολ-

1. ᾧ AL. ἐν ᾧ L corr. et P. [ἐν] ᾧ H. 13. πέρι] ὑπὲρ περί. 14. προσεδρείαν] προσεδρίαν L. 18. σφίσιν] σφίσι L ibid. προσεδρείᾳ] προσεδρίᾳ L. 22. ἡμέρᾳ om. L.

Dum Romani agros devastant, interea Iabdas, relictis in castello aliquot Mauris, quos agitando praesidio maxime idoneos iudicabat, cum ceteris ad Aurasii culmen evasit, ne deficerentur cibariis, si forte in castello obsiderentur. Locum nactus praecipitiis undique arduum, ac praeruptis scopulis circumseptum, cui nomen Tumar, illic consedit. Romani vero Zerbulen castellum per triduum oppugnarunt. Quo tempore cum arcubus uterentur (quippe murus erat humilior) stantesque ad pinnas Barbaros multos configerent, accidit ut omnes Maurorum duces sagittis icti ceciderint. Nocte autem, quae triduum illud proxime consecuta est, illatam Maurorum ducibus necem ignorantes Romani solvendae obsidionis consilium ceperunt. Etenim ad Iabdam et Maurorum exercitum properare satius esse ducebat Salomon, id secum reputans, si illos prius expugnaret, facilius postea praesidium Zerbulenum ad deditionem compulsum iri. At Barbari infirmiores sibi visi, quam ut diutius sustinerent obsidionem, amissis iam cunctis ducibus, effugere quamprimum et castellum deserere statuerunt. Nec mora: silentio clamque hostibus in fugam se conferunt. Ut illuxit, discessum ornare Romani et conva-

μίων ἀναχωρούντων, ἐφαίνετο, ἐθαύμαζόν τε καὶ ἐς ἀλλήλους ἐπὶ πλεῖστον διηποροῦντο. ξὺν ταύτῃ τε τῇ ἀμηχανίᾳ τὸ φρούριον περιιόντες ἀνακεκλιμένην τὴν πυλίδα εὑρίσκουσιν, ὅθεν δὴ οἱ Μαυρούσιοι ᾤχοντο φεύγοντες. ἔς τε τὸ φρούριον εἰσελθόντες ἐν ἁρπαγῇ ἅπαντα ἐποιήσαντο, διώκειν μέντοι ἥκιστα τοὺς πολεμίους διενοοῦντο, ἄνδρας κούφως τε ἐσταλμένους καὶ τῶν ἐκείνῃ χωρίων ἐμπείρους. καὶ ἐπειδὴ ἅπαντα ἐληίσαντο, φύλα- D
κας τοῦ φρουρίου καταστησάμενοι πεζῇ ἅπαντες ἐχώρουν πρόσω.

κ'. Ἐλθόντες δὲ ἐς Τοῦμαρ τὸν χῶρον, οὗ δὴ καθείρξαν- V 419
τες σφᾶς αὐτοὺς ἡσύχαζον οἱ πολέμιοι, ἄγχι που ἐστρατοπεδεύσαντο ἐν δυσχωρίᾳ, ἔνθα οὔτε ὕδατος ὅτι μὴ ὀλίγου οὔτε ἄλλου του ἀναγκαίου ἐν εὐπορίᾳ ἔσεσθαι ἔμελλον. χρόνου δὲ τριβομένου συχνοῦ τῶν τε βαρβάρων οὐδαμῶς σφίσιν ἐπεξιόντων, αὐτοὶ οὐ- P 285
δέν τι ἧσσον, εἰ μὴ καὶ μᾶλλον, τῇ προσεδρείᾳ πιεζόμενοι ἤσχαλλον. μάλιστα δὲ ἁπάντων τῇ τοῦ ὕδατος ἀπορίᾳ ἤχθοντο, ὃ δὴ αὐτὸς Σολόμων ἐφύλασσε, καὶ ἄλλο οὐδὲν ἐς ἡμέραν ἐδίδου, πλήν γε δὴ ὅτι κύλικα μίαν ἀνδρὶ ἑκάστῳ. ὡς δὲ αὐτοὺς εἶδε δυσανασχετοῦντάς τε ἐκ τοῦ ἐμφανοῦς καὶ τὰ παρόντα δυσχερῆ φέρειν οὐκέτι οἵους τε ὄντας, ἀποπειρᾶσθαί τε τοῦ χωρίου, καίπερ δυσπροσόδου ὄντος, διενοεῖτο καὶ συγκαλέσας ἅπαντας παρεκελεύσατο ὧδε „Ἐπειδὴ δέδωκεν ὁ θεὸς Ῥωμαίοις ἐν Αὐρασίῳ Μαυρουσίους πολιορκεῖν, πρᾶγμα πρότερόν γε κρεῖσσον ἐλπίδος

1. ἐθαύμαζον] Vulgo καὶ ἐθαύμαζον. 14. προσεδρείᾳ] Vulgo προσεδρίᾳ. 17. μίαν ἀνδρὶ — κτεινομένους (p. 288 a.) om. HL: habent APV et legit RV. 19. οὐκέτι] οὔτι A. 22. πρότερόν γε] Malim πρότερόν τε.

Cum autem supra murum nemo se proderet, quamvis abeunte hoste, mirari subiit, diuque ancipites haeserunt. In eo aestu animi, dum castellum circumeunt, portam, qua Mauri evaserant, apertam vident. Ingressi, cuncta diripiunt, omisso consilio hostes persequendi, quod ii leviter armati essent, ac locorum periti. Postquam omnia compilarunt, relicto ibi praesidio, porro omnes pedibus perrexere.

20. Ut ventum est Tumar, quo se hostis cum compegisset, nihil movebat, non procul metati sunt confragoso in loco, qui ipsis aquam et commeatum maligne praebiturus erat. Hic multo consumpto tempore, neque ullam eruptionem faciente Barbaro, ipsi non minus, immo vero gravius obsidione fessi, indignabantur. Nihil autem aeque illos torquebat, ut aquae penuria: cum eam ipse servaret Salomon, nec nisi unum cuique calicem diebus singulis demetiretur. Tandem ubi palam eos animi acerbitatem effundere, nec miseriam, qua premebantur, tolerare diutius posse vidit, ad tentandum locum, quamvis aditu difficilem, adiecit animum, et advocata concione, cohortationem hanc habuit. *Quandoquidem id Romanis Deus concessit, ut in Aurasio Mauros obsiderent, quod omnium spe maius*

B καὶ νῦν τοῖς γε οὐχ ὁρῶσι τὰ δρώμενα παντελῶς ἄπιστον, ἀναγκαῖον καὶ ἡμᾶς τῇ ἄνωθεν ὑπουργοῦντας ἐπικουρίᾳ ταύτην δὴ μὴ καταπροδιδόναι τὴν χάριν, ἀλλ' ὑφισταμένους σὺν προθυμίᾳ τὸν κίνδυνον τῶν ἐκ τοῦ κατορθώσειν εὐτυχημάτων ἐφίεσθαι. ὡς πᾶσα μὲν τῶν ἀνθρωπείων πραγμάτων ῥοπὴ ἐς τοῦ καιροῦ τὴν ἀκμὴν περιίσταται· ἢν δέ τις ἐθελοκακήσας προδιδοίη τὴν τύχην, οὐκ ἂν αὐτὴν αἰτιῷτο δικαίως, αὐτὸς ἐφ' ἑαυτῷ τὴν αἰτίαν πεποιημένος. Μαυρουσίων μὲν τὴν ἀσθένειαν ὁρᾶτε δήπου καὶ τὸ χωρίον, οὗ δὴ πάντων ἀπολελειμμένοι τῶν ἀναγκαίων καθείρξαντες αὑτοὺς τηροῦσιν. ὑμᾶς δὲ δυοῖν ἀνάγκη τὸ ἕτερον, C ἢ τῇ προσεδρείᾳ μηδαμῶς ἀχθομένους τὴν τῶν πολεμίων ὁμολογίαν προσδέχεσθαι, ἢ πρὸς ταύτην ὀλιγωροῦντας τὴν μετὰ τοῦ κινδύνου προσίεσθαι νίκην. μᾶλλον δὲ καὶ τὸ πολεμεῖν πρὸς τούσδε ἡμῖν τοὺς βαρβάρους ἀκίνδυνον ἔσται, οὓς δὴ τῷ λιμῷ μαχομένους ἤδη οὔποτε ἡμῖν οὐδὲ εἰς χεῖρας ἀφίξεσθαι οἶμαι. ὅπερ ἐν τῷ παρόντι ὑμᾶς ἐν νῷ ἔχοντας ἅπαντα προσήκει προθύμως τὰ παραγγελλόμενα ἐκτελεῖν."

Τοσαῦτα Σολόμων παρακελευσάμενος διεσκοπεῖτο ὅθεν ἂν σφίσι τοῦ χωρίου πειράσασθαι ἄμεινον εἴη, ἀπορουμένῳ τε ἐπὶ πλεῖστον ἐῴκει. λίαν γάρ οἱ ἄμαχός τις ἡ δυσχωρία ἐφαίνετο. ἐν ᾧ δὲ Σολόμων ταῦτα ἐν νῷ ἐποιεῖτο, ἡ τύχη ὁδόν τινα τοῖς D πράγμασιν ἐπορίσατο τήνδε. Γέζων ἦν ἐν τοῖς στρατιώταις π-

1. δρώμενα AV. πραττόμενα P. 10. δυοῖν] δυεῖν V. 11. προσεδρείᾳ V. προσεδρίᾳ P. 13. προσίεσθαι] προΐεσθαι V.

antea, nunc etiam fidem eorum, qui coeptis non intersunt, excedit, consequens est, ut nostram adiungamus operam coelesti auxilio, neque illud proiiciamus beneficium, sed alacriter dimicationem ingressi, secundos exitus, qui praeclara consequentur facinora, ambiamus. Momentum omne rerum humanarum in occasionis articulo situm est. Quod si quis Fortunam abdicet inertia voluntaria, non potest sine iniuria illi culpam ascribere, quam ipse commisit. Videtis Maurorum imbecillitatem: videtis locum, qui ita se tuentur, postquam in eum ipsi se concluserunt, ut nihil commeatus habeant. Vobis autem horum alterum necesse est: vel deditionem hostium expectare, perferendo obsidionis incommoda; vel, si deditio minus placet, victoriam cum discrimine et dimicatione coniunctam amplecti. Tametsi non adeo periclitabimur, si hos Barbaros oppugnabimus, qui fame iam confectati, nunquam, ut equidem arbitror, ad conserendam nobiscum manum accedent. Qua nunc persuasione imbutis animis, imperata prompte exequi convenit.

Ita suos hortatus Salomon, exploravit qua parte oppugnationem inferret. Cumque insuperabilis videretur iniquitas loci, haesit ille perdiu dubitanti similis. Dum mente Salomon defixa staret, hanc ad optata viam Fortuna praebuit. Inter pedites Geze quidam erat, cohortis, in qua

ζός, τοῦ καταλόγου ὀπτίων, εἰς ὃν αὐτὸς ἀνεγέγραπτο· οὕτω γὰρ τὸν τῶν συντάξεων χορηγὸν καλοῦσι Ῥωμαῖοι. οὗτος ὁ Γέζων, εἴτε παίζων εἴτε θυμῷ χρώμενος, ἢ καί τι αὐτὸν θεῖον ἐκίνησεν, ἐπὶ τοὺς πολεμίους ἰέναι δοκῶν ἀνέβαινε μόνος καὶ αὐτοῦ μικρὸν ἄποθεν τῶν τινες ξυστρατιωτῶν ᾔεσαν, ἐν θαύματι ποιούμενοι τὰ γινόμενα. ὑποτοπήσαντες δὲ Μαυρουσίων τρεῖς, οἳ ἐς τὸ φυλάσσειν τὴν εἴσοδον ἐτετάχατο, ἐπὶ σφᾶς ἰέναι τὸν ἄνθρωπον, ἀπήντων δρόμῳ. ἅτε δὲ ἐν στενοχωρίᾳ οὐ ξυντεταγμένοι ἐβάδιζον, ἀλλὰ χωρὶς ἕκαστος ᾔει. παίσας δὲ τὸν πρῶτόν οἱ ἐντυχόντα ὁ Γέζων ἔκτεινεν, οὕτω δὲ καὶ τῶν ἄλλων ἑκάτερον P 286 διειργάσατο. ὃ δὴ κατιδόντες οἱ ὄπισθεν ἰόντες πολλῷ θορύβῳ τε καὶ ταραχῇ ἐπὶ τοὺς πολεμίους ἐχώρουν. ὡς δὲ τὰ δρώμενα ἤκουσέ τε καὶ εἶδεν ἡ Ῥωμαίων στρατιὰ ξύμπασα, οὔτε τὸν στρατηγὸν ἀναμείναντες τῆς πορείας σφίσιν ἡγήσασθαι οὔτε τῆς σάλπιγγος τὴν ξυμβολὴν, καθάπερ εἴθιστο, σημαινούσης, οὐ μὴν οὐδὲ τὴν τάξιν φυλάσσοντες, ἀλλὰ πατάγῳ τε πολλῷ χρώμενοι καὶ ἀλλήλοις ἐγκελευόμενοι ἔθεον ἐπὶ τὸ τῶν πολεμίων στρατόπεδον. ἐνταῦθα Ῥουφῖνός τε καὶ Λεόντιος, οἱ Ζάννα τοῦ Φα- V 420 ρεσμάνους, ἔργα ἐπεδείξαντο ἐς τοὺς πολεμίους ἀρετῆς ἄξια. οἷς δὴ οἱ Μαυρούσιοι καταπεπληγμένοι, ἐπειδὴ καὶ τοὺς φύλακας B σφῶν ἀνῃρῆσθαι ἔμαθον, αὐτίκα ἐς φυγὴν ὅπῃ ἕκαστος ἐδύνατο ᾔεσαν, καὶ αὐτῶν οἱ πλεῖστοι ἐν ταῖς δυσχωρίαις καταλαμβανό-

5. θαύματι] θαύματος AV. 8. ξυντεταγμένοι V. συντεταγμένοι P. 13. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 15. σημαινούσης om. AV. 18. Ζάννα] Libri Ξάννα. Vid. p. 282 b. ibid. Φαρεσμάνους] φαρεσμάνος V. Φαρεσμάνου p. 282 b.

ascriptus fuerat, optio (ita vocant eum Romani, qui stipendia dividit). Hic sive per ludum, sive ex ira, sive aliquo instinctu divino concitus, suscepto eundi ad hostes consilio, solus ascendit: nec longe sequebantur commilites aliquot, inceptum hominis demirantes. Eum Mauri tres, qui aditum custodiebant, contra se tendere arbitrati, ita procurrerunt, ut non iunctis frontibus, at singuli seorsum, propter angustias loci, incederent. Qui primus obviam fit, eum Gezo ferit ac necat, itidemque reliquos: quo viso exciti, qui pone ibant, multo cum fremitu tumultuque in hostem vadunt. Omnis quoque Rom. exercitus rem simul auribus oculisque accepit, non duce, qui praeiret, expectato, non dante, ut mos est, signum classico, nullo servato ordine, nec sine ingenti strepitu, cum alter alterum hortaretur, ad hostium castra contendit. Hic facinora viris fortibus digna Rufinus atque Leontius, filii Zannae ac nepotes Pharesmanae, ediderunt: quibus attoniti Mauri, suorum etiam audita custodum caede, statim, qua cuique licuit, se fugae mandarunt: plerique intercepti in sa-

HAVERFIELD LIBRARY OF ANCIENT HISTORY OXFORD

μενοι ἔθνησκον. Ἰάβδας δὲ αὐτὸς ἀκοντίῳ πληγεὶς τὸν μηρὸν
ὅμως διέφυγέ τε καὶ ἐς Μαυριτανοὺς ἀπεχώρησε. Ῥωμαῖοι δὲ
διαρπάσαντες τὸ τῶν πολεμίων στρατόπεδον οὐκέτι τὸ Αὐράσιον
ἐκλείπειν ἔγνωσαν, ἀλλὰ Σολόμωνος ἐνταῦθα φρούρια δομησα-
μένου φυλάσσουσιν, ὅπως μὴ αὖθις τοῦτο δὴ τὸ ὄρος Μαυρου-
σίοις ἐσβατὸν ἔσται.

Ἔστι δέ τις ἐν Αὐρασίῳ πέτρα ἀπότομος κρημνῶν ἐς μέσον
ἀνέχουσα· πέτραν αὐτὴν Γεμινιανοῦ καλοῦσιν οἱ ἐπιχώριοι· οὗ
C δὴ πύργον οἱ πάλαι ἄνθρωποι βραχὺν κομιδῆ ποιησάμενοι κατα-
φυγήν τε ἰσχυράν τινα καὶ ἀμήχανον τῆς τοῦ χωρίου φύσεως σφίσι
ξυλλαμβανούσης ἐδείμαντο. ἐνταῦθα ἐτύγχανεν Ἰάβδας τά τε
χρήματα καὶ τὰς γυναῖκας ἡμέραις πρότερον ὀλίγαις ἐναποθέμε-
νος, ἕνα τε γέροντα Μαυρούσιον φύλακα τῶν χρημάτων κατα-
στησάμενος. οὐ γὰρ ἄν ποτε ὑπετόπασεν οὔτε τοὺς πολεμίους ἐς
τόνδε τὸν χῶρον ἀφίξεσθαι οὔτ' ἂν βίᾳ ἐς τὸν ἅπαντα αἰῶνα τὸν
πύργον ἑλεῖν. ἀλλὰ Ῥωμαῖοι τότε τοῦ Αὐρασίου τὰς δυσχωρίας
διερευνώμενοι ἐνταῦθα ἧκον, καὶ αὐτῶν τις ἀναβαίνειν εἰς τὸν
πύργον ξὺν γέλωτι ἐνεχείρησεν· αἱ δὲ γυναῖκες ἐτώθαζον, ἅτε δὴ
ἀμηχάνων ἐφιεμένου καταγελῶσαι. τοῦτο δὲ καὶ ὁ πρεσβύτης
D ἀπὸ τοῦ πύργου διακύψας ἐποίει· ὁ δὲ Ῥωμαῖος στρατιώτης ἐπεὶ
δὴ χερσί τε καὶ ποσὶν ἀναβαίνων ἐγγύς που ἐγεγόνει, σπασάμε-
νος ἡσυχῇ τὸ ξίφος ἐξῄλετό τε ὡς εἶχε τάχους καὶ τοῦ γέροντος ἐς
τὸν αὐχένα ἐπιτυχὼν παίει, τεμεῖν τε αὐτὸν διαμπὰξ ἴσχυσεν. ἡ

1. Ἰάβδας] ἰαύδας AV hic et infra. 14. οὔτε — οὔτ'] οὐδὲ — οὐδ' P. 22. ἐξῄλετο] ἐξείλετο V.

lebris, oppetierunt. Iabdas, quamvis spiculo sauciatus in femore, evasit, ac se recepit in Mauritaniam. Romani, direptis hostium castris, constituerunt nunquam e monte Aurasio amovere praesidia: quamobrem condita illic a Salomone castella tenent, ut Mauris reditum ad montem praecludant.

Quaedam est in Aurasio abrupta rupes, inter praecipitia surgens, quam indigenae Geminiani rupem appellant. Huic turrim veteres imposuerant, admodum quidem parvam, sed quae validum et insuperabile perfugium offerebat, adiuvante natura loci. Ibi Iabdas paucis ante diebus reposuerat cum uxoribus gazam, atque hanc Mauro cuidam seni custodiendam crediderat. Nunquam enim fore putaverat, ut hostes locum illum contingerent, nedum vi turrim caperent. At scrutantes tum Romani recessus omnes quamlibet asperos, illo penetrarunt. Cumque ascensum tentare quidam ludibundus coepisset, eum feminae deridentes, tanquam temerarium ac maiora viribus audentem, dicteriis lacessebant; neque aliter se gerebat, despectans e turri senior. Miles autem Romanus ille, ubi manibus pedibusque enitens, propius accessit, educto clanculum gladio, saltu quam levissimo potuit emicans, certo ictu seni collum peti-

τε κεφαλὴ ἐξέπεσεν εἰς τὸ ἔδαφος, καὶ οἱ στρατιῶται θαρσοῦντες ἤδη καὶ ἀλλήλων ἐχόμενοι εἰς τὸν πύργον ἀνέβαινον, καὶ τὰς γυναῖκας τά τε χρήματα, μεγάλα δὴ ὄντα, ἐνθένδε ἐξεῖλον. ἀφ' ὧν δὴ Σολόμων πολλὰς τῶν ἐν Λιβύῃ πόλεων περιέβαλε τείχεσι.

Καὶ ἐπειδὴ Μαυρούσιοι ἀνεχώρησαν ἐκ Νουμιδίας νικηθέντες, ὥσπερ ἐρρήθη, Ζάβην τε τὴν χώραν, ἣ ὑπὲρ ὄρος τὸ Αὐ- P 287
ράσιόν ἐστι Μαυριτανία τε ἡ πρώτη καλεῖται μητρόπολιν Σίτιφιν ἔχουσα, τῇ Ῥωμαίων ἀρχῇ ἐς φόρου ἀπαγωγὴν προσεποιήσατο. Μαυριτανίας γὰρ τῆς ἑτέρας πρώτη Καισάρεια τυγχάνει οὖσα, οὗ δὴ ὁ Μαστίγας ξὺν Μαυρουσίοις τοῖς αὐτοῦ ἵδρυτο, ξύμπαντα τὰ ἐκείνῃ χωρία κατήκοά τε καὶ φόρου ὑποτελῆ πλήν γε δὴ πόλεως Καισαρείας ἔχων. ταύτην γὰρ Ῥωμαίοις Βελισάριος τὸ πρότερον ἀνεσώσατο, ὥσπερ ἐν τοῖς ἔμπροσθέν μοι δεδήλωται λόγοις· ἐς ἣν Ῥωμαῖοι ναυσὶ μὲν εἰς ἀεὶ στέλλονται, πεζῇ δὲ ἰέναι οὐκ εἰσὶ δυνατοί, Μαυρουσίων ἐν ταύτῃ ᾠκημένων τῇ χώρᾳ. καὶ ἀπ' αὐτοῦ Λίβυες ἅπαντες, οἳ Ῥωμαίων κατήκοοι ἦσαν, εἰρήνης ἀσφαλοῦς τυχόντες καὶ τῆς Σολόμωνος ἀρχῆς σώφρονός B
τε καὶ λίαν μετρίας, ἔς τε τὸ λοιπὸν πολέμιον οὐδὲν ἐν νῷ ἔχοντες, ἔδοξαν εὐδαιμονέστατοι εἶναι ἀνθρώπων ἁπάντων.

κα'. Τετάρτῳ δὲ ὕστερον ἐνιαυτῷ ἅπαντα σφίσιν ἀγαθὰ V 421
ἐς τοὐναντίον γενέσθαι ξυνέπεσεν. ἔτος γὰρ ἕβδομόν τε καὶ δέκατον Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος,

2. τὰς] τάς τε V. 6. Ζάβην] ζάβιν A. 7. *Μαυριτανία*] μαυριτανίαν AV. 8. προσεποιήσατο A. προσεποίησε PV. 21. ἕβδομόν τε καὶ δέκατον] *quartodecimo* RV.

tus abscidit, caputque in terram deiecit. Iam animis aucti milites, et manibus inter se nexi, turrim superant, ac feminas ingentesque acervos pecuniae extrahunt: quam Salomon urbium multarum moenibus aedificandis impendit.

Postquam Mauri, accepta, quam dixi, clade, e Numidia excesserunt, vectigalem Romanis fecit idem provinciam Zabam, trans montem Aurasium sitam. Mauritania haec prima dicitur, habetque metropolin Sitiphin. Caesarea vero princeps et caput est Mauritaniae secundae, quam cum suis Mauris Mastigas incolebat, totam habens sibi subditam ac vectigalem, praeter urbem Caesaream, iam ante a Belisario, ut supra narravi, restitutam Romanis; quibus iter mari ad illam patet, non item terra, propterea quod adiacentes oras obtinent Mauri. Ab eo tempore Afri omnes, quicunque Romanis parebant, stabilem adepti pacem, sub moderato ac valde commodo Salomonis regimine, belli cogitatione omni deposita, mortalium omnium felicissimi videbantur.

21. In contrarium haec felicitas versa est quarto post anno, quo imperii decimum septimum agens Iustinianus Cyrum ac Sergium filios

C Κῦρός τε καὶ Σέργιος, οἱ Βάκχου τοῦ Σολόμωνος ἀδελφοῦ παῖδες, πόλεων τῶν ἐν Λιβύῃ πρὸς βασιλέως ἄρχειν ἔλαχον, Πενταπόλεως μὲν ὁ Κῦρος ὁ πρεσβύτερος, Τριπόλεως δὲ Σέργιος. Μαυρούσιοι δὲ οἱ Λευάθαι καλούμενοι στρατῷ μεγάλῳ ἐς Λεπτιμάγναν πόλιν παρ' αὐτὸν ἵκοντο, ἐπιθρυλοῦντες ὅτι δὴ τούτου ἕνεκα ἥκοιεν, ὅπως ὁ Σέργιος δῶρα καὶ ξύμβολα σφίσι τὰ νομιζόμενα δοὺς τὴν εἰρήνην κρατύνηται. Σέργιος δὲ Πουδεντίῳ ἀναπεισθεὶς Τριπολίτῃ ἀνδρί, οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην, ἅτε κατ' ἀρχὰς τοῦ Βανδιλικοῦ πολέμου Ἰουστινιανῷ βασιλεῖ ἐπὶ Βανδίλους ὑπηρετήσαντος, ὀγδοήκοντα μὲν τῶν βαρ-

D βάρων τοὺς μάλιστα δοκίμους τῇ πόλει ἐδέξατο, ἅπαντα ἐπιτελέσειν ὑποσχόμενος τὰ αἰτούμενα, τοὺς δὲ ἄλλους ἐν τῷ προαστείῳ μένειν ἐκέλευσε. τούτοις δὴ τοῖς ὀγδοήκοντα πίστεις ἀμφὶ τῇ εἰρήνῃ παρασχόμενος οὕτω δὴ αὐτοὺς ἐπὶ θοίνην ἐκάλεσε. τούτους δὲ λέγουσι τοὺς βαρβάρους νῷ δολερῷ ἐν τῇ πόλει γενέσθαι, ὅπως Σέργιον ἐνεδρεύσαντες κτείνωσιν. ἐπειδή τε αὐτῷ ἐς λόγους ἦλθον, ἄλλα τε Ῥωμαίοις ἐνεκάλουν ἐγκλήματα καὶ τὰ λήια σφίσιν οὐ δέον δηῶσαι. ἅπερ ὁ Σέργιος ἐν ἀλογίᾳ πεποιημένος, ἐκ τοῦ βάθρου ἐξαναστάς, ἐφ' οὗπερ καθῆτο, ἐβούλετο ἀπαλλάσσεσθαι. καί τις αὐτοῦ τῶν βαρβάρων τῆς ἐπωμίδος

P 288 λαβόμενος ἐνεχείρει οἱ ἐμπόδιος εἶναι. ἔς τε θόρυβον ἐνθάδε καταστάντες οἱ ἄλλοι ἀμφ' αὐτὸν ἤδη ξυνέρρεον. τῶν δέ τις Σερ-

1. Κῦρος] Curtius RV: sed recte infra. ibid. Βάκχου] βόχου A. Bacchi RV. 4. Λευάθαι] Legebatur Λευκάθαι. 5. ἵκοντο] ἥκοντα V. ibid. ἐπιθρυλοῦντες] Vulgo ἐπιθρυλλοῦντες. 7. Πουδεντίῳ] κοδεντίῳ V. 17. ἐνεκάλουν V. ἐπεκάλουν P. 18. δηῶσαι] δηϊῶσαι PV. 19. βάθρου] βαράθρου AV.

Bacchi, fratris Salomonis, praefecit urbibus Africae; Pentapoli quidem Cyrum maiorem natu, Tripoli vero Sergium. Ad hunc, cum in urbe Leptimagna degeret, armati magno numero venere Mauri, qui dicuntur Lecathae, spargentes in vulgus, se ob eam causam adesse, ut ab Sergio munera ac principatus insignia consueta acciperent, itaque pax sanciretur. At Sergius, de sententia Pudentii Tripolitani, quem initio belli Vandalici Iustiniano Aug. operam adversus Vandalos navasse in superiore libro commemoravi, octoginta, qui inter Barbaros illos spectatissimi erant, in urbem accepit, satis se facturum pollicitus omnibus postulatis; caeteros in suburbiis manere iussit. His octogenis fide data vim abfuturam, eosdem ad epulas invitavit; quos sane fraudulento animo urbem esse ingressos ferunt, ut Sergium insidiose perimerent. Ubi ventum est in colloquium, cum alia Romanis obiecerunt, tum iniquam suarum segetum populationem. Quae naso suspendens Sergius, e sedili surrexit suo, voluitque abire. Mox e Barbaris quidam, humerali eius arrepto, ipsum retentare nititur. Iam ei circumfundebantur etiam caeteri, tumultuantes,

γίου δορυφόρων τὸ ξίφος σπασάμενος τοῦτον δὴ τὸν Μαυρούσιον διεχρήσατο. καὶ ἀπ' αὐτοῦ ταραχῆς, ὡς τὸ εἰκὸς, γενομένης ἐν τῷ δωματίῳ μεγάλης, οἱ Σεργίου δορυφόροι τοὺς βαρβάρους ἅπαντας ἔκτειναν. καὶ αὐτῶν εἷς, ἐπειδὴ κτεινομένους τοὺς ἄλλους εἶδε, τοῦ τε οἰκήματος, ἵνα δὴ ταῦτα ἐπράσσετο, ἐκπεπήδηκε, λαθὼν ἅπαντας, ἔς τε τοὺς ὁμοφύλους ἀφικόμενος τὰ σφίσι ξυμπεσόντα ἐδήλου. οἱ δὲ ταῦτα ἀκούσαντες ἔς τε τὸ οἰ- B κεῖον στρατόπεδον κομίζονται δρόμῳ καὶ ξὺν τοῖς ἄλλοις ἅπασιν ἐν ὅπλοις ἐπὶ Ῥωμαίους ἐγένοντο. οἷς δὴ ἀμφὶ πόλιν Λεπτιμάγναν ἀφικομένοις Σέργιός τε καὶ Πουδέντιος παντὶ τῷ στρατῷ ὑπηντίαζον. τῆς τε μάχης ἐκ χειρὸς γινομένης τὰ μὲν πρῶτα ἐνίκων Ῥωμαῖοι καὶ τῶν πολεμίων πολλοὺς ἔκτειναν, καὶ αὐτῶν τὸ στρατόπεδον ληισάμενοι τῶν τε χρημάτων ἐκράτησαν καὶ γυναικῶν τε καὶ παίδων ἐξηνδραπόδισαν μέγα τι χρῆμα. ὕστερον δὲ Πουδέντιος θράσει ἀπερισκέπτῳ ἐχόμενος θνήσκει. Σέργιος δὲ ξὺν Ῥωμαίων στρατῷ, ἤδη γὰρ καὶ συνεσκόταζεν, ἐς Λεπτιμάγναν ἐσήλασε.

Χρόνῳ δὲ ὕστερον οἱ μὲν βάρβαροι μείζονι παρασκευῇ ἐπὶ C H 163
Ῥωμαίους ἐστράτευσαν. Σέργιος δὲ παρὰ Σολόμωνα τὸν θεῖον ἐστάλη, ἐφ' ᾧ καὶ αὐτὸς μείζονι στρατῷ ἐπὶ τοὺς πολεμίους ἴοι· οὗ δὴ καὶ Κῦρον τὸν ἀδελφὸν εὗρεν. οἵ τε βάρβαροι ἐς Βυζάκιον ἀφικόμενοι πλεῖστα ἐξ ἐπιδρομῆς ἐληίσαντο τῶν ἐκείνῃ χωρίων· Ἀντάλας δὲ (οὗπερ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην,

3. μεγάλης] μεγάλῳ A. 7. ξυμπεσόντα HL. συμπεσόντα P. 9. Λεπτιμάγναν] λεπτίμαγαν HL. 23. ἔμπροσθεν] ἔμπροσθε L.

cum unus e Sergii protectoribus, stricto ense, Maurum illum confecit. Unde exorto, ut fit, in cubiculo tumultu gravi, Sergii protectores necem Barbaris omnibus intulere, praeterquam uni; qui simul ac sociorum caedem fieri vidit, e conclavi, in quo haec patrabantur, prosiluit furtim, et ad populares elapsus, casum exposuit. Quo audito, in castra revolarunt, et cum caeteris omnibus in Romanos arma sumpserunt. Illis ad Leptimagnam progressis, universum exercitum eduxere obviam Sergius Pudentinusque. Inito comminus praelio, superiores quidem principio Romani, stragem Barbarorum fecere, eorumque castris direptis, pecuniarum potiti sunt, et mulierum puerorumque ingentes greges in servitutem abduxere. Subinde vero Pudentius inconsiderata audacia periit, ac iam primis se intendentibus tenebris, Leptimagnam Sergius cum Rom. exercitu ingressus est.

Maiori postea apparatu suscepta a Barbaris in Romanos expeditione, Salomonem patruum suum Sergius adiit, rogatusque, uti ipse validiorem exercitum in hostes duceret: Cyrum quoque fratrem suum apud eum offendit. Ingressi Byzacium Barbari, maximam provinciae illius partem incursione vastarunt. Iamque Antalas, qui constanti erga Romanos fide,

ἅτε Ῥωμαίοις πιστοῦ διαμεμενηκότος, καὶ δι᾽ αὐτὸ μόνου ἐν Βυ-
ζακίῳ Μαυρουσίων ἄρχοντος) ἤδη Σολόμωνι ἐκπεπολεμωμένος
ἐτύγχανεν, ὅτι τε τὰς σιτήσεις, αἷς αὐτὸν βασιλεὺς ἐτετιμήκει,
D Σολόμων ἀφείλετο καὶ τὸν ἀδελφὸν τὸν αὐτοῦ ἔκτεινε, ταραχήν
αὐτοῦ τινα ἐς Βυζακηνοὺς γινομένην ἐπενεγκών. τότε γοῦν τού-
τους Ἀντάλας τοὺς βαρβάρους ἄσμενός τε εἶδε καὶ ὁμαιχμίαν
V 422 ποιησάμενος ἐπὶ Σολόμωνά τε καὶ Καρχηδόνα σφίσιν ἡγήσατο.
Σολόμων δὲ, ἐπεὶ ταῦτα ἤκουσε, παντὶ τῷ στρατῷ ἄρας ἐπ᾽
αὐτοὺς ᾔει, καὶ καταλαβὼν ἀμφὶ πόλιν Τεβέστην, ἓξ ἡμερῶν
ὁδῷ Καρχηδόνος διέχουσαν, ἐστρατοπεδεύσατο αὐτός τε καὶ οἱ
Βάκχου τοῦ ἀδελφοῦ παῖδες, Κῦρός τε καὶ Σέργιος καὶ Σολόμων
ὁ νεώτατος. δείσας τε τὸ τῶν βαρβάρων πλῆθος ἔπεμψε παρὰ
τῶν Λευαθῶν τοὺς ἄρχοντας, μεμφόμενος μὲν ὅτι δὴ ἔνσπονδοι
Ῥωμαίων ὄντες εἶτα ἐν ὅπλοις γενόμενοι ἐπ᾽ αὐτοὺς ἥκουσι, τὴν
δὲ εἰρήνην ἀξιῶν ἐν σφίσι κρατύνασθαι, ὅρκους τε ὀμεῖσθαι τοὺς
P 289 δεινοτάτους ὑπέσχετο, ἦ μὴν ἀμνηστίᾳ τῶν πεπραγμένων ἐς αὐ-
τοὺς χρήσασθαι. χλευάζοντες δὲ τὰ εἰρημένα οἱ βάρβαροι πάν-
τως αὐτὸν ὀμεῖσθαι τὰ Χριστιανῶν λόγια ἔφασαν, ἅπερ καλεῖν
εὐαγγέλια νενομίκασιν. οὐκοῦν ἐπειδὴ Σέργιος ταῦτα ὀμόσας εἶτα
τοὺς πιστεύσαντας ἔκτεινε, βουλομένοις σφίσιν αὐτοῖς εἴη ἐς μά-
χην ἰοῦσι τούτων δὴ τῶν λογίων ἀποπειράσασθαι, ὁποίαν τινὰ
πρὸς τοὺς ἐπιόρκους δύναμιν ἔχουσιν, ὅπως αὐτοῖς βεβαιότατα

1. μόνου P et Grotius. μόνον AHL. 13. Λευαθῶν] Legebatur Λεβάνθων.

quemadmodum supra retuli, id consecutus erat, ut solus Mauris Byzacenis praeesset, inimicitias cum Salomone susceperat, quod annonam, quam Imperator ipsi assignaverat, Salomon intervertisset, fratremque ipsius morte mulctasset, criminatus, auctorem eum fuisse cuiusdam motus inter Byzacenos conciti. His de causis lubenti Antalas animo istos Barbaros in conspectum admisit, initaque societate, contra Salomonem et Carthaginem duxit. Qua de re factus certior Salomon, in eos copias eduxit omnes, nactusque ipsos ad urbem Tebestam, quae Carthagine dierum sex iter abest, ibi cum Bacchi fratris sui filiis Cyro, Sergio, ac Salomone natu minimo metatus est. Barbarorum numero territus, misit ad Lebatharum duces, et cum illis expostulavit, quod arma in Romanos sibi foedere coniunctos moverent; pacem potius firmandam esse; offerre se iusiurandum sanctissimum, quo fidem faceret, quidquid patrassent, oblivione deletum iri. Barbari risu excipientes dicta, respondent, ipsum utique per sacras iuraturum literas Christianorum, quas evangelia vocare solent: porro velle se, postquam illa Sergius iuramento adhibuisset, et eos, qui ipsi credidissent, necasset, velle se, inquam, praelio experiri quam haberent vim divina illa oracula in periuros; ut cum fide certissima ad pa-

πιστεύσαντες οὕτω δὴ ἐπὶ τὰς ξυνθήκας καθιστῶνται. ταῦτα Σολόμων ἀκούσας τὰ ἐς τὴν ξυμβολὴν ἐξηρτύετο.

Τῇ δὲ ὑστεραίᾳ μοίρᾳ τινὶ τῶν πολεμίων λείαν ὅτι πλείστην B ἀγούσῃ ξυμβαλὼν καὶ μάχῃ νικήσας ἀφελών τε τὴν λείαν ἐφύλασσε πᾶσαν. δυσανασχετοῦσι δὲ τοῖς στρατιώταις καὶ δεινὰ ποιουμένοις, ὅτι δὴ αὐτοῖς οὐκ ἐδίδου τὰ λάφυρα, ἔφασκεν ἀναμένειν τὸ τοῦ πολέμου πέρας, ὅπως δὴ ἅπαντα τηνικαῦτα διανέμωνται, καθάπερ ἂν ἐς τὴν ἀξίαν ἐπιβάλλον ἑκάστῳ φαίνηται. ἐπεὶ δὲ αὖθις οἱ βάρβαροι πάσῃ τῇ στρατιᾷ ἐς ξυμβολὴν ὥρμηντο, ἐνταῦθα Ῥωμαίων τέ τινες ἀπελίποντο καὶ οἱ ἄλλοι οὐ ξὺν προθυμίᾳ ἐς τὴν παράταξιν ᾔεσαν. καὶ πρῶτα μὲν ἀγχώμαλος ἐγεγόνει ἡ μάχη, ὕστερον δὲ πλήθει πολλῷ ὑπερβαλλομένων τῶν Μαυρουσίων, Ῥωμαίων μὲν οἱ πολλοὶ ἔφευγον, Σολόμων δὲ καὶ C ἀμφ᾽ αὐτόν τινες χρόνον μέν τινα βαλλόμενοι ἀντεῖχον, ὕστερον δὲ ὑπερβιαζομένων τῶν πολεμίων σπουδῇ ἔφευγον, ἔς τε ῥύακος ἐκείνῃ ῥέοντος χαράδραν ἀφίκοντο. ἔνθα δὴ ὀκλάσαντός οἱ τοῦ ἵππου Σολόμων ἐκπίπτει ἐς ἔδαφος, καὶ αὐτὸν κατὰ τάχος χερσὶν οἱ δορυφόροι ἀράμενοι ἐπὶ τοῦ ἵππου καθίζουσι. περιώδυνον δὲ γεγονότα καὶ ἀδύνατον ἔτι τοῦ χαλινοῦ ἔχεσθαι καταλαβόντες οἱ βάρβαροι αὐτόν τε κτείνουσι καὶ τῶν δορυφόρων πολλούς. αὕτη τε τοῦ βίου τελευτὴ Σολόμωνι ἐγένετο.

4. μάχῃ L. μάχην P. 13. „ἔφευγον Reg.“ MALT. Sic ALHm. ἔφυγον HP. 21. „σολόμωνι Reg.“ MALT. Sic LHm. σολόμωνος HP.

ctionem componendam accederent. Haec ubi accepit Salomon, se ad pugnam accinxit.

Postridie, cum hostili agmine, maximam praedam abducente, congressus, eam pariter cum victoria retulit, ac negata sibi spolia querentibus frementibusque militibus, belli finem expectandum dixit, ut omnia tunc pro cuiusque merito dividerentur. Ad pugnam deinde cum universo exercitu redeuntibus Barbaris, Romanorum nonnulla pars abfuit; caeteri gravate in aciem exierunt. Initio quidem ancipiti Marte certatum est: dein vero Mauri, numero longe superiores, Romanorum maximam partem disiecerunt in fugam. Telorum grandini restitit aliquandiu Salomon cum parva suorum manu; qui hostibus tandem praevalentibus coacti cedere, cum ad rivi proximi praecipitem alveum contentissime fugientes venissent, succidens in crura equus Salomonem excussit. Ille protectorum manibus confestim erectus, et in equum sublatus, cum prae dolore nimio iam tractare frenum nequiret, comprehensus a Barbaris trucidatur, una cum stipatorum non paucis. Hunc Salomon vitae exitum habuit.

D κβ'. Τελευτήσαντος δὲ Σολόμωνος, Σέργιος αὐτοῦ, ὥσπερ
εἴρηται, ἀδελφιδοῦς ὤν, δόντος βασιλέως, παρέλαβε τὴν Λιβύης
ἀρχήν. ὃς δὴ φθορᾶς πολλῆς αἰτιώτατος τῷ Λιβύων γένει ἐγέ-
νετο, ἅπαντές τε αὐτοῦ τῇ ἀρχῇ ἤχθοντο, ἄρχοντες μέν, ὅτι
P 290 ἀξύνετος ὢν κομιδῇ καὶ νέος τόν τε τρόπον καὶ τὴν ἡλικίαν ἀλα-
ζονικώτατος γέγονεν ἀνθρώπων ἁπάντων, ὕβριζέ τε λόγῳ οὐδενὶ
ἐς αὐτοὺς καὶ ὑπερεώρα, πλούτῳ τε καὶ δυνάμει καὶ τῇ τῆς ἀρ-
χῆς ἐξουσίᾳ ἐς τοῦτο ἀεὶ ἐπιχρώμενος· οἱ δὲ στρατιῶται, ὅτι δὴ
ἄνανδρός τε καὶ μαλθακὸς παντάπασιν ἦν· οἱ δὲ Λίβυες, διά τε
ταῦτα καὶ ὅτι γυναικῶν τε καὶ χρημάτων ἀλλοτρίων ἄτοπός τις
ἐραστὴς ἐγεγόνει. μάλιστα δὲ πάντων ὁ Σισινιόλου Ἰωάννης τῇ
Σεργίου δυνάμει χαλεπῶς εἶχε. ἀγαθὸς γὰρ ὢν τὰ πολέμια καὶ
H 154 διαφερόντως εὐδόκιμος, ἀχαρίστου τοῦ ἀνθρώπου ἀτεχνῶς ἐπι-
B χεν. διὸ δὴ οὔτε αὐτὸς οὔτε ἄλλος τῶν πάντων οὐδεὶς ὅπλα ἐν-
ταίρειν ἐν τοῖς πολέμοις ἠβούλοντο. τῷ δὲ Ἀντάλᾳ οἵ τε Μαυ-
ρούσιοι σχεδόν τι ἅπαντες εἵποντο καὶ Στότζας ἐκ Μαυριτανίας
V 423 μετάπεμπτος ἦλθεν. ἐπεί τε οὐδεὶς σφίσιν ἐπεξῄει τῶν πολε-
μίων, ἦγόν τε καὶ ἔφερον ληιζόμενοι ἀδεῶς ἅπαντα. τότε Ἀν-
τάλας Ἰουστινιανῷ βασιλεῖ γράμματα ἔγραψεν. ἐδήλου δὲ ἡ γρα-
φὴ τάδε „Δοῦλος μὲν εἶναι τῆς σῆς βασιλείας οὐκ ἂν οὐδὲ αὐτὸς
ἀρνηθείην, Μαυρούσιοι δὲ πρὸς Σολόμωνος ἐν σπονδαῖς πεπον-

4. τε addidi ex AL, et addebat in annot. Hoeschelius. 10. καὶ ὅτι] ὅτι om. HL: habet Hm. 11. Σισινιόλου] σισινιόλου H. Sisinii RV ut p. 282 b. 15. πολέμοις] πολεμίοις HL.

22. Defuncto Salomone, Sergium, qui, uti diximus, eius erat e fratre nepos, Africae praeposuit Imperator. Multarum is calamitatum, quibus Afri sunt conflictati, praecipuus auctor extitit. Ipsius dominatum graviter omnes ferebant: duces quidem, quod, quamvis oppido rudis, et cum aetate, tum moribus iuvenis esset, ipsos tamen per arrogantiam, qua mortales omnes vincebat, contumeliis afficeret licentissime, et despiceretur, ad hoc divitiis, potentia, ac sui muneris auctoritate numquam non abutens: milites vero, quod effeminatum et mollissimum omnino nossent: Afri denique, cum easdem ob causas, tum quod perdite mulierosus, opumque alienarum avidissimus esset. Omnium maxime potentia Sergii offendebatur Ioannes, Sisinnioli filius, quoniam, licet virtute bellica ac nobilitate excelleret, nihilominus ingratissimum hominem experiebatur. Quo fiebat, ut nec ipse, nec omnium quisquam unus ad bellum egredi, et repugnare hostibus vellet. Cuncti fere Mauri se adiunxerant Antalae: aderat etiam Stozas evocatus e Mauritania, et cum in eos nemo erumperet, agebant omnia ferebantque impune. Quo tempore Antalas Iustiniano Aug. scripsit in hanc sententiam. *Haud equidem me maiestatis tuae servum esse inficior: verum, post sancitam inter nos pacem, iniquissime habiti a Salomone Mauri, arma perquam inviti ceperunt, non in te,*

θύντες ἀνόσια ἔργα ἐν ὅπλοις ὡς μάλιστα ἠναγκασμένοι γεγόνασιν, οὔ σοι ταῦτα ἀνταίροντες, ἀλλὰ τὸν ἐχθρὸν ἀμυνόμενοι, καὶ διαφερόντως ἐγώ. οὐ γὰρ ὅσον με τῶν σιτήσεων ἀποστερεῖν ἔγνω, C ὥσπερ μοι πολλῷ πρότερον χρόνῳ Βελισάριός τε διώρισε καὶ αὐτὸς δέδωκας, ἀλλὰ καὶ τὸν ἀδελφὸν τὸν ἐμὸν ἔκτεινεν, οὐδὲν αὐτῷ ἀδίκημα ἐπενεγκεῖν ἔχων. τὴν μὲν οὖν δίκην παρὰ τοῦ ἠδικηκότος ἡμᾶς λαβόντες ἔχομεν. εἰ δέ σοι βουλομένῳ ἐστὶ δουλεύειν τε Μαυρουσίους τῇ σῇ βασιλείᾳ καὶ πάντα ὑπηρετεῖν ᾗπερ εἰώθασι, Σέργιον μὲν τὸν Σολόμωνος ἀδελφιδοῦν ἐνθένδε ἀπαλλαγέντα ἐπανήκειν παρὰ σὲ κέλευε, ἄλλον δὲ στρατηγὸν ἐς Λιβύην πέμπε. οὐ γάρ σε ἐπιλείψουσιν ἄνδρες ξυνετοί τε καὶ Σεργίου τῷ παντὶ ἀξιώτεροι· ἕως γὰρ οὗτος τῷ σῷ ἐξηγεῖται στρατῷ, εἰρήνην ἔς D τε Ῥωμαίους καὶ Μαυρουσίους ξυνίστασθαι ἀμήχανά ἐστιν." Ἀντάλας μὲν τοσαῦτα ἔγραψε. βασιλεὺς δὲ ταῦτα ἀναλεξάμενος καὶ μαθὼν τὸ κοινὸν ἁπάντων ἐς Σέργιον ἔχθος, οὐδ' ὣς παραλύειν αὐτὸν τῆς ἀρχῆς ἤθελε, Σολόμωνος τήν τε ἄλλην ἀρετὴν καὶ τὴν τοῦ βίου καταστροφὴν αἰσχυνόμενος. ταῦτα μὲν οὖν ἐφέρετο τῇδε.

Σολόμων δὲ, ὁ Σεργίου ἀδελφὸς, δόξας ξὺν τῷ θείῳ Σολόμωνι ἐξ ἀνθρώπων ἀφανισθῆναι, πρός τε τῶν ἄλλων καὶ τοῦ ἀδελφοῦ ἠμελήθη· οὐ γάρ τις αὐτὸν περιόντα ἔγνω. ἐτύγχανον δὲ ζωγρήσαντες αὐτὸν, ἅτε νέον κομιδῆ ὄντα, Μαυρούσιοι, καὶ αὐτοὶ ἀνεπυνθάνοντο ὅστις ποτὲ εἴη. ὁ δὲ Βανδίλος μὲν γένος,

3. με] μὲν HL. ἴσ. με Hm. 4. ὥσπερ] ὅσπερ HL: ἅσπερ L corr. 15. ἔχθος] ἄχθος L a pr. m.

sed contra inimicum, a me inprimis oppugnandum. Etenim non tantum privare me est ausus annona, quam a Belisario mihi iamdiu decretam ipse concessisti, sed fratrem etiam meum insontem sustulit. Nunc, postquam poenas ab iniquo recepimus, si Mauros maiestati tuae subditos, et omnino pro more obsequentes habere vis, Salomonis ex fratre nepotem Sergium hinc ad te revoca, aliumque Magistrum militum in Africam mitte. Nec vero penuria tibi est virorum prudentum, qui Sergium omni meritorum genere superent. Nunquam autem pax coagmentari Romanos inter ac Mauros poterit, quandiu copiis tuis hic imperabit. Haec scripsit Antalas: quae cum Imperator legisset, audiissetque Sergium omnibus invisum esse, ne his quidem adduci potuit, ut ei potestatem abrogaret, Salomonis virtuti ac morti tristissimae honorem habens. Ita res ibat.

Cum autem Salomon Sergii frater una cum Salomone patruo mortuus crederetur, de illo nemini, ne ipsi quidem Sergio, curae erat: neque enim superstitem eum quisquam sciebat. Porro Mauri, quod esset admodum adolescens, capto vitam concesserant. Iussus domum ac genus edere, respondit Vandalum se esse et Salomonis servum: amicum habere

P 291 Σολόμωνος δὲ δοῦλος ἔφασκεν εἶναι. φίλον μέντοι τῶν τινα ἰα-
τρῶν, Πηγάσιον ὄνομα, εἶναί οἱ ἐν τῇ πόλει Λαρίβῳ, πλησία
που οὔσῃ, ὃς αὐτὸν ὠνήσαιτο τὰ λύτρα διδούς. οἱ μὲν οὖν Μαυ-
ρούσιοι ἄγχιστα τοῦ τῆς πόλεως περιβόλου γενόμενοι ἐκάλουν τε
τὸν Πηγάσιον καί οἱ Σολόμωνα ἐδείκνυον, ἠρώτων τε εἴ οἱ τοῦ-
τον ὠνεῖσθαι πρὸς ἡδονῆς ἐστι. καὶ ἐπεὶ ὡμολόγει ὠνήσεσθαι, πεν-
τήκοντά οἱ χρυσοῖς ἀπέδοντο τὸν Σολόμωνα. ἐντὸς δὲ τοῦ περι-
βόλου γενόμενος Σολόμων τοὺς Μαυρουσίους, ἅτε πρὸς αὐτοῦ
μειρακίου ὄντος ἐξηπατημένους, ἐτώθαζε. αὐτὸς γὰρ ἔφασκε
B Βάκχου μὲν παῖς, Σολόμωνος δὲ ἀδελφιδοῦς εἶναι. Μαυρού-
σιοι δὲ τοῖς τε ξυμπεσοῦσι περιαλγοῦντες καὶ δεινὰ ποιούμενοι,
ὅτι δὴ Σεργίου τε καὶ Ῥωμαίων ἐνέχυρον καρτερὸν ἔχοντες εἶτα
οὕτω παρέργως ἀφῆκαν, ἐς Λάριβόν τε ἀφίκοντο καὶ αὐτοῖς ἐς
πολιορκίαν κατέστησαν, ὅπως τὸν Σολόμωνα ξὺν τῇ πόλει αἱρή-
σωσιν. οἱ δὲ πολιορκούμενοι τῶν βαρβάρων τὴν προσεδρείαν
κατορρωδήσαντες, ἐπεὶ οὐδὲ τὰ ἐπιτήδεια ἐσκομισάμενοι ἔτυχον,
τοῖς Μαυρουσίοις ἐς λόγους ἦλθον, ἐφ' ᾧ χρήματα μεγάλα πε-
ριβαλλόμενοι τὴν προσεδρείαν εὐθὺς διαλύσωσιν. οἱ δὲ οὐκ ἂν
ἑλεῖν βίᾳ τὴν πόλιν οἰόμενοι, ἐπεὶ Μαυρουσίοις τειχομαχεῖν οὐ-
δαμῇ ἤσκηται, σπανίζειν τε τὰ ἐπιτήδεια τοῖς πολιορκουμένοις
C ἥκιστα ἔγνωσαν, τούς τε λόγους ἐνεδέχοντο καὶ τρισχιλίους κο-
μισάμενοι χρυσοῦς τὴν πολιορκίαν διέλυσαν, καὶ οἱ Λευάθαι ἐπ'
οἴκου ξύμπαντες ἀνεχώρησαν.

6. ὠνήσεσθαι] ὠνήσασθαι L corr. Hm. 7. χρυσοῖς] χρυσοῦ HL. 8. Σολόμων addidi ex A. 9. αὐτὸς γὰρ] Legebatur αὐτὸς γὰρ Σολόμων. 11. ξυμπεσοῦσι] ξυμπεσοῦσιν L. 13. οὕτω] οὕτως L. ibid. αὐτοῖς add. HL: om. P. 15. 18. προσεδρείαν] Vulgo προσεδρίαν. 18. εὐθὺς] Vulgo εὐθύ. 22. Λευάθαι] λέβαθε L. λεβάθαι H. Λεβάνθαι P. Λευάνθαι Scaliger. Leucathae RV.

Laribi (urbs haec vicina erat) medicum quendam, Pegasium nomine, a quo redimeretur. Accedunt Mauri ad urbis moenia; accito Pegasio Salomonem exhibent; rogant, eumne emere lubeat. Pacto aureorum L. pretio, Salomonem dimittunt: qui urbem ingressus, Mauros, a se quamvis adolescentulo circumscriptos, sannis explosit, tunc se Bacchi filium, et ab eo Salomonis nepotem professus. Hinc dolore incensi Mauri, ac secum indignantes, quod, cum Sergii Romanorumque firmum pignus haberent, id abire adeo negligenter sivissent; ad urbem Laribum confluunt, eoque animo obsidium capessunt, ut Salomonem cum illa pariter capiant. Obsessos invasit timor: quo impulsi, quoniam nullos commeatus invexerant, cum Mauris agunt, ut, grandi accepta pecunia, obsidionem extemplo solvant. Illi desperata urbis expugnatione, quod ad oppugnandos muros inexercitati sint Mauri, cum etiam ignorarent cibariorum penuria laborare obsessos, ad conditionem accedunt, tribusque aureorum acceptis millibus, obsidionem solvunt. Tum Lebanthae omnes domum repetiere.

κγ'. Ἀντάλας δὲ καὶ ὁ τῶν Μαυρουσίων στρατὸς ξυνελέ- V 424
γοντο αὖθις ἐν Βυζακίῳ, καὶ αὐτοῖς Στότζας ξυνῆν, στρατιώτας
τε ὀλίγους τινὰς καὶ Βανδίλους ἔχων. Ἰωάννης δὲ ὁ Σισιννιόλου,
πολλὰ λιπαρούντων Λιβύων, στράτευμα ἀγείρας ἐπ' αὐτοὺς ἦλ- D
θεν. ἐτύγχανε δὲ Ἱμέριος Θρᾷξ τῶν ἐν Βυζακίῳ καταλόγων ἄρ-
χων, ὃν δὴ τότε Ἰωάννης ἐκέλευε πάντας ἐπαγόμενον τοὺς ταύτῃ
καταλόγους ξὺν τοῖς ἑκάστῳ ἡγουμένοις ἐλθόντα ἐς χωρίον Μενε- H 155
φέση, ὅ ἐστιν ἐν Βυζακίῳ, σφίσι ξυμμῖξαι. ὕστερον δὲ ἀκούσας
ἐνταῦθα ἐστρατοπεδεῦσθαι τοὺς πολεμίους, Ἱμερίῳ ἔγραφε τά
τε ξυμπεσόντα δηλῶν καὶ σφίσιν ἐπαγγέλλων ἑτέρωθι ἀναμίγνυ-
σθαι, ὅπως μὴ κατὰ μόνας, ἀλλὰ κοινῇ ἅπαντες ὑπαντιάσωσι
τοῖς πολεμίοις. τύχῃ δέ τινι οἱ ταῦτα τὰ γράμματα ἔχοντες ὁδῷ
ἑτέρᾳ χρησάμενοι τὸν Ἱμέριον εὑρεῖν οὐδαμῇ ἴσχυσαν, ἀλλὰ ξὺν
τῷ στρατῷ ἐμπεπτωκὼς ἐς τὸ τῶν ἐναντίων στρατόπεδον γέγονεν
ὑπὸ ταῖς ἐκείνων χερσίν. ἦν δέ τις ἐν τούτῳ τῷ Ῥωμαίων στρα- P 292
τῷ νεανίας Σεβηριανὸς, Ἀσιατικοῦ παῖς, Φοῖνιξ, Ἐμεσηνὸς γέ-
νος, καταλόγου ἱππικοῦ ἄρχων. ὃς δὴ μόνος ξὺν τοῖς ἀμφ'
αὐτὸν στρατιώταις, πεντήκοντα οὖσι, τοῖς πολεμίοις ἐς χεῖρας
ἦλθε. καὶ χρόνον μὲν ἀντεῖχόν τινα, ἔπειτα δὲ πολλῷ πλήθει
βιαζόμενοι ἐς λόφον ἀνέδραμον ἐνταῦθά πῃ ὄντα, οὗ δὴ φρού-
ριον οὐκ ἀσφαλὲς ἦν. διὸ δὴ ὁμολογίᾳ σφᾶς αὐτοὺς τοῖς ἐναν-
τίοις ἐνταῦθα ἐπ' αὐτοὺς ἀναβεβηκόσι παρέδωκαν. οἱ δὲ οὔτε

3. Σισιννιόλου] σισινιόλου H. *Sisinii* RV. Vid. ad p. 290 a. 4. ἀγείρας L. ἐγείρας P. 7. „Μενεφέσῃ] Leg. Μενεφέσην." Malt. *Menephessam* RV. 8. ξυμμῖξαι] ξυμμίξαι P. 9. ἐστρατοπεδεῦσθαι] στρατοπεδεύεσθαι L a pr. m. 21. σφᾶς αὐτοὺς] σφᾶς (σφὰς L) αὐτοῖς HL.

23. Iterum Antalas ac Maurorum exercitus in Byzacio coiere, socio Stoza cum exigua Romanorum militum ac Vandalorum manu. Filius vero Sisinnioli Ioannes, sollicitis precibus Afrorum victus, collectas copias in eos duxit, atque Himerium Thracem cum omnibus, quibus praeerat, numeris Byzacenis ac singulorum ducibus Menephesen in Byzacio sitam petere, et vires iungere sibi iussit. Postea compertum habens ibi hostes metatos esse, Himerio per literas quid contigisset significat, mandatque ut secum alibi coëat; ne separate, sed una omnes illis occurrant. Forte accidit, ut diversum ingressi iter tabellarii, deerraverint ab Himerio; qui in hostium castra atque adeo manus delapsus est. In eo Romanorum exercitu erat Severianus adolescens, Asiatici filius, natione Phoenix, ortu Emesenus, turmae equestris ductor. Praeter hunc et L. eius milites, nemo manum cum hoste conseruit. Illi quidem impetum aliquandiu sustinuere: deinde vero multitudine oppressi, evasere cursu in collem proximum, ubi castellum erat non satis firmum. Quamobrem hostibus, qui illo ascenderunt, se permisere. Nec Severianum, militumve quemquam spo-

αὐτὸν οὔτε τῶν στρατιωτῶν τινα ἔκτειναν, ἀλλὰ ζωγρήσαντες
ἅπαντας, Ἱμέριον μὲν ἐν φυλακῇ ἔσχον, τῷ δὲ Στότζᾳ τοὺς στρα-
B τιώτας παρέδοσαν, ὁμολογοῦντας σφίσι ξὺν προθυμίᾳ πολλῇ ἐπὶ
Ῥωμαίους στρατεύσεσθαι· τὸν μέντοι Ἱμέριον, ἢν μὴ τὰ ἐπαγ-
γελλόμενα ποιῇ, κτείνειν ἠπείλουν. ἐπήγγελλον δὲ πόλιν Ἀδρα-
μητὸν ἐπιθαλασσίαν μηχανῇ τινι σφίσιν ἐνδοῦναι. καὶ ἐπεί οἱ
ἰσχυρίζετο βουλομένῳ εἶναι, ἐπὶ Ἀδραμητὸν σὺν αὐτῷ ᾔεσαν.
τῆς πόλεως ἀγχοῦ γενόμενοι Ἱμέριον μὲν ὀλίγῳ ἔμπροσθεν ξὺν
στρατιώταις τῶν Στότζᾳ ἑπομένων τισὶν ἔπεμψαν, Μαυρουσίους
δεδεμένους δῆθεν ἐφέλκοντα, αὐτοὶ δὲ ὄπισθεν εἵποντο. καὶ τῷ
Ἱμερίῳ εἰπεῖν τοῖς ἐφεστῶσι ταῖς τῆς πόλεως πύλαις ἐπέστελλον,
ὡς νικῴη μὲν κατὰ κράτος ὁ βασιλέως στρατὸς, ἥξει δὲ Ἰωάν-
C νης αὐτίκα δὴ μάλα, πλῆθος Μαυρουσίων δοριαλώτων ἄγων
ἀριθμοῦ κρεῖσσον· οὕτω τε τῶν πυλῶν σφίσιν ἀνοιγνυμένων,
ἐντὸς τοῦ περιβόλου ξὺν τοῖς ἅμα αὐτῷ ἰοῦσι γενέσθαι. καὶ ὃς
μὲν κατὰ ταῦτα ἐποίει. Ἀδραμητηνοὶ δὲ οὕτως ἐξαπατηθέντες
(οὐ γὰρ ἀπιστεῖν τῷ πάντων ἄρχοντι τῶν ἐν Βυζακίῳ στρατιω-
τῶν εἶχον) τὰς πύλας ἀναπετάσαντες τοὺς πολεμίους ἐδέχοντο.
τότε δὴ οἱ ξὺν τῷ Ἱμερίῳ ἐσβάντες σπασάμενοι τὰ ξίφη τὰς πύ-
λας ἐπιτιθέναι τοὺς ταύτῃ φύλακας οὐκ ἔτι εἴων, ἀλλὰ πάντα τῇ
πόλει αὐτίκα ἐδέξαντο τὸν τῶν Μαυρουσίων στρατόν. ληισάμε-
D νοί τε αὐτὴν οἱ βάρβαροι καὶ φύλακας καταστησάμενοι ὀλίγους

4. στρατεύσεσθαι ALPm. στρατεύσασθαι HP. 5. ἐπήγγελλον] ἐπήγγελλε H. 10. δῆθεν AHL. δῆθεν τῷ λόγῳ P ex Maltreti coniectura. 13. δοριαλώτων] Vulgo δορυαλώτων. 16. Ἀδραμητηνοὶ] Vulgo Ἀδραμητινοί.

liarent vita Barbari, sed cum omnes cepissent vivos, Himerio in custodiam dato, milites, se in Romanos arma laturos magno studio pollicentes, Stozae tradiderunt: Himerio mortem, nisi imperata faceret, intentarunt. Mandarunt autem, aliqua arte efficeret, ut Adrumeto, urbe maritima, potirentur. Ut collibitum id sibi esse asseveravit Himerius, Adrumetum cum eo petunt. Urbi iam propinqui, illum modico intervallo praemittunt, nonnullis Stozae militibus stipatum, et Mauros in speciem vinctos trahentem interea, dum ipsi subsequerentur. Haec autem praeceperant, nuntiaret portae custodibus, vi victum ac fusum hostem ab Imperatoris exercitu, moxque affuturum Ioannem cum Maurorum captivorum turba innumerabili: tum reclusa porta, urbem cum comitatu intraret. Morem is gessit, itaque decepti Adrumetini, cum nihil esset cur duci militum omnium, qui in Byzacio alebantur, diffiderent, reserata porta, hostes acceperunt. Qui cum Himerio ingressi erant, eductis protinus gladiis, ne portam custodes clauderent prohibuere, omnemque Maurorum exercitum admiserunt in urbem: qua direpta, ac parvo munita praesidio,

τινὰς ἀπηλλάσσοντο. Ῥωμαίων δὲ τῶν ζωγρηθέντων τινὲς μὲν
φυγόντες ἐς Καρχηδόνα ἦλθον, ἐν τοῖς Σεβηριανός τε καὶ Ἰμέ-
ριος ἦν. ἐκ Μαυρουσίων γὰρ τοῖς φεύγειν ἐθέλουσιν οὐ χαλεπὸν
ἦν. πολλοὶ δὲ καὶ ξὺν τῷ Στότζᾳ οὔ τι ἀκούσιοι ἔμειναν.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον τῶν τις ἱερέων, Παῦλος ὄνο-
μα, ὃς δὴ ἐφειστήκει τῇ τῶν νοσούντων ἐπιμελείᾳ, κοιναλογησά-
μενος τῶν λογίμων τισίν, αὐτὸς μέν, ἔφη, ἐς Καρχηδόνα στα-
λήσομαι καὶ κατὰ τάχος ξὺν στρατῷ ἐπανήξειν ἐλπίδα ἔχω, ὑμῖν
δὲ μελήσει τῇ πόλει τὸ βασιλέως στράτευμα δέξασθαι. οἱ μὲν
οὖν αὐτὸν βρόχοις τισὶν ἀνάψαντες νύκτωρ ἀπὸ τοῦ περιβόλου
καθῆκαν, ὁ δὲ παρὰ τῆς θαλάσσης τὴν ᾐόνα γενόμενος, ὁλκάδος V 425
τε ἁλιέων ἐπιτυχὼν ἐνταῦθά πη οὔσης χρήμασι πολλοῖς ἀναπείσας P 293
τοὺς ταύτῃ κυρίους ἐς Καρχηδόνα ἔπλει. οὗ δὴ καταπλεύσας
καὶ Σεργίῳ ἐς ὄψιν ἐλθὼν τόν τε λόγον ἅπαντα ἔφρασε καὶ στρά-
τευμα λόγου ἄξιον ὡς Ἀδραμητὸν ἀνασωσομένῳ διδόναι ἠξίου.
καὶ ἐπεὶ ταῦτα Σέργιον ἥκιστα ἤρεσκεν, ἅτε τοῦ ἐν Καρχηδόνι
στρατοῦ οὐ πολλοῦ ὄντος, ὁ δὲ ὀλίγους οἱ στρατιώτας τινὰς δι-
δόναι ἐδεῖτο, λαβών τε ἄνδρας οὐ πλέον ὀγδοήκοντα, ἐπενόει
τοιάδε. νηῶν τε ἄθροισιν καὶ ἀκάτων συχνῶν ποιησάμενος ναύ-
τας τε πολλοὺς ἐνταῦθα ἐσεβίβασε καὶ Λίβυας ἄλλους, ἱμάτια
περιβεβλημένους, ἃ δὴ Ῥωμαίων οἱ στρατιῶται εἰώθασιν ἐνδιδύ- B
σκεσθαι. ἄρας τε τῷ παντὶ στόλῳ εὐθὺ Ἀδραμητοῦ κατὰ τάχος H 156

2. Σεβηριανός] σευηριανός AHL. 6. ἐφεστήκει L corr. Hm. ἐνεστήκει AL. ἐστήκει HP. 7. λογίμων] λογίων HL et Reg. apud Malt. 11. ᾐόνα] Vulgo ἠϊόνα. 13. ταύτῃ HL. ταύτης P. 22. εὐθὺ] Vulgo εὐθὺς.

Barbari discesserunt. Romanorum, qui vivi in eorum potestatem venerant, elapsi nonnulli se recepere Carthaginem: Severianus atque Himerius in illo fuere numero. Quisquis enim Mauris fuga subtrahere se volebat, facile poterat. Multi a Stoza digredi noluerunt.

Aliquanto post sacerdos quidam (Paulo nomen erat) nosocomio praefectus, cum civitatis optimatibus quibusdam agens, *Equidem ipse*, inquit, *Carthaginem proficiscar, spe ductus, fore ut cum copiis propediem redeam: vobis vero ut in urbem Caesarianus intromittatur exercitus curae sit.* Eum illi funibus religatum e muro noctu demiserunt. Hinc ipse ad littus maris progressus, ac navigium piscatorium nactus, ab iis, ad quos id pertinebat, multa impetravit pecunia, ut Carthaginem veheretur. Quo delatus, et ad Sergium introductus, rem plane enuntiavit, validasque copias petiit, utpote qui recipere Adrumetum pararet. Renuenti Sergio, et Carthaginiensis praesidii tenuitatem causanti institit, ut aliquot saltem sibi milites adiungerentur. Assumptis tandem non amplius octoginta, hanc artem excogitat. Collecta magna vi navium scapharumque, nautas plurimos aliosque Afros in eas imponit, militum Romanorum more vestitos. Tum oram solvit, et recta Adrumetum versus cum omni classe celeriter

ἔπλει. καὶ ἐπεὶ αὐτῆς ἄγχιστα ἐγεγόνει, πέμψας τινὰς λάθρα τοῖς τῆς πόλεως δοκίμοις ἐσήμαινεν ὡς Γερμανὸς ὁ βασιλέως ἀνεψιὸς ἐς Καρχηδόνα ἔναγχος ἥκων Ἀδραμητηνοῖς λόγου πολλοῦ ἄξιον στράτευμα πέμψει. οἷς δὴ θαρσοῦντας ἐκέλευε τὴν νύκτα ἐκείνην ἀνακλῖναι σφίσι πυλίδα μίαν. οἱ δὲ τὰ ἐπηγγελμένα ἐποίουν. οὕτω τε ὁ Παῦλος ξὺν τοῖς ἑπομένοις ἐντὸς τοῦ περι-
C βόλου γενόμενος τούς τε πολεμίους ἅπαντας ἔκτεινε καὶ βασιλεῖ Ἀδραμητὸν ἀνεσώσατο, ἥ τε ἀμφὶ Γερμανῷ φήμη ἐνθένδε ἀρξαμένη ἄχρι ἐς Καρχηδόνα ἐχώρησεν. οἱ δὲ Μαυρούσιοι καὶ ὁ Στότζας ξὺν τοῖς ἑπομένοις ταῦτα ἀκούσαντες κατ᾽ ἀρχὰς μὲν κατωρρώδησάν τε καὶ ἐς τὰς Λιβύης ἐσχατιὰς φεύγοντες ᾤχοντο, ἔπειτα δὲ γνόντες τὸν ἀληθῆ λόγον δεινὰ ἐποιοῦντο, εἰ αὐτοὶ Ἀδραμητηνῶν φεισάμενοι πάντων τοιαῦτα πρὸς ἐκείνων πεπόνθασι. διὸ δὴ πανταχῆ ἐπισκήψαντες ἀνόσια Λίβυας ἔργα εἰργάσαντο, οὐδεμιᾶς ἡλικίας φεισάμενοι, γέγονέ τε τότε ἀνθρώπων ἔρημος ἐπὶ πλεῖστον ἡ χώρα. Λιβύων γὰρ τῶν ἀπολελειμμένων
D οἱ μὲν ἐς τὰς πόλεις διέφευγον, οἱ δὲ ἐς τὴν Σικελίαν καὶ νήσους τὰς ἄλλας. οἱ μέντοι λόγιμοι ἅπαντες ἐς Βυζάντιον ἦλθον, ἐν τοῖς καὶ Παῦλος ἦν, ὁ τὴν Ἀδραμητὸν ἀνασωσάμενος βασιλεῖ. οἵ τε Μαυρούσιοι ἀδεέστερον ἅπαντες, ἅτε οὐδενὸς σφίσιν ἐπεξιόντος, ἦγόν τε καὶ ἔφερον ἅπαντα καὶ ξὺν αὐτοῖς ὁ Στότζας ἐν δυνάμει ὢν ἤδη. Ῥωμαῖοι γὰρ αὐτῷ στρατιῶται πολλοὶ εἵποντο,

3. Ἀδραμητηνοῖς] Ἀδραμητινοῖς P et similiter infra. 4. πέμψει] Vulgo πέμψοιεν. πέμψειν, sed deleto ν, L. 5. σφίσι L. σφίσιν P.

navigat. Ut proxime urbem venit, quosdam submittit, qui significent primariis civibus, Germanum, Augusti ex fratre nepotem, modo Carthaginem advectum, florentem exercitum Adrumetinis mittere. Quo nuntio erectis mandat, ut ea nocte portam unam aperiant. Exequuntur illi mandata: itaque Paulus in urbem cum comitibus acceptus, facta hostium internecione, Adrumetum Augusto recuperavit: fama autem de Germano hic excitata, Carthaginem usque pervasit. His Mauri ac Stozas, quique ipsum sequebantur, auditis, initio quidem adeo territi fuere, ut ad oras extremas Africae fugerint. At postea re, ut vere se habebat, comperta, graviter commoti sunt, quod cum ipsi Adrumetinis omnibus pepercissent, tam male essent ab iis habiti. Quapropter effuso quoqueversum impetu, in Afros, sine ullo aetatis discrimine, feritatem immanem exercuerunt. Tunc temporis magna erat in agris solitudo: cum Afri, quos ferrum reliquos fecerat, partim in urbes, partim in Siciliam aliasque insulas diffugissent. Primores omnes Byzantium se contulere: quo in numero Paulus fuit, is qui Imperatori Adrumetum recuperaverat. Interea Mauri universi, nulla eruptione prohibiti, omnia impune vastabant, et cum illis Stozas, iam potens. Ipsum enim Romani milites magno numero sequebantur.

οἱ μὲν αὐτόμολοι ἥκοντες, οἱ δὲ κατ' ἀρχὰς μὲν αἰχμάλωτοι γεγενημένοι, ἐθελούσιοι δὲ αὐτοῦ μείναντες. Ἰωάννης δέ, οὗ δὴ λόγος τις ἦν ἐν Μαυρουσίοις, Σεργίῳ προσκεκρουκὼς ἐς τὰ μάλιστα ἡσυχίαν ἦγεν.

κδ'. Ἐν τούτῳ δὲ βασιλεὺς ἄλλον ἐς Λιβύην στρατηγὸν P 294
Ἀρεόβινδον ξὺν στρατιώταις ὀλίγοις τισὶν ἔπεμψεν, ἄνδρα ἐκ βουλῆς μὲν καὶ εὖ γεγονότα, ἔργων δὲ πολεμίων οὐδαμῶς ἔμπειρον· καὶ ξὺν αὐτῷ Ἀθανάσιον ὕπαρχον ἄρτι ἐξ Ἰταλῶν ἥκοντα ἔστελλε καὶ Ἀρμενίους ὀλίγους τινάς, ὧν Ἀρταβάνης τε καὶ Ἰωάννης ἦρχον, Ἰωάννου παῖδες, Ἀρσακίδαι μὲν γένος, ἔναγχος δὲ ἀπολιπόντες τὸ Περσῶν στράτευμα, ἔς τε Ῥωμαίους αὖθις ξὺν τοῖς ἄλλοις Ἀρμενίοις αὐτόμολοι ἥκοντες. ξυνῆν δὲ τῷ Ἀρεοβίνδῳ ἥ τε ἀδελφὴ καὶ Πρεϊέκτα ἡ γυνή, Βιγλεντίας θυγάτηρ τῆς βασιλέως Ἰουστινιανοῦ ἀδελφῆς. οὐ μὴν οὐδὲ Σέργιον B
μετεπέμπετο, ἀλλ' αὐτόν τε καὶ Ἀρεόβινδον Λιβύης στρατηγοὺς ἐκέλευεν εἶναι, τήν τε χώραν καὶ τῶν στρατιωτῶν τοὺς καταλόγους διελομένους. ἐπέβαλλε δὲ Σεργίῳ μὲν τὸν πόλεμον διενεγκεῖν πρὸς τοὺς ἐν Νουμιδίᾳ βαρβάρους, Ἀρεοβίνδῳ δὲ τοῖς ἐν Βυζακίῳ Μαυρουσίοις ἀεὶ διαμάχεσθαι. καταπλεύσαντός τε τοῦ V 426
στόλου τούτου ἐς Καρχηδόνα Σέργιος μὲν ἐπὶ Νουμιδίας ξὺν τῷ οἰκείῳ στρατῷ ἀπιὼν ᾤχετο, Ἀρεόβινδος δὲ Ἀντάλαν τε καὶ Στότζαν ἐνστρατοπεδεύεσθαι μαθὼν ἀμφὶ πόλιν Σικαβενερίαν, τριῶν ἡμερῶν ὁδῷ Καρχηδόνος διέχουσαν, Ἰωάννην τὸν Σισιν- C

13. Πρεϊέκτα] πρεΐσκα HL. 22. Σικαβενερίαν] σικκαμενερίαν LHm et Reg. apud Malt. *Sicavceneriam* RV.

bantur: quorum alii ad eum sponte transfugerant, alii initio capti, postmodum volentes lubentesque apud illum remanserant. Ioannes, quem in aliquo numero ponebant Mauri, offensus Sergio, plane cessabat.

24. Id temporis alterum militiae Magistrum cum paucis militibus in Africam misit Imperator. Is erat Areobindus, genere quidem clarissimus in ordine senatorio, sed plane armorum rudis. Misit cum ipso Praefectum Anthanasium, qui ex Italia non ita pridem venerat, et Armenos aliquot, quibus praeerant Artabanes ac Ioannes, Ioannis filii, Arsacidae, et recenti transfugio a Persarum exercitu ad Romanos reversi cum caeteris Armenis. Habebat secum Areobindus sororem suam, et Preiectam uxorem, filiam Vigilantiae, sororis Iustiniani Aug. qui ne tum quidem Sergium revocavit, sed pariter cum Areobindo Magisterium militare Africae gerere iussit, provinciis et numeris militum divisis bifariam. Ac Sergio cum Numidiae Barbaris, Areobindo cum Mauris Byzacenis bellum perpetuum iniunxit. Appulsa Carthaginem classe, in Numidiam Sergius cum suis copiis profectus est. Areobindus vero, ubi Antalam ac Stozam non procul Sica veneria (urbs illa tridui distat Carthagine) castra metatos audiit, Ioannem Sisinnioli filium cum exercitus flore destinat, et Sergio

νιόλου ἐπ᾽ αὐτοὺς ἐκέλευεν ἰέναι τοῦ στρατοῦ ἀπολεξάμενον εἴ τι
ἄριστον ἦν· τῷ δὲ Σεργίῳ ἔγραφε τοῖς ἀμφὶ τὸν Ἰωάννην ἀναμί-
γνυσθαι, ἐφ᾽ ᾧ κοινῇ ἅπαντες ὁμόσε τοῖς πολεμίοις χωρήσουσι.
Σέργιος μὲν οὖν τῶν τε γεγραμμένων καὶ τοῦ ἔργου τούτου ὀλιγω-
ρεῖν ἔγνω, ὁ δὲ Ἰωάννης ξὺν ὀλίγῳ στρατῷ ἀμυθήτῳ ἠνάγκαστο
τῷ πολεμίων πλήθει ἐς χεῖρας ἰέναι. ἦν δὲ αὐτῷ τε καὶ Στότζᾳ
μέγα τι ἀεὶ ἐς ἀλλήλους ἔχθος, ἑκάτερός τε αὐτῶν ηὔχετο φο-
νεὺς θατέρου γενόμενος οὕτω δὴ ἐξ ἀνθρώπων ἀφανισθῆναι.
D τότε γοῦν, ἐπειδὴ τάχιστα ἡ μάχη ἐν χερσὶ γίγνεσθαι ἔμελλεν,
ἄμφω ἐκ τῶν στρατοπέδων ἐλαύνοντες ἐπ᾽ ἀλλήλους ἦλθον. ὁ
μὲν οὖν Ἰωάννης ἐντείνας τὸ τόξον ἔτι προσιόντα τὸν Στότζαν
κατὰ βουβῶνα τὸν δεξιὸν ἐπιτυχὼν βάλλει, ὁ δὲ καιρίαν τυπεὶς
αὐτοῦ ἔπεσεν, οὔπω μὲν τεθνεώς, χρόνον δὲ ὀλίγον τινὰ ταύτῃ
δὴ ἐπιβιωσόμενος τῇ πληγῇ. ἐπελθόντες δὲ πάντες αὐτίκα, ὅσοι
τε αὐτῷ εἵποντο καὶ ὁ τῶν Μαυρουσίων στρατὸς, Στότζαν μὲν
ὀλιγοψυχοῦντα ἐπὶ δένδρου τινὸς ἔθεντο, αὐτοὶ δὲ θυμῷ πολλῷ
P 295 ἐπὶ τοὺς πολεμίους χωρήσαντες τόν τε Ἰωάννην καὶ Ῥωμαίους
ἅπαντας, ἅτε πλήθει πολλῷ ὑπεραίροντες, οὐδενὶ πόνῳ ἐτρέ-
ψαντο. τότε δή φασιν εἰπεῖν τὸν Ἰωάννην ὡς ἡδύν τινα θάνα-
H 157 τον θνήσκοι, ἐπεί οἱ τὰ τῆς εὐχῆς ἀμφὶ τῷ Στότζᾳ ἐς πέρας ἀφῖ-
κται. χῶρος δέ τις ἦν κατάντης ἐνταῦθα, οὗ δὴ αὐτὸν ἀπο-
βάλλει ὀκλάσας ὁ ἵππος. ἐφ᾽ ὃν αὖθις αὐτὸν ἀναθρώσκειν πει-
ρώμενον καταλαβόντες οἱ πολέμιοι κτείνουσιν, ἄνδρα γενόμενον

6. τῷ πολεμίων] Vulgo τῶν πολεμίων. Articulum om. L. 12. τυπεὶς] τυπτεὶς A. 18. ἐτρέψαντο] ἐστρέψαντο L a pr. m. 20. τῷ στότζᾳ AL. τὸν Στότζαν P.

scribit, uti suas cum Ioanne copias copulet, quo iunctis viribus petatur hostis. At literas remque ipsam in postremis habente Sergio, Ioanni paucorum duci necesse fuit cum infinita hostium multitudine conferre manum. Cum autem inter illum ac Stozam capitale odium inveterasset, alter alterum manu sua conficere, et peracta caede emori peroptabat. Tum igitur, proxime antequam praelium iniretur, ex acie uterque sua admissis equis concurrit. Adhuc Stozas accedebat, cum Ioannes, intento arcu, dexterum illius inguen transfixit. Stozas letali accepto vulnere concidit, haud exanimis quidem, sed post ictum huiusmodi non diu vitam producturus. Statim omnes accurrere, tum Stoziani, tum Mauri; et postquam deficientem animo viribusque ad arborem deposuere, in adversarios animose invecti, Ioannem ac Romanos omnes nullo negotio in fugam verterunt, quippe cum illos longe numero superarent. Ioannem in eo rerum articulo dixisse ferunt, iam sibi mortem iucundam fore, quando concepti in Stozam voti compos evasisset. Ibi locus quidam declivis erat: ubi Ioannes lapso in caput equo excussus, cum in eum saltu denuo sese tollere conaretur, ab hostibus comprehensus et caesus est, vita clarissi-

δόξῃ τε καὶ ἀρετῇ μέγαν. ὅπερ ὁ Στότζας μαθὼν ἐτελεύτησε, τοσοῦτον εἰπών, ὡς ἥδιστα τὸ λοιπὸν θνήσκει. ἐν ταύτῃ τῇ μάχῃ B καὶ Ἰωάννης Ἀρμένιος Ἀρταβάνου ἀδελφὸς θνήσκει, ἔργα ἐς τοὺς πολεμίους ἐπιδειξάμενος ἀρετῆς ἄξια. βασιλεὺς δὲ ταῦτα ἀκούσας περιώδυνός τε τῇ τοῦ Ἰωάννου γεγονὼς ἀρετῇ, μάλιστα ἀξύμφορόν τε νομίσας εἶναι τοῖν δυοῖν στρατηγοῖν τὴν ἀρχὴν ἔχειν, τὸν μὲν Σέργιον εὐθὺς μεταπεμψάμενος ἐς Ἰταλίαν ξὺν στρατῷ ἔστελλεν, Ἀρεοβίνδῳ δὲ ἅπαν τὸ Λιβύης παρέδωκε κράτος.

κε'. Γόνθαρις δὲ δυοῖν μησὶν ὕστερον ἢ Σέργιος ἐνθένδε C ἀπιὼν ᾤχετο τυραννίδι ἐπέθετο τρόπῳ τοιῷδε. ἐτύγχανε μὲν αὐτὸς τῶν ἐν Νουμίδαις καταλόγων ἡγούμενος διατριβήν τε διὰ τοῦτο ἐνταῦθα ἔχων, ἔπρασσε δὲ λάθρα ἐς Μαυρουσίους ὅπως ἐπὶ Καρχηδόνα χωρήσουσιν. αὐτίκα τοίνυν ἔκ τε Νουμιδίας καὶ Βυζακίου πολεμίων στρατὸς ἐς ταὐτὸ ἀγηγερμένος ἐπὶ Καρχηδόνα σπουδῇ πολλῇ ᾔεσαν. ἡγεῖτο δὲ Νουμιδῶν μὲν Κουτζίνας τε καὶ Ἰάβδας, Βυζακηνῶν δὲ Ἀντάλας. ξυνῆν δὲ αὐτῷ καὶ Ἰωάννης ὁ τύραννος ξὺν τοῖς ἑπομένοις, ὃν δὴ οἱ στρατιῶται, D Στότζα τετελευτηκότος, ἄρχοντα σφίσιν αὐτοῖς κατεστήσαντο. γνοὺς δὲ Ἀρεόβινδος τὴν ἔφοδον ἄλλους τε τῶν ἀρχόντων ξὺν τοῖς ἑπομένοις ἐς Καρχηδόνα καὶ Γόνθαριν μετεπέμψατο. παρῆν δὲ αὐτῷ ξὺν τοῖς Ἀρμενίοις καὶ Ἀρταβάνης. ὁ μὲν οὖν Ἀρεόβινδος Γόνθαριν ἐξηγεῖσθαι παντὶ τῷ στρατῷ ἐπὶ τοὺς πολεμίους V 427

3. Ἀρταβάνου] ἀρταμάνου L. 6. δυοῖν] δυεῖν L. *ibid.* ἔχειν delet Grotius. 13. καρχηδόνα ALHm. καρχηδόνος AmHP. 14. ἀγηγερμένος] Vulgo ἐγηγερμένος.

me et magna cum laude fortitudinis acta. Stozas, necis huius accepto nuntio, efflavit animam, id unum effatus, se iam suavissime emori. Ioannes quoque Armenus frater Artabanis, in hac pugna editis in hostem facinoribus generoso dignis pectore, cecidit. Haec ubi Imperator audivit, dolorem magnum ex infelici Ioannis virtute capiens, ac secum reputans militiae Magisterium bifariam dividi sine maximo detrimento non posse, evocatum protinus Sergium, in Italiam cum exercitu misit: Areobindum universae Africae praefecit.

25. Altero post mense quam Sergius inde discesserat, hac via Gontharis ad tyrannidem grassatus est. Cum Numidiae militaribus numeris praeesset, ibique ex officio moraretur, cum Mauris clanculum egit, ut Carthaginem infesti peterent. Itaque e Numidia atque Byzacio collectae in unum hostiles copiae magna contentione ad Carthaginem repente iter direxerunt. Numidis Cutzinas et Iabdas imperabant, Byzacenis Antalas; cui se suosque adiunxerat Ioannes tyrannus, quem milites post obitum Stozae principem suum creaverant. Certior factus de illorum adventu Areobindus, cum alios duces omnes eorumque milites Carthaginem revocavit, tum ipsum Gontharin, quocum erat Artabanes, et qui hunc sequebantur Armenii. Porro Gontharis iubenti Areobindo copias omnes in ho-

ἐκέλευεν. ὃ δὲ προθύμως οἱ τὰ ἐς πόλεμον ὑπηρετήσειν ὑποσχόμενος ἐποίει τάδε. τῶν οἰκετῶν μὲν ἕνα, Μαυρούσιον μὲν γέ-
P 296 νος, τέχνην δὲ μάγειρον, ἐς τὸ τῶν ἐναντίων στρατόπεδον ἐκέλευεν ἰέναι, καὶ δόκησιν μὲν τοῖς ἄλλοις παρέχεσθαι ὅτι δὴ τὸν δεσπότην ἀποδρὰς ᾤχετο, λάθρα δὲ τῷ Ἀντάλᾳ εἰπεῖν ὡς αὐτῷ Γόνθαρις κοινωνεῖν βούλοιτο τῆς Λιβύων ἀρχῆς. ὃ μὲν οὖν μάγειρος κατὰ ταῦτα ἐποίει. ὃ δὲ Ἀντάλας τὸν μὲν λόγον ἀσμένως ἤκουσε, τοσοῦτον δὲ ἀπεκρίνατο, ὡς αἱ γενναῖαι τῶν πράξεων διὰ τῶν μαγείρων ἐπιγίνεσθαι τοῖς ἀνθρώποις οὐ πεφύκασι. ταῦτα ἐπεὶ Γόνθαρις ἤκουσε, τῶν δορυφόρων ἕνα, Οὐλίθεον ὄνομα, ᾧ δὴ μάλιστα πιστοτάτῳ ἐχρῆτο, παρὰ τὸν Ἀντάλαν εὐθὺς ἔπεμψεν, ὡς ἀγχοτάτω Καρχηδόνος αὐτὸν παρακαλῶν ἰέναι. οὕτω γάρ οἱ τὸν Ἀρεόβινδον ἐξ ἀνθρώπων ἀφανιεῖν ἐπηγγέλλετο.
B ὃ μὲν οὖν Οὐλίθεος κρύφα τῶν ἄλλων βαρβάρων Ἀντάλᾳ ξυμβαίνει, ἐφ᾽ ᾧ Βυζακίου μὲν Ἀντάλας ἄρχοι, τό τε ἥμισυ τῶν Ἀρεοβίνδου χρημάτων ἔχων καὶ πεντακοσίους τε καὶ χιλίους στρατιώτας Ῥωμαίους ξὺν αὐτῷ ἐπαγόμενος, Γόνθαρις δὲ τὸ βασιλέως ἀξίωμα λάβοι, Καρχηδόνος τε τὸ κράτος καὶ Λιβύης τῆς ἄλλης ἔχων. ταῦτα δὲ διαπεπραγμένος ἐπανῆκεν ἐς τὸ Ῥωμαίων στρατόπεδον, ὅπερ ἅπαν πρὸ τοῦ περιβόλου πεποίηντο, ἐν σφίσιν αὐτοῖς τὰ φυλακτήρια πύλης ἑκάστης νειμάμενοι. οἱ δὲ βάρβαροι οὐ πολλῷ ὕστερον εὐθὺ Καρχηδόνος σπουδῇ πολλῇ ᾔεσαν, ἔν τε χωρίῳ τῷ Δεκίμῳ καλουμένῳ στρατοπεδευσάμενοι ἔμενον.

7. ὃ δὲ] ὃ δέ οἱ HL. 9. οὐ πεφύκασι P cum RV. οὐ om AHL. 19. ταῦτα δὲ] ταῦτά τε Hm. 20. πεποίηντο LmHm. πεποίηνται APm. πεποίηται HP.

stem ducere, suam in bello operam prompte pollicitus, fraudem hanc struxit. Maurum quemdam, e suis unum famulis, eumdemque coquum ad castra hostium se ita conferre iussit, ut vulgo quidem servi speciem fugitivi praeberet, clam vero Antalae significaret, velle Gontharin cum ipso regnum Africae communicare. Nec defuit mandatis coquus. His Antalas quamvis libenter auditis, id unum respondit, praeclara negotia per coquos agitari inter homines non solere. Quibus verbis ad Gontharin perlatis, Ulitheum, satellitii sui fidissimum, e vestigio ad Antalam destinat, eum hortans, ut proxime Carthaginem veniat: id si fecerit, facturum se recipit, ut Areobindus ex vivorum numero exturbetur. Demum Ulitheus, clam caeteris Barbaris, cum Antala pactionem hanc conficit: in potestate Antalae futurum Byzacium cum dimidia parte pecuniae Areobindi, ac Romanis militibus mille et quingentis: Gotharin cum regia dignitate, dominatu Carthaginis et reliquae Africae potiturum. His transactis, ad Romana castra revertitur, ab omni exercitu pro moenibus ita posita, ut inter copias portarum custodia divisa esset. Haud multo post recta Carthaginem petere Barbari maturavere, et ad Decimum metati

ἐνθένδε τε ἄραντες τῇ ὑστεραίᾳ πρόσω ἐχώρουν. τινὲς δὲ ὑπαντιάσαντες C τοῦ Ῥωμαίων στρατοῦ, ἐς χεῖράς τε αὐτοῖς ἀπροσδόκητοι ἦλθον καὶ Μαυρουσίων συχνοὺς ἔκτειναν. οὓς δὴ ὁ Γόνθαρις εὐθὺς ἀνεκάλει κακίζων, ἅτε ἀνεπισκέπτως τε θρασυνομένους καὶ τὰ Ῥωμαίων πράγματα ἐθέλοντας ἐς προὖπτόν τινα ἐμβαλεῖν κίνδυνον.

Ἐν τούτῳ δὲ Ἀρεόβινδος πέμψας παρὰ τὸν Κουτζίναν λάθρα ἔπρασσε προδοσίας πέρι. καί οἱ ὁ Κουτζίνας ὡμολόγησεν, ἐπειδὰν ἐν τῷ ἔργῳ γένωνται, ἐπί τε Ἀντάλαν καὶ Μαυρουσίους H 158 τοὺς ἐκ Βυζακίου τραπήσεσθαι. Μαυρούσιοι γὰρ οὔτε πρὸς ἄλλους ἀνθρώπων τινὰς οὔτε πρὸς ἀλλήλους τὸ πιστὸν ἔχουσι. ταῦτα ἐς Γόνθαριν ὁ Ἀρεόβινδος ἐξήνεγκεν. ὁ δὲ παρακρούεσθαί τε D καὶ ἀναβάλλεσθαι τὴν πρᾶξιν ἐθέλων παρῄνει τῷ Ἀρεοβίνδῳ τὸ πιστὸν ἐς Κουτζίναν ὡς ἥκιστα ἔχειν, ἢν μὴ τοὺς παῖδας ἐν ὁμήρων λόγῳ παρ' αὐτοῦ λάβοι. Ἀρεόβινδος μὲν οὖν καὶ Κουτζίνας λάθρα παρ' ἀλλήλους ἀεὶ πέμποντες ἀμφὶ τῇ ἐς Ἀντάλαν ἐπιβουλῇ διατριβὴν ἔσχον. Γόνθαρις δὲ αὖθις τὸν Οὐλίθεον στείλας ἔκπυστα τῷ Ἀντάλᾳ ἐποίησε τὰ πρασσόμενα. καὶ ὃς οὔτε τι τῷ Κουτζίνᾳ ἐπικαλεῖν ἔγνω οὔτε ὅτι ἐπέπυστο τὴν ἐπιβουλὴν ἔνδηλος αὐτῷ ἐγεγόνει, οὐ μὴν οὐδέ τι ἐξήνεγκε τῶν αὐτῷ τε καὶ Γονθάριδι ξυγκειμένων. ἀλλήλοις δὲ ἄμφω πολέμιοί τε καὶ δυσμενεῖς ταῖς γνώμαις ὄντες νῷ τε πονηρῷ ξυνετάσσοντο, P 297 ἐπί τε τὸν οἰκεῖον ἑκάτερος φίλον ἀλλήλοις ξυστρατεύοντες ᾖεσαν.

1. τε add. L. 16. Ἀντάλαν] Ἀντάλα P. 19. οὔτε — οὔτε] οὐδέ — οὐδὲ P. ibid. ἐπικαλεῖν AL. ἐπιβαλεῖν P. 23. ξυστρατεύοντες] ξυνστρατεύοντες L.

(id loco nomen erat) cum inde postridie movissent, progressi sunt. Romani pars exercitus illis obviam facta, improviso impetu Mauris cladem non levem attulit. Eos Gontharis in castra quamprimum revocat, obiurgatque inconsideratam audaciam, qua rem Romanam in apertum discrimen conijcere vellent.

Interea per internuntios Cutzinam Areobindus ad proditionem occulte sollicitabat. Recepit Cutzinas, se, fervente praelio, arma in Antalam ac Mauros Byzacenos versurum. Nimirum Mauri nullam sibi invicem, nedum aliis nationibus fidem praestant. Huius consilii factus ab Areobindo particeps Gontharis, idque ne ad exitum perduceretur mora impedire cupiens, hortatus est, ne Cutzinae prius fideret, quam eius liberos obsides accepisset. Dum autem instruendis Antalae insidiis crebros per internuntios Areobindus et Cutzinas tempus consumunt, iterum Gontharis Ulitheum mittit, Antalaeque quid in ipsum paretur indicat. Is vero secum statuit, nihil Cutzinae exprobrare, neque ullum signum edere patefactae sibi molitionis: pacta etiam inter ipsum et Gontharin conventa silentio texit. Itaque ambo alienati invicem, et consiliis discrepantes, malo animo societatem gerebant, iunctisque armis ad suum quisque amicum

τοιαύτῃ μὲν γνώμῃ Κουτζίνας τε καὶ Ἀντάλας ἐπὶ Καρχηδόνα τὸν Μαυρουσίων στρατὸν ἐπῆγον. Γόνθαρις δὲ κτεῖναι μὲν τὸν Ἀρεόβινδον διενοεῖτο, τὸ δὲ μὴ δοκεῖν τυραννίδος ἐπιβατεύειν, ἐν παρατάξει λάθρα τοῦτο δρᾶν ἤθελεν, ὅπως πρὸς ἑτέρων μὲν ἡ ἐπιβουλὴ ἐς τὸν στρατηγὸν γεγενῆσθαι δόξειεν, αὐτὸς δὲ ἀναγκασθείη τῷ Ῥωμαίων στρατῷ ἀνελέσθαι τὴν Λιβύης ἀρχήν. ἀπάτῃ τοίνυν τὸν Ἀρεόβινδον περιελθὼν πείθει τοῖς πολεμίοις ἐπεξελθόντα ὁμόσε ἰέναι, ἤδη που Καρχηδόνος ἄγχιστα ἥκουσιν. ἐδό-
B κει γοῦν αὐτῷ τῇ ὑστεραίᾳ παντὶ τῷ στρατῷ ἐξηγήσεσθαι ἐπὶ τοὺς πολεμίους ἅμα ἡλίῳ ἀνίσχοντι. ἀλλ' Ἀρεόβινδος ἀπείρως τε λίαν ἐς τὸ πρᾶγμα τοῦτο καὶ ὀκνηρῶς ἔχων μελλήσει ἐχρῆτο οὐδενὶ λόγῳ. μελετῶν τε γὰρ ὅπως ἐνδύσαιτο τὴν τῶν ὅπλων σκευὴν καὶ τἄλλα ἐξαρτυόμενος ἐς τὴν ἔξοδον τὸν πλεῖστον τῆς ἡμέρας ἀνάλωσε χρόνον. διὸ δὴ τὴν παράταξιν ἐς τὴν ἐπιοῦσαν ἀποθέμενος ἡσυχῇ ἔμεινε. Γόνθαρις δὲ αὐτὸν ἐξεπίτηδες τὴν μέλλησιν πεποιῆσθαι ὑποτοπήσας, ἅτε τῶν πρασσομένων αἰσθανόμενος, ἐκ τοῦ ἐμφανοῦς τόν τε φόνον τοῦ στρατηγοῦ καὶ τῆς τυραννίδος τὴν ἐπίθεσιν ἐπιτελεῖν ἔγνω.

H 428 C κϛ'. Ἡμέρᾳ τε τῇ ἐπιγενομένῃ ἐποίει τάδε. τὰς πύλας ἀναπετάσας, οὗ δὴ αὐτὸς φυλακὴν εἶχε, λίθους μὲν ὑπερφυεῖς ἔνερθεν ἔθηκεν, ὡς μή τις αὐτὰς ἐπιτιθέναι εὐπετῶς δύναιτο, ἄνδρας τε τεθωρακισμένους καὶ τὰ τόξα ἐν χερσὶν ἔχοντας ἀμφὶ τὰς ἐπάλξεις πολλοὺς ἔστησεν, αὐτός τε τὸν θώρακα ἐνδὺς εἱστή-

12. τε γὰρ Hm. τι γὰρ HL. γὰρ P.

tendebat. Hac mente Cutzina et Antala Maurorum exercitum ad urbem Carthaginem admoventibus, Areobindi caedem Gontharis meditabatur, eamque in acie, ne qua esset species occupatae tyrannidis, ita perpetrare volebat, ut ab aliis illata Magistro militum pernicies videretur, ipse vero Africae imperium cogeretur arripere, ne id sibi Romani milites arrogarent. Igitur dolo circumveniens Areobindum, ei suadet, ut in hostes iam Carthagini proximos una secum exeat. Placet exercitum postridie primo sole in Barbarum ducere. Verum ad haec rudis segnisque Areobindus, cum tempus nulla de causa traheret, maximam diei partem in considerando quo pacto arma indueret, atque in exitu adornando contrivit. Quamobrem reiecta in diem sequentem pugna, se domi continuit. Tum ratus Gontharis eum, fraude intellecta, moras de industria nexuisse, aperte Magistrum militum e medio tollere, et tyrannidem occupare decrevit.

26. Postridie haec egit Gontharis. Reclusa porta, cuius custodiae praeerat, praegrandes lapides ad inferius limen advolvit, ne quis eam facile clauderet: ac milites loricatos arcubusque instructos magno numero ad murorum pinnas locavit: ipse lorica munitus in media porta con-

κει ἐν μέσαις ταῖς πύλαις. ἐπενόει δὲ ταῦτα οὐ Μαυρουσίων ἕνεκα, ὅπως τῇ πόλει αὐτοὺς δέξηται· ἀβέβαιοι γὰρ Μαυρούσιοι παντάπασιν ὄντες ὑπόπτως ἔχουσιν ἐς πάντας ἀνθρώπους. τοῦτό τε αὐτοῖς οὐκ ἄπο τοῦ εἰκότος γενέσθαι ξυμβαίνει· ἐπεὶ ὅστις ἄπιστος ἐς τοὺς πέλας καθέστηκε φύσει, οὐδὲ αὐτὸς πιστεύειν D ὁτῳοῦν δύναται, ἀλλ' ὑπόπτως ἔχειν ἀναγκάζεται ἐς πάντας ἀνθρώπους ἐκ τῆς αὐτοῦ γνώμης τὸν τοῦ πέλας σταθμώμενος τρόπον. διὸ δὴ οὐδὲ Μαυρουσίους ἤλπιζε Γόνθαρις πιστεύσαντάς οἱ ἐντὸς τοῦ περιβόλου γενήσεσθαι, ἀλλ' ὅπως Ἀρεόβινδος ἐμπεσὼν ἐς μέγα τι δέος ἐς φυγήν τε εὐθὺς ὁρμηθείη καὶ κατὰ τάχος Καρχηδόνα ἀπολιπὼν ἐπὶ Βυζαντίου κομίζοιτο. καὶ ἔτυχέ P 298 γε τῆς ἀληθοῦς ἐννοίας, εἰ μὴ χειμὼν μεταξὺ ἐπιγενόμενος διεκώλυσε. μαθὼν δὲ Ἀρεόβινδος τὰ ποιούμενα, τόν τε Ἀθανάσιον καὶ τῶν δοκίμων τινὰς μετεπέμπετο. παρῆν δέ οἱ καὶ Ἀρταβάνης ἐκ τοῦ στρατοπέδου τρίτος αὐτός, τῷ τε Ἀρεοβίνδῳ παρῄνει μήτε ἀναπεπτωκέναι μήτε τόλμῃ τῇ Γονθάριδος ἐνδιδόναι, ἀλλ' αὐτίκα μάλα ἐπ' αὐτὸν ὁμοῦ ξὺν πᾶσι τοῖς οἱ ἑπομένοις βάντα ἔργου ἔχεσθαι, πρίν τι περαιτέρω γεγονέναι κακόν. τὰ μὲν οὖν πρῶτα πέμψας Ἀρεόβινδος παρὰ Γόνθαριν τῶν ἐπιτηδείων τινά, Φρέδαν ὄνομα, ἐκέλευεν ἀποπειρᾶσθαι τῆς αὐτοῦ γνώμης. ἐπεὶ δὲ ὁ Φρέδας ἐπανήκων οὐδαμῇ ἀπαρνεῖσθαι Γόνθαριν τὴν τυραννίδα ἐσήγγελλεν, ἤδη ἐπ' αὐτὸν ὡς ἐς μάχην B ἰέναι διενοεῖτο.

4. ἄπο L. ἀπὸ P. 7. αὐτοῦ] αὑτοῦ L. 12. γε] τε P. 18. βάντα L. ἰόντα P.

stitit. Id vero consilium cepit non Maurorum causa, quo videlicet in urbem eos acciperet: etenim Mauri, quoniam fidem penitus exuerunt, omnes suspectos habent, pro indole ac natura vitii; siquidem ut quisque est infido in vicinos ingenio, ita fidere cuiquam nequit; sed male de omnibus suspicari necesse habet, vicini ingenium suo metiens. Quare non sperabat Gontharis fore ut Mauri, ipsius fidem secuti, urbem intrarent: verum hoc agebat, ut Areobindus animo consternatus, fugae statim se commendaret, ac praeponere relicta Carthagine, Byzantium peteret. Neque illum fefellisset consilium, nisi impedimento fuisset, quae hoc interim spatio orta est in mari tempestas. Quid tum ageretur certior factus Areobindus, Athanasium accit et quosdam ex optimatibus. Reversus e castris affuit Artabanes, ipse tertius, et Areobindum hortatus est, ne animo concideret, neque audaciae Gontharidis manus daret: at sine mora cum illis, qui adessent, eum adoriretur, priusquam pestis ulterius serperet. Ac primum quidem Areobindus Phredam familiarem suum ad Gontharin misit, eiusque animum tentare iussit. Ubi vero reversus Phredas tyrannidem profiteri Gontharin renuntiavit, tum demum statuit illum invadere.

H 159 Ἐν τούτῳ δὲ Γόνθαρις Ἀρεόβινδον ἐς τοὺς στρατιώτας διέ-
βαλλεν, ὡς ἄνανδρός τε εἴη καὶ ἅμα μὲν δέει ἐς τοὺς πολεμίους
ἐχόμενος, ἅμα δὲ τὰς συντάξεις σφίσιν ὡς ἥκιστα ἐθέλων διδό-
ναι, δρασμόν τε ξὺν Ἀθανασίῳ βουλεύεται, καὶ αὐτίκα ἐκ Μαν-
δρακίου ἀποπλεῖν μέλλουσιν, ὅπως οἱ στρατιῶται λιμῷ τε καὶ
Μαυρουσίοις διαφθείρωνται μαχόμενοι, ἐπυνθάνετό τε εἴπερ
αὐτοῖς βουλομένοις εἴη ἄμφω ξυλλαβοῦσιν ἐν φυλακῇ ἔχειν. οὕτω
γὰρ ἤλπιζε τὸν Ἀρεόβινδον ἢ τοῦ θορύβου ᾐσθημένον φυγῇ χρή-
σεσθαι, ἢ καταληφθέντα πρὸς τῶν στρατιωτῶν διαφθαρήσεσθαι
C οὐδενὶ λόγῳ. χρήματα μὲν αὐτὸς ὡμολόγει τοῖς στρατιώταις
προΐεσθαι ὅσαπερ αὐτοῖς τὸ δημόσιον ὦφλε. καὶ οἱ μὲν τούς τε
λόγους ἐνεδέχοντο, μεταξὺ δὲ Ἀρεόβινδος ξύν τε Ἀρταβάνῃ καὶ
τοῖς ἑπομένοις ἐνταῦθα ἀφίκετο. καὶ γίνεται μάχη ἔν τε ταῖς
ἐπάλξεσι καὶ κάτω ἀμφὶ τὰς πύλας, οὗ Γόνθαρις εἱστήκει, ἐν
ᾗ οὐδέτεροι τὸ ἔλασσον ἔσχον. ἔμελλόν τε ξυλλεγόμενοι ἐκ τῶν
στρατοπέδων, ὅσοι βασιλεῖ εὐνοϊκῶς εἶχον, τοὺς στασιώτας κατὰ
κράτος ἑλεῖν. οὐ γὰρ ἅπαντας ὁ Γόνθαρίς πω ἐξηπατήκει, ἀλλ'
οἱ πλεῖστοι ἔτι ταῖς γνώμαις ἀκραιφνεῖς ἔμενον. Ἀρεόβινδος δὲ
τότε πρῶτον ἄνδρας κτεινομένους ἰδὼν (οὐ γάρ πω ἐθὰς τοῦ
D θεάματος τούτου ἐτύγχανεν ὢν) κατεπλάγη τε καὶ ἀποδειλιάσας
οὐκ ἐνεγκών τε τὰ ὁρώμενα φεύγει. ἔστι δέ τις ἐντὸς τοῦ περι-
βόλου Καρχηδόνος νεὼς πρὸς τῇ τῆς θαλάσσης ἀκτῇ, οὗ δὴ ἱε-

12. ἐνεδέχοντο L. ἀνεδέχοντο P. 16. στασιώτας] στρατιώτας AHL. Conf. ad p. 273 b. 18. ἔτι om. L.

Inter haec non cessabat Gontharis Areobindum traducere apud milites, et insimulare ignaviae, ac dictitare, eum hostium adventu territum, incensumque cupiditate stipendia retinendi, moliri fugam cum Athanasio, ambos quamprimum e portu Mandracio soluturos, ut milites cum Mauris et fame pugnantes perire sinerent. Rogavit etiam, placeretne utrumque comprehendere, et tradere in custodiam? Qua ratione factum iri sperabat, ut Areobindus vel tumultu audito fugeret, vel a militibus captus temere occideretur. Caeterum recipiebat, se omnia, quaecunque aerarium ipsis deberet, stipendia soluturum. Dum illi dicta comprobant, ecce adest cum Artabane suorumque agmine Areobindus: ad murorum pinnas, et infra, ad portam, quam obsederat Gontharis, pugna committitur. Neutro propendebat victoria; iamque e castris confluentes, quicunque Imperatori studebant, expugnare seditiosos parabant (nondum enim Gontharis omnium animos errore perverterat; sed mente adhuc integra solidaque plerique stabant) cum Areobindus, tum primum fieri caedem hominum videns, necdum spectaculis eiusmodi assuetus, expavit, trepidansque, nec talia intueri sustinens, se in fugam dedit. Intra muros Cartha-

ὄρες οἰκοῦσιν, οἷς τὰ ἐς τὸ θεῖον ἀκριβῶς ἤσκηται· μοναχοὺς
καλεῖν τοὺς ἀνθρώπους ἀεὶ νενομίκαμεν· τοῦτον Σολόμων δει-
μάμενος τὸν νεὼν οὐ πολλῷ πρότερον τειχίσματί τε περιβαλὼν
φρούριον ἐχυρώτατον κατεστήσατο. ἐνταῦθα καταφυγὼν Ἀρεό- V 429
βινδος ἐσεπήδησεν, ἔνθα τήν τε γυναῖκα καὶ τὴν ἀδελφὴν ἐτύγ-
χανε πέμψας. τότε καὶ Ἀρταβάνης ἀπιὼν ᾤχετο, καὶ οἱ λοιποὶ
ξύμπαντες ἐνθένδε ἀνεχώρουν ὡς ἕκαστός πη ἐδύνατο. Γόνθα- P 299
ρις δὲ κατὰ κράτος νενικηκὼς ξὺν τοῖς στρατιώταις τὸ παλάτιον
ἔσχε, καὶ τάς τε πύλας τόν τε λιμένα ἐνδελεχέστατα ἤδη ἐφύ-
λασσε. πρῶτα μὲν οὖν τὸν Ἀθανάσιον μετεπέμπετο, καὶ ὃς
αὐτῷ οὐδὲν μελλήσας ἦλθε. θωπείᾳ τε πολλῇ χρώμενος δόκησιν
παρείχετο ὡς αὐτῷ ὅτι μάλιστα ἡ πρᾶξις ἀρέσκοι. ἔπειτα δὲ τὸν
τῆς πόλεως ἱερέα πέμψας, Ἀρεόβινδον ἐκέλευε τὰ πιστὰ λαβόντα
ἐς παλάτιον ἥκειν, ἀπειλήσας πολιορκήσειν τε ἀπειθήσαντα καὶ
μηκέτι αὐτοῦ ὑπὲρ τῆς σωτηρίας τὰ πιστὰ δώσειν, ἀλλὰ πάσῃ
μηχανῇ ἐξελὼν κτείνειν. ὁ μὲν οὖν ἱερεὺς ὁ Ῥεπάρατος ἰσχυρί- B
ζετο Γονθάριδος γνώμῃ τῷ Ἀρεοβίνδῳ ὀμεῖσθαι, μηδὲν αὐτῷ
ἄχαρι πρὸς ἐκείνου ξυμβήσεσθαι φράσας, καὶ οἷα μὴ πειθομένῳ
τῷ ἀνθρώπῳ ἠπείλησε. δείσας δὲ Ἀρεόβινδος ὡμολόγησεν αὐ-
τίκα τῷ ἱερεῖ ἕψεσθαι, ἢν τὸ θεῖον λουτρὸν ἱερουργήσας, ᾗπερ
εἴθισται, εἶτα πρὸς αὐτοῦ οἱ ἐπομοσάμενος ἀμφὶ τῇ σωτηρίᾳ τὰ
πιστὰ δοίη. ὁ μὲν οὖν ἱερεὺς κατὰ ταῦτα ἐποίει. Ἀρεόβινδος
δὲ οὐδέν τι μελλήσας αὐτῷ εἵπετο, ἱμάτιον ἀμπεχόμενος οὔτε

8. στρατιώταις] στασιώταις Pm. 9. ἐφύλασσε] ἐφύλαττε L. 20. λουτρὸν] λύτρον H. λῦτρον L. λουτρὸν Hm.

ginis templum est ad maris littus, ubi degunt viri in divino cultu exercitatissimi, quos monachos vocare suevimus. Id Salomon paulo ante posuerat, itaque muro cinxerat, ut propugnaculi validissimi vicem praeberet. Eo perfugit seque intulit Areobindus, quo et coniugem et sororem praemiserat. Artabanes quoque evasit: caeteri, qua quisque potuit, elapsi sunt. Gontharis plenam adeptus victoriam, cum factiosis palatium occupavit, optimasque custodias ad portas et portum disposuit. Tum priorem acciit Athanasium: qui actutum affuit, et scite blandiens, composita specie persuasit, maxime sibi probari facta. Deinde per urbis antistitem denuntiat Areobindo, uti in palatium veniat, accepta fide: renuenti obsidionem minatur, nec se fide publica cauturum ipsius saluti, sed machinis omnibus expugnato mortem illaturum. Reparatus (id antistiti nomen erat) asseveranter dixit Areobindo, iurare se Gontharidis nomine, ipsum ab eo nulla molestia affectum iri, rursus quid ille non obsequenti minatus esset exposuit. Territus Areobindus spopondit praesuli, se continuo venturum, si ipse divino rite operatus lavacro,

στρατηγῷ οὔτε ἄλλῳ στρατευομένῳ ἀνδρὶ ἐπιτηδείως ἔχον, ἀλλὰ
C δούλῳ ἢ ἰδιώτῃ παντάπασι πρέπον, κασοῦλαν αὐτὸ τῇ Λατίνων
φωνῇ καλοῦσι Ῥωμαῖοι. ἐπειδή τε ἀγχοῦ τοῦ παλατίου ἐγένετο,
τὰ θεῖα ἐν χερσὶ λόγια παρὰ τοῦ ἱερέως λαβὼν τῷ Γονθάριδι ἐς
ὄψιν ἦλθε. πρηνής τε πεσὼν χρόνον πολὺν αὐτοῦ ἔκειτο, τὴν
ἱκετηρίαν αὐτῷ τά τε θεῖα λόγια προτεινόμενος καὶ τὸ παιδίον,
ὅπερ τοῦ θείου λουτροῦ ἀξιωθὲν ἔτυχεν, ἐφ' οὗ οἱ τὴν πίστιν ὁ
ἱερεὺς, ὥσπερ μοι ἐρρήθη, παρέσχετο. ἐπεὶ δὲ αὐτὸν ἐξανέ-
στησεν ὁ Γόνθαρις μόλις, πρὸς τῶν ἱερῶν ἁπάντων ἀνεπυνθά-
νετο τοῦ Γονθάριδος, εἴ οἱ τὰ τῆς σωτηρίας ἐν ἀσφαλεῖ κεῖται.
καὶ ὃς θαρσεῖν αὐτὸν ἰσχυρότατα ἤδη ἐκέλευεν· οὐδὲν γὰρ ἄχαρι
D πρὸς αὐτοῦ πείσεσθαι, ἀλλὰ τῇ ὑστεραίᾳ ξύν τε τῇ γυναικὶ καὶ
τοῖς χρήμασιν ἐκ Καρχηδόνος οἰχήσεσθαι. εἶτα τὸν ἱερέα Ῥε-
πάρατον ἀποπεμψάμενος, Ἀρεόβινδόν τε καὶ Ἀθανάσιον δειπνεῖν
ξὺν αὐτῷ ἐν τῷ παλατίῳ ἐκέλευε. καὶ δειπνοῦντα μὲν τὸν Ἀρεό-
βινδον ἐτίμα· πρῶτον γὰρ αὐτὸν ἐπὶ τῆς στιβάδος κατέκλινε,
δειπνήσαντα δὲ οὐ μεθῆκεν, ἀλλὰ καθεύδειν ἐν τῷ κοιτῶνι μόνον
H 160 ἠνάγκαζεν· οὗ δὴ τὸν Οὐλίθεον ξὺν ἑτέροις τισὶν ἐπ' αὐτὸν ἔπεμ-
ψεν. οἵπερ αὐτὸν κωκύοντά τε καὶ ὀλολυγαῖς συχναῖς χρώμενον
πολλά τε πρὸς ἔλεον ἐπαγωγὰ φθεγγόμενον ἐς αὐτοὺς κτείνουσιν.
Ἀθανασίου μέντοι ἐφείσαντο, τὸ γῆρας, οἶμαι, τοῦ ἀνθρώπου
ὑπεριδόντες.

9. πρὸς Scaliger. Libri παρὰ. *ibid.* ἱερῶν P cum Scaligero. ἱερέων HL. 17. δειπνήσαντα δὲ] δὲ om. L. 19. συχναῖς] συχνοὺς L.

per id iuraret, ac fidem faceret promissae incolumitatis. Hoc a praesule consecutus, omni abiecta cunctatione, se illi comitem dedit, non Praetoria nec militari veste indutus, sed famulo vel privato homini plane propria, quam Romani casulam Latine vocant. Prope palatium sacro e manu antistitis accepto codice, Gontharidi sese obtulit, et provolutus diu iacuit, supplicibus protendens manibus sacrum codicem et lustratum baptismo puerum, per quem praesul, ut dixi, fidem ipsi dederat. Vix tandem erectus, Gontharin per sacra omnia obtestans rogat, num salus in tuto sit? Ille bono animo esse iubet, postridie cum uxore et pecunia Carthagine discessurum incolumem. Tum dimisso Reparato antistite, Areobindum et Athanasium in palatio coenae adhibuit. Ac coenanti quidem Areobindo honorem deferens, ei primum concessit in accubito locum: coenatum autem detinuit, coegitque solum quiescere in cubiculo: quo postea Ulitheum immisit cum nonnullis aliis, qui illum plorantem eiulantemque, et miserabiliter deprecantem obtruncarunt. Abstinuere manus ab Athanasio, senectuti hominis, ut equidem interpretor, per contemptum parcentes.

κζ΄. Τῇ δὲ ἐπιγενομένῃ ἡμέρᾳ τὴν μὲν Ἀρεοβίνδου κεφα- P 300
λὴν παρὰ τὸν Ἀντάλαν ὁ Γόνθαρις ἔπεμψε, τὰ δὲ χρήματα καὶ
τοὺς στρατιώτας αὐτὸν ἀποστερεῖν ἔγνω. Ἀντάλας τοίνυν, ὅτι
τέ οἱ τῶν ξυγκειμένων οὐδὲν ἐπετέλει, δεινὰ ἐποιεῖτο, καὶ τὰ ὀμω-
μοσμένα τῷ Γονθάριδι ἐς τὸν Ἀρεόβινδον ἐννοῶν ἤσχαλλεν. οὐ
γάρ οἱ ἐδόκει ὁ τοιούτους ὅρκους ἠδικηκὼς οὔτε αὐτῷ ποτε οὔτε
ἄλλῳ ὁτῳοῦν πιστὸς ἔσεσθαι. πολλὰ γοῦν ἐν αὐτῷ λογισάμενος
Ἰουστινιανῷ βασιλεῖ προσχωρεῖν ἤθελε· διὸ δὴ ὀπίσω ἀπήλαυνε.
γνούς τε Μαρκέντιον, ὃς τῶν ἐν Βυζακίῳ καταλόγων ἦρχεν, ἐς
νῆσόν τινα τῶν ταύτῃ ἐπικειμένων καταφυγεῖν, πέμψας παρ' B
αὐτὸν, φράσας τε τὸν πάντα λόγον καὶ τὰ πιστὰ δοὺς, τὸν ἄν-
θρωπον ἐπηγάγετο. Μαρκέντιος μὲν ἔμενε ξὺν τῷ Ἀντάλᾳ ἐν τῷ
στρατοπέδῳ, στρατιῶται δὲ, ὅσοι ἐν Βυζακίῳ διατριβὴν εἶχον,
εὐνοϊκῶς βασιλεῖ ἔχοντες, Ἀδραμητὸν πόλιν ἐφύλασσον. οἱ δὲ V 430
τοῦ Στότζα στρατιῶται, οὐχ ἧσσους ἢ χίλιοι ὄντες, αἰσθόμενοι
τῶν ποιουμένων, Ἰωάννου σφίσιν ἡγουμένου, παρὰ τὸν Γόνθα-
ριν ἐχώρησαν δρόμῳ. καὶ ὃς αὐτοὺς ἀσμένως τῇ πόλει ἐδέξατο.
ἦσαν δὲ Ῥωμαῖοι μὲν πεντακόσιοι, Οὖννοι δὲ ὀγδοήκοντα μάλι-
στα, οἱ δὲ λοιποὶ Βανδίλοι ἅπαντες. καὶ Ἀρταβάνης τὰ πιστὰ C
λαβὼν ἔς τε τὸ παλάτιον ξὺν τοῖς Ἀρμενίοις ἀνέβη καὶ τῷ τυράν-
νῳ ὑπηρετήσειν ἐπιτάττοντι ὡμολόγησε. λάθρα δὲ ἀνελεῖν τὸν
Γόνθαριν ἐβουλεύετο, Γρηγορίῳ τε τῷ ἀνεψιῷ καὶ Ἀρτασίρῃ τῷ

1. ἐπιγενομένῃ] ἐπιγινομένῃ L. 4. καὶ τὰ] Vulgo καὶ τά τε. 6. οὔτε — οὔτε] οὐδὲ — οὐδὲ P. 19. Βανδίλοι] Βάνδαλοι L.

27. Postera die Gontharis Areobindi caput ad Antalam misit, pecuniam militesque retinuit. Pactis inanibus offensus Antalas, ac iurisiurandi gravitatem perpendens, quo Gontharis Areobindo fidem obstrinxerat, angebatur animo. Neque enim secum vel cum alio quopiam fidem unquam ab eo servatum iri putabat, qui contra tale iuramentum venisset. Re multum cogitata, se ad Iustiniani Aug. causam adiungere statuit, ideoque retro abscessit, et cum Marcentio Byzaceni praesidii duce, quem in adiacentem insulam se recepisse cognoverat, per nuntium communicato plane consilio, ipsum ascivit, interposita fide. Agente Marcentio cum Antala in castris, stantes ab Imperatore omnes Byzacii milites stationarii Adrumetum custodiebant. Stoziani vero, haud minus mille, cognitis quae agebantur, Ioanne duce, accurrerunt ad Gontharin; qui lubens in urbem eos accepit. Quingenti Romani erant; Hunni octoginta; caeteri Vandali. Artabanes in palatium fide publica ascendit: ubi obsequium tyranno pollicitus, clam eius caedem moliri coepit, Gregorio fratris sui filio et Artasire Praetoriano adhibitis in consilium. Ad id Gre-

δορυφόρῳ κοινολογησάμενος τὸ βούλευμα τοῦτο. Γρηγόριος δὲ αὐτὸν ἐς τὴν πρᾶξιν ἐνάγων ἔλεξε τοιάδε „Ἀρταβάνη, νῦν σοι πάρεστι μόνῳ τὸ Βελισαρίου ἀναδήσασθαι κλέος, μᾶλλον δὲ αὐτὸ καὶ πολλῷ ἔτι ὑπερβάλλεσθαι. ὁ μέν γε στρατιὰν ἀξιολογωτάτην καὶ χρήματα μεγάλα παρὰ βασιλέως λαβὼν ἐνταῦθα ἧκεν, ἄρχοντας μὲν ἔχων τούς οἱ ἑπομένους καὶ ξυμβούλους πολλούς, στόλον δὲ νηῶν οἷον οὔπω ἡμεῖς ἀκοῇ ἴσμεν, ἵππον δὲ πολλὴν καὶ ὅπλα καὶ τὰ ἄλλα ἁπλῶς εἰπεῖν ἐπαξίως οἱ παρεσκευασμένα D τῆς Ῥωμαίων ἀρχῆς. οὕτω τε πόνῳ πολλῷ διεσώσατο Λιβύην Ῥωμαίοις. ἅπερ ἅπαντα οὕτως ἀπόλωλεν ὥστε, εἰ μηδὲ τὴν ἀρχὴν ἐγεγόνει, ἔν γε τῷ παρόντι ἐν ἴσῳ εἶναι· πλήν γε δὴ ὅτι ἀποκέκριται Ῥωμαίοις τανῦν ἐκ τῆς Βελισαρίου νίκης τοῖς τε σώμασι καὶ χρήμασιν ἐζημιῶσθαι, καὶ πρός γε τὸ μὴ φυλάξαι τἀγαθὰ δυνατοῖς γεγονέναι. τὸ δὲ πάντα ταῦτα ἀνασώσασθαι τα-
P 301 νῦν βασιλεῖ ἐν τῇ σῇ μόνῃ ψυχῇ καὶ γνώμῃ καὶ δεξιᾷ κεῖται. οὐκοῦν ἐκλογίζου μὲν ὡς εἶ Ἀρσακίδης ἀνέκαθεν γένος, ἐνθυμοῦ δὲ ὡς τοῖς εὖ γεγονόσι ἀνδραγαθίζεσθαι μὲν ἀεί τε καὶ πανταχοῦ πρέπει. πολλὰ γοῦν σοι ἔργα ὑπὲρ τῆς ἐλευθερίας θαυμαστὰ πέπρακται. Ἀκάκιον γάρ, νέος ὢν ἔτι, τὸν Ἀρμενίων ἄρχοντα, καὶ Σίτταν τὸν Ῥωμαίων στρατηγὸν ἔκτεινας, καὶ ἀπ' αὐτοῦ Χοσρόῃ βασιλεῖ γνώριμος γεγονὼς ξὺν αὐτῷ ἐπὶ Ῥωμαίους ἐστράτευσας. ἐπεὶ δὲ τηλικόσδε εἶ, ὡς σὸν εἶναι μὴ περιορᾶν τὴν

4. ὑπερβάλλεσθαι] ὑπερβαλλέσθαι L. 9. „διεσώσατο Reg.“ Malt. Sic ALHm. ἀνεσώσατο HP. 13. γε add. L. 20. τὸν Ῥωμαίων] τῶν ῥωμαίων L.

gorius his fere verbis ipsum hortatus est. *Iam tibi uni, Artabanes, consequi licet gloriam ei parem, quam retulit Belisarius, immo vero longe maiorem. Etenim huc ille venit cum exercitu florentissimo, pecunia ab Imperatore multa instructus. Secum duces habebet, et consiliarios plurimos, et classem, qualem nunquam extitisse fama accepimus, et numerosum equitatum, et arma, denique, ut omnia uno verbo complectar, dignum Rom. Imperio apparatum. Ac ne sic quidem, nisi labore magno, Romanis Africam recuperavit. Quae omnia ita collapsa sunt, ut perinde se habeant in praesenti, ac si nunquam fuissent; nisi quod Belisarii victoria Romanos eo redegit, ut, viris pecuniisque amissis, tueri iam sua nequeant. Totum hoc, quidquid est, ut in ditionem Augusti redeat, in animo, consilio, dextera tua una positum est. Memor generis, quod ducis ab Arsace, tecum reputa, virorum esse nobilium usque et ubique sese gerere fortiter. Multa ipse, eaque admiranda, pro libertate facinora edidisti. Nam adhuc iuvenis Acacium Armeniae Proconsulem, et Sittam Romanae militiae Magistrum sustulisti de medio: unde notus dilectusque Chosroi Regi, cum ipso intulisti bellum Romanis. Quandoquidem tantus*

Ῥωμαίων ἀρχὴν ὑπὸ κυνὶ μεθύοντι κεῖσθαι, ἐνδείκνυσο τανῦν ὡς εὐγενείᾳ τε καὶ ψυχῆς ἀρετῇ ἐκεῖνα, ὦ 'γαθὲ, τὰ πρόσθεν εἰργάσω· ἐγὼ δέ σοι καὶ Ἀρτασίρης ὅδε ἅπαντα ἐπιτάττοντι ὅση δύναμις ὑπουργήσομεν." Γρηγόριος μὲν τοσαῦτα εἶπεν· Ἀρτα- B βάνου δὲ τὴν διάνοιαν ἐπὶ τὸν τύραννον ἔτι μᾶλλον ὥρμησεν.

Ὁ δὲ Γόνθαρις Ἀρεοβίνδου μὲν τήν τε γυναῖκα καὶ τὴν ἀδελφὴν ἐκ τοῦ φρουρίου ἐξαγαγὼν ἐπί τινος οἰκίας ἠνάγκασε μένειν, οὔτε τι ὑβρίσας λόγῳ ἢ ἔργῳ ὁτῳοῦν ἐς αὐτὰς οὔτε τὰ ἐπιτήδεια ἐνδεεστέρως ἢ κατὰ τὴν χρείαν ἐχούσας οὔτε τι ἄλλο βιασθείσας εἰπεῖν ἢ πρᾶξαι, πλήν γε δὴ ὅτι γράψαι πρὸς τὸν θεῖον ἡ Πρεϊέκτα ἠνάγκαστο ὡς Γόνθαρις μὲν αὐτάς τε τιμῴη ἐς ἄγαν καὶ καθαρὸς εἴη παντάπασι τοῦ τἀνδρὸς φόνου, Οὐλιθέῳ δὲ τὸ C κακὸν ἐργασθείη, Γονθάριδος οὐδαμῇ ἐπαινοῦντος. ἔπρασσε δὲ ταῦτα ὁ Γόνθαρις Πασιφίλῳ ἀναπεισθεὶς, ἀνδρὶ γεγονότι μὲν τῶν ἐν Βυζακίῳ στασιωτῶν πρώτῳ, συναραμένῳ δὲ αὐτῷ μά- H 161 λιστα ἐς τὴν τῆς τυραννίδος ἐπίθεσιν. ἰσχυρίζετο γὰρ ὁ Πασίφιλος, ἢν ταῦτα ποιοίη, ξυνοικιεῖν τε αὐτῷ βασιλέα τὴν κόρην καὶ προῖκα τὸ ξυγγενὲς ἐπιδώσειν χρημάτων μεγάλων. Ἀρταβάνην τε τῷ στρατῷ ἐξηγεῖσθαι ἐπί τε Ἀντάλαν καὶ Μαυρουσίους τοὺς ἐν Βυζακίῳ ἐκέλευε. Κουτζίνας τε, ἅτε τῷ Ἀντάλᾳ προσκε-

8. οὔτε ter] οὐδὲ ter P. ibid. ἢ ἔργῳ om. L. 11. Πρεϊέκτα] πρεῖσκα HL: illud Hm. ibid. τιμῴη] τιμῶν HL. τιμῴη L corr. Hm. 12. τἀνδρὸς HL. ἀνδρὸς P. 17. βασιλέα] βασιλεία HL: illud Hm. 18. τὸ] διὰ τὸ Grotius. ibid. μεγάλων om. L.

es, ut tuum sit minime pati, Romanum Imperium cani temulento subiectum esse; ostende modo, vir praeclarissime, te priora illa facinora stimulis clari sanguinis ac generositatis impulsum patrasse. Ego vero, et hic Artasires, tibi quidvis imperanti pro virili parte obsecundabimus. Hac Gregorius oratione Artabanis animum acrius in tyrannum incendit.

Gontharis autem coniugi sororique Areobindi, eductis e munimento, domicilium assignavit, non committens ut illis verbo, nedum facto, illuderetur, ac cibaria necessaria subministrans; nec dicere quidquam facereve invitas compulit, nisi quod a Preiecta literas extorsit, quibus illa Iustiniano avunculo testabatur, se a Gontharide haberi perhonorifice, eumque plane purgabat de nece mariti, quippe ab Ulitheo illata, improbante Gontharide. Id agebat Gontharis auctore Pasiphilo, factiosorum Byzacenorum principe, eiusque praecipuo ad tyrannidem adiutore: cum ipsi, id si faceret, asseveraret fore ut ab Imperatore puellam in matrimonium, et a propinquis dotem luculentam acciperet. Tum Artabanem in Antalam ac Mauros Byzacenos ducere exercitum iussit. Cutzinas vero ab

χρουκὼς, ἀπέστη τε αὐτοῦ ἐκ τοῦ ἐμφανοῦς καὶ Γονθάριδι προσ-
χώρησεν· ᾧ δὴ τόν τε παῖδα καὶ τὴν μητέρα ἐν ὁμήρων λόγῳ
παρέσχετο. τὸ μὲν οὖν στράτευμα ἡγουμένου Ἀρταβάνου εὐθὺς
ἐπὶ τὸν Ἀντάλαν ἐχώρει. ξυνῆν δὲ αὐτῷ καὶ Ἰωάννης, ὁ τῶν
Στότζα στασιωτῶν ἄρχων, καὶ Οὐλίθεος ὁ δορυφόρος. εἵποντο
D δὲ καὶ Μαυρούσιοι, ὧν Κουτζίνας ἦρχε. πόλιν τε Ἀδραμητὸν
διαμείψαντες καταλαμβάνουσι τοὺς ἐναντίους ἐνταῦθά πη ὄντας,
καὶ στρατοπεδευσάμενοι ὀλίγῳ ἄποθεν τῶν πολεμίων ηὐλίσαντο.
τῇ δὲ ὑστεραίᾳ Ἰωάννης μὲν καὶ Οὐλίθεος, μοῖράν τινα τοῦ
στρατοῦ ἔχοντες, αὐτοῦ ἔμειναν, Ἀρταβάνης δὲ καὶ Κουτζίνας
ἐπῆγον ἐπὶ τοὺς ἐναντίους τὸ στράτευμα. οὓς δὴ οὐ ξυνενεγ-
κόντες οἱ ξὺν τῷ Ἀντάλᾳ Μαυρούσιοι ἐς φυγὴν ὥρμηντο. ἀλλὰ
ἐθελοκακήσας Ἀρταβάνης ἐκ τοῦ αἰφνιδίου στρέψας τὸ σημεῖον
V 431 ὀπίσω ἀπήλαυνε. διὸ δὴ Οὐλίθεος αὐτὸν ἐς τὸ στρατόπεδον
P 302 ἥκοντα κτείνειν διενοεῖτο. παραιτούμενος δὲ Ἀρταβάνης ἔφασκε
δεῖσαι μὴ Μαρκέντιος ἐξ Ἀδραμητοῦ πόλεως ἐπιβοηθήσας τοῖς
ἐναντίοις, ὅπη ἐνταῦθα ἐτύγχανεν ὤν, ἀνήκεστα σφᾶς ἔργα ἐρ-
γάσηται. ἀλλὰ τὸν Γόνθαριν χρῆναι παντὶ τῷ στρατῷ ἐπὶ τοὺς
πολεμίους ἰέναι. καὶ τὰ μὲν πρῶτα ἐβουλεύετο ἐς Ἀδραμητὸν
ἰὼν ξὺν τοῖς ἑπομένοις τῷ βασιλέως στρατῷ ἀναμίγνυσθαι. ἄμει-
νον δέ οἱ πολλὰ διαλογισαμένῳ ἔδοξεν εἶναι Γόνθαριν ἐξ ἀνθρώ-
πων ἀφανίσαντι βασιλέα τε καὶ Λιβύην πραγμάτων ἀπαλλάξαι

17. ὅπη] ὅτι Pm. ibid. ἐτύγχανεν] ἐτύγχανον L a pr. m.
20. ἰὼν AL. ἰδὼν P.

Antala propter offensionem ad Gontharin aperte deficiens, filium huic suum matremque obsides dedit. Contra Antalam recta contendit exercitus, ductu Artabanis, cui Ioannes Stozianorum dux se adiunxerat, cum Ulitheo Gontharidis protectore, ac Mauris Cutzinae subditis. Urbem Adrumetum praetergressi, hostem offendunt, nec procul ab eo metati, noctem traducunt. Postridie, Ioanne atque Ulitheo cum parte copiarum castra servantibus, Artabanes et Cutzinas in hostem vadunt: quorum impetum haud sustinens Antalas fugam cepit. Ardorem consulto remittens Artabanes, vexillo derepente converso, retro cessit. Quod Ulitheum adeo movit, ut de illo, post ipsius in castra reditum, interficiendo cogitaverit. Excusans factum Artabanes, veritum se dicebat, ne Marcentius Adrumeto, ubi tum erat, suppetias veniret hosti, et cladem hinc ipsi gravem acciperent: necesse esse ut Gontharis cum omnibus copiis contra hostes veniret. Initio quidem ille, Adrumetum respectans, ad Caesarianos cum suis transire meditabatur; deinde tamen, versato omnes in partes animo, satius visum est, Gontharidis caede Imperatorem et Africam ex difficillimis rebus expedire. Ergo Carthaginem reversus tyranno re-

δυσκόλων. ἀναστρέψας οὖν ἐς Καρχηδόνα τῷ τυράννῳ ἀπήγγελλεν ὅτι δὴ στρατεύματος αὐτῷ πλείονος ἐπὶ τοὺς πολεμίους B δεήσει. ὁ δὲ Πασιφίλῳ κοινολογησάμενος ἅπαντα μὲν ἐξοπλίσαι τὸν στρατὸν ἤθελεν, αὐτὸς δὲ φυλακὴν ἐν Καρχηδόνι παραστησάμενος ἐπὶ τοὺς πολεμίους τῷ στρατῷ ἐξηγήσασθαι. πολλοὺς μὲν οὖν ἐς ἑκάστην ἡμέραν ἀνῄρει, ἐς οὓς ὑποψίᾳ τινὶ λόγον οὐκ ἐχούσῃ ἐχρῆτο. τῷ δὲ Πασιφίλῳ ἐπίστελλεν, ὃν δὴ καταστήσεσθαι ἐπὶ Καρχηδόνος φυλακῇ ἔμελλε, τοὺς Γραικοὺς ἅπαντας οὐδὲν ὑπολογισαμένῳ κτεῖναι.

κη'. Τά τε ἄλλα διοικησάμενος, ὅπῃ οἱ ἐδόκει ὡς ἄριστα C ἔχειν, τοὺς ἐπιτηδείους ἑστιᾶν ἔγνω, ἡμέρᾳ τῇ ἐπιούσῃ τὴν ἔξοδον ποιησόμενος. ἔν τε οἰκήματι, οὗ δὴ στιβάδες ἐν παρασκευῇ ἦσαν ἐκ παλαιοῦ τρεῖς, τὴν θοίνην ἐποίει. αὐτὸς μὲν οὖν ἐπὶ στιβάδος κατεκλίνετο, ὡς τὸ εἰκός, τῆς πρώτης. ἔνθα δὴ καὶ Ἀθανάσιός τε καὶ Ἀρταβάνης ἦσαν, τῶν τε Γονθάριδι γνωρίμων τινές, καὶ Πέτρος Θρᾷξ μὲν γένος, δορυφόρος δὲ Σολόμωνος γενόμενος πρότερον. ἐν ἀμφοτέραις δὲ ταῖς ἄλλαις στιβάσι Βανδίλων οἱ πρῶτοί τε καὶ ἄριστοι ἦσαν. Ἰωάννην μέντοι, ὃς τῶν D Στότζα στασιωτῶν ἦρχε, Πασίφιλος ἰδίᾳ εἱστία, καὶ τῶν ἄλλων ἕκαστος, ὅπῃ ἑκάστῳ τῶν Γονθάριδι ἐπιτηδείων φίλον ἔδοξεν εἶναι. Ἀρταβάνης τοίνυν ἡνίκα ἐπὶ ταύτην δὴ τὴν θοίνην ἐκαλεῖτο, τοῦτόν οἱ τὸν καιρὸν ἐπιτηδείως ἔχειν ἐς τὸν τοῦ τυράννου

8. ὑπολογισαμένῳ] ὑπολογησαμένῳ L. 11. ἡμέρᾳ] ὡς ἡμέρᾳ L.

nuntiat maiorem opus esse exercitum. Is deliberatione cum Pasiphilo habita, arma omnibus imperare, et, relicto in urbe praesidio, in hostem ipse copias educere decrevit. Exin complures, quos vel temere et nulla de causa suspectos habebat, interemit quotidie, et Pasiphilo, cuius fidei Carthaginem crediturus erat, iniunxit ut Graecos omnes, nulla cuiusquam habita ratione, occideret.

28. Cum caetera quoque Gontharis ex sententia composuisset, pridie quam in expeditionem exiret, statuit epulis familiares accipere. Eas autem in conclavi, quod ex longo tempore convivalibus toris tribus instructum erat, celebravit. In primo ipse, ut par erat, discubuit, unaque Athanasius, Artabanes, amici quidam Gontharidis, ac demum Petrus natione Thrax, qui Salomonis stipator fuerat. Duo reliqui Vandalorum proceribus fortissimisque assignati sunt. Ioannem Stozianorum ducem Pasiphilus convivam apud se habuit: caeteri, ubicunque Gontharidis familiaribus placuit, mensis consederunt. Simul ad eas epulas invitatus est Artabanes, id tempus tyrannicidio peropportunum esse ducens, ad exe-

φόνον οἰόμενος, τὸ βούλευμα ἐπιτελεῖν διενοεῖτο. ἐς Γρηγόριον οὖν καὶ Ἀρτασίρην καὶ δορυφόρους ἑτέρους τρεῖς τὸ πρᾶγμα ἐξενεγκὼν τοὺς μὲν δορυφόρους ξὺν τοῖς ξίφεσιν ἐκέλευσεν εἴσω γενέ-
P 303 σθαι· (ἀρχόντων γὰρ ἑστιωμένων ὄπισθεν ἑστάναι τοὺς δορυφόρους νόμος) εἴσω δὲ γενομένους ἐγχειρεῖν ἄφνω, ἡνίκα ἂν σφίσι δοκῇ ὁ καιρὸς ὡς μάλιστα ἐπιτηδείως ἔχειν, πρῶτόν τε τὸν
H 162 Ἀρτασίρην ἔργου ἔχεσθαι. τῷ δὲ Γρηγορίῳ ἐπέστελλε τῶν Ἀρμενίων πολλοὺς τοὺς μάλιστα εὐτολμοτάτους ἀπολεξαμένῳ ἐς τὸ παλάτιον ἐπαγαγέσθαι, τὰ ξίφη μόνα ἐν χερσὶ φέροντας· (ἄλλῳ γὰρ οὐδενὶ τοὺς τοῖς ἄρχουσιν ἐν πόλει ἑπομένους ὁπλίζεσθαι θέμις) τούτους τε ἐν τῷ προστώῳ ἀπολιπόντι εἴσω ξὺν τοῖς δορυφόροις γενέσθαι, καὶ αὐτῶν τὸ μὲν βούλευμα μηδενὶ ἐξειπεῖν, τοσοῦτο δὲ εἰπεῖν μόνον, ὡς ἐς τὸν Γόνθαριν ὑπόπτως ἔχοι, ἐπὶ
B πονηρῷ τῷ Ἀρταβάνους ἐς τὴν θοίνην αὐτὸν κεκληκέναι· βούλεσθαι τοίνυν ἑστάναι μὲν αὐτοὺς παρὰ τοὺς Γονθάριδος φύλακας, οἵπερ ἐνταῦθα ἐπὶ φυλακῇ ἐτετάχατο, τοὺς δὲ παίζειν δόκησίν τινα παρεχομένους τῶν μὲν ἀσπίδων, ἅσπερ ἐκεῖνοι φέρουσιν, ἅπτεσθαι, πάλλοντας δὲ αὐτὰς καὶ ἄλλως κινοῦντας ἄνω κάτω ἐς ἀεὶ στρέφειν· θορύβου δὲ ἢ κραυγῆς ἐντὸς γενομένης ἀραμένους τὰς ἀσπίδας αὐτὰς βοηθεῖν δρόμῳ. Ἀρταβάνης μὲν ταῦτα ἐπήγγελλεν, ὁ δὲ Γρηγόριος ἐπιτελῆ ἐποίει. ὅ τε Ἀρτασίρης
V 432 ἐπενόει τάδε· τῶν βελῶν τινα διελὼν δίχα τῷ καρπῷ τῆς εὐω-

8. ἐς τὸ] τὸ om. L. 13. ἔχοι] ἔχον L. 14. πονηρῷ] πονήρῳ P. 16. οἵπερ L et Grotius. ὅσπερ P.

quendam consilium mentem appulit. Itaque re cum Gregorio, Artasire, tribusque aliis protectoribus communicata, protectoribus praecepit, ut in conclave introirent cum gladiis (epulantibus enim potestatibus a tergo protectores astare solent), ingressi autem, cum tempus videretur commodissimum, repente facinus aggrederentur, dante initium Artasire. Haec Gregorio mandata dedit: Armeniorum delectu habito, multos, qui animo praestarent, in palatium duceret, nihil aliud, nisi gladios, gestantes manibus: (neque enim aliud armorum genus in urbe ferre potestatum comitatui licet) illis in vestibulo relictis, intraret ipse cum protectoribus: eorum nemini consilium patefaceret, at unum hoc diceret, vereri se ne Gontharis Artabanem malo animo invitasset; idcirco velle ut apud Gontharidis excubitores perinde starent, quasi ipsi ad custodiam collocati ibidem essent, tum per ludi speciem illorum clypeos caperent, et quatiendo agitandoque sursum deorsum versarent assidue: si quid strepitus clamorisve intus exoriretur, arreptis clypeis subsidio currerent. Haec ut praescripserat Artabanes, ita fecit Gregorius. Istud vero Artasires excogitavit. Sectis bifariam sagittis aliquot, earum segmenta carpo sa-

νύμου χειρὸς ἐπέθετο κατὰ τὰς τομὰς μέχρι ἐς τὸν ἀγκῶνα. ἱμᾶσί τε αὐτὰ ἐς τὸ ἀκριβὲς σφίγξας ὕπερθε τὸ ταύτῃ τοῦ χιτωνίσκου C μέρος ἐπέβαλλεν. ἐποίει δὲ ταῦτα, ὅπως, ἤν τις αὐτῷ τὸ ξίφος ἐπανατεινάμενος ἐγχειρῇ παίειν, μηδὲν αὐτῷ δεινὸν πεπονθέναι ξυμβαίη, προβεβλημένῳ μὲν τὴν λαιὰν χεῖρα, τοῦ δὲ σιδήρου ἀποκαυλιζομένου ἐν τῇ ἐς τὸ ξύλον ἐπιφορᾷ καὶ τοῦ σώματος ἅψασθαι οὐδαμῇ ἔχοντος. τοιαύτῃ μὲν γνώμῃ Ἀρτασίρης, ὥσπερ μοι ἐρρήθη, ἐποίει. τῷ δὲ Ἀρταβάνῃ ἔλεξεν ὧδε „Ἐγὼ μὲν τὸ μὲν ἐγχείρημα ὀκνήσει οὐδεμιᾷ ὑποστήσεσθαι καὶ ξίφει τῷδε τοῦ Γονθάριδος σώματος ψαύσειν ἐλπίδα ἔχω, τὸ δὲ ἐνθένδε οὐκ ἔχω εἰπεῖν, πότερα ὁ θεὸς τῷ τυράννῳ χαλεπῶς ἔχων ξυγκατεργάσεταί μοι τὸ τόλμημα τοῦτο, ἤ τινα ἐμὴν ἁμαρτάδα τιννύμενος ἐνταῦθά τε ἀπαντήσας ἐμπόδιος εἴη. D ἢν τοίνυν οὐκ ἐν καιρίῳ πληγέντα τὸν τύραννον ἴδῃς, σὺ δή με τῷ ξίφει τῷ ἐμῷ μηδέν τι μελλήσας ἀπόκτεινον, ὅπως μὴ πρὸς αὐτοῦ αἰκιζόμενος γνώμῃ τε τῇ σῇ ἐς πρᾶξιν ὡρμηκέναι εἰπὼν αἴσχιστά τε αὐτὸς διαφθαρείην καί σε προσαπολεῖν ἀναγκασθείην ἀκούσιος.“ ταῦτα καὶ Ἀρτασίρης εἰπὼν ξύν τε Γρηγορίῳ καὶ τῶν δορυφόρων ἑνὶ παρὰ τὰς στιβάδας ἐλθὼν ὄπισθεν Ἀρταβάνου εἱστήκει. οἱ δὲ λοιποὶ παρὰ τοὺς φύλακας μένοντες τὰ σφίσιν ἐπηγγελμένα ἐποίουν.

1. ἱμᾶσι] ἱμάσι P. 12. ξυγκατεργάσεται] Vulgo ξυγκατεργάσηται. 14. δή] δέ HL: δή Hm. 16. εἰς πρᾶξιν Grotius. Aberat praepositio. 18. ταῦτα καὶ A. τοιαῦτα καὶ Grotius. ταῦτα δὲ P. τὸ στότζα καὶ H. τὸ ταῦτα καὶ L (ταῦτα a m. Scaligeri). 19. ἑνὶ om. L a pr. m.

nus sinistrae ad cubitum usque loris apte substrinxit, operuitque tunicae manica: ut si forte peteretur elato gladio, ictum frustraretur illaesus, cum ipse quidem obiiceret manum sinistram, ensis vero dissiliret impactus ligno, nec pertingere cutem valeret. His Artasires ea mente comparatis, ut dixi, sic affatus est Artabanem. *Equidem me rem impigre suscepturum, et Gontharin ferro hoc percussurum confido: sed nequeo consecutura praedicere, nec scio utrum iratus tyranno Deus supremam huic ausu manum adhibiturus mecum sit, an forte, in delicti alicuius mei poenam, manu tunc adversa coeptum impediturus. At tu, si tyrannum vulnere non letali saucium videris, sine mora meo me gladio confice, ne expressa tormentis ex ore meo confessione, ubi te facinoris suasorem prodidero, vitam ipse foedissimo supplicio finiam, ac te vel invitus in perniciem traham.* Sic fatus Artasires, ad accubita cum Gregorio atque uno protectore introiit, ac pone Artabanem stetit: caeteri apud excubitores relicti implevere mandata.

Ὁ μὲν οὖν Ἀρτασίρης, ἀρξαμένης που τῆς θοίνης, ἔργου ἔχεσθαι διενοεῖτο, ἤδη τε τῆς ἀκινάκου λαβῆς ἥπτετο. ἀλλ' αὐτὸν ὁ Γρηγόριος διεκώλυσεν ἔτι τὸν Γόνθαριν εἰπὼν τῇ Ἀρμε-
P 304 νίων φωνῇ ἐν αὑτῷ εἶναι, οὔπω ἐκπεπωκότα τοῦ οἴνου τι μέγα. ἀνοιμώξας τοίνυν ὁ Ἀρτασίρης, ὦ ἄνθρωπε, εἶπεν, ὡς καλῶς ἔχοντά με ψυχὴν οὐ δέον ἐν τῷ παρόντι κεκώλυκας. προϊόντος δὲ τοῦ πότου, ἤδη που καταβεβρεγμένος ὁ Γόνθαρις τοῖς δορυφόροις τῶν βρώσεων ἐδίδου, φιλοτιμίᾳ τινὶ χρώμενος. οἱ δὲ ταύτας λαβόντες ἐσθίειν ἤδη τοῦ οἰκήματος ἔξω γενόμενοι ἔμελλον, μόνων ἀπολελειμμένων παρὰ τὸν Γόνθαριν δορυφόρων τριῶν, ὧνπερ Οὔλιθεος εἷς ἐτύγχανεν ὤν. ἐξῄει δὲ καὶ Ἀρτασίρης, ὡς τῶν βρώσεων ξὺν τοῖς ἑτέροις γευσόμενος. ἐνταῦθά τις αὐτῷ γέγονεν ἔννοια μή τί οἱ σπάσασθαι βουλομένῳ τὸν ἀκι-
B νάκην ἐμπόδιον εἴη. ἔξω τοίνυν γενόμενος ἔρριψε μὲν λάθρα τοῦ ξίφους τὴν θήκην, γυμνόν τε αὐτὸ ὑπὸ μάλης λαβὼν πρὸς τῷ ἐπωμίδος κεκαλυμμένον παρὰ τὸν Γόνθαριν ἐσεπήδησεν, ὡς κρύφα τι τῶν ἄλλων ἐρῶν. ὅπερ Ἀρταβάνης ἰδὼν τῷ τε θυμῷ ζέων καὶ τῇ τῆς ἀγωνίας ὑπερβολῇ ἐς βαθεῖάν τινα ἐμπεσὼν μέριμναν, κινεῖν τε τὴν κεφαλὴν ἤρξατο καὶ πολλὰς ἀμείβειν τοῦ προσώπου χρόας, ἔνθους τέ τις τῷ μεγέθει τῆς πράξεως γεγενῆσθαι παντελῶς ἔδοξεν. ὅπερ ὁ Πέτρος ἰδὼν ξυνῆκε τὸ ποιούμενον, οὐ μέντοι ἐξήνεγκεν ἐς τῶν ἄλλων τινά, ἐπεὶ αὐτὸν βασιλεῖ εὐνοϊκῶς

10. μόνων HL. μόνον P. 22. εὐνοϊκῶς] [οὐκ] εὐνοϊκῶς B. οὐκ L in marg.

Incepto convivio, rem aggredi destinans Artasires, manum acinacis capulo iam admovebat; sed Gregorius eum tenuit, lingua monens Armenia, nondum sat bene potum Gontharin, mentis compotem adhuc esse. Tum trahens suspirium Artasires, *Mi homo*, inquit, *quam male me cohibuisti, praeclare iam animatum*. Longius processerat compotatio, cum madidus vino Gontharis protectoribus ambitiosa quadam benignitate dapes impertiit. Quas illi cum accepissent, pararunt edere, egressi conclavi, praeterquam tres, qui soli apud Gontharin remansere: in his erat Ulitheus. Una exiit Artasires, quasi vesci cum aliis vellet: ac veritus, ne quid postea gladium volenti educere impedimento foret, extra cubiculum, vaginam furtim abiecit, nudumque ensem sub axilla humerorum amictu tegens, ita properavit ad Gontharin, tanquam si dicturus ei quidquam esset clam caeteris. Quod simul Artabanes animadvertit, ira ardens, et per animi aestum alta mersus sollicitudine, caput movere coepit: errare in eius vultu colores varii, sic ut prorsus entheus faciem magnitudine videretur. Id cernens Petrus, quid agitaretur percepit: nemini tamen edidit; propterea quod, cum Imperatori studeret, eo facto

ἔχοντα λίαν ἤρεσκε τὰ πρασσόμενα. τὸν δὲ Ἀρτασίρην, ἄγχιστά πη τοῦ τυράννου ἐλθόντα, τῶν τις οἰκετῶν ὦσε, μικρόν τε ὄπι- C σθεν ἀποκεχωρηκότος κατενόησε τὸ ξίφος γυμνὸν ἀνέκραγέ τε, τί τοῦτο, βέλτιστε; λέγων. ὁ μὲν οὖν Γόνθαρις περὶ τὸ ὠτίον τὸ δεξιὸν τὴν χεῖρα ἐπιβαλὼν στρέψας τε τὸ πρόσωπον ἐς αὐτὸν ἔβλε- H 163 πεν. Ἀρτασίρης δὲ αὐτὸν τῷ ξίφει μεταξὺ ἔπαισε καὶ τοῦ βρέγματος μοῖράν τινα ξὺν τοῖς δακτύλοις ἀπέκοψε. Πέτρος δὲ ἀναβοήσας ἐνεκελεύετο τῷ Ἀρτασίρῃ τὸν ἀνοσιώτατον κτείνειν ἀνθρώπων ἁπάντων. ἀναθρώσκοντα δὲ Γόνθαριν Ἀρταβάνης ἰδὼν (ἐγγύθι γὰρ κατεκλίνετο) μάχαιραν ἀμφήκη σπασάμενος, ἥ οἱ παρὰ τὸν μηρὸν ἀπεκρέματο μεγάλη τις οὖσα, ἐς τὴν ἀριστερὰν τοῦ τυράννου πλευρὰν ἄχρι ἐς τὴν λαβὴν ξύμπασαν ὤσας ἐνταῦ- D θα μεθῆκεν. καὶ ὃς οὐδέν τι ἧσσον ἀναθορεῖν ἐπεχείρησεν, ἅτε δὲ καιρίαν λαβὼν αὐτοῦ ἔπεσεν. ὁ μὲν οὖν Οὐλίθεος τῷ Ἀρτασίρῃ τὸ ξίφος ὡς κατὰ κόρρης πατάξων ἐπήνεγκεν· ὁ δὲ τῆς κεφαλῆς χεῖρα τὴν ἀριστερὰν προβαλλόμενος τῆς ἐννοίας τῆς αὐτοῦ ἐν τοῖς ἀναγκαιοτάτοις ἀπώνατο. τοῦ ξίφους γάρ οἱ τὴν ἀκμὴν ἀποθεμένου ἐν ταῖς ἐπὶ τῆς χειρὸς τῶν βελῶν ἐκτομαῖς, αὐτὸς V 433 ἀπαθὴς γεγονὼς, ἔκτεινε τὸν Οὐλίθεον οὐδενὶ πόνῳ. Πέτρος δὲ καὶ Ἀρταβάνης, ὁ μὲν τὸ Γονθάριδος ξίφος, ὁ δὲ τὸ τοῦ Οὐλιθέου πεπτωκότος ἁρπάσας, τῶν δορυφόρων τοὺς λειπομένους αὐτοῦ ἔκτειναν. γέγονε τοίνυν, ὡς τὸ εἰκὸς, κραυγῆς τε

4. τὸ ὠτίον Hoeschelius ex RV et P. τὸν νῶτον AHL. 8. ἐνεκελεύετο L. ἐκελεύετο P. 11. ἀπεκρέματο] ἀπεκρέμματο L. 15. κόρρης] κόρης A.

plurimum delectabatur. Artasirem tyranno iam proximum famulus quidem repellit, illoque paululum retrogresso, strictum ferrum deprehendens, *Ecquid istud*, exclamat, *praeclare vir?* Gontharis auri dexterae manum praetendens, illum ore converso respicit. Eodem temporis puncto ipsum gladio ferit Artasires, et sincipitis partem cum digitis decutit. Mox Petrus contenta voce Artasirem hortari, ut mortalium sceleslissimum enecet. Ut exilientem Artabanes Gontharin vidit, machaeram ancipitem et oblongam, quam gerebat haerentem femori, eduxit, atque in sinistrum latus tyranni, prope quem accubuerat, capulo tenus adactam reliquit in vulnere. Nihilo is minus tentavit e toro corpus corripere: verum letali accepta plaga ibidem concidit. Statim Ulitheus Artasirem gladio petere, ictu vultui destinato: at ille, sinistra manu protecto capite, consilii sui fructum in summo vitae periculo cepit. Etenim sagittarum segmentis, quae manui subligaverat, retusa ferri impacti acie, illaesus, Ulitheum nullo negotio interfecit. Petrus autem et Artabanes arreptis ensibus, hic Gontharidis, ille Ulithei iacentis; reliquos protectores mactarunt.

P 305 καὶ ταραχῆς μέγα τι χρῆμα. αἰσθόμενοί τε ταύτης, ὅσοι τῶν Ἀρμενίων περὶ τοὺς τυράννου φύλακας ἵσταντο, τὰς ἀσπίδας εὐθὺς ἀνελόμενοι κατὰ τὰ σφίσι ξυγκείμενα ἐπὶ τὰς στιβάδας ἐχώρουν δρόμῳ, καὶ τούς τε Βανδίλους ξύμπαντας τούς τε Γονθάριδι ἐπιτηδείους ἀνεῖλον, οὐδενὸς σφίσιν ἀντιστατοῦντος. τότε Ἀρταβάνης τὸν Ἀθανάσιον ἐμαρτύρατο ἐπιμελεῖσθαι τῶν ἐν τῷ παλατίῳ χρημάτων. ὅσα γὰρ Ἀρεοβίνδῳ ἐλέλειπτο ἐνταῦθα εἶναι. ἐπεὶ δὲ οἱ φύλακες τὴν Γονθάριδος τελευτὴν ἔμαθον, ξυνετάσσοντο τοῖς Ἀρμενίοις αὐτίκα πολλοί. τῆς γὰρ Ἀρεοβίνδου οἰκίας οἱ πλεῖστοι ἦσαν. ξυμφρονήσαντες τοίνυν Ἰουστινιανὸν ἀνεβόων καλλίνικον. ἥ τε φωνὴ προϊοῦσα μὲν ἐκ πλήθους ἀν-
B θρώπων, ἐξαισία δὲ ὑπερφυῶς οὖσα ἐς πόλιν ἐξικνεῖσθαι τὴν πολλὴν ἴσχυσεν. ἐνθένδε οἱ τῷ βασιλεῖ εὐνοϊκῶς ἔχοντες ἐσπηδήσαντες ἐς τῶν στασιωτῶν τὰς οἰκίας τοὺς μὲν ὕπνον αἱρουμένους, τοὺς δὲ σιτία, ἐνίους δὲ θαμβήσαντάς τε τῷ δέει καὶ ἀπορίᾳ δεινῇ ἐχομένους εὐθὺς ἔκτειναν. ἐν τοῖς καὶ Πασίφιλος ἦν. Ἰωάννης γὰρ ξὺν Βανδίλων τισὶν ἐς τὸ ἱερὸν καταφεύγει. οἷς δὴ Ἀρταβάνης τὰ πιστὰ παρασχόμενος ἔνθεν τε ἐξαναστήσας ἐς Βυζάντιον ἔπεμψε καὶ τὴν πόλιν βασιλεῖ ἀνασωσάμενος διεφύλαξε. γέγονε δὲ ὁ τοῦ τυράννου φόνος ἕκτῃ καὶ τριακοστῇ ἀπὸ τῆς τυραννίδος ἡμέρᾳ, ἔνατον καὶ δέκατον ἔτος Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.

21. ἔνατον] ἔννατον P.

Exortum, quem res ipsa per se ferebat, clamorem tumultumque ingentem ut primum exaudiere Armenii, qui apud tyranni excubitores constiterant, repente omnes, sumptis ex compacto clypeis ad accubita convolant, ac, nullo obsistente, Vandalos et Gontharidis familiares ad internecionem caedunt. Tum Athanasio denuntiat Artabanes, uti gazae in palatio reconditae caveat, quippe omnem esse ibi pecuniam, quam reliquisset Areobindus. Demum excubitores, audita nece Gontharidis, quoniam Areobindi plerique domestici fuerant, statim Armeniis adiunxere se magno numero, et una voce Iustinianum victorem egregium proclamarunt. A turba missus frequenti clamor, et incredibilem in modum convalescens, ad magnam urbis partem se extulit. Illo exciti, qui Imperatori favebant, in factiosorum domos irrumpunt, atque hos somnum, illos cibum capientes, nonnullos metu attonitos inopesque consilii, nulla interposita mora, trucidant: qua occasione Pasiphilus periit. Ioannes cum Vandalis aliquot profugit in templum: quos, inde fide publica eductos, Byzantium misit Artabanes, et restitutam ditioni Caesareae Carthaginem custodivit. Patratum est tyrannicidium die tricesimo sexto post occupatam tyrannidem, anno imperii Iustiniani XIX.

Ἀρταβάνης τε ἐκ τοῦ ἔργου τούτου κλέος περιεβάλλετο μέγα C
ἐς πάντας ἀνθρώπους. καὶ Πρεϊέκτα μὲν εὐθὺς ἡ Ἀρεοβίνδου
γυνὴ, μεγάλοις αὐτὸν ἐδωρήσατο χρήμασι, βασιλεὺς δὲ στρατη-
γὸν αὐτὸν κατεστήσατο Λιβύης ἁπάσης. οὐ πολλῷ δὲ ὕστερον
Ἀρταβάνης μὲν ἔχρῃζε βασιλέως ὅπως αὐτὸν ἐς Βυζάντιον μετα-
πέμποιτο, βασιλεὺς δὲ τὴν δέησιν ἐπιτελῆ ἐποιεῖτο. καὶ τὸν Ἀρ-
ταβάνην μεταπεμψάμενος, Ἰωάννην τὸν Πάππου ἀδελφὸν Λι-
βύης στρατηγὸν μόνον αὐτὸν κατεστήσατο. οὗτος Ἰωάννης ἐπεὶ
τάχιστα ἐν Λιβύῃ ἐγένετο, Ἀντάλᾳ τε καὶ Μαυρουσίοις τοῖς ἐν
Βυζακίῳ ἐς χεῖρας ἐλθὼν καὶ μάχῃ νικήσας τῶν τε πολεμίων πολ-
λοὺς ἔκτεινε καὶ σημεῖα πάντα τὰ Σολόμωνος τούτους δὴ τοὺς D
βαρβάρους ἀφελόμενος βασιλεῖ ἔπεμψεν, ἅπερ αὐτοῦ ληισάμενοι
ἔτυχον, ἡνίκα Σολόμων ἐξ ἀνθρώπων ἠφάνιστο. τοὺς δὲ λοι-
ποὺς ὡς ἀπωτάτω ἐξήλασε τῆς Ῥωμαίων ἀρχῆς. χρόνῳ δὲ ὕστε-
ρον οἱ Λευάθαι αὖθις στρατῷ μεγάλῳ ἐκ τῶν ἐπὶ Τριπόλεως χω-
ρίων ἐς Βυζάκιον ἀφικόμενοι τοῖς ἀμφὶ τὸν Ἀντάλαν ξυνέμιξαν.
οἷσπερ Ἰωάννης ὑπαντιάσας ἡσσηθείς τε τῇ ξυμβολῇ καὶ πολ-
λοὺς τῶν οἱ ἑπομένων ἀποβαλὼν ἐς Λαρίβους φεύγει. καὶ τότε
δὴ οἱ πολέμιοι μέχρι ἐς Καρχηδόνα ξύμπαντα καταθέοντες τὰ
ἐκείνῃ χωρία ἀνήκεστα ἔργα Λίβυας τοὺς παραπεπτωκότας εἰργά-
σαντο. οὐ πολλῷ δὲ ὕστερον Ἰωάννης τῶν στρατιωτῶν τοὺς P 306
περιγενομένους ἀγείρας, καὶ Μαυρουσίους ἄλλους τε καὶ τοὺς

15. λευάθαι A. λέυάσθαι L. λεβάσθαι H. Λεβάνθαι P. „λε-βάθαι Reg.“ Malt. Sic Hm. 18. τῶν add. L. 22. ἀγείρας] ἐγείρας P.

Artabani summam ubique gloriam factum hoc peperit: eidem protinus magnam auri vim dedit Areobindi uxor Preiecta, et cum omnis Africae Magisterium militare ipsi Imperator mandasset, haud multo post petenti ut redire Byzantium liceret, annuit. Revocato Artabane, Ioannem, Pappi fratrem, militum per Africam Magistrum creavit, ei nullo consorte addito. Hic Ioannes, ut Africam attigit, statim inito cum Antala ac Mauris Byzacenis proelio victor multos occidit, et recepta ad unum omnia Salomonis signa Imperatori misit, quae illi Barbari, cum extinctus est Salomon, reportaverant: reliquos longissime ab Imperii Rom. finibus abegit. Post, iterum Lebauthae e Tripolitanis partibus magno cum exercitu profecti, ingressique Byzacium, copiis Antalae se adiunxerunt. Quibus Ioannes cum occurrisset, discessit acie victus, et suorum desideratis quam plurimis, fuga recepit se Laribum. Hinc hostes loca omnia Carthaginem usque incursantes, magnam in Afros obvios crudelitatem exercuere. Aliquanto post Ioannes, militibus, qui cladem evaserant, congregatis, ac Mauris, qui Cutzinae parebant, aliisque in societatem allectis,

H 164 ἀμφὶ Κουτζίναν ἐς ξυμμαχίαν ἐπαγαγόμενος τοῖς πολεμίοις ἐς χεῖρας ἦλθε καὶ αὐτοὺς ἐκ τοῦ παραδόξου ἐτρέψατο. Ῥωμαῖοί τε αὐτοῖς φεύγουσι κόσμῳ οὐδενὶ ἐπισπόμενοι μοῖραν μὲν αὐτῶν πολλὴν ἔκτεινον, οἱ δὲ λοιποὶ ἐς τῆς Λιβύης τὰς ἐσχατιὰς διέφυγον. οὕτω τε Λιβύων τοῖς περιγενομένοις, ὀλίγοις τε καὶ λίαν πτωχοῖς οὖσιν, ὀψὲ καὶ μόλις ἡσυχίαν τινὰ ξυνηνέχθη γενέσθαι.

1. ἐπαγαγόμενος] ἐπαγόμενος L.

conflixit cum hostibus, eosque praeter opinionem fudit. Incomposite fugientibus instantes Romani stragem dedere maximam: caeteri ad extremas oras Africae evaserunt. Atque ita Afri, quos belli calamitas reliquos fecerat, ad exiguum numerum magnamque egestatem redacti, vix tandem aliquando respirarunt.

LIPSIAE, TYPIS B. G. TEUBNERI.

HAVERFIELD LIBRARY
OF ANCIENT HISTORY
OXFORD